a Περιεῖναι eodem ſenſu occurrit *Antiqq.* l. 7. p. 421. v. 18. & ſæpiuſcule apud *Homerum*, ut *Iliad.* α. v. 258. b Ἀνεπιστάτως, ἄνευ ἐπιστασίας *ſine conſideratione. Suid.* c Hunc locum ad verbum fere deſcribit *Longinus* §. 39. ut notavit *Tollius.* d Ἀποθέντες *Reg.* 2. e Ἀφροδίτη (ut & Latine *Venus*) non inelegânti tranſlatione, *venuſtas, lepos, gratia, decor.* Sic *Lucianus*, ſub finem *Scythæ*, τοσαύτην ἀφροδίτην ἐπὶ τῇ γλώττῃ ὁ νεανίσκος ἔχει: & *Ælianus*, δῆλα δὲ τοῦ λόγου φιλοτίμως τε καὶ σὺν ἀφροδίτῃ οὐ μάλα περιττῇ. qua uſus eſt figura *Dionyſius* in lib. περὶ τῆς Δημοσθένους δεινότητος, ubi *Demoſthenis* oratio, ob ſecretam numerorum ſuavitatem, Sirenibus ab *Æſchine* comparatur; ὥστε καὶ τῶν φανερῶν αὐτὸν ἀδικημάτων ἀφεῖναι διὰ τὰς Σειρῆνας τὰς ἐπὶ τῆς ἁρμονίας. *Steph.* & *Upt.* f In vulgatis exemplaribus legitur ἀποδώσῃ: itidemque paulo poſt περιθήσῃ: duplici errore, etymologico & ſyntactico. Tu ſi indicativi modi verba nolis, optative legere poteris, ἀποδῴη & περιθείη. Sequenti etiam verſu perperam in iiſdem exemplaribus nominandi caſu ſcriptum πρὔργον. *Sylb.* Ἀποδώσει & mox πρὔργου *Reg.* 2. & *Colb.* g Τις *Reg.* 2. h *Wolfius* legit ὥς φασιν. *Sylb.* i Τὴν θέσιν *Colb.* k Deeſt *Colb.* * Ut omnem vim, quæ in delectu verborum eſt, ſuperat. *Schottus.*

Τὼ δ' αὖτ' ἐν κλισίῃς, Ὀδυσεὺς καὶ [a] δῖος ὑφορβὸς
Εντυώοντο ἄριστον, ἅμ' ἠοῖ [b] κειαμένω πῦρ,
Εκπεμψάν τε νομῆας ἅμ' ἀγρομένοισι σύεσσι.
Τηλέμαχον δὲ περίσσαινον κύνες ὑλακόμωροι,
Οὐδ' ὕλαον προσιόντα. νόησε δὲ δῖος Ὀδυσσεὺς
Σαίνοντάς τε κύνας, [c] ὑπὸ δὲ κτύπος ἦλθε ποδοῖιν.
Αἶψα δ' ἄρ' Εὔμαιον [d] προσεφώνεεν ἐγγὺς ἐόντα·
Εὔμαι', ἦ μάλα τίς τοι ἐλεύσεται ἐνθάδ' ἑταῖρος,
Η καὶ γνώριμος ἄλλος, ἐπεὶ κύνες οὐχ ὑλάουσιν;
Αλλὰ περισσαίνουσι· ποδῶν δ' ὑπὸ δοῦπον ἀκούω.
Οὔπω πᾶν [e] εἴρητο ἔπος, ὅτε οἱ φίλος υἱὸς
Εστη ἐνὶ προθύροισι. ταφὼν δ' ἀνόρουσε συβώτης·
Εκ δ' ἄρα οἱ χειρῶν πέσεν ἄγγεα, τοῖς ἐπονεῖτο
Κιρνὰς αἴθοπα οἶνον. ὁ δ' [f] ἀντίος ἦλθεν ἄνακτος·
Κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά,
Χεῖράς τ' ἀμφοτέρας· θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.

Jam vero in ſtabulis ad lumina prima, ſubulcus
Et Laertiades cœnam accenſo igne parabant,
Compulſaſque ſues tecto eduxere magiſtri.
Telemachum ecce canes agnoſcunt murmure læto,
Nec dominum allatrant venientem. Advertit Ulyſſes
Lætitiam; creberq; pedum ſonus attigit aures.
Protinus adſtantique Eumæo talia fatur:
Eumæe, huc aliquis nobis adventat amicus,
Aut tibi quis notus, latratibus abſtinet acer
Alluditque canis; plantarumque audio motus.
Nondum finierat; cum jam ſibi filius adſtat
Veſtibulo. Surgit paſtor ſtupefactus, & amens;
Et patera excuſſa eſt manibus, qua munera Bacchi
Miſcuerat. regi properans ipſe obvius ibat:
Et capiti atque oculis crebra oſcula figit, utriſq;
Et manibus; lacrymæque genis cecidere profuſæ.

ταῦθ' ὅτι μὲν ἐπάγεται καὶ κηλεῖ τὰς ἀκοάς, ποιημάτων τε καὶ τῶν πάνυ ἡδίστων οὐδενὸς ἧττον μοῖραν ἔχει, πάντες ἂν οἶδ' ὅτι μαρτυρήσειαν. πῇ δὴ αὐτῶν ἐστιν ἡ πειθώ, καὶ διὰ τί τοιαῦτά ἐστι; πότερον διὰ τὴν ἐκλογὴν τῶν ὀνομάτων, ἢ διὰ τὴν σύνθεσιν; οὐδεὶς ἂν εἴποι διὰ τὴν ἐκλογήν, ὡς ἐγὼ πείθομαι. διὰ γὰρ τῶν εὐτελεστάτων τε καὶ ταπεινοτάτων ὀνομάτων πέπλεκται πᾶσα ἡ λέξις, οἷς ἂν καὶ γεωργός, καὶ θαλαττουργός, καὶ χειροτέχνης, καὶ πᾶς ὁ μηδεμίαν [g] ὤραν τοῦ λέγειν εὖ ποιούμενος, ἐξ ἑτοίμου λαβὼν ἐχρήσατο. λυθέντος γοῦν τοῦ μέτρου, φαῦλα φανήσεται τὰ αὐτὰ ταῦτα καὶ ἄζηλα. οὔτε γὰρ μεταφοραί τινες ἐν αὐτοῖς εὐγενεῖς ἔνεισιν, οὔτε ὑπαλλαγαί, οὔτε καταχρήσεις, οὔτε ἄλλη τροπικὴ διάλεκτος οὐδεμία, οὐδὲ δὴ γλῶτται πολλαί τινες, οὔτε ξένα ἢ πεποιημένα ὀνόματα. τί οὖν λείπεται μὴ οὐχὶ τὴν σύνθεσιν τοῦ κάλλους τῆς ἑρμηνείας αἰτιᾶσθαι; τοιαῦτ' ἐστι παρὰ τῷ ποιητῇ μυρία, ὡς εὖ οἶδ' ὅτι πάντες ἴσασιν· ἐμοὶ δὲ ὑπομνήσεως ἕνεκα λέγοντι ἀρκεῖ ταῦτα μόνα εἰρῆσθαι.

Φέρε δὴ μεταβῶμεν καὶ ἐπὶ τὴν πεζὴν διάλεκτον, καὶ σκοπῶμεν εἰ κἀκείνῃ τὸ αὐτὸ συμβέβηκε πάθος, ὥστε περὶ μικρὰ καὶ φαῦλα πράγματά τε καὶ ὀνόματα συνταχθέντα καλῶς, μεγάλας γίνεσθαι τὰς χάριτας. ἔστι δὴ παρὰ τῷ Ἡροδότῳ βασιλεύς τις Λυδῶν, ὃν ἐκεῖνος Κανδαύλην [[h] καλεῖ, Μυρσίλον δὲ καλεῖσθαι] φησὶν ὑφ' Ἑλλήνων, τῆς ἑαυτοῦ γυναικὸς ἐρῶν, ἔπειτα ἀξιῶν τινα τῶν ἑταίρων αὐτοῦ γυμνὴν τὴν ἄνθρωπον ἰδεῖν. ὁ δὲ, ἀπομαχόμενος μὴ ἀναγκασθῆναι· ὡς [i] δὲ οὐκ ἔπειθεν, ὑπομένων τε καὶ θεώμενος αὐτήν

Hæc vero aures delinire carmina & permulcere; hæc verſibus etiam ſuaviſſimis nihil cedere, omnes, ſat ſcio, confitebuntur. In quo autem ſita eſt horum tam jucunda ſuavitas & perſuadendi vis? aut quam tandem ob rem hujuſmodi ſunt facta? ob verborum delectum, an eorundem potius ob ſtructuram? Propter delectum nemo, ut arbitror, dicturus eſt. tota ſiquidem oratio ex minutiſſimis compoſita, humillimiſque conſtat vocabulis: quibus utique vel agricola, vel nauta, vel opifex, vel alius quilibet, qui nullam omnino bene ornateque dicendi curam habet, ex promptu aſſumptis uteretur. Nam ſoluta carminis menſura, humiles iidem ipſi videbuntur, nec verſus imitatione digni. nullæ enim generoſæ in his occurrunt tranſlationes, nulla hypallage aut catachreſis, nec figurata denique locutio ulla; linguæ etiam pauciſſimæ, nec aliqua peregrina & conficta vocabula. Quid igitur reſtat, quo minus ipſi verborum compoſitioni hanc elocutionis pulcritudinem acceptam referamus? Talia ſunt apud poëtam innumera, quod omnibus, probe ſcio, notum; mihi vero, memoriæ cauſa ſcilicet, hæc dicta ſufficiant.

Age itaque, ad ſolutam jam orationem tranſeamus, an ſimiles ei quoque affectus contigerint, quæſituri: ita ut tam ex rebus quam vocabulis, quæ tenuia ſunt & abjecta, pulcram vero conſecuta orationis ſtructuram, egregiæ venuſtates oriantur. Eſt igitur apud Herodotum rex quidam Lydiæ, (quem ille Candaulem vocat, Myrſilum vero à Græcis appellatum ſcribit) qui ſuam *perdite* amabat uxorem; ac quendam deinde ex amicis voluit nudam mulierem conſpicere. ille autem primo ne cogeretur, obſiſtebat: ſed, regi cum perſuadere non potuit, ſuſtinuit eamque conſpexit.

a In vulgatis *Homeri* editionibus pro δῖος legitur θεῖος. Ex eiſdem ſeq. v. pro vulgato ἐντύνοντες repoſui ἐντυώοντο. Exſtat vero hic locus *Odyſſ.* π. v. 1. &c. *Sylb.* Εντύνοντο *Reg.* 2. *b* Κηαμένω *Reg.* 2. *c* In vulgatis *Homeri* editionibus pro ὑπὸ δὲ legitur περί τε. ſed *Dionyſiana* lectio melius congruit cum his quæ mox ſequuntur v. 10. ποδῶν δ' ὑπὸ δοῦπον ἀκούω. *Sylb.* *d* Hemiſtichium iſtud, προσεφώνεεν ἐγγὺς ἐόντα, in vulg. *Homeri* editionibus ſic legitur, ἔπεα πτερόεντα προσηύδα: verbis tantum mutatis non ſententia. *Sylb.* *e* Εἴρηται *Colb.* *f* In *Homeri* editionibus exigua mutatione legitur, ἀντίος ἤλυθ' ἄνακτος. *Sylb.* Αντίος ἴδραμ' ἄνακτος *Reg.* 2. *g* Rectius exili ſpiritu ὤραν hic ſcribemus, ut *Ammonius* docet his verbis: ὥρα θυσίας, τοῦ ἔτους, καὶ τῆς ἡμέρας· ψιλῶς δὲ, ἡ φροντίς. *Sylb.* *h* Verba ſignis his [ ] incluſa ad explendam loci ſententiam inſerta ſunt ex *Herodoto*: cujus (ſub initium lib. 1.) hæc verba ſunt; ἦν Κανδαύλης, τὸν οἱ Ελληνες Μυρσίλον καλέουσι, τύραννος Σαρδίων. Tu ſi variandæ locutionis gratia pro καλεῖ malis ὀνομάζει, non refragabor. *Sylb.* *i* Redundare hic videtur particula δέ. Sed ſi nominativa hæc omnia referantur ad initiale periodi verbum ἐστι, nullus eſt pleonaſmus. *Sylb.*

ſpexit. Argumentum ſane, non modo non grande, aut ſermonis elegantiæ idoneum; verum etiam & humile & periculoſum, quodque turpi propius videtur quam honeſto: ſed felici explicatur elocutione, ita ut fando jucundius multo ſit auribus noſtris, quam id ſi oculis ſubjiceretur. Sed ne quis forte ſuſpicetur orationis ſuavitatem eſſe à dialecto; Ionico charactere in linguam Atticam permutato, nullaque inſuper re addita, ipſam, ut eſt, colloquii narrationem proferam. “Gyges, neque enim videris mihi fidem habere referenti de forma conjugis, (quod magis incredulæ ſunt hominibus aures quam oculi) fac illam conſpicias nudam. Hic autem vehementer exclamans, Quemnam, inquit, here, ſermonem profers haudquaquam ſanum, qui me jubes inſpicere heram meam nudam? Mulier exuta tunica & verecundiam pariter exuit. Jam olim hominibus ſunt honeſta excogitata, unde diſcere oportet; ex quibus hoc unum eſt, Quæ ſua ſint quemque inſpicere debere. Ego vero tibi fidem habeo, illam eſſe fœminarum omnium formoſiſſimam; teque oro, ne illicita à me exigas. Atque hæc dicendo Gyges repugnabat; cui viciſſim ille his verbis, Fidens, inquit, eſto Gyges, cave timeas aut me, tanquam hoc te ſermone tentantem; aut uxorem meam, nequid tibi ex ea detrimentum fiat. Principio etenim, ſic ego machinabor, ut illa ne deprehendere quidem poſſit ſe fuiſſe à te inſpectam. Te namque in quo cubamus cubiculo deductum, poſt fores, quum apertæ fuerint, collocabo. Ubi ergo fuero ingreſſus, aderit & uxor mea ut lectum conſcendat: juxta cujus introitum ſella poſita eſt, ſuper quam veſtes illa, ut quamque exuet, reponet, ſeſe per multum otium tibi ſpectandam præbens: quæ quum à ſella cubitum pergat, & ei fueris à tergo, curæ tibi ſit deinceps, ne te per fores abeuntem conſpiciat. Gyges igitur, ubi effugere non potuit, ad ea facienda ſe paratum dedit. Nemo ſane vel hoc etiam loco poteſt dicere, verborum dignitatem gravitatemque formoſam effeciſſe locutionem. ſunt enim nullo ſtudio, nullo delectu habito, ſumpta; qualia natura impoſuit, ut rebus eſſent ſigna: nec decuit fortaſſe aliis uti præſtantioribus. Nam cum ſenſa animorum propriis cognatiſque exprimuntur vocabulis, ut nihil his auguſtius accedat quodammodo neceſſe eſt. Atqui nihil gravitatis nihil excellentiæ ipſis ineſſe qui voluerit, mutata paululum ſola

ἣν. τὸ δὲ πρᾶγμα οὐχ ὅτι σεμνὸν ἢ καλλιλογεῖσθαι ἐπιτήδειον, ἀλλὰ καὶ ταπεινὸν καὶ ἐπικίνδυνον, καὶ τοῦ αἰσχροῦ μᾶλλον ἢ τοῦ καλοῦ ἐγγυτέρω· ἀλλ' εἴρηται σφόδρα δεξιῶς, καὶ κρεῖττον γέγονεν ἀκουσθῆναι λεγόμενον, ἢ ὀφθῆναι γινόμενον. ἵνα δὲ μή τις ὑπολάβῃ τὴν διάλεκτον εἶναι τῆς ἡδονῆς αἰτίαν τῇ λέξει, μεταθεὶς αὐτῆς τὸν χαρακτῆρα εἰς τὴν Ἀτθίδα γλῶτταν, καὶ οὐδὲν ἄλλο περιεργασάμενος, οὕτως ἐξοίσω τὸν διάλογον. “[a] Γύγη, οὐ γάρ σε δοκῶ πείθεσθαί μοι λέγοντι [τὰ] περὶ τοῦ εἴδους τῆς γυναικός· ὦτα γὰρ τυγχάνει ἀνθρώποις ὄντα ἀπιστότερα ὀφθαλμῶν· ποίει ὅπως ἐκείνην θεάσῃ γυμνήν. Ὁ δὲ, [μέγα] ἀναβοήσας εἶπεν· δέσποτα, τίνα λέγεις λόγον οὐχ ὑγιᾶ, κελεύων με δέσποιναν τὴν ἐμὴν θεάσασθαι γυμνήν; ἅμα δὲ χιτῶνι ἐκδυομένῳ συνεκδύεται καὶ τὴν αἰδῶ γυνή. πάλαι δὲ τὰ καλὰ ἀνθρώποις ἐξεύρηται ἐξ ὧν μανθάνειν δεῖ· ἐν οἷς ἕν τόδε ἐστὶν, ὁρᾶν τινα τὰ ἑαυτοῦ. ἐγὼ δὲ πείθομαι ἐκείνην πασῶν γυναικῶν εἶναι καλλίστην, καὶ σοῦ δέομαι μὴ χρήζειν ἀνόμων. ὁ μὲν δὴ λέγων ταῦτα ἀπεμάχετο, ὁ δὲ ἠμείβετο τοῖσδε· Θάρσει, Γύγη, καὶ μὴ φοβοῦ μήτ' ἐμὲ, ὡς πειρώμενός σου λόγον λέγω τόνδε· μήτε γυναῖκα τὴν ἐμὴν, μή τι σοι ἐξ αὐτῆς γένηται βλάβος. ἀρχὴν γὰρ ἐγὼ μηχανήσομαι οὕτως, ὥστε μηδὲ μαθεῖν αὐτὴν ὀφθεῖσαν ὑπὸ σοῦ. ἀγαγὼν γάρ σε εἰς τὸ οἴκημα ἐν ᾧ κοιμώμεθα, ὄπισθεν τῆς ἀνοιγομένης θύρας στήσω· μετὰ δ' ἐμὲ εἰσελθόντα παρέσται καὶ ἡ γυνὴ ἡ ἐμὴ ἐς κοίτην. κεῖται δὲ ἐγγὺς τῆς εἰσόδου θρόνος· ἐπὶ τοῦτον τῶν ἱματίων καθ' ἓν ἕκαστον ἐκδῦσα θήσει. καὶ καθ' ἡσυχίαν πολλὴν παρέσται σοι θεάσασθαι. ὅταν δὲ ἀπὸ τοῦ θρόνου πορεύηται ἐπὶ τὴν εὐνὴν, κατὰ νώτου τε αὐτῆς γένῃ, σοὶ μελέτω τὸ ἐντεῦθεν, ὅπως μή σε ὄψεται ἀπιόντα διὰ θυρῶν. ὁ μὲν δὴ, ὡς οὐκ ἠδύνατο διαφυγεῖν, ἕτοιμος ἦν ποιεῖν ταῦτα. οὐκ ἂν ἔχοι τις οὐδὲ ἐνταῦθα εἰπεῖν, ὅτι τὸ ἀξίωμα καὶ ἡ σεμνότης τῶν ὀνομάτων εὔμορφον πεποίηκε τὴν φράσιν. ἀνεπιτήδευτα γάρ ἐστι καὶ [b] ἀνήλεκτα, οἷα φύσις τέθεικε σύμβολα τοῖς πράγμασιν· οὐδὲ γὰρ ἥρμοττεν ἴσως κρείττοσι χρήσασθαι ἑτέροις. ἀνάγκη δή που, ὅταν τοῖς κυριωτάτοις τε καὶ προσεχεστάτοις ὀνόμασιν ἐκφέρηται τὰ νοήματα, μηδὲν σεμνότερον εἶναι ἢ οἷά ἐστιν. ὅτι δὲ οὐδὲν ἐν αὐτοῖς ἐστι σεμνὸν, οὐδὲ περιττὸν, ὁ βουλόμενος εἴσεται, μεταθεὶς οὐδὲν

ὅτι

[a] Si locum hunc cum vulgatis *Herodoti* editionibus conferas, præter Ioniſmos à *Dionyſio* data opera ſublatos, invenies alias quoque diverſitates. Primum enim incluſus articulus τὰ ab editionibus illis abeſt, & viciſſim incluſum nomen μέγα abeſt à vulgatis editt. *Dionyſii*. Deinde pro ὁρᾶν τινα, quædam *Herodoti* exemplaria habent τινὰ σκοπέειν, quædam σκοπέειν τινά. Tum pro πασῶν γυναικῶν εἶναι, mutato verborum ordine illic legitur, εἶναι πασέων γυναικῶν. Et mox pro χρήζειν ibidem ſcriptum eſt δέεσθαι. Sic pro ταῦτα ibidem eſt τοιαῦτα. Et mox ibidem poſt ἀπεμάχετο leguntur hæc, quæ à *Dionyſii* vulgatis exemplaribus abſunt; ἀρρωδέων μή τι οἱ ἐξ αὐτέων γένηται κακόν. Adhæc pro ſequentibus hiſce, ἠμείβετο τοῖσδε, ibidem eſt ἀμείβεται τοισίδε. Præterea ibidem eſt, ὡς σέο πειρώμενον λόγον τόνδε: & in quibuſdam exempl. ὡς σέο πειρώμενος λέγω λόγον τόνδε. Inſuper ibidem pro ἀγαγὼν legitur ἐγὼ: & mox θήσω pro στήσω. Ibidem eadem exemplaria pro κοίτην & ἐγγὺς, habent κοιτῶνα & ἀγχοῦ. Et rurſum pro ἐκδῦσα & παρέσται, eadem habent ἐκδύνουσα & παρέξει. Rurſum pro ὅταν & πορεύηται in iiſdem legitur ἐπεὰν & στείχῃ. Et deinde pro compoſito ἀπιόντα, eadem habent ſimplex ἰόντα: & mox cum articulo διὰ τῶν θυρέων. Denique loci clauſula in iiſdem hæc eſt, ἦν ἕτοιμος, facta ſcilicet tranſpoſitione, & omiſſis ultimis hiſce ποιεῖν ταῦτα. Hæ ſunt hujus loci in *Herodoti* & *Dionyſii* vulgatis exemplaribus diverſitates, de quibus hoc monendum videtur; quædam vocabula ſtudio à *Dionyſio* fuiſſe mutata; quippe quæ Ionicæ dialecti magis ſint propria. Sic enim pro σκοπέειν, ſeu σκοπέειν, maluit ὁρᾶν: & ἐκδῦσα pro ἐκδύνουσα, itidemque ὅταν & πορεύηται, pro ἐπεὰν & στείχῃ. forſan etiam κοιτῶνα & ἀγχοῦ, velut Ιωνικώτερα ſummovit: quanquam ipſe in *Rom. Antiquitatum* libris, adverbio ἀγχοῦ non infrequenter utitur. Similiter pro Ionico pronomine μιν poſuit commune αὐτὴν, ὥστε μηδὲ μαθεῖν αὐτὴν ὀφθεῖσαν. *Sylb.* [b] Pro corrupto ἀνήλεκτα, incertum eſt ſitne reponendum ἀνέκλεκτα, ἀνίλευκτα, vel aliud quidpiam magis conſentaneum. *Sylb.* Ανίλευκτα *Colb.* Ανέκλεκτα *Reg.* 2.

a Deeſt

ὅτι μὴ τὴν ἁρμονίαν. πολλὰ καὶ δὲ παρὰ τούτῳ τῷ ἀνδρὶ τοιαῦτά ἐστιν, ἐξ ὧν ἄν τις τεκμήραιτο, ὅτι οὐκ ἐν τῷ κάλλει τῶν ὀνομάτων ἡ πειθὼ τῆς ἑρμηνείας ἦν, ἀλλ᾽ ἐν τῇ συζυγίᾳ [a] ἦν. καὶ περὶ μὲν τούτων ἱκανὰ ταῦτα.

δ΄. ΙΝΑ δὲ πολὺ μᾶλλον αἴσθηται ὅσην ἔχει ῥώμην ἡ συνθετικὴ δύναμις ἔν τε ποιήμασι καὶ λόγοις, λήψομαί τινας εὖ ἔχειν δοκούσας λέξεις, ὧν τὰς ἁρμονίας μεταθεὶς, ἀλλοῖα φαίνεσθαι ποιήσω καὶ τὰ μέτρα καὶ τοὺς λόγους. λαμβανέσθω δὲ πρῶτον ἐκ τῶν Ὁμηρικῶν ταυτί·

Ἀλλ᾽ ἔχον ὥστε τάλαντα γυνὴ χερνῆτις ἀληθὴς,
Ἥτε σταθμὸν ἔχουσα, καὶ εἴριον ἀμφὶς ἀνέλκει,
Ἰσάζουσ᾽, ἵνα παισὶν ἀεικέα μισθὸν [b] ἄρηται.

τοῦτο τὸ μέτρον ἡρωϊκόν ἐστιν, ἑξάπουν, τέλειον, κατὰ πόδα δάκτυλον βαινόμενον. ἐγὼ δὴ τῶν αὐτῶν ὀνομάτων τούτων μεταχινήσας τὴν σύνθεσιν, τοὺς αὐτοὺς στίχους ἀντὶ μὲν ἑξαμέτρων ποιήσω τετραμέτρους, ἀντὶ δὲ ἡρωϊκῶν προσοδιακοὺς, τὸν τρόπον τοῦτον·

Ἀλλ᾽ ἔχον ὥστε γυνὴ χερνῆτις τάλαντα ἀληθὴς,
Ἥτ᾽ εἴριον ἀμφὶς καὶ σταθμὸν ἔχουσ᾽ ἀνέλκει
Ἰσάζουσ᾽, ἵν᾽ ἀεικέα παισὶν ἄροιτο μισθόν.

τοιαῦτά ἐστι τὰ [c] πριάπεια, ὑπό τινων δὲ ἰθυφάλλια λεγόμενα, ταυτί·

Οὐ βέβηλος, ὡς [d] λέγεται, τοῦ νέου Διονύσου,
Κἀγὼ δ᾽ ἐξ ἐργασίης ὀργιασμένος ἥκω.

ἄλλους πάλιν λαβὼν στίχους Ὁμηρικοὺς, οὔτε προσθεὶς οὐδὲν αὐτοῖς, οὔτε ἀφελὼν, τὴν δὲ σύνθεσιν ἀλλάξας μόνον, ἕτερον ἀποδώσω μέλος τετράμετρον, τὸ καλούμενον Ἰωνικόν·

[e] Ὡς ὁ πρόσθ᾽ ἵππων καὶ δίφρου κεῖτο τανυσθεὶς,
Βεβρυχὼς, κόνιος δεδραγμένος αἱματοέσσης.
Ὡς ὁ πρόσθ᾽ ἵππων καὶ δίφρου κεῖτο τανυσθεὶς,
Αἱματοέσσης κόνιος δεδραγμένος, βεβρυχώς.

τοιαῦτά ἐστι τὰ [f] Σωτάδια ταυτί·

Ἔνθ᾽ ὁ μὲν ἐπ᾽ ἄκρας πυρᾶς νέκυες ἔκειντο
Γῆς ἐπὶ ξένης, ὀρφανὰ τείχεα προλιπόντες
Ἑλλάδος [g] ἱερῆς, καὶ μυχὸν ἑστίης πατρῴης,
Ἥβην τ᾽ ἐρατεινὴν, καὶ καλὸν ἡλίου πρόσωπον.

Δυναίμην δ᾽ ἂν ἔτι πολλὰς ἰδέας μέτρων καὶ διαφόρους εἰς τὸν ἡρωϊκὸν ἐμπιπτούσας στίχον ἐπιδεικνύναι, τὸ δὲ αὐτὸ κἂν τοῖς ἄλλοις ὀλίγου δεῖν πᾶσι συμβεβηκὸς μέτροις τε καὶ ῥυθμοῖς ἀποφαίνειν, ὥστε τῆς μὲν ἐκλογῆς τῶν ὀνομάτων τῆς αὐτῆς μενούσης, τῆς δὲ συνθέσεως μόνης [h] μάλιστα

verborum conſtructione, cognoſcet. Et quidem multa alia apud hunc auctorem hujuſmodi ſunt, ex quibus cuivis conjicere licet non in verborum pulcritudine, ſed ſtructura, ſitam eſſe elocutionis ſuavitatem. Sed de his ſatis dictum eſt.

IV. SED ut omnibus innoteſcat magis, quantam poteſtatem habeat componendi facultas, tam pedibus adſtricta quam ſoluta oratione, quaſdam locutiones aſſumam, quæ pulcre videntur conſtrui; quarum mutata compoſitione, efficiam, ut diverſa penitus appareant tum carmina tum proſaicæ orationes. Primo itaque hæc ſint ex Homero decerpta: *Soluta compoſitione, ſolvi orationis vim & pulcritudinem.*

Ac veluti æquatas mulier paupercula lances
Erigit, & lanam & pondus tenet æqua ſeorſim;
Exiguum ut poſſit pueris adferre lucellum.

Hoc carminis genus heroicum eſt, ſex conſtans pedibus, perfectum, pede dactylico incedens: quorum ipſe jam mutata verborum collocatione, eoſdem verſus pro hexametris tetrametros faciam, pro heroicis proſodicos, hoc modo:

Ac veluti æquatas lances opifex Minervæ
Erigit, & lanam tenet & pondus ſeorſim;
Exiguum pueris ut adferat lucellum.

Cujuſmodi ſunt & Priapeia, quæ ab aliis & Ithyphallica vocantur, qualia ſunt:

Non profanus, ut fertur, Bacchi juvenilis,
Sacro ipſe ex munere adſum orgiis celebratis.

Alios præterea accipiam Homeri verſus, quibus nihil addam aut adimam; ipſa ſolummodo mutata collocatione, aliud carmen, ut tetrametrum ſit, quod Ionicum vocatur, efficiam:

Sic ille inter equos fuſus jacet, inter & arma;
Ore fremens, terram fœdatam ſanguine mordet.
Sic ille inter equos fuſus jacet, inter & arma:
Tellurem ſanguine fœdatam mordet, ore frendens.

Qualia ſunt & Sotadea hæc:

Tum vero ſummis in rogis mortui jacebant,
Longe à patria, vidua mœnia relinquentes
Græciæ ſacræ, & penetrale Veſtæ patroæ,
Floremque juventutis, & ſolis dulce lumen.

Poſſem & alia etiam carminum multa genera, eaque diverſa, quæ in heroicos facile incidunt verſus, oſtendere; & hoc idem accidere fere omnibus tam menſuris quam rythmis, demonſtrare: permanente ſcilicet verborum delectu, ipſa ſolummodo mutata compoſitione,

a Deeſt *Reg.* 1. & *Colb.* atque redundare viſum eſt *Uptono.* b Ἄρηται, pro vulgato ἄροιτο ex *Homeri* editionibus repoſitum, magis eſt conſentaneum: quanquam paullo poſt idem verbi modi optativus reperitur. Eſt autem deſumptus locus ex *Iliad.* μ΄. v. 433. *Sylb.* Idem verbum neceſſe eſt in utroque loco ponatur: itaque infra v. 22. ἄρηται etiam reponendum cenſemus. *Upt.* c Πριάπεια, διφίλια λεγόμ. *Reg.* 1. & *Colb.* De *Priapeis, Ithyphallicis,* & *Sotadeis* vide *Annott.* d Pro λέγεται *Aldinus codex* habet τελεῖται. In *Hephæſtionis* enchiridio quidam codices habent ὁ τελεῖται: quidam ὃ τελεῖται: non abſurde. Sequenti etiam verſu eadem *Aldina editio,* idemque *Hephæſtionis* Enchiridion, pro ἐργασίης habent δυεργεσίης. verius ne ſit Ἐλευσίνης, an aliud conſimile, viderint doctiores. In eodem *Hephæſtionis* Enchiridio additur tertius hic verſus; Ὀδύνων Πηλουσιακῶν κηφαλος παρὰ τέλμα. Tribuuntur autem iſtic verſus hi *Euphorioni Cherroneſitæ* itidemque Priapei nominabantur. *Sylb.* Pro λέγεται & ἐργασίης in *Reg.* 1. & *Colb.* τελεῖται & δυεργεσίης. e Locus deſumptus ex *Il* ν. v. 392. *Sylb.* f *Stephanus* mavult Σωτάδεια, diphthongo: ut apud *Hephæſtionem* [& *Suidam*] quoque legitur. ſic certe mox p. 8. v. 6. ſequitur Εὐριπίδεια & infra §. 9. Σοφόκλεια. tamen prioris quoque ſcripturæ reperiuntur exempla. *Sylb.* g Σεμνῆς *Colb.* in marg. ἴσ. ἱερῆς. h Pro μάλιστα πιστώσης legendum videtur μετακινούσης: ſicut mox ſequitur συμμεταπίπτειν. *Sylb.* Forſan ἥκιστα pro μάλιστα reponendum. *Upt.*

a Deſunt

ſitione, tranſmutari carmina, & corruere una orationis figuras, colores, mores, affectus, totamque adeo poëmatis dignitatem. Sed neceſſe habeo plura præcepta attingere, quorum nonnulla quam pauciſſimis ſunt cognita. Iſta autem ex Euripide, cum multis de rebus fortaſſe, tum de his etiam præcipue, licebit proferre:

Ne ſubtiles
Tange loquelas animi. ut quid enim
Vana labores, niſi forte inter
Vis te jactare ſodales.

Hæc itaque mihi in præſenti eſſe omittenda arbitror. Solutam vero orationem, idem pati poſſe cum ligata, manentibus *ſcilicet* iiſdem verbis, mutata vero compoſitione, licet cuilibet volenti conſiderare. Aſſumam ex Herodoti dictione hiſtoriæ initium, locum plurimis notiſſimum; charactere tantum dialecti immutato. "Crœſus genere quidem fuit Lydus, patre autem Alyatte; earum vero nationum rex, quæ intra Halym amnem ſunt; qui, à meridie Syros ac Paphlagones interfluens, contra ventum Aquilonem in mare, quod vocant Euxinum, evolvitur. Tranſponam dictionis hujus juncturam; & nec ad animos demulcendos accommodata mihi amplius erit compoſitio, nec hiſtorica, ſed ſimplex potius & forenſis: "Crœſus erat filius quidem Alyattis, genere vero Lydus, tyrannusque earum, quæ intra ſunt Halym amnem nationes; qui, à meridie interfluens Syros ac Paphlagones, in mare, quod vocant Euxinum, evolvitur contra ventum Aquilonem. Quæ ſane forma non multum ab hiſce Thucydidis videtur differre: "Epidamnus eſt urbs ad dextram ſita navigantibus Ionium ſinum verſus, cui finitimi ſunt Taulantii barbari, gens Illyrica. Hac iterum tranſmutata dictione, aliam ei formam dabo, hoc modo: "Alyattis quidem filius erat Crœſus, genere vero Lydus, earum quæ intra ſunt Halym amnem tyrannus nationum; qui, à meridie fluens Syros inter ac Paphlagones, contra Boream erumpit ventum in mare, quod vocant Euxinum. Hegeſiaca eſt hæc ſtruendæ orationis forma; parum compta, vilis, robore deſtituta. Eſt enim iſtiuſmodi nugarum ſacerdos vir ille, hæc qui ſcribat: "Ex bona ſolennitate, bonam ducimus aliam. -- Ex Magneſia ſum magna, Sipylenſis. -- Neque enim guttulam in Thebanorum undam evomuit Bacchus: eſt quidem potu dulcis, parit vero inſaniam.

Compoſitio verborum habet vim majorem delectu.

Abunde ſatis exemplorum. id enim quod propoſueram me affatim demonſtraſſe arbitror; vim ſcilicet compoſitionem habere delectu majorem. Ac mihi quidem

πεσούσης, τά τε μέτρα μεταρρυθμίζεσθαι, καὶ συμμεταπίπτειν αὐτοῖς τὰ σχήματα, τὰ χρώματα, τὰ ἤθη, [a] τὰ πάθη", τὴν ὅλην τῶν ποιημάτων ἀξίωσιν. ἀλλ' ἀναγκασθήσομαι πλειόνων ἅψασθαι θεωρημάτων, ὧν ἔνια ὀλίγοις πάνυ ἐστὶ γνώριμα. ἐπὶ πολλῶν δὲ ἴσως, καὶ οὐχ ἥκιστα ἐπὶ τῶν τοιούτων, καλῶς ἂν ἔχοι τὰ Εὐριπίδεια ταῦτα ἐπενεγκεῖν·

[b] Μή μοι
Λεπτῶν θίγγανε μύθων, ψυχή·
Τί περισσὰ φρονεῖς; εἰ μὴ μέλλεις
Σεμνύνεσθαι παρ' ὁμοίοις.

ταῦτα μὲν οὖν ἐᾶσθαι μοι δοκῶ κατὰ τὸ παρόν. ὅτι δὲ καὶ ἡ πεζὴ λέξις τὸ αὐτὸ δύναται παθεῖν τῇ ἐμμέτρῳ, [c] ὄντων μὲν ὀνομάτων, ἀλλαττομένης δὲ τῆς συνθέσεως, πάρεστι τῷ βουλομένῳ σκοπεῖν. λήψομαι δὲ ἐκ τῆς Ἡροδότου λέξεως τὴν ἀρχὴν τῆς ἱστορίας, ἐπεὶ καὶ γνώριμός ἐστι τοῖς πολλοῖς, μεταθεὶς τὸν χαρακτῆρα τῆς διαλέκτου [d] μόνον. "[e] Κροῖσος ἦν Λυδὸς μὲν γένος, παῖς δὲ "Αλυάττου, τύραννος δὲ ἐθνῶν τῶν ἐντὸς Ἅλυος ποταμοῦ· ὃς, ῥέων ἀπὸ μεσημβρίας μεταξὺ Σύρων τε καὶ "Παφλαγόνων, ἐξίησι πρὸς βορέαν ἄνεμον εἰς τὸν Εὔξεινον καλούμενον πόντον. μετατίθημι τῆς λέξεως ταύτης τὴν ἁρμονίαν, καὶ γενήσεταί μοι οὐκέτι ἐπαγωγικὸν τὸ πλάσμα, οὐδὲ ἱστορικόν, ἀλλ' ὀρθὸν μᾶλλον καὶ ἐναγώνιον· "Κροῖσος ἦν υἱὸς μὲν Ἀλυάττου, γένος δὲ Λυδὸς, τύραννος δὲ τῶν ἐντὸς Ἅλυος ποταμοῦ ἐθνῶν· ὃς, ἀπὸ μεσημβρίας ῥέων μεταξὺ Σύρων καὶ Παφλαγόνων, εἰς τὸν Εὔξεινον καλούμενον πόντον ἐκδίδωσι πρὸς βορέαν ἄνεμον. οὗτος ὁ χαρακτὴρ οὐ πολὺ ἀπέχειν ἂν δόξειεν τοῦ Θουκυδίδου τύπου· "Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ "[f] εἰσπλέοντι τὸν Ἰόνιον κόλπον· προσοικοῦσι δὲ αὐτὴν "[g] Ταυλάντιοι βάρβαροι, Ἰλλυρικὸν ἔθνος. [h] πάλιν διαλλάξας τὴν αὐτὴν λέξιν, ἑτέραν αὐτῇ μορφὴν ἀποδώσω, τὸν τρόπον τοῦτον· "Ἀλυάττου μὲν υἱὸς ἦν Κροῖσος, γένος "δὲ Λυδὸς, τῶν ἐντὸς Ἅλυος ποταμοῦ τύραννος ἐθνῶν· "ὃς, ἀπὸ μεσημβρίας ῥέων Σύρων τε καὶ Παφλαγόνων "μεταξὺ, πρὸς βορέαν ἔξεισιν ἄνεμον εἰς τὸν καλούμενον πόντον Εὔξεινον. Ἡγησιακὸν τὸ σχῆμα τοῦτο τῆς συνθέσεως, μικρόκομψον, ἀγεννές, μαλθακόν. τούτων γὰρ τῶν λήρων [i] ἱερεὺς ἐκεῖνος ἀνὴρ, τοιαῦτα γράφων· "Ἐξ ἀγαθῆς ἑορτῆς ἀγαθὴν ἄγομεν ἄλλην. --- Ἀπὸ "Μαγνησίας εἰμὶ τῆς μεγάλης Σιπυλεύς. --- Οὐ γὰρ "[k] μικρὰν εἰς Θηβαίων ὕδωρ ἔπλυσεν ὁ Διόνυσος· [l] ἡ"δὺς μὲν γάρ ἐστι, ποιεῖ δὲ μαίνεσθαι.

Ἅλις ἔστω τῶν παραδειγμάτων. ἱκανῶς γὰρ οἴομαι πεποιηκέναι φανερὸν ὃ προὔκειτό μοι, ὅτι μείζονα ἰσχὺν ἔχει τῆς ἐκλογῆς ἡ σύνθεσις. καί μοι δοκεῖ τις

οὐκ

a Deſunt *Reg.* 1. & *Colb.* ut & καὶ ante οὐχ ἥκιστα v. 5. *b* Sequutus ſum *Grotium*, qui verſus in anapæſtos digerit. Vulgo legitur, "*Μή μοι λεπτῶν θίγγανε μύθων,* "*Ψυχή· τί περισσὰ φρονεῖς; εἰ μὴ* "*Μέλλεις σεμνύνεσθαι παρ' ὁμοίοις.* *c* Forſan legendum *μενόντων μὲν τῶν ὀνομάτων·* vel *μενόντων μὲν τῶν αὐτῶν ὀνομάτων*, ut paullo ante, *ὥστε τῆς μὲν ἐκλογῆς τῶν ὀνομάτων τῆς αὐτῆς μενούσης.* *Wolfius* legit, *ὄντων μὲν τῶν αὐτῶν ὀνομάτων.* *Sylb.* *Μενόντων γὰρ τῶν ὀνομάτων, ἀλλαττομένης δὲ τῆς συνθέσεως* &c. *Reg.* 2. *d* Varietates inſuper alias (quas Ionica forſan dialectus poſtulabat) facile quis deprehendat, modo *Dionyſium* cum *Herodoto* conferre non gravabitur. *e* Simile exemplum ex *Thucydide* habet *Demetrius*, quem vide § 45. *Upt.* *f* Mallem *ἐσπλέοντι*, ut apud *Thucydidem*, l. 1. ſub initium narrationis. *g* *Ταλάντιοι* minus recte in *Ed. Steph.* *h* Vide *Quinctilianum* hac de re diſſerentem, lib. 5. c. 4. *i* Ita & *Cicero* in *orat.* pro *P. Sextio*, eadem & voce & figura uſus: *at mihi res cum ſcurrarum locupletium ſcorto, cum ſororis adultero, cum ſtuprorum ſacerdote.* *Upt.* *k* Ellipſis eſt vocis *λιβάδα, χύσιν*, ut alius conſimilis. Forſan etiam in tribus his, ex *Hegeſia* deſumptis, periodis triplex eſt exemplum è tribus diverſis locis petitum. *Sylb.* *Μικρὰν* malit *Caſaub.* *l* Ad *ποταμὸς* ſubintellectum referri debere cenſet *Upt.*

a Γέροντα

οὐκ ἂν ἁμαρτάνειν εἰκάσας αὐτὴν τῇ Ὁμηρικῇ Ἀθηνᾷ. ἐκείνη τε γὰρ τὸν Ὀδυσσέα τὸν αὐτὸν ὄντα ἄλλοτε ἀλλοῖον ἐποίει φαίνεσθαι, τοτὲ μὲν ῥυσὸν καὶ μικρὸν καὶ αἰσχρόν,

Πτωχῷ λευγαλέῳ ἐναλίγκιον, ἠδὲ [a] γέροντι·
τοτὲ δὲ τῇ αὐτῇ ῥάβδῳ πάλιν ἐφαψαμένη,
[b] Μείζονά τ' εἰσιδέειν, καὶ πάσσονα θῆκεν ἰδέσθαι·
--------------κὰδ δὲ κάρητος
Οὔλας ἧκε κόμας ὑακινθίνῳ ἄνθει ὁμοίας.

[c] αὕτη τε, τὰ αὐτὰ λαμβάνουσα ὀνόματα, τοτὲ μὲν ἄμορφα καὶ πτωχὰ καὶ ταπεινὰ ποιεῖ φαίνεσθαι τὰ νοήματα, τοτὲ δὲ ὑψηλὰ καὶ πλούσια καὶ ἁδρὰ καὶ καλά. καὶ τοῦτῳ μάλιστα διαλλάττει ποιητής τε ποιητοῦ, καὶ ῥήτωρ ῥήτορος, τῷ συντιθέναι δεξιῶς τὰ ὀνόματα. τοῖς μὲν οὖν ἀρχαίοις ὀλίγου δεῖν πᾶσι πολλὴ [d] ἐπίδοσις ἦν αὐτοῦ· παρ' ὃ καὶ καλά ἐστιν αὐτῶν τὰ μέτρα, καὶ τὰ μέλη, καὶ οἱ λόγοι· τοῖς δὲ μεταγενεστέροις [e] οὐκέτι, πλὴν ὀλίγων· χρόνῳ δὲ ὕστερον παντάπασιν ἠμελήθη· καὶ οὐδεὶς ᾤετο δεῖν ἀναγκαῖον αὐτὸ εἶναι, οὐδὲ συμβάλλεσθαί τι τῷ κάλλει τῶν λόγων. τοιγάρτοι τοιαύτας συντάξεις κατέλιπον, οἵας οὐδεὶς ὑπομένει μέχρι κορωνίδος διελθεῖν· Φύλαρχον λέγω, καὶ Δοῦριν, καὶ Πολύβιον, καὶ Σάωνα, καὶ τὸν Καλαντιανὸν Δημήτριον, Ἱερώνυμόν τε καὶ Ἀντίλογον, καὶ Ἡρακλείδην, καὶ Ἡγησίαν Μάγνητα, καὶ ἄλλους μυρίους· ὧν ἁπάντων τὰ ὀνόματα εἰ βουλοίμην λέγειν, ἐπιλείψει με ὁ τῆς ἡμέρας χρόνος. καὶ τί δεῖ τούτους θαυμάζειν, ὅπου γε καὶ οἱ τὴν φιλοσοφίαν ἐπαγγελλόμενοι, καὶ τὰς διαλεκτικὰς ἐκφέροντες τέχνας, οὕτως εἰσὶν ἄθλιοι περὶ τὴν σύνθεσιν τῶν ὀνομάτων, ὥστε αἰδεῖσθαι καὶ λέγειν; ἀπόχρη δὲ τεκμηρίῳ χρήσασθαι τῷ λόγῳ Χρυσίππου τοῦ Στωϊκοῦ· περαιτέρω γὰρ οὐκ ἂν προβαίην. τούτου γὰρ οὔτε ἄμεινον οὐδεὶς τὰς διαλεκτικὰς τέχνας ἠκρίβωσεν, οὔτε χείρονι ἁρμονίᾳ συνταχθέντας ἐξήνεγκε λόγους τῶν ὀνόματος καὶ δόξης ἀξιωθέντων. καίτοι σπουδάζειν γέ τινες προσεποιήθησαν αὐτῶν καὶ περὶ τοῦτο τὸ μέρος, ὡς ἀναγκαῖον ὂν τῷ λόγῳ, καὶ τέχνας τινὰς ἐπέγραψαν ὑπὲρ τῆς συντάξεως τῶν τοῦ λόγου μορίων. ἀλλὰ πολύ τι [f] μᾶλλον πάντες ἀπὸ τῆς ἀληθείας ἀπεπλανήθησαν, καὶ οὐδὲ ὄναρ εἶδον τί ποτ' ἐστὶ τὸ ποιοῦν ἡδεῖαν καὶ καλὴν τὴν σύνθεσιν.

Ἔγωγ' οὖν, ὅτε διέγνων συντάττεσθαι ταύτην τὴν ὑπόθεσιν, ἐζήτουν εἴ τι τοῖς πρότερον εἴρηται περὶ αὐτῆς, καὶ μάλιστα τοῖς ἀπὸ τῆς Στοᾶς φιλοσόφοις, εἰδὼς τοὺς ἄνδρας οὐ μικρὰν φροντίδα τοῦ λεκτικοῦ τόπου πεποιημένους· δεῖ γὰρ αὐτοῖς τἀληθῆ μαρτυρεῖν. οὐδαμῇ δὲ οὐδὲν ὑπ' οὐδενὸς [g] εὑρὼν τῶν ὀνόματος ἠξιωμένων οὔτε μεῖζον οὔτε ἔλαττον [h] συναχθὲν εἰς ἣν ἐγὼ προῄρημαι πραγματείαν· ἃς δὲ

non multum ille videtur aberrare, quicunque eam Homericæ Minervæ aſſimulaverit. Nam Minerva Ulyſſem, unum eundemque hominem, alias alium videri efficit; modo rugoſum & humilem & ſordidum,

Mendico ſimilem, curas annoſque ferentia:
modo eadem ubi virga iterum contigerit,
Majorem exhibuit, præſtanti corpore firmum:
——& multo contortos orbe capillos,
Purpureo ſimiles flori, de vertice miſit.

Sic & ſtructura, verbis iiſdem ſumptis, modo informes & abjectæ ac humiles ut videantur ſententiæ, facit; modo ſublimes reddit & plenas & copioſas atque elegantes. Atque hoc illud præcipue eſt, quo poëtæ poëta præſtat, orator oratori; felici nempe verborum compoſitione. Antiquis propemodum omnibus magnæ illa res curæ fuit; quo factum eſt, ut pulcra ſint eorum carmina, verſus lyrici, & ſolutæ orationes; recentioribus vero, paucis exceptis, non adeo; ac poſtea ſequentibus temporibus omnino negligebatur; nemoque aut eam eſſe neceſſariam, aut orationis venuſtati quicquam conferre exiſtimabat. Quo fit, ut ea poſt ſe conſcripta reliquerint volumina, quæ nemo ſuſtinuerit ad coronidem uſque evolvere: Phylarchum dico, & Durim, & Polybium, & Saona, & Demetrium Calantianum, & Hieronymum, & Antilogum, & Heraclidem, & Hegeſiam Magneſſium, & ſexcentos alios; quorum omnium nomina, ſi velim recenſere, me prius diei ſpatium deficeret. Sed hos quid ego mirer, cum & illi qui philoſophiam profitentur, & artes Dialecticas conſcribunt, adeo infelices ſunt in collocandis verbis, ut etiam me pudeat dicere? Sed, ne longius abeam, dictione Chryſippi Stoici, ad hanc rem confirmandam, uti mihi ſufficit. Nam eo nemo unquam accuratius Dialecticorum diſciplinas proſecutus eſt; neque deteriori compoſitos harmonia ſermones in lucem protulit; ex iis ſcilicet, qui alicujus nominis & famæ ſunt. Et tamen eorum nonnulli hanc etiam partem, utpote quæ ad elocutionem plurimum conferat, ſe curare videri voluerunt; & quædam præcepta de partium orationis ſtructura ſcriptis ediderunt. Sed omnes quam longiſſime à rei veritate aberrarunt; ne ſomnio quidem, quod ajunt, videntes, quid tandem ſit, quod jucundam ſimul & pulcram efficiat compoſitionem.

Cum itaque ipſe decreviſſem tractatum hunc componere, quærebam an aliquid ab antiquis etiam eadem de re eſſet dictum, & præcipue à Stoicis philoſophis: novi etenim multam eos homines curam ac ſtudium in verbis explicandis inſumpſiſſe. nam æquum eſt vera de iis teſtari. Sed nihil uſpiam ab ullo eorum, quos honore aliquo dignamur, conſcriptum inveni, ſive id magnum eſſet ſive parvum, quod noſtræ huic inſtitutæ ſcriptioni accommodum judicaretur. qui vero à Chry-

a Γέροντα *Colb.* *b* *Homer.* Odyſſ. ζ. v. 229. " Τὸν μὲν Ἀθηναίη θῆκεν Διὸς ἐκγεγαυῖα " Μείζονά τ' εἰσιδέειν καὶ πάσσονα· κὰδ δὲ κάρητος " Οὔλας ἧκε κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας. Vide etiam Odyſſ. ψ. v. 157. *c* In vulgatis editionibus eſt αὐτή. noſtrum αὕτη melius congruit cum ἐκείνη quod præcedit. *Sylb.* *d* Malim ἐπιτήδευσις, ut infra §. 22. τὴν διαλεχθεῖσαν ἐπιτήδευσιν τοιαῦτα γέγονεν. Major mutatio foret, ſi legeremus ἐπιστροφή. ſed idem ſenſus, qui paullo poſt, οὐ μικρὰν φροντίδα τοῦ λεκτικοῦ τόπου πεποιημένους. pro quo §. 5. dicit πρόνοια. πολλὴ πρόνοια τοῖς ἀρχαίοις ἦν. *Sylb.* *e* Οὐκ ἔτι *Reg.* 1. *f* Deeſt *Colb.* *g* Ὁρῶν *Reg.* 1. Εὗρον *Colb.* *h* Forſan συνταχθὲν ſcribendum. *Upt.*

a Scil.

Chryſippo relicti ſunt libelli duo, qui *de Conſtructione partium orationis* inſcribuntur, nihil artis Rhetoricæ habent, ſed Dialecticæ tantum, (ut ſciunt omnes qui iſtos perlegerint) de compoſitione enunciationum, verarum & falſarum, poſſibilium & impoſſibilium, licitarum & illicitarum ac dubiarum, aliarumque hujuſmodi, quæ nullum commodum nullam utilitatem civili adferunt eloquentiæ; quo voluptas pariter & dicendi pulcritudo concilietur, ad quæ præcipue collimare debet compoſitio. ab hoc propterea me opere abſtinui. Conſideravi autem mecum in animo, * ſi quod naturale initium poſſem deprehendere; ſiquidem id in omni re & quæſtione videtur plurimum valere & fundamentum eſſe. Cum quædam itaque præcepta attigiſſem, putaremque via quadam ac ratione mihi jam res procedere; poſteaquam animadverti me alio penitus eſſe deductum, non eo autem quo mihi propoſueram & quo erat veniendum, incepto abſiſtebam. Nihil vero impedit, quo minus illam etiam attingamus diſciplinam, & rationes, eam quare omiſimus, proferamus; ne forte quiſpiam nos hæc ignorantia potius quam conſilio defugiſſe arbitretur.

Quo modo conſtruendæ ſint partes orationis.

V. VISUM eſt itaque mihi ducem naturam nobis eſſe ſequendam, & ex illius prorſus arbitrio partes orationis coaptandas. Ac primo quidem nomina verbis præponenda cenſebam, (illa rei quippe ſubſtantiam, hæc accidens tantum connotent) & natura priorem eſſe eſſentiam accidente: quemadmodum illa ſunt Homeri; *Verſutum mihi Muſa virum cane.* — & *Iram Diva cane.* — & *Sol undam exſiliit linquens.* — aliaque his ſimilia. hîc etenim præeunt nomina, ſequuntur verba. Ratio hæc probabilis, at non vera, mihi viſa eſt. alia ſiquidem exempla, apud eundem poëtam ſparſa, cujuſvis eſt oſtendere, quæ prorſus è contrario, atque hæc ſint ordinata, componuntur; nec ideo tamen aut minus pulcra aut probabilia. Quænam ergo ſunt hæc?

Audi invicta Jovis magni me filia Pallas. &,
Dicite jam Muſæ, cæleſtia tecta tenentes. &,
Par ſuperis, memor eſto tui genitoris, Achille.

His etenim locis præponuntur verba, nominibus ſubſequentibus: nec quiſquam tamen eorum ſtructuram, tanquam injucundam, poteſt incuſare. Præterea melius etiam mihi videbatur, ut verba adverbiis præponerentur: ſiquidem ita à natura comparatum eſt, ut id quod agit aut patitur prius ſit aſſidentibus; modum dico, locum, tempus, & quæ his ſimilia, quæ nos adverbia appellamus: atque hujuſmodi utebar exemplis;

Enſe ferit valide: vox horum indigna cietur.

Χρύσιππος καταλέλοιπε [a] συντάξεις διττὰς, ἐπιγραφὴν ἐχούσας ΠΕΡΙ ΤΗΣ ΣΥΝΤΑΞΕΩΣ ΤΩΝ ΤΟΥ ΛΟΓΟΥ ΜΕΡΩΝ, οὐ ῥητορικὴν θεωρίαν [b] ἐχούσας, ἀλλὰ διαλεκτικὴν, ὡς ἴσασιν οἱ τὰς βίβλους ἀνεγνωκότες, ὑπὲρ ἀξιωμάτων συντάξεως, ἀληθῶν τε καὶ ψευδῶν, καὶ δυνατῶν καὶ ἀδυνάτων, ἐνδεχομένων [c] τε καὶ μεταπιπτόντων, καὶ ἀμφιβόλων, καὶ ἄλλων τινῶν τοιουτοτρόπων, οὐδεμίαν οὔτε χρείαν οὔτ᾽ ὠφέλειαν τοῖς πολιτικοῖς λόγοις συμβαλλομένων, εἰς γοῦν ἡδονὴν ἢ κάλλος ἑρμηνείας, ὧν δεῖ στοχάζεσθαι τὴν σύνθεσιν· ταύτης μὲν τῆς πραγματείας ἀπέστην. ἐσκόπουν δὲ αὐτὸς ἐπ᾽ ἐμαυτοῦ γενόμενος, εἴ τινα δυναίμην εὑρεῖν φυσικὴν ἀφορμὴν, ἐπειδὴ παντὸς πράγματος καὶ πάσης ζητήσεως αὕτη δοκεῖ κρατίστη εἶναι [d] καὶ ἀρχή. ἁψάμενος δέ τινων θεωρημάτων, καὶ δόξας ὁδῷ τινι τὸ πρᾶγμα χωρεῖν, ὡς ἔμαθον ἑτέρωσέ ποι ταύτην ἄγουσαν ἐμὲ τὴν ὁδὸν, οὐχ ὅποι προὐθέμην καὶ ἀναγκαῖον ἦν ἐλθεῖν, ἀπέστην. κωλύει δὲ οὐδὲν ἴσως κἀκείνης ἅψασθαι τῆς θεωρίας, καὶ τὰς αἰτίας εἰπεῖν, δι᾽ ἃς ἐξέλιπον αὐτὴν, ἵνα μή με δόξῃ τις ἀγνοίᾳ παρελθεῖν αὐτὴν, ἀλλὰ [e] μὴ" προαιρέσει.

έ. ΕΔΟΚΕΙ δή μοι τῇ φύσει μάλιστα ἡμᾶς ἑπομένους οὕτω δεῖν ἁρμόττειν τὰ μόρια τοῦ λόγου, ὡς ἐκείνη βούλεται. αὐτίκα τὰ ὀνόματα ἡγούμην τάττειν πρὸ τῶν ῥημάτων· τὰ μὲν γὰρ τὴν οὐσίαν δηλοῦν, τὰ δὲ τὸ συμβεβηκός· πρότερον δὲ εἶναι τῇ φύσει τὴν οὐσίαν τῶν συμβεβηκότων· ὡς τὰ Ὁμηρικὰ ἔχει· « [f] Ἄνδρα μοι « ἔννεπε Μοῦσα πολύτροπον.-- καὶ, « [g] Μῆνιν ἄειδε Θεά. --καὶ, « [h] Ἠέλιος δ᾽ ἀνόρουσε λιπών. -- καὶ τὰ παραπλήσια τούτοις. ἡγεῖται μὲν γὰρ ἐν τούτοις τὰ ὀνόματα, ἕπεται δὲ τὰ ῥήματα. πιθανὸς ὁ λόγος, ἀλλ᾽ οὐκ ἀληθὴς ἔδοξεν εἶναί μοι. ἕτερα γοῦν παράσχοιτ᾽ ἄν τις παραδείγματα παρὰ τῷ αὐτῷ ποιητῇ κείμενα ἐναντίως συντεταγμένα, ἢ ταῦτα συντέτακται, καλά τε οὐχ ἧττον καὶ πιθανά. τίνα οὖν ἐστι ταῦτα;

[i] Κλῦθί μευ αἰγιόχοιο Διὸς τέκος Ἀτρυτώνη. καὶ,
[k] Ἔσπετε νῦν μοι Μοῦσαι ὀλύμπια δώματ᾽ ἔχουσαι. καὶ,
[l] Μνῆσαι πατρὸς σεῖο θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ.

ἐν γὰρ τούτοις ἡγεῖται μὲν ῥήματα, ὑποτέτακται δὲ τὰ ὀνόματα· καὶ οὐδεὶς ἂν αἰτιάσαιτο τὴν σύνταξιν αὐτῶν ὡς ἀηδῆ. ἔτι δὲ πρὸς τούτοις ἄμεινον ἐδόκουν εἶναι τὰ ῥήματα πρότερα τάττειν τῶν ἐπιρρημάτων· ἐπειδὴ πρότερόν ἐστι τῇ φύσει τὸ ποιοῦν ἢ πάσχον τῶν συνεδρευόντων αὐτοῖς, τρόπου λέγω, καὶ τόπου, καὶ χρόνου, καὶ τῶν παραπλησίων, ἃ δὴ καὶ καλοῦμεν ἐπιρρήματα· παραδείγμασι χρώμενος τούτοις·

[m] Τύπτε δ᾽ ἐπιστροφάδην· τῶν δὲ στόνος ὄρνυτ᾽ ἀεικής.

Ἤριπε

a Scil. περὶ τῆς συντάξεως τῶν λεγομένων δ'. itemque περὶ τῆς συντάξεως καὶ στοιχείων τῶν λεγομένων πρὸς Φίλιππον γ'. quorum meminit *Laërtius. Upt.* b Ἔχουσι legit *Idem.* c Si quis pro τε malit δὲ, ſuo fruatur judicio. *Sylb.* d Pro καὶ ἀρχὴ forſan rectius legerimus ἡ ἀρχή: eo ſcilicet loquendi genere quo infra §. 16. μεγάλη τούτων ἀρχὴ καὶ διδάσκαλος ἡ φύσις. *Sylb.* e Deeſt *Reg.* 1. & *Colb.* f *Odyſſ.* α. v. 1. g *Iliad.* α. v. 1. h *Odyſſ.* γ. v. 1. i In vulgatis *Homeri* editionibus legitur κλῦθί μοι: minus belle. Locus eſt *Odyſſ.* δ. v. 762. ſequens verſus exordium eſt *Catalogi navium.* tertius vero deſumptus eſt ex *Iliad.* ω. v. 486. *Sylb.* Primus verſus κλῦθί μευ occurrit etiam *Iliad.* ε. v. 115. ut & aliis locis, ubi μοι legitur: at *Iliad.* α. v. 37. κλῦθί μευ. *Upt.* k *Il.* β. v. 484. l *Il.* ω. v. 486. m Reperitur *Il.* φ. v. 20. & cum exigua varietate *Il.* κ. v. 483. *Odyſſ.* χ. v. 308. & *Odyſſ.* ω. v. 183. ſed ubique ſcriptum eſt ὄρνυτ᾽ ἀεικής. * Si quod ab ingenio ſubſidium nanciſci poſſem. *Schottus.*

a *Iliad.*

[a] Ἤριπε δ᾽ ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσεν.
[b] Ἐκλίνθη δ᾽ ἑτέρωσε, δέπας δέ οἱ ἔκπεσε χειρός.

ἐν ἅπασι γὰρ τούτοις ὕστερα τέτακται τῶν ῥημάτων τὰ ἐπιρρήματα. καὶ τοῦτο πιθανὸν μὲν ὡς τὸ πρῶτον, οὐκ ἀληθὲς δέ, ὡς οὐδὲ ἐκεῖνο. καὶ γὰρ δὴ καὶ ταῦτα παρὰ τῷ ποιητῇ ἐναντίως ἢ ἐκεῖνα εἴρηται·

[c] Βοτρυδὸν δὲ πέτονται ἐπ᾽ ἄνθεσιν εἰαρινοῖσι.
[d] Σήμερον ἄνδρα φάοσδε μογοστόκος Εἰλείθυια
Ἐκφανεῖ. -----

ἆρ᾽ οὖν χείρω τι γέγονε τὰ ποιήματα, ὑποταχθέντων ἐνταῦθα τοῖς ἐπιρρήμασι τῶν ῥημάτων; ἔτι καὶ [e] τάδε ᾠόμην δεῖν μὴ παρέργως φυλάττειν, ὅπως τὰ πρότερα τοῖς χρόνοις καὶ τῇ τάξει πρότερα λαμβάνηται· οἷά ἐστι ταυτί·

[f] Αὖ ἔρυσαν μὲν πρῶτα, καὶ ἔσφαξαν, καὶ ἔδειραν. καί,
[g] Λίγξε βιός, νευρὴ δὲ μέγ᾽ ἴαχεν, ἆλτο δ᾽ ὀϊστός. καί,
Σφαῖραν ἔπειτ᾽ ἔρριψε μετ᾽ [h] ἀμφίπολον βασίλεια,
Ἀμφιπόλου μὲν ἄμαρτε, βαθείῃ δ᾽ ἔμβαλε δίνῃ.

νὴ Δία, φαίη τις ἄν. ἔστι δὲ καὶ ἄλλα πολλὰ οὐχ οὕτω συντεταγμένα ποιήματα, οὐδὲν ἧττον ἢ ταῦτα καλά·

[i] Πλῆξεν ἀνασχόμενος σχίζῃ δρυός, [k] ἣν λίπε κείων.

πρότερον γάρ δήπου τὸ ἐπανατείνασθαί ἐστι τοῦ πλῆξαι. καὶ ἔτι,

[l] Ἤλασεν ἀγχίστας, πέλεκυς δ᾽ ἀπέκοψε τένοντας
Αὐχενίους.

πρῶτον γὰρ δή που προσήκει τῷ μέλλοντι τὸν πέλεκυν ἐμβάλλειν εἰς τοὺς τένοντας τοῦ ταύρου, τὸ στῆναι αὐτοῦ πλησίον. ἔτι πρὸς τούτοις καὶ ἠξίουν τὰ μὲν ὀνοματικὰ προτάττειν τῶν ἐπιθέτων· τὰ δὲ προσηγορικά, τῶν ὀνοματικῶν· τὰς δὲ [m] ἀντωνυμίας, τῶν προσηγορικῶν· ἔν τε τοῖς ῥήμασι φυλάττειν, ἵνα τὰ ὀρθὰ τῶν ἐγκεκλιμένων ἡγῆται, καὶ τὰ [n] παρεμφατικὰ τῶν ἀπαρεμφάτων, καὶ ἄλλα τοιαῦτα πολλά. πάντα δὲ ταῦτα διεσάλευσεν ἡ πεῖρα, καὶ τοῦ μηδενὸς ἄξια ἀπέφηνε. ποτὲ μὲν γὰρ ἐκ τούτων ἐγίνετο καὶ τῶν ὁμοίων αὐτοῖς ἡδεῖα ἡ σύνθεσις καὶ καλή, ποτὲ δὲ ἐκ τῶν μὴ τοιούτων, ἀλλ᾽ ἐναντίων. διὰ ταύτας μὲν δὴ τὰς αἰτίας τῆς θεωρίας ἀπέστην. ἐμνήσθην δὲ αὐτῶν καὶ νῦν, οὐχ ὡς σπουδῆς ἀξίων· καὶ τὰς διαλεκτικὰς παρεθέμην τέχνας, οὐχ ὡς ἀναγκαίας, ἀλλ᾽ ἵνα μηδεὶς δοκῶν ἔχειν τι αὐτὰς χρήσιμον εἰς τὴν παροῦσαν θεωρίαν, περὶ πολλοῦ ποιῆται εἰδέναι, θηρευθεὶς [o] ταῖς ἐπιγραφαῖς τῶν πραγματειῶν ὁμοιότητά τινα ἐχούσαις, καὶ τῇ δόξῃ τῶν συνταξαμένων αὐτάς.

[p] Ἐπάνειμι δὲ ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν, ἀφ᾽ ἧς εἰς ταῦτα ἐξέβην· ὅτι πολλὴ πρόνοια τοῖς ἀρχαίοις ἦν, καὶ ποιηταῖς καὶ συγ-

Lapſa cadit retro, vitamque exhalat in auras.
Procidit oblique; manibuſque excuſſa feruntur
Pocula.

In hiſce omnibus poſterius ordinantur verbis adverbia. Et hoc etiam veriſimile videbatur, ut & illud ſuperius, non tamen verum, uti neque id erat. etenim à poëta hæc eadem modo contrario dicta ſunt:

Vere racematim volitant per florea rura.
Maturos hodie partus quæ curat, in auras
Educet Lucina virum.

Ecquid igitur deteriores ſunt hi verſus, in quibus verba ſunt adverbiis ſubjecta? Quinetiam diligenter hæc eſſe obſervanda exiſtimabam; ut quæ tempore priora ſint, priora etiam ordine & loco ſumantur: qualia ſunt hæc;

Flexa retro eſt cervix, jugulata, & tergora rapta. &,
Dat ſtridorem arcus, nervus ſonat, acta ſagitta eſt. &,
Deinde pilam miſit celerem regina puellæ,
Nec tetigit tamen; æquoream projecit in undam.

Certiſſime, per deos, dicet aliquis. Sunt tamen verſus quam plurimi, nec eodem conſtructi ordine, qui dicendi venuſtate his nihil cedunt;

Percuſſit manibus ſublatis ſtipite querno,
Quem capiti impacto projecit vulnere porcæ.

nam prius elevanda eſt manus, quam poſſit ictus infligi. Necnon illud,

Percutit ipſe adſtans propius, nervoſq; ſecuris
Cervici abſcindit.

primum ſcilicet illi, qui ſecurim in tauri tendones immiſſurus eſt, ut propius adſtet, neceſſe eſt. Volui præterea, ut ſubſtantiva præponerentur adjectivis, appellativa ſubſtantivis, appellativis pronomina: in verbis etiam putavi obſervandum, ut tempora præſentia derivatis præirent, modi indicativi infinitivis, & cætera hujuſmodi quam plurima. Hæc vero omnia ipſa labefecit experientia, ac nullius eſſe momenti declaravit. Nam modo ex hac ſimilique verborum conſtructione, jucunda proficiſcitur & pulcra compoſitio; modo ex diverſa penitus & contraria. Propterea ob has cauſas, ſtudio hoc & contemplatione abſiſtebam. Quorum ipſe mentionem feci, non eo quidem, tanquam alicujus eſſent ponderis; arteſque adhibui dialecticas, non tanquam neceſſarias: ſed ne quis exiſtimans utile aliquid eſſe in iis ad præſentem contemplationem, multum ad eas intelligendas laboret, titulis librorum deceptus, ſimilitudinem quandam præ ſe ferentium, aut eorum adeo auctoritate, qui iſtos compoſuerint.

Ad eam jam revertor quæſtionem, à qua ad hæc dicenda digreſſus ſum: antiquos ſcilicet, tam poëtas quam hiſtoricos, tam philoſo-

Antiqui magnam ſtructuræ orationis curam habuerunt.

a *Iliad.* χ. v. 467. b *Odyſſ.* χ. v. 17. c *Iliad.* β. v. 89. d *Iliad.* τ. v. 103. e Forſan rectius ſingulare τόδε *hoc.* Sequenti certe verſu convenientius legitur τῇ τάξει πρότερα λαμβάνηται. *Sylb.* Πρότερα *Reg.* 1. & *Colb.* f *Iliad.* α. v. 459. & *Il.* ι. v. 422. g *Il.* δ. v. 125. h Ita in vulgatis *Homeri* editionibus, *Odyſſ.* ζ. v. 115. ———— μετ᾽ Ἀμφιπόλου βασιλεὺς ediderunt *Steph.* & *Sylb.* i *Odyſſ.* ξ. v. 425. κόψε δ᾽ ἀνασχόμενος. Alibi (*ſc. Antiquitatum* l. 7. p. 379. juxta *Ed. Sylb.*) legit κόψε δ᾽ ἀπαρχόμενος. k Κάλλιπε κείων *Reg.* 1. & *Colb.* l *Odyſſ.* γ. v. 449. m Ἀντωνομασίας *Colb.* n Ἀπαρεμφατικὰ τῶν παρεμφατικῶν *Reg.* 1. & *Colb.* o Cujuſmodi multas apud *Laërtium* in vita *Chryſippi* reperies. *Upt.* p Locum, unde digreſſus eſt, vide p. 9. v. 14.

philoſophos quam oratores, multum in hac eloquentiæ parte curæ adhibuiſſe. Illi etenim nec verba verbis, nec membris membra, nec periodos temere inter ſe committendas eſſe cenſuerunt. Erat autem iis quædam ars & præcepta, quorum ope ac beneficio pulcra utebantur compoſitione. Quæ autem hæc fuerint præcepta, quantum potero pro facultate ſolertiæ meæ in his rebus inquirendis, edocere conabor: nec tamen dicam omnia, ſed quæ maxime ſint neceſſaria.

Tria eſſe, quæ ad facultatem ſtruendæ orationis potiſſimum ſpectant.

VI. TRIA ſunt, ut mihi quidem videtur, quæ ſpectant ad facultatem ſtruendæ orationis: unum quidem, quid cum quo connexum pulcram ſoleat accipere & jucundam compoſitionem: alterum vero, quo pacto eorum ſingula quæ componenda ſunt nova conformatione efficiant, ut præſtantior junctura orationis videatur: tertium autem, paratis vocabulis, eorum quænam aliqua indigeant mutatione, ſive ea ablatio ſit, ſive appoſitio, ſive denique in aliam quamlibet formam traductio; necnon ad rem præſentem quibus modis aptiſſime ſingula elaborentur.

Vocum qualis connexio.

Quam vero poteſtatem eorum unumquodque habeat, à me apertius dicetur, adductis ad hæc illuſtranda exemplis quarundam artium vulgarium, quæ ſatis omnibus ſunt notæ: architecturæ naviumque fabricandarum ſcientiam dico, & quæ ſunt iſtiuſmodi. Nam cum ædificatori præſto eſt materia, ex qua domum oporteat ſtruere, lapides, ligna, tegulæ, ac id genus alia; opus demum ex his conſtituit, hæc tria ſedulo animadvertens: quali nempe cum lapide & ligno & latere qualem deceat lapidem vel lignum aut laterem componere: eorum deinde unumquodque, quæ ita aptantur, quo modo oporteat & quo in latere collocare: tertio, locari ſi quid non eſt adeo habile, frangendo recidendoque id effingere, dum loco ſuo aptum evadat. Quæ etiam à naupego ſtudioſe obſervantur. His etiam ſimilia ab iis eſſe præſtanda dico, quibus curæ eſt orationis partes bene componere. Primum itaque eorum eſt videre, quale nomen aut verbum aut cæterorum pars alia quali conjuncta ſcite ponatur, ita ut nihil ſupra: (neque enim eſt, ut omnia temere omnibus appoſita noſtras æque adficiant aures) deinde dijudicare, quo modo nomen aliquod conformatum aut verbum aut alia pars quæpiam orationis venuſtius collocetur; numero utrum ſingulari accepta an plurali meliorem obtineant ſtructuram; rectone an obliquo caſu prolata; ſi qua etiam ex maſculinis ſoleant in fœminina tranſire, aut ex fœmininis in maſculina vel neutra, atque inde præſtantiori conformatione effingantur; & cætera his ſimilia. In verbis etiam, rectane an ſupina uſui ſint commodiora; tum quibus modis prolata, (quos nonnulli verborum caſus appellant) optimam ſedem habeant; quas tandem temporum dif-

γραφεῦσι, φιλοσόφοις τε καὶ ῥήτορσι, τῆς ἰδέας ταύτης· καὶ οὔτε τὰ ὀνόματα τοῖς ὀνόμασιν, οὔτε τὰ κῶλα τοῖς κώλοις, οὔτε τὰς περιόδους ἀλλήλαις εἰκῇ συνάπτειν ᾤοντο δεῖν· τέχνη δέ τις ἦν παρ' αὐτοῖς καὶ θεωρήματα, οἷς χρώμενοι συνετίθεσαν εὖ. τίνα δὴ ἦν τὰ θεωρήματα ταῦτα πειράσομαι διδάσκειν, ὡς ἂν οἷός τε ὦ, ὅσα μοι δύναμις ἐγένετο [a] συνεξευρεῖν· οὐχ ἅπαντα λέγων, ἀλλ' αὐτὰ τὰ ἀναγκαιότατα.

ϛʹ. [b] ΔΟΚΕΙ μοι τῆς συνθετικῆς ἐπιστήμης τρία ἔργα εἶναι· ἓν μὲν, ἰδεῖν τί μετὰ τίνος ἁρμοττόμενον πέφυκε καλὴν καὶ ἡδεῖαν [c] ἀναλήψεσθαι συζυγίαν· ἕτερον δὲ, γνῶναι τῶν ἁρμόττεσθαι μελλόντων πρὸς ἄλληλα, πῶς ἂν ἕκαστον σχηματισθὲν κρείττονα φαίνεσθαι ποιήσειε τὴν ἁρμονίαν· τρίτον δὲ, τί δεῖται [d] μετασκευῆς τῶν λαμβανομένων, ἀφαιρέσεως λέγω καὶ [e] προσθήκης καὶ ἀλλοιώσεως, γνῶναί τε πῶς καὶ πρὸς τὴν μέλλουσαν χρείαν οἰκείως ἐξεργάσασθαι. τί δὲ τούτων ἕκαστον δύναται, σαφέστερον ἐρῶ, χρησάμενος εἰκόσι τῶν [f] δημιουργῶν τε τεχνῶν τισιν, ἃς ἅπαντες ἴσασιν· οἰκοδομικῇ λέγω καὶ [g] ναυτικῇ, καὶ ταῖς παραπλησίαις. ὅ, τε γὰρ οἰκοδόμος, ὅταν πορίσηται τὴν ὕλην ἐξ ἧς μέλλει κατασκευάζειν τὴν οἰκίαν, λίθους, καὶ ξύλα, καὶ κέραμον, καὶ τἄλλα πάντα, συντίθησιν ἐκ τούτων ἤδη τὸ ἔργον, τρία ταῦτα πραγματευόμενος, ποίῳ δεῖ λίθῳ τε καὶ ξύλῳ καὶ πλίνθῳ ποῖον ἁρμόσαι λίθον ἢ ξύλον ἢ πλίνθον· ἔπειτα, πῶς τῶν ἁρμοζομένων ἕκαστον καὶ [h] ἐπὶ ποίας πλευρὰς ἑδρᾶσαι· καὶ τρίτον, εἴ τι δύσεδρόν ἐστιν, ἀποκροῦσαι καὶ περικόψαι, καὶ αὐτὸ τοῦτο [i] εὔεδρον ποιῆσαι. ὅ, τε ναυπηγὸς τὰ αὐτὰ ταῦτα πραγματεύεται δή. παραπλήσιά φημι δεῖν ποιεῖν καὶ τοὺς μέλλοντας εὖ συνθήσειν τὰ τοῦ λόγου μόρια. πρῶτον μὲν, σκοπεῖν ποῖον ὄνομα ἢ ῥῆμα ἢ τῶν ἄλλων τι μορίων ποίῳ συνταχθὲν ἐπιτηδείως ἔσται κείμενον, καὶ πῶς οὐκ ἄμεινον· οὐ γὰρ δὴ πάντα γε μετὰ πάντων τιθέμενα ὁμοίως πέφυκεν διατιθέναι τὰς ἀκοάς· ἔπειτα διακρίνειν πῶς σχηματισθὲν τοὔνομα ἢ τὸ ῥῆμα, ἢ τῶν ἄλλων ὁτιδήποτε, χαριέστερον ἱδρυνθήσεται· [k] καὶ πότερον ἑνικῶς ἢ πληθυντικῶς λαμβανόμενα κρείττω λήψεται συζυγίαν· καὶ πότερον κατὰ τὴν ὀρθὴν ἐκφερόμενα πτῶσιν, ἢ κατὰ τῶν πλαγίων τινά· καὶ εἴ τινα πέφυκεν ἐξ [l] ἀρσενικῶν γίνεσθαι θηλυκὰ, ἢ ἐκ θηλυκῶν ἀρσενικὰ, ἢ οὐδέτερα, ἐκ τούτων πῶς ἂν ἄμεινον σχηματισθείη, καὶ πάντα τὰ τοιαῦτα. ἐπὶ δὲ τῶν ῥημάτων, πότερα κρείττονα ἔσται λαμβανόμενα, τὰ ὀρθὰ, ἢ τὰ ὕπτια· καὶ κατὰ ποίας ἐγκλίσεις ἐκφερόμενα, ἃς δή τινες πτώσεις ῥηματικὰς καλοῦσι, κρατίστην ἕδραν λήψεται· καὶ ποίας παρεμφαίνοντα διαφορὰς

a Ἐξευρεῖν Reg. 1. & *Colb.* b Δοκεῖ δή μοι legit *Wolfius.* c Λήψεσθαι συζυγίαν Reg. 2. & *Colb.* quo modo ſcriptum reperitur paullo infra v. 40. d Κατασκευῆς Reg. 1. & *Colb.* e Προσθέσεως Reg. 2. f Δημιουργικῶν malit *Sylb.* g Vereor ne auctor ſcripſerit ναυπηγικῇ, ut conjicere licet ex ſequentibus, ὅ, τε ναυπηγὸς &c. *Sylb.* h Rectius forſan ſingulariter ἐπὶ ποίας πλευρᾶς. *Sylb.* i Ἑδραῖον Reg. 1. & *Colb.* k Καὶ πρὸς τὰ ὑποκείμενα πρεπωδέστερον· λέγω δὲ ἐπὶ μὲν τῶν ὀνομάτων, πότερον ἑνικῶς Reg. 1. & *Colb.* Καὶ πότερα ἑνικῶς Reg. 2. l Ἀρρενικῶν & mox ἀρρενικὰ Reg. 1. & *Colb.*

φορὰς χρόνων, καὶ εἴ τινα τοῖς ῥήμασιν ἄλλα παρακολουθεῖν πέφυκε. τὰ δὲ αὐτὰ ταῦτα καὶ ἐπὶ τῶν ἄλλων τοῦ λόγου μερῶν φυλακτέον, ἵνα μὴ καθ' ἓν ἕκαστον λέγω. ἐπὶ δὲ τούτοις τὰ ληφθέντα διακρίνειν, εἴ τι δεῖ [a] μετασκευῆς ὄνομα ἢ ῥῆμα, ὡς ἂν [b] ἐναρμονιώτερόν τε καὶ εὐεδρότερον γένοιτο. τοῦτο τὸ στοιχεῖον ἐν μὲν ποιητικῇ δαψιλέστερόν ἐστιν, ἐν δὲ λόγοις πεζοῖς σπανιώτερον γίνεταί τε, καὶ ἐν τούτοις ἐφ' ὅσον ἂν ἐγχωρῇ. ὅ,τε γὰρ λέγων, "[c] Εἰς τουτονὶ τὸν ἀγῶνα, προστέθεικέ τι τῇ ἀντωνυμίᾳ γράμμα, τῆς συνθέσεως στοχαζόμενος. ἄρτιον γὰρ ἦν, "Εἰς τοῦτον τὸν ἀγῶνα, εἰπεῖν. καὶ πάλιν ὁ λέγων, "Κατιδὼν Νεοπτόλεμον τὸν ὑποκριτὴν, τῇ προσθέσει παρηύξηκε τοὔνομα· τὸ γὰρ Ἰδὼν [d] ἀπέχρη. ὅ,τε γράφων, "Μήτ' ἰδίας ἔχθρας μηδεμιᾶς ἕνεκ' [e] εἰκεῖν, ταῖς συναλοιφαῖς ἠλάττωκε [f] μόρια τοῦ λόγου, καὶ παρακέκρουκέ τινα τῶν γραμμάτων. [g] καὶ τὸ Ἐποίησεν ἀντὶ τοῦ Ἐποίησε λέγων χωρὶς τοῦ ν· καὶ Ἔγραψε ἀντὶ τοῦ Ἔγραψεν λέγων· καὶ Ἀφαιρήσομαι ἀντὶ τοῦ Ἀφαιρεθήσομαι, καὶ πάντα τὰ τοιαῦτα· ὅ,τε Χωροφιλῆσαι λέγων τὸ Φιλοχωρῆσαι, καὶ Λελύσεται λέγων τὸ Λυθήσεται, καὶ τὰ τοιουτότροπα, μετασκευάζει τὰς λέξεις, ἵνα αὐτῷ γένοιντο ἁρμοσθεῖσαι καλλίους καὶ ἐπιτηδειότεραι.

ζ. ΜΙΑ μὲν δὴ θεωρία τῆς συνθετικῆς ἐπιστήμης ἡ περὶ αὐτὰ τὰ πρῶτα μόρια καὶ στοιχεῖα τῆς λέξεως· ἑτέρα [h] δὲ, ὥσπερ καὶ κατ' ἀρχὰς ἔφαμεν, ἡ περὶ τὰ καλούμενα κῶλα, ποικιλωτέρας τε δεομένη πραγματείας καὶ μείζονος· ὑπὲρ ἧς αὐτίκα δὴ πειράσομαι λέγειν ὡς ἔχω γνώμης. καὶ γὰρ ταῦτα ἁρμόσαι πρὸς ἄλληλα δεῖ, ὡς οἰκεῖα φαίνεσθαι καὶ φίλα· καὶ σχηματίσαι ὡς ἂν ἐνδέχεται κράτιστα, προσκατασκευάσαι τε, εἴ πού τι δέοι, μειώσει καὶ πλεονασμῷ, καὶ εἰ δή τινα ἄλλην κατασκευὴν δέχεται τὰ κῶλα. τούτων δὲ ἕκαστον ἡ πεῖρα αὐτὴ διδάσκει. πολλάκις γὰρ τουτὶ μὲν τὸ κῶλον, τούτου προτεθὲν, ἢ ἐπὶ τούτῳ τεθὲν, εὐστομίαν τινὰ ἐμφαίνει καὶ σεμνότητα· ἑτέραν δέ τινα συζυγίαν λαβὸν, ἄχαρι φαίνεται καὶ ἄσεμνον. ὃ δὲ λέγω, σαφέστερον ἔσται, εἴ τις αὐτὸ ἐπὶ παραδείγματος ἴδοι. ἔστι δή τις παρὰ τῷ Θουκυδίδῃ λέξις ἐν τῇ Πλαταιέων δημηγορίᾳ πάνυ χαριέντως συγκειμένη καὶ μεστὴ πάθους, ἥδε· "Ὑμεῖς τε, ὦ Λακεδαιμόνιοι, ἡ μόνη ἐλπὶς [i] δέδιμεν μὴ οὐ βέβαιοι ἦτε. φέρε δή τις λύσας τὴν συζυγίαν ταύτην, μεθαρμοσάτω τὰ κῶλα οὕτως· "Ὑμεῖς τε, ὦ Λακεδαιμόνιοι, δέδιμεν μὴ οὐ βέβαιοι ἦτε, ἡ μόνη ἐλπίς. ἆρ' ἔτι μένει, τοῦτον τὸν τρόπον ἡρμοσμένων τῶν κώλων, ἡ αὐτὴ χάρις, ἢ τὸ αὐτὸ πάθος; οὐδεὶς ἂν εἴποι. τί δαὶ εἰ τὴν Δημοσθένους λέξιν ταύτην; "[k] Τὸ λαβεῖν οὖν τὰ δεδομένα ὁμολογῶν ἔννομον εἶναι, τὸ τούτων χά-

ferentias indicantia; ac ſi quod aliud ulterius ſit quod verbis ſoleat accidere. Hæc vero in cæteris quoque orationis partibus ſunt obſervanda, ne mihi de ſingulis neceſſe ſit dicere. Præterea quæ ſumuntur vocabula, diſcernant ea oportet, ſi quod ex iis aut nomen aut verbum mutatione indigeat, quo jucundius in oratione & æquabilius collocetur. Cujus quidem principii in poëtica frequentior occurrit uſus, in ſoluta vero oratione rarior; quatenus ſcilicet licuerit. Nam qui εἰς τουτονὶ τὸν ἀγῶνα dixit, unam dedita opera pronomini appoſuit literam, ſtructuræ ratione habita: integrum enim eſſet, εἰς τοῦτον τὸν ἀγῶνα dixiſſe. Rurſum quum ſcribit, κατιδὼν Νεοπτόλεμον τὸν ὑποκριτὴν, verbum appoſitione auxit; etenim ἰδὼν ſufficeret. Et qui illud ſcripſit, μήτ' ἰδίας ἔχθρας μηδεμιᾶς ἕνεκ' εἰκεῖν, duplici vocalium eliſione contraxit orationis partes, & quaſdam propria de ſede literas depulit. Et qui ἐποίησεν pro ἐποίησε ſine ν dicit, & ἔγραψε pro ἔγραψεν, & ἀφαιρήσομαι pro ἀφαιρεθήσομαι, & quæ his ſimilia. Sic qui χωροφιλῆσαι eodem uſurpat ſenſu quo φιλοχωρῆσαι, & λελύσεται quo λυθήσεται, ac alia hujuſmodi: eo fine dictiones ille conformat, ut ſuo quæque loco poſitæ ornatiores inde ſibi atque habiliores evadant.

VII. HÆC itaq; prima eſt commentatio, quæ ad facultatem componendi pertinet; quæ quidem primas circa partes atque elementa verſatur orationis. Altera vero, ut initio dixi, in membris (ita enim vocantur) occupata, fuſiorem multo plenioremque tractationem requirit; de qua quid ſentiam mox conabor dicere. Hæc etenim inter ſe ita ſunt connectenda, ut cognata videantur & amica: deinde, quantum fieri poteſt, modo ſunt præſtantiſſimo conformanda, adornandaque, ſicubi opus fuerit, auctione & diminutione, aut alio quopiam apparatu, ſi quem membra admittant: quæ ſingula, ipſa nos docet experientia. Fit enim ſæpe, ut hoc illi membrum præpoſitum aut ſubjectum quiddam ſonet rotundius, ac præ ſe ferat gravitatem: ſin aliam accipiat juncturam, ingratum prorſus videatur atque ignobile. Id quod dico, dilucidius apparebit, ſi quis in exemplo idem hoc intuitus fuerit. Eſt quædam apud Thucydidem in concione Platæenſium oratio, eleganter admodum conſtructa & plena affectus, nempe hæc: "Quinetiam, Lacedæmonii, veremur ne vos, unica ſpes noſtra, parum conſtantes ſitis. Age vero, hanc ſi quis conſtructionem ſolvat, & membra ſic componat; "Quinetiam, Lacedæmonii, veremur ne vos parum conſtantes ſitis, unica ſpes noſtra. adhuc eadem manebit gratia, idem etiam affectus, hoc modo membris diſpoſitis? nemo id dixerit. Quid vero, ſi hæc quoque Demoſthenis locutio *ſumatur*? "Beneficia igitur accipere legitimum eſſe confiteris; gratiaſque ob accepta rependere,

Membrorum quæ ſit ſtructura.

a Κατασκευῆς *Reg.* 1. & *Colb.* b Malet fortaſſe quiſpiam ἐναρμονιώτερον, ut mox ſequitur εὐεδρότερον. *Sylb.* c Locus deſumptus eſt ex initio orationis *Demoſthenis*, περὶ Στεφάνου. Vide *Quinctilianum*, l. 9. c. 4. *Upt.* d Ἀπέχρησεν *Colb.* e Reponendum ἥκειν ex *Demoſthene*, ſub initium orationis adverſus *Ariſtocratem*. *Upt.* f Articulum τὰ ante μόρια excidiſſe ſuſpicatur *Id.* g Locus hic triplici metaplaſmo (mutatione, additione, & tranſpoſitione) ſic videtur interpolandus, καὶ ὁ Ἐποίησεν ἀντὶ τοῦ Ἐποίησε λέγων, μετὰ τοῦ ν. καὶ Ἔγραψε ἀντὶ τοῦ ἔγραψεν, χωρὶς τοῦ ν. καὶ Ἀφαιρ. ut ſcilicet omnia hæc nominativa referantur ad unum verbum μετασκευάζει, quod ſequitur. *Sylb.* Καὶ ὅ,τε Ἐποίησε ἀντὶ τοῦ Ἐποίησεν λέγων &c. *Colb.* h Deeſt *Reg.* 1. & *Colb.* i In vulgatis exemplaribus eſt δεδίαμεν. Ego cum *Stephano* δέδιμεν repoſui ex *Thucydide*, lib. 3. *Sylb.* k Sumpta ſunt hæc ex oratione *Demoſthenis* περὶ Στεφάνου §. λς'. atque interrogative proferenda ſunt, ut apud *Demoſthenem* exſtant. *Upt.*

a Παρὰ

“ pendere, id quaſi legibus contrarium re- “ prehendis. Si quis immutaverit, & tranſpoſitis membris hoc modo protulerit, “ Confi- “ teris igitur legitimum eſſe accipere benefi- “ cia; & quaſi legibus id eſſet contrarium, “ reprehendis gratias ob accepta rependere. num rebus erit forenſibus æque apta atque contorta? equidem non arbitror.

Membrorum ac dictionis conformatio.

VIII. AC hujuſmodi ea quidem eſt diſciplina, quæ membris aptandis occupatur: qualis vero iſta, quæ in eorundem conformatione verſatur? Non unus eſt dictionum proferendarum modus: nam quædam declarantes eloquimur, quædam dubitantes; alia interrogantes, alia precantes; hæc præcipientes, illa pro conceſſo ſumentes dicimus; alia porro aliis exprimentes figuris: quibus, ut aptam habeat oratio conformationem, operam damus. Multæ autem figuræ dictionis ſunt, quemadmodum & mentis, ita ut ſummatim comprehendi nequeant, ne dicam eſſe infinitas: quas adeo fuſius tractare, ſermonis eſſet copioſi ac ſcientiæ profundioris. Jam vero eandem non habet poteſtatem idem membrum, alio atque alio modo conformatum: id quod exemplo oſtendam. Si ſententiam hanc Demoſthenes hoc modo protuliſſet: “ His dictis, legem ſcri- “ pſi; ſcripta, legationem obii; obita legatio- “ ne, perſuaſi Thebanis. adeone eſſet venuſte conſtructa oratio, uti jam conſtruitur? “ Nec “ hæc dixi quidem, ſed non ſcripſi; nec ſcripſi “ quidem, ſed non obii legationem; nec obii “ quidem, ſed non perſuaſi Thebanis. Longa ſane mihi eſſet oratio, ſi vellem omnia figurarum genera, quas membra admittunt, recenſere. Sufficit introductionis gratia iſta dixiſſe.

Membrorum ornatus.

IX. VERUM enimvero quod varios ornatus quædam recipiunt membra, aſſumptis modo adjectionibus ad mentem ſcriptoris aperiendam non ita neceſſariis, modo ablationibus, quæ ſenſum loci reddant imperfectum; (quæ ambo non aliam ob cauſam faciunt tam ligatæ quam ſolutæ orationis ſcriptores, niſi ut jucundior inde evadat harmonia atque elegantior) breviſſimo mihi opus eſſe ſermone arbitror. Quis enim non fateatur, locutionem hanc Demoſthenis adjectione haud neceſſaria abundare, idque ſtructuræ ſolummodo gratia? “ Qui etenim, quibus ego ca- “ piar, ea agit & inſtruit: is bellum mecum “ gerit; etſi me nondum vel jaculis vel ſagit- “ tis inceſſerit. Quod cum eſſet brevius quam oportuerit, nec auditu jucundum, adjectione hac multo factum eſt venuſtius. Præterea & Platonis illam periodum, qua uſus eſt in *Laudatione funebri* vir ille *admirabilis*, expletione dictionis quis non dicat haud neceſſaria eſſe cumulatam? “ Rebus ſiquidem be- “ ne geſtis, ex ipſo verborum ornatu, ad eos “ qui geſſerunt, apud auditores memoria pe- “ rennis ſplendorque provenit. Nihil eſt neceſſe cur id dicatur, niſi ut ultimum hoc membrum (τοῖς πράξασι,) æquale ſit, & reſpondeat illis, quæ ſuperius ſunt dicta. Quod au-

“ ριν ἀποδοῦναι, [a] παρανόμων γραφή. εἰ λύσας τις, καὶ μεταθεὶς τὰ κῶλα τοῦτον τὸν τρόπον ἐξενέγκαι, “ Ὁμολογῶν οὖν ἔννομον εἶναι τὸ λαβεῖν τὰ διδόμε- “ να, παρανόμων γραφὴ τὸ τούτων χάριν ἀποδοῦναι. [b] ἆρ' ὁμοίως ἔσται δικανικὴ καὶ στρογγύλη; ἐγὼ μὲν οὐκ οἴομαι.

η'. Η μὲν δὴ περὶ τὴν ἁρμονίαν τῶν κώλων θεωρία τοιαύτη· ἡ δὲ περὶ τὸν σχηματισμὸν ποταπή; [c] οὐκ ἔστιν εἷς τρόπος [d] τῆς ἐκφορᾶς τῶν ὀνομάτων, ἀλλὰ τὰ μὲν ὡς ἀποφαινόμενοι λέγομεν, τὰ δὲ ὡς διαποροῦντες, τὰ δὲ ὡς πυνθανόμενοι, τὰ δὲ ὡς εὐχόμενοι, τὰ δὲ ὡς ἐπιτάττοντες, τὰ δὲ ὡς ὑποτιθέμενοι, τὰ δὲ ἄλλως πως σχηματίζοντες· οἷς ἀκολούθως καὶ τὴν λέξιν πειρώμεθα σχηματίζειν. πολλοὶ δὲ δή που σχηματισμοὶ καὶ τῆς λέξεώς εἰσιν, ὥσπερ καὶ τῆς διανοίας· οὓς οὐχ οἷόν τε κεφαλαιωδῶς περιλαβεῖν· ἴσως δὲ καὶ ἄπειροι, περὶ ὧν πολὺς ὁ λόγος, καὶ βαθεῖα ἡ θεωρία. οὐ δὴ τὸ αὐτὸ δύναται ποιεῖν τὸ αὐτὸ κῶλον οὕτω σχηματισθὲν, ἢ οὕτως. ἐρῶ δὲ ἐπὶ παραδείγματος. εἰ τοῦτον ἐξήνεγκε τὸν τρόπον ὁ Δημοσθένης τὴν λέξιν ταύτην· “ Ταῦτα εἰπὼν ἔγραψα, γράψας δ' ἐπρέσ- “ βευσα, πρεσβεύσας δ' ἔπεισα Θηβαίους. ἆρ οὕτως ἂν συνέκειτο χαριέντως, ὡς νῦν σύγκειται; “ [f] Καὶ οὐκ “ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδ' ἔγραψα μὲν, “ οὐκ ἐπρέσβευσα δέ· οὐδ' ἐπρέσβευσα μὲν, οὐκ ἔπει- “ σα δὲ Θηβαίους. πολὺς ἂν εἴη μοι λόγος, εἰ περὶ πάντων βουλοίμην λέγειν τῶν σχηματισμῶν ὅσους τὰ κῶλα ἐπιδέχεται. ἀπόχρη δὲ εἰσαγωγῆς ἕνεκα τοσαῦτα εἰρῆσθαι.

θ'. ΑΛΛΑ μὴν ὅτι γε καὶ μετασκευὰς δέχεται τῶν κώλων ἔνια, ποτὲ μὲν προσθήκας λαμβάνοντα οὐκ ἀναγκαίας ὡς πρὸς τὸν νοῦν, ποτὲ δὲ ἀφαιρέσεις ἀτελῆ ποιούσας τὴν διάνοιαν· ἃς οὐκ ἄλλου τινὸς ἕνεκα ποιοῦσι ποιηταί τε καὶ συγγραφεῖς, ἢ τῆς ἁρμονίας, ἵν' ἡδεῖα καὶ καλὴ γένοιτο· πάνυ ὀλίγου δεῖν οἴομαι λόγου. τίς γὰρ οὐκ ἂν ὁμολογήσαι τήνδε τὴν λέξιν, ἣν ὁ Δημοσθένης εἴρηκε, προσθήκῃ πλεονάζειν οὐκ ἀναγκαίᾳ τῆς ἁρμονίας ἕνεκα; [g] “ Ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην, ταῦ- “ τα πράττων καὶ κατασκευαζόμενος, [h] οὗτος ἐ- “ μοὶ πολεμεῖ, [i] κἂν μήπω βάλλῃ, μηδὲ τοξεύῃ. βραχύτερον τοῦ δέοντος ὂν καὶ οὐχ ἡδὺ ἀκουσθῆναι, τῇ προσθήκῃ ταύτῃ γεγένηται χαριέστερον. καὶ ἔτι τὴν Πλατωνικὴν ἐκείνην περίοδον, ἣν ἐν ΤΩ ΕΠΙΤΑΦΙΩ ὁ ἀνὴρ γράφει, τίς οὐκ ἂν φαίη παραπληρώματι λέξεως οὐκ ἀναγκαίῳ προσηρανίσθαι; “ Ἔργων “ γὰρ εὖ πραχθέντων λόγῳ καλῶς ῥηθέντι μνή- “ μη καὶ κόσμος γίνεται τοῖς πράξασι παρὰ τῶν “ ἀκουσάντων. πρὸς οὐδὲν ἀναγκαῖον λέγεται, ἀλλ' ἵνα τὸ τελευταῖον κῶλον τὸ, Τοῖς πράξασι, πάρισόν τε καὶ ἐφάμιλλον τοῖς πρὸ αὐτοῦ γένηται. τί δὲ

δὴ

a Παρὰ νόμον, paſſim *Reg.* 1. *b* Οὐχ ὁμοίως ἔσται δικανικὴ καὶ στρογγύλη ἡ περίοδος *Reg.* 2. *c* Vide *Quinctilian.* l. 6. c. 3. *Upt.* *d* Deeſt *Reg.* 1. & *Colb.* *e* Νοημάτων *Reg.* 2. *f* Ex oratione pro *Cteſiphonte.* *g* Ex *Philippica* III. *h* Malet fortaſſe quiſpiam adverbium οὕτως, *ſic, hac ratione.* *Sylb.* Sed non opus eſt emendatione: nam in pronomine major emphaſis, vulgatamque ſcripturam agnoſcunt *Demoſthenis* exemplaria. *Upt.* *i* Laudat hæc verba *Quinctil.* l. 9. c. 4. *Idem.*

a Λέξεως

δὴ τὸ παρ' Αἰσχίνῃ λεγόμενον τουτί; "[a] Ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς. τρίκωλον ἐν τοῖς πάνυ ἐπαινούμενον, οὐχὶ τῆς αὐτῆς ἰδέας ἔχεται; ὃ γὰρ οἷόν τε ἦν ἑνὶ κώλῳ περιληφθῆναι τόνδε τὸν τρόπον· "Ἐπὶ σεαυτὸν καὶ τοὺς νόμους καὶ τὴν δημοκρατίαν καλεῖς· τοῦτο εἰς τρία διήρηται, τῆς αὐτῆς λέξεως, οὐ τοῦ ἀναγκαίου ἕνεκα, τοῦ δὲ ἡδίω ποιῆσαι τὴν ἁρμονίαν, πολλάκις τεθείσης, καὶ προσέσει πάθος τῷ λόγῳ. τῆς μὲν δὴ προσθέσεως, ἣ γίνεται τοῖς κώλοις, οὗτος ὁ τρόπος· τῆς δὲ ἀφαιρέσεως τίς; ὅταν τῶν ἀναγκαίων τι λέγεσθαι λυπεῖν μέλλῃ καὶ διοχλεῖν τὴν ἀκρόασιν, ἀφαιρεθὲν δὲ χαριεστέραν [b] ποιεῖ τὴν ἑρμηνείαν· οἷάπερ ἐστὶν ἐν τοῖς μέτροις τὰ Σοφόκλεια ταυτί·

Μύω τε καὶ δέδορκα, [c] κἀξανίσταμαι,
Πλεῖον φυλάσσων αὐτὸς, ἢ φυλάσσομαι.

ἐνταῦθα γὰρ ὁ δεύτερος στίχος ἐκ δυοῖν σύγκειται κώλων. τελεία γὰρ ἂν ἡ λέξις ἦν οὕτως ἐξενεχθεῖσα, "Πλέον φυλάσσων αὐτὸς ἑτέρους, ἢ φυλασσόμενος ὑφ' "ἑτέρων· τὸ δὲ μέτρον ἠδίκητο, καὶ οὐκ ἂν εἶχεν ἣν νυνὶ χάριν ἔχει. ἐν δὲ [d] τοῖς" πεζοῖς λόγοις τὰ τοιαῦτα· "[e] Ἐγὼ δ' ὅτι μέν τινων [f] κατηγορῶντα, πάντας ἀ"φαιρεῖσθαι τὴν ἀτέλειαν, τῶν ἀδίκων ἐστὶν, ἐάσω. μεμείωται γὰρ κἀνταῦθα τῶν δυοῖν κώλων ἑκάτερον· αὐτοτελῆ δ' ἂν ἦν, εἰ ταῦτα οὕτως ἐξήνεγκεν· "Ἐγὼ "δ' ὅτι μέν τινων κατηγοροῦντα, ὡς οὐκ ἐπιτηδείων "ἔχειν τὴν ἀτέλειαν, πάντας ἀφαιρεῖσθαι καὶ τοὺς "δικαίως αὐτῆς τυχόντας, τῶν ἀδίκων ἐστὶν, ἐάσω. ἀλλ' οὐκ ἐδόκει τῷ Δημοσθένει πλείονα ποιεῖσθαι λόγον τῆς ἀκριβείας τῶν κώλων, ἢ τῆς εὐρυθμίας.

Ταῦτα δὲ εἰρήσθω μοι περὶ τῶν καλουμένων περιόδων· καὶ γὰρ [g] ταύταις χρὴ ταῖς τε προηγουμέναις καὶ ταῖς ταύταις ἑπομέναις, οἰκείως συναρμόττειν, ὅταν ἐν ταῖς περιόδοις προσήκῃ τὸν λόγον ἐκφέρειν. οὐ γὰρ πανταχῇ γε τὸ ἐμπερίοδον χρήσιμον. καὶ αὐτὸ δὲ τοῦτο τὸ θεώρημα τῆς συνθετικῆς ἐπιστήμης ἴδιον, πότε δεῖ χρῆσθαι περιόδοις, καὶ μέχρι πόσου, καὶ πότε μή.

ι'. ΔΙΩΡΙΣΜΕΝΩΝ δή μοι τούτων, ἀκόλουθον ἂν εἴη τὸ λέγειν, τίνα ἐστὶν ὧν δεῖ στοχάζεσθαι τὸν βουλόμενον συντιθέναι τὴν λέξιν εὖ, καὶ διὰ τίνων θεωρημάτων τυγχάνοι τις ἂν ὧν βούλεται. δοκεῖ δέ μοι δύο ταῦτα εἶναι τελικώτατα, ὧν ἐφίεσθαι δεῖ τοὺς συντιθέντας εὖ μέτρα τε καὶ λόγους, ἥ τε ἡδονὴ καὶ τὸ καλόν. ἀμφότερα γὰρ ἐπιζητεῖ ταῦτα ἡ ἀκοὴ, ὅμοιόν τι πάσχουσα τῇ ὁράσει· καὶ γὰρ ἐκείνη πλάσματα, καὶ γραφὰς, καὶ γλυφὰς, καὶ ὅσα δημιουργήματα χειρῶν ἀνθρωπίνων ὁρῶσα, ὅταν εὑρίσκῃ τό, θ' ἡδὺ ἐνὸν αὐτοῖς καὶ τὸ καλὸν, ἀρκεῖται, καὶ οὐδὲν ἔτι ποθεῖ. καὶ μὴ παράδοξον

tem ad id dicam, quod ab Æſchine prolatum eſt? "Contra teipſum vocas, contra le"ges vocas, contra democratiam vocas. Trimembris oratio in primis celebrata, ejuſdem nonne formæ affinis eſt? Quod enim unico poſſet concludi membro, hoc modo; "Contra teipſum & leges & democratiam vo"cas: id in tria diducitur, eadem dictione, non alicujus neceſſitatis gratia ſed ut jucundior evadat orationis ſtructura, ſæpius repetita; quo factum eſt, ut ei affectus etiam concilietur. Atque hæc quidem adjectionis eſt ratio, quæ membris accidit: quænam vero eſt ablationis? Cum quiddam ſcilicet ex iis, quæ neceſſario ſunt dicenda, moleſtia poſſet afficere & perturbare audientiam: idem ablatum venuſtiorem multo elocutionem reddit. qualia ſunt è verſibus hæc Sophoclea;

Conniveo, conſpicio, conſurgo quoque;
Nec ſervor aliis ipſe, quam ſervo magis.

Hic enim verſus ſecundus ex duobus conſtat membris, nam perfecta eſſet locutio, ſi hoc modo efferretur; "Magis & ipſe alios ſervo, "quam ab aliis ſervor: atqui metrum inde violaretur, nec eam habuiſſet gratiam, quam nunc habet. Ex ſoluta vero oratione hæc: "Enimvero ne dicam quantum cum æquitate "pugnet, ut, dum unum accuſas, omnes im"munitate ſpoliatos velis. Imminutum enim eſt hîc duorum membrorum utrumque: eſſent autem abſoluta, ſi ſic protuliſſet; "Enimvero "ne dicam quantum cum æquitate pugnet, ut "dum unum accuſas, ut indignos qui immu"nitate fruantur, omnes, etiam eos qui juſte "*conſecuti ſunt, ſpoliatos velis.* Atqui non viſum eſt Demoſtheni, majorem rationem habere membrorum, ea ut exacte eſſent plena, quam ut numeroſe procederent.

Hæc de periodis, ut vocantur, dicta ſunto: nam & eas quæ præcedunt & quæ conſequuntur ſibi ipſis accommodatas aptare oportet, quandocunque per periodos oratio erit efferenda. Neque enim in omni loco utilis eſt dictio periodica. Iſta vero pertinet diſquiſitio ad facultatem orationis componendæ: ubi ſcilicet, quatenus, ubi non, utendæ ſint periodi.

X. QUIBUS adeo ſic definitis, conſequi videtur, ut ea jam dicamus, quæ ſibi proponere neceſſe habeat, qui pulcra compoſitione ornare ſtudet orationem; ac quibus præceptis inſtitutiſque eadem, quæ animo deſignat, aſſequatur. Videntur autem mihi duo præcipua eſſe iis expetenda, quibus curæ eſt orationem bene ornateque componere, ſeu ligatam ſeu ſolutam, *voluptatem* ſcilicet & *pulcritudinem*. Noſtræ etenim aures, ſimile quiddam cum oculis paſſæ, hæc utraque efflagitant: nam dum imagines, picturam ullam, aut ſtatuam, aut ſi qua alia artificum opera oculi intuentur, jucunditate ſimul & pulcritudine in iis reperta acquieſcunt illico, nec quicquam amplius requirunt. Nemo autem hoc

In compoſitione quæ præcipue ſpectanda.

præter

a Λέξεως σχῆμα ἐκ τῆς ἀναφορᾶς inquit *Demetrius*, (§. 281. 282.) hæc ipſa *Æſchinis* verba ex oratione contra *Cteſiphontem* proferens. *Upt.* *b* In ποιεῖ mutatus eſt verbi modus. regula poſtulat ſubjunctivum ποιῇ. *Sylb.* *c* Κἀξανίσταμαι legit *Grotius* in *Excerptis*, p. 144. Καὶ ξυνίσταμαι *Reg.* 1. & *Colb.* *d* Deeſt *Reg.* 1. & *Colb.* *e* Ex initio orationis contra *Leptinen.* *f* In quibuſdam *Demoſthenis* exemplaribus, κατηγοροῦντας, πάντα ἀφαιρεῖσθαι τὴν δωρεὰν, τῶν ἀδικούντων &c. In aliis vero, κατηγοροῦντα, πάντας ἀφαιρεῖσθαι τὴν δωρεὰν, τῶν ἀδικούντων &c. *g* Legendum puto, καὶ γὰρ ταύταις χρὴ ταῖς τε προηγουμέναις καὶ ταῖς ταύταις ἑπομέναις οἰκείως συναρμόττειν. *Upt.*

* Forſan

præter omnium opinionem eſſe arbitretur, ſi duos faciam fines, & à voluptate ſejungam pulcritudinem: neque adeo abſurdum putet, ſi quaſdam orationes jucunde conſtructas eſſe ſtatuam, non autem pulcre; pulcre quaſdam, ſed injucunde. Ipſa etenim hoc probat veritas; nec quicquam novi molior. Thucydidis ſiquidem oratio, & Antiphontis Rhamnuſii, pulcre per deos, ſi quæ alia, ſed parum jucunde compoſita eſt: Cteſiæ autem Cnidii hiſtorici, & Xenophontis Socratici dictio, quam maxima quidem jucunditate; non tamen ea, qua oportuerit, pulcritudine. Hæc quæ dico, in communi velim, non univerſim accipiantur: ſiquidem non pauca in iis ſcriptoribus & ſuavi, & in his pulcra compoſitione conſtructa poſſint inveniri. At Herodoti dictio utraſque has continet virtutes: eſt enim & jucunda & pulcra.

Quæ ſuavem & pulcram orationem conſtituant.

XI. SUNT autem quatuor, ut arbitror, quæ plurimum conducunt, & præcipuam poteſtatem habent, ad orationem & jucundam & pulcram conſtituendam; modulatio, numerus, mutatio, &, quod hæc tria conſequitur, decorum. Sub voluptate venuſtatem pono, gratiam, ſtylum uberem, ſuavitatem, facultatemque perſuadendi, & cætera iſtiuſmodi: ſub pulcritudine, magnificum illud dicendi genus, grave & ſeverum, dignitate ac ſuadela plenum, & quæ his ſimilia. Hæc enim mihi videntur eſſe validiſſima, atque cæterorum quodammodo capita, in utroque genere. Atque adeo ea ſunt, quæ ſibi omnes habent propoſita, quicunque carmina, verſus lyricos, vel ſolutam ſerio conſcribunt orationem: nec ſcio equidem, an aliud præterea quidpiam reſtet. Multi autem ſunt ac præſtantiſſimi viri, qui & in ſingulis & utroque egregie primas meruerunt. Exempla vero utrorumque ſigillatim in præſentia afferre, non hujus eſt loci, ne his diutius immorantes tempore abuti videamur; tum ſi quid forte de iis dicendum, allatiſque opus fuerit teſtimoniis, aliud erit tempus aptius, cum formas ſtructuræ dicendique characteras aggrediar delineare: nunc vero de iis hæc ſufficiat dixiſſe. Redeo jam ad diviſionem illam à me ante conſtitutam de jucunda compoſitione & pulcra, ut curſu mihi, quid dicitur, rectiori procedat oratio.

Dixi itaque oblectari aures noſtras, primum modulatione, deinde numeris, tertio permutationibus; ac, præcipue ſupra hæc omnia, decoro. Vera autem me hæc dicere, ipſa teſtis erit experientia; quam arguere poteſt nemo, ut communibus animorum affectibus temere aſſentientem. Quis enim eſt, qui non ab hoc cantu ducitur, & quadam demulcetur faſcinatione, ab alio autem nihil tale perſentit? qui numeris hiſce non lenitur, illis turbatus offenditur? Quin egomet & in frequentiſſimis theatris, omnigena & illiterata turba plenis, viſus ſum mihi didiciſſe, naturalem quandam eſſe nobis cognationem ad ſuavem nu-

ἡγήσηταί τις, εἰ δύο ποιῶ τέλη, καὶ χωρίζω τὸ καλὸν ἀπὸ τῆς ἡδονῆς· μηδὲ ἄτοπον εἶναι νομίσῃ, εἴ τινα ἡγοῦμαι λέξιν ἡδέως μὲν συγκεῖσθαι, μὴ καλῶς δέ· ἢ καλῶς μὲν, [a] οὐ μὴν καὶ ἡδέως· φέρει γὰρ ἡ ἀλήθεια τὸ τοιοῦτο, καὶ οὐδὲν ἀξιῶ καινόν. [b] ἡ δέ τοι Θουκυδίδου λέξις, καὶ ἡ Ἀντιφῶντος τοῦ Ῥαμνουσίου, καλῶς μὲν σύγκειται νὴ Δία, εἴπερ τινὲς καὶ ἄλλαι, οὐ μὴν ἡδέως γε πάνυ· ἡ δέ γε τοῦ Κνιδίου συγγραφέως Κτησίου, καὶ ἡ τοῦ Σωκρατικοῦ Ξενοφῶντος, ἡδέως μὲν ὡς ἔνι μάλιστα, οὐ μὴν καλῶς γε ἐφ᾽ ὅσον ἔδει. λέγω δὲ κοινότερον, ἀλλ᾽ οὐχὶ καθάπαξ· ἐπεὶ καὶ παρ᾽ ἐκείνοις ἥρμοσταί τινα ἡδέως, καὶ παρὰ τούτοις καλῶς. ἡ δὲ Ἡροδότου σύνθεσις ἀμφότερα ταῦτα ἔχει· καὶ γὰρ ἡδεῖά ἐστι καὶ καλή.

ια΄. ΕΞ ὧν δὲ οἴομαι γενήσεσθαι λέξιν ἡδεῖαν καὶ καλὴν, τέτταρά ἐστι τὰ κυριώτατα ταῦτα καὶ κράτιστα, μέλος, καὶ ῥυθμὸς, καὶ μεταβολὴ, καὶ τὸ παρακολουθοῦν τοῖς τρισὶ τούτοις πρέπον. τάττω δὲ ὑπὸ μὲν τὴν ἡδονὴν, τὴν ὥραν, καὶ τὴν χάριν, καὶ τὴν εὐστομίαν, καὶ τὴν γλυκύτητα, [c] καὶ τὸ πιθανὸν, καὶ πάντα τὰ τοιαῦτα· ὑπὸ δὲ τὸ καλὸν, [d] τὴν μεγαλοπρέπειαν, καὶ τὸ βάρος, καὶ τὴν σεμνολογίαν, καὶ τὸ ἀξίωμα, καὶ τὸ πιθανὸν, καὶ τὰ τούτοις ὅμοια. ταυτὶ γάρ μοι δοκεῖ κυριώτατα εἶναι, καὶ ὡσπερεὶ κεφάλαια τῶν ἄλλων ἐν ἑκατέρῳ. ὧν μὲν οὖν στοχάζονται πάντες οἱ σπουδῇ γράφοντες μέτρον ἢ μέλος, [e] ἢ τὴν λεγομένην λέξιν, ταῦτ᾽ ἐστί· καὶ οὐκ οἶδα εἴ τι παρὰ ταῦθ᾽ ἕτερον· οἱ δὲ πρωτεύσαντες ἐν ἑκατέρῳ τε καὶ ἐν ἀμφοτέροις, πολλοί τε καὶ ἀγαθοὶ ἄνδρες. [f] παραδείγματα δὲ ἀμφοῖν καθ᾽ ἑκάστους φέρειν ἐν τῷ παρόντι οὐκ ἐγχωρεῖ, ἵνα μὴ περὶ ταῦτα κατατρίψω τὸν λόγον· καὶ ἅμα εἴ τι λεχθῆναι περί τινος αὐτῶν καθήκει, καὶ δεήσει που μαρτυριῶν, ἕτερος αὐτοῖς ἔσται καιρὸς ἐπιτηδειότερος, ὅταν τοὺς χαρακτῆρας τῶν ἁρμονιῶν ὑπογράφω. νῦν δὲ ταῦτα εἰρῆσθαι περὶ αὐτῶν ἀπόχρη. ἐπάνειμι δὲ πάλιν ἐπὶ τὰς διαιρέσεις, ἃς ἐποιησάμην τῆς θ᾽ ἡδείας συνθέσεως καὶ τῆς καλῆς, ἵνα μοι καθ᾽ ὁδὸν, ὥς φασι, χωρῇ ὁ λόγος.

Ἔφην δὲ τὴν ἀκοὴν ἥδεσθαι [g] πρώτοις μὲν τοῖς μέλεσιν, ἔπειτα τοῖς ῥυθμοῖς, τρίτον ταῖς μεταβολαῖς· ἐπὶ δὲ τούτοις ἅπασι, τῷ πρέποντι. ὅτι δὲ ἀληθῆ λέγω, τὴν πεῖραν αὐτὴν παρέξομαι μάρτυρα, ἣν οὐχ οἷόν τε διαβάλλειν τοῖς κοινοῖς πάθεσιν ὁμολογουμένην. τίς γάρ ἐστιν ὃς οὐχ ὑπὸ μὲν ταύτης τῆς μελῳδίας ἄγεται καὶ γοητεύεται, ὑφ᾽ ἑτέρας δέ τινος οὐδὲν πάσχει τοιοῦτον; καὶ ὑπὸ μὲν τούτων τῶν ῥυθμῶν οἰκειοῦται, ὑπὸ δὲ τούτων διοχλεῖται; ἤδη δ᾽ ἔγωγε καὶ ἐν τοῖς πολυανθρωποτάτοις θεάτροις, ἃ συμπληροῖ παντοδαπὸς καὶ ἄμουσος ὄχλος, ἔδοξα καταμαθεῖν ὡς φυσική τις ἐστὶν ἁπάντων ἡμῶν οἰκειότης πρὸς εὐμέλειάν τε

καὶ

a Forſan aliquis malet οὐ μὴν ἡδέως γε, ut mox v. 8. ſed ſimilis locutio eſt etiam apud *Ariſtot.* Polit. 40. 18. *Sylb.* b Ἡ γέ τοι *Reg.* 1. Ἡ γάρ τοι *Reg.* 2. c Comma iſtud, καὶ τὸ πιθανὸν, *Wolfius* in ſuo libro lineis incluſit: forſan quod ei ſuperfluum videretur. *Sylb.* d Τήν τε μεγαλοπρέπειαν *Reg.* 1. & 2. e Ἡ τὴν λεγομένην πεζὴν λέξιν *Reg.* 1. & *Colb.* f Παραδείγματα δὲ αὐτῶν καθ᾽ ἑκάστην φέρειν *Reg.* 1. Παραδείγματα δὲ αὐτοῖ καθ᾽ ἕκαστον φέρειν οὐκ ἐγχωρεῖ *Colb.* g Dubito an πρῶτον legendum; cum ἔπειτα mox ſequatur, & deinde τρίτον. *Upt.*

a Nota

καὶ εὐρυθμίαν, κιθαριστήν τε ἀγαθὸν σφόδρα εὐδοκιμοῦντα ἰδὼν θορυβηθέντα ὑπὸ τοῦ πλήθους, ὅτι μίαν χορδὴν ἀσύμφωνον ἔκρουσε, καὶ ἔφθειρε τὸ μέλος· καὶ αὐλητήν, [a] κατὰ τῆς ἄκρας ἕξεως χρώμενον τοῖς ὀργάνοις, καὶ αὐτὸ τοῦτο παθόντα, ὅτι [b] ἀσυμφώνως ἐμπνεύσας, ἢ μὴ πιέσας τὸ στόμα, θρυλισμὸν ἢ τὴν καλουμένην ἐκμέλειαν ηὔλησε. καίτοι εἴ τις κελεύσειε τὸν ἰδιώτην τούτων τι, ὧν ἐνεκάλει τοῖς τεχνίταις ὡς ἡμαρτημένων, αὐτὸν ποιῆσαι λαβόντα τὰ ὄργανα, οὐκ ἂν δύναιτο. τί δή ποτε; ὅτι τοῦτο μὲν ἐπιστήμης ἐστίν, ἧς οὐ πάντες μετειλήφαμεν· ἐκεῖνο δέ, πάθους, ὃ πᾶσιν ἀπέδωκεν ἡ φύσις.

[c] Τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ῥυθμῶν γινόμενον, ἐθεασάμην ἅμα πάντας ἀγανακτοῦντας καὶ δυσαρεστουμένους, ὅτε τις ἢ κροῦσιν, ἢ κίνησιν, ἢ φωνὴν ἐν ἀσυμμέτροις ποιήσαιτο χρόνοις, καὶ τοὺς ῥυθμοὺς ἀφανίσειεν. καὶ οὐχὶ τὰ μὲν εὐμελῆ καὶ εὔρυθμα ἡδονῆς μεστά ἐστι, καὶ πάντες ὑπ᾽ αὐτῶν κηλούμεθα· αἱ μεταβολαὶ δὲ καὶ τὸ πρέπον οὐκ ἔχουσι τὴν αὐτὴν ὥραν καὶ χάριν, οὐδ᾽ ὑπὸ πάντων ὁμοίως [d] διακούονται. ἀλλὰ κἀκεῖνα [e] πάνυ κηλεῖ πάντας ἡμᾶς κατορθούμενα, καὶ εἰς πολλὴν ὄχλησιν ἄγει ἁμαρτανόμενα· [f] τίς γὰρ οὐκ ἂν ὁμολογήσειε; τεκμαίρομαι δὲ ὅτι καὶ τῆς ὀργανικῆς μούσης, καὶ τῆς ἐν ᾠδαῖς γοητείας, καὶ τῆς ἐν ὀρχήσει χάριτος ἐν ἅπασι διευστοχούσης, μεταβολὰς δὲ μὴ ποιησαμένης εὐκαίρους, ἢ τοῦ πρέποντος ἀποπλανηθείσης, βαρὺς μὲν ὁ κόρος, ἀηδὲς δὲ τὸ μὴ τοῖς ὑποκειμένοις ἁρμόττον ἐφάνη. καὶ οὐκ ἀλλοτρίᾳ κέχρημαι τοῦ πράγματος εἰκόνι. μουσικὴ γάρ τις ἦν καὶ ἡ τῶν πολιτικῶν λόγων ἐπιστήμη, [g] τῷ ποσῷ διαλλάττουσα τῆς ἐν ᾠδαῖς καὶ ὀργάνοις, οὐχὶ τῷ ποιῷ. καὶ γὰρ ἐν ταύτῃ καὶ μέλος ἔχουσιν αἱ λέξεις, καὶ ῥυθμόν, καὶ μεταβολήν, καὶ πρέπον· ὥστε καὶ ἐπὶ ταύτης ἡ ἀκοὴ τέρπεται μὲν τοῖς μέλεσιν, ἄγεται δὲ τοῖς ῥυθμοῖς, ἀσπάζεται δὲ τὰς μεταβολάς, ποθεῖ δ᾽ ἐπὶ πάντων τὸ οἰκεῖον· [h] ἡ δὲ διαλλαγὴ κατὰ τὸ μᾶλλον καὶ ἧττον.

Διαλέκτου μὲν οὖν μέλος ἑνὶ μετρεῖται διαστήματι [i] τῷ λεγομένῳ Διὰ πέντε, ὡς ἔγγιστα· καὶ οὔτε ἐπιτείνεται πέρα τῶν τριῶν [k] τόνων καὶ ἡμιτονίου ἐπὶ τὸ ὀξύ, οὔτε ἀνίεται τοῦ χωρίου τούτου πλεῖον ἐπὶ τὸ βαρύ. οὐ μὴν ἅπασά γε ἡ λέξις ἡ καθ᾽ ἓν μόριον λόγου [l] ταττομένη [τῆς αὐτῆς λέγεται τάσεως· ἀλλ᾽ ἡ μὲν ἐπὶ τῆς ὀξείας, ἡ δὲ] ἐπὶ τῆς βαρείας, ἡ δὲ ἐπ᾽ ἀμφοῖν· τῶν δὲ ἀμφοτέρας τὰς τάσεις ἐχουσῶν αἱ μέν, κατὰ μίαν συλλαβὴν συνεφθαρμένον ἔχουσι τῷ ὀξεῖ τὸ βαρύ, ἃς δὴ περισπωμένας καλοῦμεν· [m] αἱ δέ, ἐν ἑτέρῳ τε καὶ ἑτέρῳ χωρὶς ἑκάτερον ἐφ᾽ ἑαυτοῦ τὴν οἰκείαν [n] φυλάττον

meroſæ modulationis concentum: citharœdum etiam admodum clarum vidi exploſum à multitudine, quod unicam chordam male pulſaſſet, carmenque corrupiſſet: item tibicinem, quantum ex arte poſſit utentem inſtrumentis, id ipſum paſſum, incongruenter quod inſpirans, vel os non comprimens, * murmur quoddam inconcinnum & modulandi artificio adverſum edidiſſet. Et ſane, ſi quis juſſerit idiotam ſumpto inſtrumento ea, quæ in artificibus culpabat, ipſe facere; profecto nequeat. Quapropter? Quoniam hoc quidem eſt ſcientiæ, cujus omnes participes non ſumus; illud vero eſt cujuſdam affectionis animi, quam omnibus natura conceſſit.

Quod idem † rythmis etiam accidit. vidi una omnes in theatris indignari & ægre ferre, cum quis pulſum, aut motum, aut vocem ſuo non diſtinctam intervallo ediderat, numeroſque obſcurarat Quæ igitur apta ſunt modulatione & numero, non poſſunt non eſſe jucundiſſima, & noſmet plurimum oblectare: ſed mutationes & decorum fortaſſe parem non habent venuſtatem & gratiam, nec eodem animi affectu ab omnibus exaudiuntur. Imo vero hæc recte facta magna nos omnes voluptate perfundunt; eademq; cum peccati aliquid acciderit, in perturbationem ſolent conjicere. quod omnes fateantur neceſſe eſt. Hoc autem inde colligo, quod tam ex ea quæ nervis intendatur muſa, quam ex melicorum verſuum lenocinio, ſaltationiſque gratia, ſi tempeſtivis non utantur mutationibus, aut à decoro aberraverint, etſi in aliis feliciter adminiſtrata, gravis quidem oritur ſatietas, nec minor moleſtia, quod ſubjectæ rei parum videantur congrua. Nec ſimilitudine à re uſus ſum aliena. Eſt enim muſica quædam & civilium orationum ſcientia: differt autem ab ea quæ ad cantum inſtrumentaque pertinet, quantitate, non qualitate. hac etenim in ſcientia admittunt dictiones modulationem, numerum, mutationem, & decorum: ita ut ibi etiam concentu delectentur aures noſtræ, rapiantur numeris, varietatem amplectantur, atque adeo ſuper omnia deſiderent quod proprium eſt & naturale. fit autem differentia, ratione quantitatis intenſæ remiſſæve habita.

In communi ſermone vocis modulatio uno ut plurimum menſuratur intervallo, dicto *diapente*: ita ut neque plus tribus tonis cum dimidio intendatur ad acutum, neque majori diſtantia ad gravem accentum deprimatur. Nec vero omnis dictio, quæ una ſcilicet orationis particula effertur, ejuſdem intenſionis eſſe dicitur: ſed alia gravem, alia acutam, alia vero utramque recipit. Quæ vero utramque intenſionem admittunt, earum nonnullæ in una ſyllaba commiſtum habent cum acuto gravem, qui vocantur accentus circumflexi; quædam alio atque alio loco ſeorſim utrumque habent, qui propriam per ſe poteſtatem conſer-

a Nota hic κτ̀ in ſignificatione τ̃ μετά. *Sylb.* *b* Ἀσύμφωνον *Colb.* ut paullo ſupra v. 3. *c* Hic nominativus abſolute poni videtur, vel poſt γινόμενον verbum ἐστὶ ſubaudiendum. cujuſmodi ſententia paullo infra occurrit p. 18. v. 27. τὸ δὲ αὐτὸ γίνεται καὶ περὶ τοὺς ῥυθμούς. Nos autem, commate poſt γινόμενον ſublato, punctum reponendum cenſemus. *Upt.* *d* Διοικοῦνται *Colb.* *e* Πάντα *Reg.* 1. *f* Illa τίς γὰρ οὐκ ἂν ὁμολογήσειε deſiderantur in *Reg.* 1. & *Colb.* *g* Vide *Ariſtoxeni* Harmonica, l. 1. p. 3. *h* Verba hæc, ἡ δὲ διαλλαγὴ κτ̀ τὸ μᾶλλον καὶ ἧττον, in textum *Dionyſii* aliunde irrepſiſſe exiſtimat *Bircovius.* *h* Τῶν λεγομένων *Colb.* *k* Deeſt *Colb.* *l* Ita reſtitui ex auctoritate *Codd. Reg.* 1. & *Colb.* Prius erat ταττομένη ἐπὶ τῆς βαρείας. ἡ δὲ ἐπ᾽ ἀμφοῖν. quod ſuppleri voluit *Sylburgius*, inſerendo ἡ μὲν ante ἐπὶ τῆς. *m* Αἱ δὲ ἑτέραι τε καὶ ἑτέραι χωρὶς *Reg.* 1. & *Colb.* *n* Φυλάττοντα *Colb.*
* *Al.* murmur & ſuſurrum ederet, aut eam quam vocamus diſſonantiam accineret. † *Al.* numeris.

conſervant. Et quidem in diſyllabis, nullus in medio locus eſt aut gravi aut acuto accentui; ſed in polyſyllabis, qualeſcunque tandem fuerint, una eſt, inter multos graves, quæ acutum habet accentum. Quæ vero fidibus & lyricorum inſtrumentis aptatur muſa, intervallis utitur pluribus, nec intra *diapente* ſubſiſtit: ſed ſumpto à *diapaſon* initio, per *diapente* concinit, & *diateſſaron*, & extentum illud genus, *diatonon* dictum, atque *ſemitonium*, ac ipſam ſenſili etiam, ut quidam putant, *dieſin* diſcrimine. Dictiones præterea concentui ſubmittendas poſtulat, non autem dictionibus concentum; quod cum ex multis aliis apparet, tum præcipue ex hoc Euripidis cantico, quo fecit in *Oreſte* ut ad chorum uteretur Electra:

Tacite, tacite, candidum ſoleæ veſtigium
Ponite, ſtrepitum ne edite.
Procul abite hinc, procul à lecto.

Nam in his, Σῖγα, σῖγα, λευκὸν uno vocis ſono proferuntur; tres illæ licet dictiones, ſuas unaquæque, tam acutas quam graves, habeant intenſiones. Et vox ἀρβύλης præterea, eundem & in media & tertia ſyllaba tonum habet: etſi fieri minime poteſt, ut una dictio duos habeat acutos. Quin & vocabuli τίθετε, prima gravior eſt ſyllaba; duæ autem quæ ſequuntur, acutum habent accentum, eundemque ſolum. Hujus etiam κτυπεῖτε circumflexus obſcuratur; una etenim ſyllabæ duæ extenſione proferuntur. Atque illud denique ἀποπρόβατ᾽ mediæ ſyllabæ acutum accentum non recipit, ſed in quartam uſque ſyllabam tertiæ rejicitur intenſio. Quod idem ſolet etiam numeris accidere. nam oratio ſoluta neque nominis neque verbi ullius tempora, vi illata, perturbat: ſed & longas & breves ſyllabas, ſicuti à natura acceperit, eaſdem conſervat. Has vero rythmicorum & muſicorum ſcientia minuendo augendoque immutat, ita ut ſæpiſſime in contraria deventum ſit. etenim ſyllabis non exigit tempora, ſed temporibus ſyllabas.

Oſtenſa jam differentia, qua Muſica diſcrepat à ſermone communi, reſtat ut ea quoque à nobis dicantur; *ſc.* quod vocis modulatio, (non quæ in cantu verſatur, dico, ſed quæ in nuda & ſoluta oratione) etiamſi auribus noſtris ſe ſuaviter inſinuat, canora jure vocari poſſit, non autem cantus: quæ vero in partium orationis temporibus, habita proportione, ad menſuram verſuum lyricorum ſe exigit, numeroſa itidem, non tamen numeris adſtricta. Quænam vero ſit earum differentia, ſuo dicetur loco. Sed jam ſequentia mihi curæ erit exponere; qualis *nempe* verborum compoſitio aptari debeat civili dictioni, ut ea tum vocum modulatione, tum numerorum æqualitate, tum variis mutationibus, & decoro rei ſubjectæ accommodato, auribus jucundam afferat delectationem. Hæc enim mihi capita dicenda propoſui.

φύσιν. καὶ ταῖς μὲν δισυλλάβοις οὐδὲν τὸ διὰ μέσου χωρίον [a] βαρύτητός τε καὶ ὀξύτητος· ταῖς δὲ πολυσυλλάβοις, [b] οἷαί ποτ᾽ ἂν ὦσιν, ἡ τὸν ὀξὺν τόνον ἔχουσα μία ἐν πολλαῖς βαρείαις ἔνεστιν. ἡ δὲ ὀργανική τε καὶ ᾠδικὴ μοῦσα, διαστήμασί τε χρῆται πλείοσιν, οὐ τῷ διὰ πέντε μόνον, ἀλλ᾽ ἀπὸ τοῦ διὰ πασῶν ἀρξαμένη, καὶ τὸ διὰ πέντε μελῳδεῖ, καὶ τὸ διὰ τεσσάρων, καὶ τὸ διάτονον, καὶ τὸ ἡμιτόνιον, ὡς δέ τινες οἴονται, καὶ τὴν δίεσιν αἰσθητῶς. τάς τε λέξεις τοῖς μέλεσιν ὑποτάττειν ἀξιοῖ, καὶ οὐ τὰ μέλη ταῖς λέξεσιν, ὡς ἐξ ἄλλων τε πολλῶν δῆλον, καὶ μάλιστα τῶν Εὐριπίδου μελῶν, ἃ πεποίηκε τὴν Ἠλέκτραν λέγουσαν ἐν ΟΡΕΣΤΗ πρὸς τὸν χορόν·

[c] Σῖγα, σῖγα, [d] λευκὸν ἴχνος ἀρβύλης
Τίθετε, μὴ κτυπεῖτε.------
[e] Ἀποπρόβατ᾽ ἐκεῖσ᾽ ἀποπρό μοι κοίτας.

ἐν γὰρ δὴ τούτοις, τὸ Σῖγα, σῖγα, λευκὸν ἐφ᾽ ἑνὸς φθόγγου μελῳδεῖται, καίτοι τῶν τριῶν λέξεων ἑκάστη βαρείας τε τάσεις ἔχει καὶ ὀξείας. [f] καὶ τὸ Ἀρβύλης ἐπὶ μέσῃ συλλαβῇ τὴν τρίτην ὁμότονον ἔχει, ἀμηχάνου ὄντος ἓν ὄνομα δύο λαβεῖν ὀξείας. καὶ τοῦ Τίθετε βαρυτέρα μὲν ἡ πρώτη γίνεται, δύο δὲ μετ᾽ αὐτὴν ὀξύτονοί τε καὶ ὁμόφωνοι. τοῦ Κτυπεῖτε ὁ περισπασμὸς ἠφάνισται· μιᾷ γὰρ αἱ δύο συλλαβαὶ λέγονται τάσει. καὶ τὸ Ἀποπρόβατ᾽ οὐ λαμβάνει τῆς μέσης συλλαβῆς προσῳδίαν ὀξεῖαν, ἀλλ᾽ ἐπὶ τὴν τετάρτην συλλαβὴν καταβέβηκεν ἡ τάσις τῆς τρίτης. τὸ δ᾽ αὐτὸ γίνεται καὶ περὶ τοὺς ῥυθμούς. ἡ μὲν γὰρ πεζὴ λέξις οὐδενὸς οὔτε ὀνόματος οὔτε ῥήματος βιάζεται τοὺς χρόνους, οὐδὲ μετατίθησιν· ἀλλ᾽ οἵας παρείληφε τῇ φύσει τὰς συλλαβάς, τάς τε μακρὰς καὶ τὰς βραχείας, τοιαύτας φυλάττει. ἡ δὲ ῥυθμικὴ καὶ μουσικὴ μεταβάλλουσιν αὐτὰς μειοῦσαι καὶ αὔξουσαι, ὥστε πολλάκις εἰς τἀναντία μεταχωρεῖν· οὐ γὰρ ταῖς συλλαβαῖς ἀπευθύνουσι τοὺς χρόνους, ἀλλὰ τοῖς χρόνοις τὰς συλλαβάς.

Δεδειγμένης δὴ τῆς διαφορᾶς, ἣ διαφέρει μουσικὴ λογικῆς, λοιπὸν ἂν εἴη κἀκεῖνα λέγειν, ὅτι τὸ μὲν τῆς φωνῆς μέλος, λέγω δὲ οὐ τῆς ᾠδικῆς ἀλλὰ τῆς ψιλῆς, κἂν ἡδέως διατιθῇ τὴν ἀκοήν, εὐμελὲς λέγοιτ᾽ ἄν, ἀλλ᾽ οὐκ ἐμμελές· ἡ δ᾽ ἐν τοῖς χρόνοις τῶν μορίων συμμετριάζουσα τὸ μελικὸν σχῆμα, εὔρυθμος, ἀλλ᾽ οὐκ ἔνρυθμος. [g] πῇ δὲ διαφέρουσιν ἀλλήλων, ταῦτα κατὰ τὸν οἰκεῖον καιρὸν ἐρῶ. νυνὶ δὲ τὰ ἀκόλουθα ἀποδοῦναι πειράσομαι, πῶς ἂν γένοιτο λέξις πολιτικὴ [h] παρὰ τὴν σύνθεσιν, ἡδύνουσα τὴν ἀκρόασιν, κατά τε τὰ μέλη τῶν φθόγγων, καὶ κατὰ τὰς συμμετρίας τῶν ῥυθμῶν, καὶ κατὰ τὰς ποικιλίας τῶν μεταβολῶν, καὶ κατὰ τὸ πρέπον τοῖς ὑποκειμένοις· ἐπειδὴ ταῦτα ὑπεθέμην τὰ κεφάλαια.

[a] Οὐχ

a Βαρύτητός τε *Colb.* b Εἰ καί ποτ᾽ ἂν ὦσιν *Reg.* 1. & *Colb.* c Σῖγα, Σῖγα in vulgatis exemplaribus. Periſpomenως malui ex *MS. Bodlejano* & optimis *Euripidis* editionibus. d Λεπτὸν in *Vulgatis* & *MS. Bodl.* e Uno (ut hîc) verſu in *MS. Bodl.* & *Editis* pleriſque. *Al.* duobus verſiculis, Ἀποπρόβατ᾽ ἐκεῖ — σ᾽, ἀπόπροθι κοίτας. In *Editis* etiam & *MS. Bodl.* & *Reg.* 1. & *Colb.* ἀπὸ (vel ἄπο) πρόβατ᾽ & ἀπὸ (vel ἄπο) πρό μοι. f Καὶ τὸ ἀρβύλης ἔτι legendum cenſet *Upt.* g Πῇ δὲ διαφέρει ταῦτα, κατὰ τὸν &c. *Colb.* h Παρ᾽ αὐτὴν τὴν *Reg.* & *Colb.*

a Con-

ιβ'. [a]ΟΥΧ ἅπαντα πέφυκε τὰ μέρη τῆς λέξεως ὁμοίως διατιθέναι τὴν ἀκοήν, ὥσπερ οὐδὲ τὴν ὁρατικὴν αἴσθησιν τὰ ὁρατὰ πάντα, οὐδὲ τὴν γευστικὴν τὰ γευστά, οὐδὲ τὰς ἄλλας αἰσθήσεις τὰ κινοῦντα ἑκάστην. ἀλλὰ καὶ γλυκαίνουσί τινες αὐτὴν ἦχοι καὶ πικραίνουσι, καὶ τραχύνουσι καὶ λεαίνουσι, καὶ πολλὰ ἄλλα πάθη ποιοῦσι περὶ αὐτήν. αἰτία δὲ ἥ τε τῶν γραμμάτων φύσις ἐξ ὧν ἡ φωνὴ συνέστηκε, πολλὰς καὶ διαφόρους ἔχουσα δυνάμεις, καὶ ἡ τῶν συλλαβῶν πλοκὴ παντοδαπῶς σχηματιζομένη. τοιαύτην δὴ δύναμιν ἐχόντων τῶν τῆς λέξεως μορίων, ἐπειδὴ μεταθεῖναι τὴν ἑκάστου φύσιν οὐχ οἷόν τε, λείπεται τῇ μίξει καὶ κράσει καὶ παραθέσει συγκρύψαι τὴν παρακολουθοῦσαν αὐτῶν τισιν ἀτοπίαν, τραχέσι λεῖα μισγοντα, καὶ σκληροῖς μαλακά, καὶ κακοφώνοις εὔφωνα, καὶ δυσεκφόροις εὐπρόφορα, καὶ βραχέσι μακρά, καὶ τἄλλα τὸν αὐτὸν τρόπον εὐχαρίτως συντιθέντα, καὶ μήτε ὀλιγοσύλλαβα πολλὰ ἑξῆς λαμβάνοντα· κόπτεται γὰρ ἡ ἀκρόασις· μήτε πολυσύλλαβα πλείω τῶν ἱκανῶν, μηδὲ δὴ ὁμοιότονα τοῖς ὁμοιοτόνοις, μηδ' ὁμοιόχρονα τοῖς ὁμοιοχρόνοις. χρὴ δὲ καὶ τὰς πτώσεις τῶν ὀνοματικῶν ταχὺ μεταλαμβάνειν· μηκυνόμεναι γὰρ ἔξω τοῦ μετρίου πάνυ [c]προσίστανται ταῖς ἀκοαῖς· καὶ τὴν ὁμοιότητα διαλύειν· συνεχῶς ὀνομάτων τινῶν ἑξῆς [d]τιθεμένων πολλῶν ῥημάτων, καὶ τῶν ἄλλων μερῶν, τὸν κόρον [e]φυλαττόμενον σχήμασί τε μὴ τοῖς αὐτοῖς [f]διαμένειν, ἀλλὰ θαμινὰ μεταβάλλειν· καὶ τρόπους μὴ τοὺς αὐτοὺς ἐπεισφέρειν, ἀλλὰ ποικίλλειν· μηδὲ δὴ ἄρχεσθαι πολλάκις ἀπὸ τῶν αὐτῶν, μηδὲ λήγειν εἰς τὰ αὐτά, ὑπερτείνοντα τὸν ἑκατέρου καιρόν.

Καὶ μηδεὶς οἰηθῇ με καθάπαξ ταῦτα παραγγέλλειν, ὡς ἡδονῆς αἴτια διὰ παντὸς ἐσόμενα, ἢ τοὐναντίον ὀχλήσεως· οὐκ οὕτως ἀνόητός εἰμι· οἶδα γὰρ ἐξ ἀμφοῖν γινομένην πολλάκις ἡδονήν, ποτὲ μὲν ἐκ τῶν ἀνομοίων, ποτὲ δὲ ἐκ τῶν ὁμογενῶν· ἀλλ' ἐπὶ πάντων οἴομαι δεῖν τὸν [g]καιρὸν ὁρᾶν· οὗτος γὰρ ἡδονῆς καὶ ἀηδίας κράτιστον μέτρον. καιροῦ δὲ οὔτε ῥήτωρ οὐδεὶς οὔτε φιλόσοφος [h]εἰς τόδε χρόνου τέχνην ὥρισεν· οὐδ' ὅσπερ [i]πρῶτος ἐπεχείρησε περὶ αὐτοῦ γράφειν Γοργίας ὁ Λεοντῖνος, οὐδ' ὅ,τι λόγου ἄξιον ἔγραψεν· οὐδὲ ἔχει φύσιν τὸ πρᾶγμα εἰς καθολικὴν καὶ ἔντεχνόν τινα περίληψιν πεσεῖν· οὐδ' ὅλως ἐπιστήμῃ θηρατός ἐστιν ὁ καιρός, ἀλλὰ δόξῃ. ταύτην δὲ οἱ μὲν ἐπὶ πολλῶν καὶ πολλάκις γυμνάσαντες, ἄμεινον τῶν ἄλλων εὑρίσκουσιν· οἱ δὲ ἀνάσκητον ἀφέντες, [k]σπανιώτερον καὶ ὥσπερ ἀπὸ τύχης.

Quæ compoſitione oratio civilis audientibus grata ſit & jucunda.

XII. NON omnes à natura ſolent orationis partes eadem ratione auditum afficere; ſicuti neque viſum ea omnia, quæ adſpectu ſentiuntur; neque guſtandi facultatem, quæ guſtu percipi poſſunt; nec alios ſenſus, quæ ſingulos eorum movent: etenim ex ſonis alii deliniunt, alii etiam exacerbant aures noſtras, ſuaque aſperitate perſtringunt, alii molliunt, & varios omnino affectus excitant. Cujus rei cauſa eſt, tam literarum natura è quibus vox conſtituitur, quæ multas variaſque poteſtates habet, quam multiplex ſyllabarum copulatio diverſis modis conformata. Cum eam itaque vim habeant orationis partes, nec in noſtra poteſtate ſit earum naturas immutare, ſupereſt, ut miſtura & temperata poſitione ac ſitu aſperitatem, earum nonnullis quæ videtur ineſſe, occultemus; levia miſcentes aſperis, duris mollia, ſonora male ſonantibus, prolatu facilia difficilioribus, longa brevibus, cæteraque omnia pari ratione concinne componentes; ut neque paucarum ſyllabarum dictiones multas ordine aſſumamus, (nam inde offenduntur aures) neque plures ex polyſyllabis, quam neceſſe ſit, aut quæ ſunt ejuſdem accentus aut temporum ſimilium. Quin & nominum caſus ſubinde oportet correptos dare: nam plus æquo producti in longitudinem graviſſime auribus obſtrepunt. ſimilia etiam ne occurrant cavendum eſt, multis inter ſe nominibus ordine, aut verbis, reliquiſve orationum partibus temere conjectis, vitandæ ſatietatis gratia. Nec iiſdem loquendi formulis immorandum, ſed eas ſubinde mutare debemus; nec iiſdem continuo, ſed variis figuris utendum eſt; neque principia ſunt ab iiſdem ſæpius ſumenda, nec in ſimilia deſinendum, obſervata utriuſque opportunitate.

Nemo autem arbitretur me hæc in univerſum præcipere, tanquam perpetuo eſſent delectationem vel moleſtiam allatura: non ſum adeo demens. novi enim ex utriſque conflatam voluptatem, modo ex diſſimilibus, modo ſimilibus. Sed rerum opportunitatem præcipue advertendam eſſe cenſeo. eſt enim ſuavitatis & aſperitatis menſura optima. Nec tamen aut rhetorum quiſquam aut philoſophorum huc uſque opportunitatis artem definivit: neque ipſe Gorgias Leontinus, qui primus de ea ſcribere aggreſſus eſt, quicquam alicujus momenti protulit: neque ita ſane res eſt à natura, ut in generalem poſſit atque artificioſam comprehenſionem cadere: neque omnino ſcientia percipi poteſt opportunitas, ſed opinione. Qua in re quicunq; diu & frequentiſſime ſe exercuerunt, eam aliis multo felicius adinveniunt: dum ii è contra, qui inexercitatam omiſere, longe rarius, idque non niſi fortuito, aſſequuntur.

Ut

a Conjunctionis ellipſis ſimilis ſupra quoque notata eſt ad §. 2. Η συνθέσις ἐστι. Pro ſequenti autem ὁμοίως in *Aldina Editione* ſpatium eſſe vacuum, propter tachygraphicum compendium à librariis ignoratum, adnotat *Henricus Stephanus* Schediaſmatum libro 2. cap. 14. Idem de aliis tribus locis ibidem adnotat: quorum primus exſtat infra, §. 14. δυνάμει δὲ οὐχ ὁμοίως κινεῖν τὴν ἀκοὴν ἅπαντα. ſecundus, §. 15. πλὴν οὐχ ὁμοίως. tertius, §. 15. οὐχ ὁμοίως αὐτὰ συντιθέμενα. Rurſum eandem *Editionem Aldinam* eo in loco qui ſupra exſtat §. 6. (*ſc.* Οὐ γὰρ δὴ πάντα γε μετὰ πάντων πεφυκόμενα ὁμοίως πέφυκεν διατιθέναι τὰς ἀκοάς) pro ὁμοίως habere οὖν, per ejuſdem compendii ignorationem, adnotat ibidem idem *Stephanus*. *Sylb.* b Πλείω τῶν ἱκανῶν *Colb.* Vide *Quinctilian.* l. 9. c. 4. c Προΐστανται *Colb.* d Rectius forſan τιθεμένων, πολλάκις ῥημάτων &c. ſeu τιθεμένων πολλῶν, ῥημάτων τε καὶ τῶν &c. *Upt.* Paullo aliter legiſſe videtur *Bircovius*, dum vertit: *ſimilitudo etiam eſt diſſolvenda inter aliquot continuata nomina, aut verbis aut aliis partibus orationis conjectis, ut ſatietas evitari poſſit.* e Φυλαττομένους *Reg.* 1. & 2. f Forſan legendum ἐνδιαμένειν *Sylb.* g Vide *Quinctilian.* lib. 11. c. 1. h Εἰς τὸ λέγειν τέχνην ὥρισεν *Reg.* 1. & *Colb.* i Πρῶτον ἐπεχείρησε *Reg.* 1. & *Colb.* k In *vulgatis Editionibus* ſcriptum eſt, σπανιωτέραν *rariorem*, noſtrum adverbium σπανιώτερον melius quadrat ad præcedens ἄμεινον. *Sylb.*

a Fortaſſe

Ut vero & de cæteris pariter loquar, hæc illi in collocatione obſervanda cenſeo, qui auribus placere ſtudeat; ut verba ſuavi modulatione temperata, numeroſa, ac ſonora, quibus egregie delinitur audiendi ſenſus, & ſumma voluptate perfunditur, ſibi invicem connectat; aut ſi quorundam ea non fuerit natura, potentioribus paſſim immiſceat quæ valeant aures noſtras variis affectibus exercere, ut horum venuſtate atque gratia illorum obſcuretur inſuavitas. id quod ordinibus inſtruendis prudentes imperatores factitant. Etenim infirmiora ſolent illi fortioribus occultare; quo fit, ut nulla copiarum pars inutilis reddatur. Ajo etiam ab iterationibus eſſe abſtinendum, & commodas mutationes inſerendas. eſt enim in omni re varietas gratiſſima. Poſtremo, ut propria rei ſubjectæ atque accommodata (quod omnium præſtantiſſimum eſt) ſtructura adhibeatur. Nullum præterea nomen aut verbum cum dedecore penitus ſummoveri debere arbitror: nec ideo committendum, ut quæ pudorem incutiant eloquamur. Nam ne ullam quidem adeo humilem, aut ſordidam, aut impuram, aut alia quavis aſperitate præditam fore dico orationis particulam, qua corpus aut res notatur, quin commodum in ſermone locum habitura ſit.

Moneo porro atque hortor, ut in compoſitione ſecuri plane & nulla cum dubitatione iſta efferant, Homeri exemplum ſecuti, apud quem vocabulorum quæque etiam viliſſima reperiuntur; necnon Demoſthenis, ac Herodoti, aliorumque, quibus de ſingulis paullo inferius, quantum ad inſtitutum faciat, dicetur. Hæc vero de jucunda compoſitione dicta ſint, pauca ſane de multis doctrinis, ſed quæ tamen capitum loco ſufficiant.

Quomodo pulcra efficiatur orationis membrorumque ſtructura.

XIII. PULCRA vero ſtructura quo modo efficiatur, interroganti, aut quibus ex præceptis, non aliunde equidem, aut ex aliis hercule, reſponderem, quam quibus fit jucunda. Nam eadem utrumque conſtituunt, concentus nobilis, numeri cum dignitate graves, magnifica permutatio, &, hæc omnia quod conſequitur, decorum. Quemadmodum enim jucunda quædam fit oratio, ita & alia generoſa; & numerus ut alius politus eſt, ita alius gravis: ſua etiam ut permutationi ineſt gratia, ita & ſuadendi facultas. Jam vero ſi maximam pulcritudinis partem decorum non habuerit, nedum alius rei cujuſpiam particeps futurum eſt. Ex his itaque omnibus conficiendam arbitror diſpoſitionis pulcritudinem, unde etiam conſtituitur jucunditas. Eſt autem & hoc loco cauſa tam literarum natura, quam poteſtas ſyllabarum, è quibus componuntur vocabula. Sed de his jam tempus eſt, ſicuti pollicitus ſum, dicendi pauca.

Vocis elementa literæ.

XIV. PRINCIPIA humanæ articulatæque vocis ſunt, quæ diviſionem ulterius non admittunt; quæque elementa vocamus & literas. Literæ appellantur, quia lineis qui-

Ἵνα δὲ καὶ περὶ τῶν ἄλλων εἴπω, ταῦτ' οἴομαι χρῆναι φυλάττειν ἐν τῇ συνθέσει τὸν μέλλοντα διαθήσειν τὴν ἀκοὴν ἡδέως· τὰ εὐμελῆ καὶ εὔρυθμα καὶ εὔφωνα ὀνόματα, ὑφ' ὧν γλυκαίνεταί τε καὶ μαλάττεται, καὶ τὸ ὅλον οἰκείως διατίθεται ἡ αἴσθησις, ταῦτα ἀλλήλοις συναρμόττειν, ἢ τὰ μὴ τοιαύτην ἔχοντα φύσιν ἐγκαταπλέκειν τε καὶ συνυφαίνειν τοῖς δυναμένοις αὐτὴν γοητεύειν, ὥστε ὑπὸ τῆς ἐκείνων χάριτος ἐπισκοτεῖσθαι τὴν τούτων ἀηδίαν· οἷόν τι ποιοῦσιν οἱ φρόνιμοι [a] στρατηλάται κατὰ τὰς τάξεις τῶν στρατευμάτων. καὶ γὰρ ἐκεῖνοι συγκρύπτουσι τοῖς ἰσχυροῖς τὰ ἀσθενῆ, καὶ γίνεται αὐτοῖς οὐδὲν τῆς δυνάμεως μέρος ἄχρηστον. [b] διαναπαύειν τε καὶ ταυτότητά φημι δεῖν, μεταβολὰς εὐκαίρους εἰσφέροντα· καὶ γὰρ [c] ἡ μεταβολὴ παντὸς ἔργου χρῆμα ἡδύ. τελευταῖον δέ, ὃ δὴ καὶ πάντων ἐστὶ κράτιστον, οἰκείαν ἀποδιδόναι τοῖς ὑποκειμένοις καὶ πρέπουσαν ἁρμονίαν. δυσωπεῖσθαι δὲ οὐδὲν οἴομαι δεῖν, οὔτε ὄνομα, οὔτε ῥῆμα· οὔτ' ἐπιτέτραπται μὴ σὺν αἰσχύνῃ λέγεσθαι. οὐδὲν γὰρ οὕτω ταπεινόν, ἢ ῥυπαρόν, ἢ μιαρόν, ἢ ἄλλην τινὰ δυσχέρειαν ἔχον ἔσεσθαί φημι λόγου μόριον, ᾧ σημαίνεταί τι σῶμα ἢ πρᾶγμα, ὃ μηδεμίαν ἕξει χώραν ἐπιτηδείαν ἐν λόγοις.

Παρακελεύομαι δὲ ἐν τῇ συνθέσει πιστεύοντας ἀνδρείως πάνυ καὶ τεθαρρηκότως αὐτὰ ἐκφέρειν, Ὁμήρῳ τε παραδείγματι [d] χρωμένους, παρ' ᾧ καὶ τὰ εὐτελέστατα κεῖται τῶν ὀνομάτων· καὶ Δημοσθένει, καὶ Ἡροδότῳ, καὶ τοῖς ἄλλοις, ὧν ὀλίγον ὕστερον μνησθήσομαι, καθ' ὅ,τι ἂν ἁρμόττῃ περὶ ἑκάστου. ταῦτά μοι περὶ τῆς ἡδείας εἰρήσθω συνθέσεως, ὀλίγα μὲν ὑπὲρ πολλῶν θεωρημάτων, ἱκανὰ δέ, ὡς κεφάλαια, [e] εἶεν.

ιγ'. ΚΑΛΗ δὲ ἁρμονία πῶς γένοιτ' ἄν, εἴ τις ἔροιτο, ἢ ἐκ ποίων θεωρημάτων, οὐκ ἄλλως πως μὰ Δία φαίην ἄν, οὐκ ἐξ ἄλλων τινῶν, ἢ ἐξ ὧνπερ ἡδεῖα. τὰ γὰρ αὐτὰ ποιητικὰ ἀμφοῖν, [f] μέλος εὐγενές, ῥυθμὸς ἀξιωματικός, μεταβολὴ μεγαλοπρεπής, [g] τὸ πᾶσι τούτοις [h] παρακολουθοῦν [i] πρέπον. ὥσπερ γὰρ ἡδεῖά τις γίνεται λέξις, οὕτω καὶ γενναία τις ἑτέρα· καὶ ῥυθμὸς ὥσπερ γλαφυρός τις, οὕτω καὶ σεμνὸς ἕτερος· καὶ τὸ μεταβάλλειν ὥσπερ χάριν ἔχει τινά, οὕτω καὶ πιθανόν. τὸ δὲ δὴ πρέπον εἰ μὴ τοῦ καλοῦ πλεῖστον ἕξει μέρος, σχολῇ γ' ἂν ἄλλου τινός. ἐξ ἁπάντων δή φημι τούτων ἐπιτηδεύεσθαι δεῖν τὸ καλὸν ἐν ἁρμονίᾳ λέξεως, ἐξ ὧνπερ καὶ τὸ ἡδύ. αἰτία δὲ κἀνταῦθα, ἥτε τῶν γραμμάτων φύσις, καὶ ἡ τῶν συλλαβῶν δύναμις, ἐξ ὧν πλέκεται τὰ ὀνόματα. [k] ταῦτα" ὑπὲρ ὧν καιρὸς ἂν εἴη λέγειν, ὥσπερ ὑπεσχόμην.

ιδ'. ΑΡΧΑΙ μὲν οὖν εἰσι τῆς ἀνθρωπίνης καὶ ἐνάρθρου φωνῆς, αἱ μηκέτι δεχόμεναι διαίρεσιν, ἃς καλοῦμεν στοιχεῖα καὶ γράμματα· [l] γράμματα μέν, ὅτι γραμμαῖς

τισι

a Fortaſſe ad illud *Homeri* alludit *Iliad.* δ. v. 276. — "Ἱππῆας μὲν πρῶτα καὶ ἐσθλούς, — "Ἕρκος ἔμεν πολέμοιο· κακοὺς δ' ἐς μέσσον ἔλασσε. *Upt.* *b* Διαναπαύειν τι τὴν ταυτότητα *Reg.* 1. 2. & *Colb.* *c* Hac de re *Dionyſius* §. 19. & alicubi in *Epiſt.* ad *Pompejum.* Vide etiam quæ congeſſit *Fr. Junius* de *Pictura veterum*, lib. 3. c. 3. p. 173. *d* Χρώμενος *Reg.* 1. 2. & *Colb.* *e* Εἶναι malit *Wolfius.* *f* Μέλος ἐμμελὲς *Colb.* *g* Forſan καὶ τὸ πᾶσι *Upt.* *h* Ἀκολουθοῦν *Colb.* *i* Vide libellum περὶ τῆς Δημοσθένους δεινότητος, p. 192. juxta *Ed. Sylb.* & *Fr. Junium* de *Pictura veterum*, l. 3. c. 6. p. 199. *k* Deeſt *Reg.* 1. & *Colb.* & commode ſatis abeſſe poteſt. *l* Vide *Voſſium* de *Arte Grammat.* l. 1. c. 8.

a Lege

πισι σημαίνεται· στοιχεῖα δὲ, ὅτι πᾶσα φωνὴ τὴν γένεσιν ἐκ τούτων λαμβάνει πρῶτον, καὶ τὴν διάλυσιν εἰς ταῦτα ποιεῖται τελευταίαν. τῶν δὲ στοιχείων τε καὶ γραμμάτων οὐ μία πάντων φύσις, διαφορὰ δὲ αὐτῶν. πρώτη μὲν, ὡς Ἀριστόξενος ὁ μουσικὸς ἀποφαίνεται, καθ' ἣν τὰ μὲν φωνὰς ἀποτελεῖ, τὰ δὲ ψόφους· φωνὰς μὲν, τὰ λεγόμενα φωνήεντα· ψόφους δὲ, τὰ λοιπὰ πάντα. δευτέρα δὲ, καθ' ἣν τῶν [a] φωνηέντων ἃ μὲν καθ' ἑαυτὰ [b] ψόφους ὁποίους δή τινας ἀποτελεῖν πέφυκε, [c] ῥοῖζον, ἢ σιγμὸν, ἢ [d] ποππυσμὸν, ἢ τοιούτων τινῶν ἄλλων ἤχων δηλωτικά· ἃ δέ ἐστιν ἀ-
12 πάσης ἄμοιρα φωνῆς καὶ ψόφου, καὶ οὐχ οἷά τε ἠχεῖσθαι καθ' ἑαυτὰ, ταῦτα μὲν ἄφωνά τινες ἐκάλεσαν, θάτερα δὲ ἡμίφωνα. οἱ δὲ τριχῆ νείμαντες τὰς πρώτας τε καὶ στοιχειώδεις φωνῆς δυνάμεις, φωνήεντα μὲν ἐκάλεσαν, ὅσα καὶ καθ' ἑαυτὰ φωνεῖται, καὶ μεθ' ἑτέρων, καὶ ἔστιν αὐτοτελῆ· ἡμίφωνα δὲ, ὅσα μετὰ μὲν τῶν φωνηέντων κρεῖττον ἐκφέρεται, καθ' ἑαυτὰ δὲ χεῖρόν τε καὶ οὐκ αὐτοτελῶς· ἄφωνα δὲ, ὅσα οὔτε τὰς τελείας, οὔτε τὰς ἡμιτελείας φωνὰς ἔχει καθ' ἑαυτὰ, [e] μεθ' ἑτέρων δὲ ἐκφωνεῖται.

Ὁ ἀριθμὸς δὲ αὐτῶν ὅστις ἐστὶν, οὐ ῥᾴδιον εἰπεῖν ἀκριβῶς· ἐπεὶ πολλὴν παρέσχε καὶ τοῖς πρὸ ἡμῶν ἀπορίαν τὸ πρᾶγμα. οἱ μὲν γὰρ ᾠήθησαν εἶναι [f] τρισκαίδεκα τὰ πάντα τῆς φωνῆς στοιχεῖα, κατεσκευάσθαι δὲ τὰ λοιπὰ ἐκ τούτων· οἱ δὲ, καὶ τῶν εἰκοσιτεσσάρων, οἷς χρώμεθα νῦν, πλείω. ἡ μὲν οὖν ὑπὲρ τούτων θεωρία γραμματικῆς τε καὶ [g] μετρικῆς, εἰ βούλεταί τις, καὶ φιλοσοφίας οἰκειοτέρα. ἡμῖν δὲ ἀπόχρη μήτε ἐλάττους τῶν κδ', μήτε πλείους ὑποθεμένοις, δεικνύναι τὰς τῆς φωνῆς ἀρχὰς, καὶ τὰ συμβεβηκότα αὐτῇ λέγειν, τὴν ἀρχὴν ἀπὸ τῶν φωνηέντων ποιησαμένοις.

[h] Ἔστι δὲ ταῦτα τὸν ἀριθμὸν ζ'· δύο μὲν μακρὰ, τό, τε η καὶ τὸ ω· [[i] δύο δὲ βραχέα, τό, τε ε καὶ τὸ ο·] τρία δὲ, [k] δίχρονα, τό, τε α καὶ τὸ ι καὶ τὸ υ, ἃ καὶ ἐκτείνεται, καὶ συστέλλεται· ἃ οἱ μὲν δίχρονα, ὥσπερ ἔφην, οἱ δὲ μεταπτωτικὰ καλοῦσιν. [l] ἐκφωνεῖται δὲ ταῦτα πάντα τῆς ἀρτηρίας συνηχούσης τὸ πνεῦμα, καὶ τοῦ στόματος ἁπλῶς σχηματισθέντος, τῆς τε γλώττης οὐδὲν πραγματευομένης, ἀλλ' ἠρεμούσης. πλὴν τὰ μὲν μακρὰ, καὶ τῶν διχρόνων ὅσα μακρῶς λέγεται, τεταμένον λαμβάνει καὶ διηνεκῆ τὸν αὐλὸν τοῦ πνεύματος· τὰ δὲ βραχέα, ἢ βραχέως λεγόμενα, ἐξ ἀποκοπῆς τε καὶ μιᾶς [m] πληγῇ πνεύματος, καὶ τῆς ἀρτηρίας ἐπὶ βραχὺ κινηθείσης, ἐκφέρεται. τούτων δὴ κράτιστα μέν [n] ἐστι" καὶ φωνὴν ἡδίστην ἀποτελεῖ τά τε μακρὰ, καὶ τῶν διχρόνων ὅσα μηκύνεται κατὰ τὴν ἐκφορὰν, ὅτι πολὺν ἠχεῖται χρόνον, καὶ οὐ πνεύμα-

buſdam exprimuntur: elementa, quia primam ex his originem vox omnis ſumit, inque ea poſtremo ſe reſolvit. Eſt autem non una omnium elementorum literarumque natura; ſed variæ differentiæ. Prima eſt, ut tradit Ariſtoxenus muſicus, qua voces literæ aliæ, aliæ ſonos tantum conficiant: voces ex vocalibus, è reliquis formantur ſoni. Secunda vero, qua conſonantium quædam per ſe ſonos qualeſcunque ſoleant edere, veluti ſtridorem, aut ſibilum, aut quo noſtra exprimitur averſatio, & quæcunque iſtiuſmodi ſonos indicant; quædam autem, omnis vocis & ſoni expertes, ne poſſint quidem omnino per ſe voce pronunciari: has nonnulli mutas appellarunt, illas ſemivocales. Quidam vero, triplici diviſione inſtituta primarum vocis poteſtatum, vocales appellarunt, quæ tam per ſe, quam cum aliis conjunctæ, vocem edunt abſolutam; ſemivocales vero, quæ melius cum vocalibus efferuntur, per ſe tenuioris ſoni, neque jam perfecti: mutas denique, quæ nec perfectam per ſe vocem nec imperfectam habent, ſed cum aliis una pronunciantur.

Literarum natura & differentia.

δʹ. Λεκτέον δὲ ἐπὶ τούτοις καὶ περὶ αὐτοῦ τοῦ ἀγῶνος, τίς ἀρχὴ καὶ κατάστασις αὐτοῦ, ἢ ἐφ᾽ οἷς τισιν ἐτέθη· εἴ τε μῦθός τις εἴη, [b] ἤ τι ἄλλο ἀρχαῖον. ἐν τούτῳ δὲ γενόμενος, μὴ ἁπλῶς παρέλθῃς τὸν τόπον, ἀλλὰ παραβαλεῖν χρὴ πρὸς τοὺς ἄλλους ἀγῶνας. [c] τοῦτο δ᾽ εὐπορήσεις τῷ λόγῳ, οἷον ἀπὸ καιροῦ παραβάλλων· εἰ μὲν πρὸς ἔαρ ἄγοιτο, ὅτι ἐν τῷ συμμετροτάτῳ πρὸς ἑκάτερα· εἰ δὲ ἐν χειμῶνι, ὅτι ἐν τῷ ἐρρωμενεστάτῳ καὶ ἀνδρειοτάτῳ, ὡς ἂν εἴποι τις, καιρῷ· εἰ δ᾽ ἐν θέρει, ὅτι πρὸς ἄσκησιν καὶ θεωρίαν τῶν θεωμένων καθεστάθη, καὶ ὅτι ἔλεγχος τῆς προαιρέσεως, καὶ μὴ ὄντων ἀθλητῶν τοὺς θεωμένους ἀγωνίζεσθαι. ἔχοις δ᾽ ἂν καὶ τὸ φθινόπωρον ἐπαινεῖν, [d] καὶ ὅτι ἀπὸ συγκομιδῆς τῶν καρπῶν, καὶ ἀπὸ τοῦ ἤδη παύεσθαι τοὺς ἀνθρώπους τῶν πόνων.

εʹ. Σκοπεῖσθαι δὲ καὶ τὸν τρόπον τῆς διαθέσεως τοῦ ἀγῶνος δεῖ. εἰ μὲν μουσικὸς καὶ γυμνικὸς εἴη, ὅτι τελεώτατος ὁ ἀγών, καὶ ἀνενδεῶς κεκραμένος καὶ ῥώμῃ σωμάτων, καὶ καλλιφωνίᾳ, καὶ τοῖς λοιποῖς μέρεσι [e] τῆς μουσικῆς· εἰ δὲ γυμνικός, ὅτι τὴν μουσικὴν ὡς ἐκθηλύνουσαν τὴν ψυχὴν παρῃτήσατο, τὴν δὲ ῥώμην τῶν σωμάτων παρέλαβε· καὶ ὅτι ὁ τρόπος τῆς ἀγωνίας χρήσιμος πρὸς τὴν ἀνδρείαν τὴν ἐν τοῖς πολέμοις.

ϛʹ. Μὴ παρέργως δὲ μηδὲ αὐτὸν τὸν στέφανον παρέλθῃς ὅστις εἴη· οὐδὲ γὰρ ἐν τούτῳ γενόμενος ἀπορήσεις ἐπαίνου. τὴν μὲν δρῦν, ὅτι ἱερὰ Διός, καὶ ὅτι ἡ πρώτη καὶ πρεσβυτάτη τροφὴ τῶν ἀνθρώπων, καὶ ὅτι οὐκ ἄφωνος, ἀλλὰ καὶ ἐφθέγξατό ποτε ἐν Δωδώνῃ. εἰ δὲ ἐλαία, ὅτι ἱερὰ τῆς Ἀθηνᾶς, καὶ ὅτι ἄκος πόνων, καὶ ὅτι τὰ τρόπαια ἀπὸ τούτου τοῦ φυτοῦ ἀνέθεσαν οἱ παλαιοί, καὶ ὅτι τῆς νίκης τοῦτο σύμβολον τὸ φυτόν, καὶ ὅτι ἡ Ἀθηνᾶ τούτῳ πρώτῳ ἐστέψατο

a Πεντόροφα & ἑξόροφα *Reg.* 1. *Colb.* & *Cant.* Apud *Herodotum* l. 1. c. 180. τὸ δὲ ἄστυ αὐτὸ ἐὸν πλῆρες οἰκιέων τριωρόφων τε καὶ τετρωρόφων &c. an locum alium reſpexerit, nondum mihi compertum. *b* Εἴ τι ἄλλό τι *Reg.* 1. Εἴ τι *Colb.* & *Cant.* *c* Τούτῳ *Cant.* atque ita vel οὕτω legiſſe videtur *Antimachus*, dum vertit, *& hoc modo augebis orationem.* *d* Καὶ & ὅτι tollenda videntur; præſertim vero poſterius, ὅτι. *Sylb.* *e* Τῆς βουλῆς *Cant.* * *Sc.* reſpectu caloris & frigoris.

a Antima-

ἐστέψατο νικήσασα τὸν Ποσειδῶνα, καὶ ὅτι οἰκειότατον τοῖς ἀγωνιζομένοις· τὰ γὰρ γυμνάσια διὰ τοῦ ἐλαίου διαπονεῖται· καὶ ὅτι συναγωνίζεται πρὸς τὸν λόγον, δι' οὗ πανηγύρεις κοσμοῦνται. καὶ τὴν δάφνην δὲ ἐρεῖς, ὅτι καὶ ἱερὰ τοῦ Ἀπόλλωνος, καὶ μαντικὸν τὸ φυτόν. εἰ δὲ βούλει καὶ τοῦ μύθου ἐφάπτεσθαι τοῦ περὶ τῆς Δάφνης, οὐδὲ τοῦτό σοι ἄπο τρόπου εἴη ἂν εἰρημένον. ὁμοίως δὲ καὶ ἕτερον· εἰ ἐπείη, οἷον οἱ καρποὶ Δημητριακοί, ἢ [a] πίστεως. εὐπορήσεις δέ που καὶ περὶ τούτων ἑκάστου. οὐκ ἔξω δὲ φιλοτιμίας οὐδὲ [b] τὸ παραβαλεῖν τὸν στέφανον πρὸς τοὺς παρ' ἄλλοις.

raſſet Neptunum, hac prima coronatam fuiſſe: atque certantium propriam eſſe; (athletarum enim certamina per oleum conficiuntur) necnon orationi ſociam exſiſtere, eique multum conferre, qua publici conventus exornantur. Laurum quoque celebrabis, dum Apollini ſacram, plantamque vatibus dedicatam dices. atque ſi Daphnes fabulam attingere volueris, non utique alienum videbitur. Similiter, ſiquid aliud affuerit; ut Cereris fructus: vel ſi fide non careas, circa unumquodque iſtorum te poteris diffundere. Nec extra magnificentiam erit & gloriam, ſi certaminis coronam cum aliorum coronis comparaveris.

ζ'. Ὁ δέ σοι τοῦ παντὸς λόγου οἱονεὶ κολοφὼν ἐπήχθω τοῦ βασιλέως ἔπαινος, καὶ ὅτι τῷ ὄντι ἀγωνοθέτης πάντων ἀγώνων, ὁ τὴν εἰρήνην πρυτανεύων; δι' ἣν καὶ τοὺς ἀγῶνας ἐπιτελεῖν οἷόντε. ἤδη δέ τινες καὶ τοὺς διαθέντας τοὺς ἀγῶνας ἐπῄνεσαν, εἰ ἄρα ἔνδοξοί τινες οὗτοι, ὅτι καὶ ἐν ἄλλοις πρότερον γενόμενοι χρήσιμοι, καὶ ἐν τούτοις ὅτι [c] φιλοτιμώτατοι. εἰ δὲ μὴ ἄλλα ἔχεις πρεσβύτερα, ὅτι ἀρχὴ τῆς φιλοτιμίας τῆς περὶ τὴν πατρίδα, μεγίστη καὶ Ἑλληνικωτάτη. ἡ δὲ λέξις ἄλλη μὲν, κατὰ τὴν ἑκάστων φύσιν ἢ βούλησιν.

VII. Regis vero laus, à te veluti totius orationis faſtigium, inducatur; & quod vere omnium certaminum præſes, qui pacem tuetur, propter quam certamina perfici queunt. Nonnulli etiam eos qui ludos diſponunt, laudibus proſecuti ſunt: ſi quidem hi gloria inſignes ſint, quod aliis ante in rebus utiles fuerint, ac in his ſplendidiſſimi. Si vero nulla habeas antiquiora, oſtendendum, principium gloriæ, quæ ad patriam pertinet, eſſe maximum, & Græcorum generi maxime innatum. Reliqua elocutio ſit, ut uniuſcujuſque natura & voluntas poſtulat.

η'. Εἰ δὲ δὴ κρατεῖν χρὴ τὴν ἐμὴν γνώμην, οὐ μονότροπον ταύτην συμβουλεύσαιμ' ἂν εἶναι, ἀλλὰ ποικίλην καὶ μεμιγμένην, καὶ τὰ μὲν τῇ ἀφελείᾳ προάγοντα, τὰ δ' ἐν ἀντιθέτοις τε καὶ παρισώσεσιν Ἰσοκράτους, τὰ δὲ [d] διῃρημένοις. ταύτην γὰρ τὴν ὁδὸν καὶ τὸν τοῦ ἡμεδαποῦ χοροῦ ἡγεμόνα τε καὶ κορυφαῖον ὁρῶ μετιόντα, ὡς ἔπος εἰπεῖν, ἢ ἐν τοῖς πλείστοις· εἰ μή τις πρὸς εἶδος γράφειν τι προὔθετο. ἑκάστης δὲ ἰδέας ἔοικεν ἡ ὕλη τὴν [e] ἀφορμήν. δεῖ δὲ τοῖς νοήμασιν ἐπακολουθοῦσαν καὶ τὴν ἑρμηνείαν ἐπάγειν· [f] οἷα τὰ μὲν ἀφηγηματικὰ καὶ μύθου τινὸς ἐχόμενα, ἀφελῶς προάγοντα· ὅσα δὲ περὶ βασιλέων ἢ θεῶν, σεμνῶς· ὅσα δὲ περὶ παραβολῶν καὶ συγκρίσεων, πολιτικῶς· εἰ μὴ ἄρα τις πρὸς τὴν ἀξίαν τινὰ ἰδέαν λόγου διὰ πάντων παρέχοιτο. ἐπιδεικτικώτερον δὲ τὸ προειρημένον καὶ δημοτερπέστερον.

Quo dicendi genere utendum.

VIII. Verum, ſi mea valeret opinio, nunquam auctor fuerim, uti elocutio ſit unius tantum modi, ſed varia ſimul & miſta: & alia ſint cum ſimplicitate, alia oppoſitis & adæquationibus Iſocratis reſpondentia, alia autem diviſis atque diſtinctis expreſſa. Scio enim noſtratis chori ducem & præſultorem hanc viam vel in pluribus (ut ita dicam) ſectatum fuiſſe: niſi quidpiam in aliquo præcipuo genere ſcribere propoſuiſſet. Cujuſque autem formæ dicendi materia videtur facultatem præbere. Verum iis quæ excogitaveris oportet & congruam elocutionem inducere: uti narrationes, & aliquid fabulæ habentia, cum ſimplici oratione. Quæcunque autem de regibus vel de diis dicere volueris, ſint cum dignitate, quæ vero ad ſimilitudines & comparationes pertinent, urbano ſermone: niſi quiſpiam ad hoc, dignum aliquod orationis genus in omnibus præbuerit. quod tamen ante dictum plus habet oſtentationis, & majorem affert populo delectationem.

ΚΕΦ. β'.

Μέθοδος γαμηλίων.

Ἐμοὶ μὲν ἦν τερπνὸν, αὐτὸν παρόντα καὶ συγχορεύοντα καὶ ἀναβακχεύοντα μετὰ σοῦ τῆς φίλης ἐμοὶ κεφαλῆς, ὑμνεῖν τε καὶ ἀνυμνεῖν τὸν μικρὸν ὕστερον ἐπιτελεσθησόμενον γάμον, καὶ ᾄδειν γε τὸν Ὑμέναιον τὸν ἐπὶ τοῖς γάμοις πρέποντα λέγεσθαι. ἐπεὶ δὲ ἔοικε δεσμός τις οὗτος ὁ πρὸς τοῖς λόγοις καὶ τῇ παιδεύσει τῇ παρούσῃ, διαιρεῖν ἡμᾶς τοῖς σώμασι καὶ τοῖς τόποις ἀπ' ἀλλήλων μὴ

CAP. II.

De Oratione Nuptiali.

Mihi profecto jucundum fuiſſet, tuis non ſolum adeſſe ſed intereſſe nuptiis, mi cariſſimum caput: quo tecum ſimul chorum ducerem, tecum baccharer, & paullo poſt conſummandum matrimonium iterum laudibus extollerem, Hymenæumque (quem in nuptiis dici par eſt) canerem. Verum cum vinculum hoc, quod ad literarum ſtudia & præſentem eruditionem attinet, nos invicem ſeparet, (abſit

a *Antimachus* talem quampiam lectionem ſequutus videtur, ἢ εἰ πίστεως εὐπορήσεις, ἀπομηκύνειν δυνήσῃ καὶ περὶ τούτων ἑκάστου, ut plane indicat verſio. Minori mutatione pro πίστεως repoſuerit aliquis πίτυος: ſed haud ſcio quam apte. *Sylb.* Cum in *Cod. Cant.* reperiatur πίστυς, legendum puto πίτυος vel πίτυς: præſertim quod ἐστεφάνουν τῇ πίτυϊ τοὺς Ἴσθμια νικῶντας, ut dicit *Plutarchus.* b Deeſt *Cant.* c Grammaticorum regula poſtulat φιλοτιμότατοι. *Sylb.* d Forſan rectius διῃρημένοις ut infra quidem p. 41. quamvis & alibi (ſc. p. 71. juxta *Ed. Sylb.*) id ipſum nomen eodem modo uſurpatur. e Poſt ἀφορμὴν ſubaudiendum cum *Antimacho* παρέχειν præbere. f Οἷον *Reg.* 1. quo modo legendum eſſe monuit *Sylb.*

Si

ſit enim ut mente, affectu, & cogitationibus, quæ ad animorum conjunctionem ſpectant, unquam ſejungamur) idcirco habeas hoc à me tanquam aliquod munus, ad uſum atque ornamentum nuptiarum, ut nec expers nec ignarus ſis eorum, quæ de his dici conſuevere: ſeu tu id apud teipſum ſervare, ſive alicui tanquam ſymbolum ad promerendam gratiam conferre volueris. Forte igitur & tu quandoque hujuſmodi orationem proluſiſti, dum juvenis admodum primam apud me rhetoricorum viam ingreſſus, tum cæteris conſcribendis rhetoricis exercitationibus operam navares; tum etiam ea quæ quæſtiones vocantur, & ex his ea quæ ad orationem de nuptiis pertinent & cohortationem ad ejuſmodi res perſequeris.

γὰρ δὴ ταῖς ψυχαῖς [a] τε καὶ διαθέσεσι, καὶ ἐννοίαις ταῖς ἐπ' αὐταῖς χωρισθείημεν ποτε· ἀλλ' οὖν ἔστω σοι ὥσπερ τι δῶρον παρ' ἐμοῦ εἰς συντέλειάν τε καὶ κόσμον τῶν γάμων, τὸ μηδὲ τῶν περὶ τούτων εἰωθότων λέγεσθαι μηδὲ αὐτῶν ἀπείρως ἔχειν, εἴτ' οὖν αὐτὸς καὶ παρὰ σεαυτῷ φυλάττειν βούλοιο, εἴτε καὶ ἑτέρῳ τινὶ τοῦτον ὥσπερ ἔρανόν τινα εἰς χάριν συνεισφέρειν. τάχα μὲν οὖν καὶ αὐτὸς ἤδη ποτὲ καὶ ἄλλοτε προανεκρούσω ἐν τοῖς τοιούτοις [b] τῶν λόγων, ὁπηνίκα κομιδῇ νέος ὢν παρ' ἐμοὶ τὴν πρώτην [c] ὁδὸν τῶν ῥητορικῶν μετῄεις, τά τε ἄλλα γράφων καὶ συγγράφων γυμνάσματά τε καὶ ἀσκήματα τῆς ῥητορικῆς, καὶ δὴ καὶ τὰς θέσεις οὕτω λεγομένας, καὶ τούτων τὰ εἰς τὸν περὶ αὐτοῦ τοῦ γάμου λόγον συντείνοντα, καὶ τὴν προτροπὴν τὴν εἰς αὐτά.

Nuptiarum laudes unde petendæ.

II. In illis enim quæ præcipua ſunt, hanc etiam in primis materiam juvenes ad ſcribendum deligunt, An uxor ducenda. Oratio autem quæ nunc in manibus, in ejuſmodi locutionum genere verſatur; nec ab iis quibus in quæſtionibus deorum uti conſuevimus, diſſentire videtur: quod hi ſcilicet invenere oſtendereque hominibus nuptias: Jupiter enim & Juno, primi conjungentes & copulantes. proinde hic quidem omnium Pater vocatur; illa vero Jugalis nuncupatur, quod mari fœminam conjungat. Et ab iſtis diis reliquorum deorum, qui in nuptiis celebrantur ac nuptiales nataleſque appellantur, cœtus in mortalium vitam prodiit: atq; nuptiæ ſunt in cauſa, ut dii iſti ita nominentur, colantur, maximoque in honore habeantur. nam abſque nuptiis, neque horum deorum cultus ad homines perveniſſent.

β'. [d] Προκεχείρηται γὰρ ἐν τοῖς μάλιστα καὶ τοῦτο πρὸ πάντων τοῖς νεωτέροις εἰς γραφήν, Εἰ γαμητέον. οὐ πόῤῥω δὲ οὐδὲ νῦν ὁ ὑφ' ἡμῶν προχειριζόμενος λόγος τῆς περὶ τὰς τοιαύτας ἰδέας τῶν λόγων θήρας, ἀμέλει γέ τοι οὐδὲ τούτοις οἷς πέρ που καὶ ἐν ταῖς θέσεσιν ἀπὸ θεῶν, καὶ ὅτι οὗτοι οἱ εὑρόντες καὶ δείξαντες τοὺς γάμους τοῖς ἀνθρώποις· Ζεὺς γὰρ καὶ Ἥρα, πρῶτοι [e] ζευγνύντες τε καὶ συνδυάζοντες· οὕτω τοι ὁ μὲν καὶ πατὴρ καλεῖται πάντων, ἡ δὲ ζυγία, ἀπὸ τοῦ ζευγνύναι τὸ θῆλυ τῷ ἄῤῥενι. καὶ ἀπὸ τούτων τῶν θεῶν καὶ ὁ τῶν λοιπῶν θεῶν χορὸς παρῆλθεν εἰς τὸν βίον τῶν ἐπιφημισθέντων τοῖς γάμοις, γαμηλίων τε καὶ γενεθλίων οὕτως ὀνομαζομένων· καὶ ὅτι ὁ γάμος αἴτιος τοῦ τε ὀνομασθῆναι τούτους τοὺς θεοὺς καὶ τιμᾶσθαι. ἄνευ γὰρ τῶν γάμων οὐδὲ ἂν αἱ τιμαὶ τούτων παρῆλθον εἰς ἀνθρώπους.

III. Deinceps orationem de natura oportet inducere, quod hoc ipſius eſt opus, generare ſcilicet, & partum ferre. idque per omnia ipſius opera, & animalia & plantas, tranſire. * Adducemus poſtea coitus & ſocietatis differentiam inter homines; quod alia ſane imprudenter & temere miſcentur: homo autem ordinem quendam matrimonii & inſtitutum invenit, non ut gregatim ferarum more coire concedat, ſed qui duorum maxime commodorum conjunctionem ſocietatemque per univerſam vitam excogitaverit. In qua plane re commemorandum, à fera ac erratica vita diſceſſiſſe, & ad manſuetum, ordinatumque victum per nuptias deductos fuiſſe: & hominum genus, cum mortale ſit, ex matrimonii conjunctione & ſocietate, propter continuationis ſeriem, immortale factum eſſe. nam ſuſceptione poſterorum, veluti lumen accenditur: quod & poſteritati per generationem hominis permanet, ac nunquam exſtinguitur. Et hoc utique ſymbolum optimum, non pecuniarum, aut poſſeſſionum, ſed ipſius naturæ & generis, non injuria quiſpiam dixerit.

γ'. Ἐφεξῆς ἐπάγειν χρὴ τὸν περὶ τῆς φύσεως λόγον, καὶ ὅτι τοῦτο αὐτῆς ἔργον, τὸ γεννᾶν τε καὶ κυΐσκειν· καὶ ὅτι διῆλθε διὰ πάντων [f] τῶν ἔργων αὐτῆς καὶ ζώων καὶ φυτῶν. εἶτα τὴν διαφορὰν ἐπάξομεν τῆς ἐν τοῖς ἀνθρώποις μίξεως καὶ κοινωνίας, ὅτι τὰ μὲν, ἁπλῶς καὶ ὡς ἔτυχε μίγνυται· ὁ δὲ ἄνθρωπος, τάξιν τινὰ καὶ νόμον ἐξεῦρε τοῦ γάμου, οὐκ ἀγεληδὸν δίκην θηρίων ἐπιτρέπων μίγνυσθαι, ἀλλὰ σύμμιξιν καὶ κοινωνίαν δυοῖν [g] τοῖν προσφορωτάτοιν εἰς ἅπαντα τὸν βίον μεμηχανημένος. ἐν ᾧ, ὅτι τοῦ μὲν θηριώδους καὶ πεπλανημένου βίου ἀπηλλάγησαν, βίον δὲ ἥμερον καὶ τεταγμένον ἔσχον διὰ τοῦ γάμου· καὶ ὅτι θνητὸν ὄν γε τὸ ἀνθρώπειον, ἐκ τῆς μίξεως καὶ κοινωνίας τοῦ γάμου ἀθάνατον γέγονεν ἐκ τῆς διαδοχῆς τῶν ἐπιγινομένων· ὥσπερ φῶς ἀναπτόμενον καὶ διαμένον καὶ τοῖς ἐπιγινομένοις, τῇ γεννήσει τοῦ ἀνθρώπου, καὶ μήποτε ἀποσβεννύμενον. καὶ τοῦτον ἄν τις εἴποι δικαίως ἔρανον κάλλιστον οὐ χρημάτων οὐδὲ κλημάτων τινῶν, ἀλλ' αὐτῆς τῆς φύσεως καὶ τοῦ γένους.

IV. Scrutaberis & quæres præterea poſt hæc, quot bona eis contingant qui uxores ducunt. Primum quidem, ad gloriæ exiſtimationem: nam temperantiæ fructum, quæ nimi-

δ'. Εἶτα ἐξετάσεις ἐπὶ τούτοις ὅσα προσγίνεται τοῖς γεγαμηκόσι. πρῶτον μὲν πρὸς δόξαν, ὅτι ἐνδοξότεροι· [h] τὸ κάλλιστον μέρος τῆς ἀρετῆς εὐθὺς ἀπὸ τῶν γάμων ἀρχόμενοι καρποῦσθαι,

a Si quis pro τε malit γε, & mox διανοίαις pro ἐννοίαις, ſuo fruatur judicio. *Sylb.* b Τῶν λόγων *Reg.* 1. *Colb.* & *Cant* c Ὁδῶν *Cant.* d Forſan rectius προκεχείρισται, à themate προχειρίζομαι, quo cum alibi ſæpe utitur tum v. 16. *Sylb.* atque hoc modo ſcriptum reperitur in *Reg.* 1. & *Cant.* & infra p. 51. juxta *Ed. Sylb.* e Γήμαντές τε *Cant.* in margine tamen ζευγνύντες τε. f Pro τῶν ἔργων aptius meo judicio legerimus τὸ ἔργον. *Sylb.* g Τὴν προσφορωτάτην in margine *Cod. Colb.* manu *Jacobi Auguſti Thuani*, ut exiſtimat *Clariſſ. Michaël Lequien.* h Καὶ pro τὸ in *Cod. Cant.* * *Al.* Tum vero diſcrimen adducemus, quod intercedit inter coitum & ſocietatem quæ apud homines eſt & eam quæ inter alia animantia reperitur &c.

a Vel

πεῖσθαι, τὴν σωφροσύνην. ὁ γὰρ γάμος, εὐθὺς καὶ σωφροσύνης δόξαν περιτίθησι τοῖς ἀνθρώποις· καὶ οἱ τοιοῦτοι δοκοῦσι τῆς μὲν ἀτάκτου μίξεως ἀπηλλάχθαι, πρὸς δὲ μίαν ἀφορᾶν μόνην τὴν ἑαυτοῦ ἕκαστος γυναῖκα. ἐκ δὲ τούτου καὶ ἐντιμοτέρους ἀνάγκη γίνεσθαι τοὺς ἀνθρώπους, καὶ πιστοτέρους δοκεῖν, καὶ εὐνουστέρους [a] περὶ τὰς αὐτὰς πατρίδας ἐν παντὶ, διὰ τὸ ὥσπερ ὅμηρα δεδωκέναι ταῖς πατρίσι τοὺς ἑαυτῶν παῖδας, δι' οὓς ἀναγκαῖον καὶ μᾶλλον εἰς τὰς συμβουλίας παραλαμβάνεσθαι.

ε'. Καὶ πρὸς λύπας τε καὶ δυσχερῆ τὰ ἐν τῷ βίῳ γάμος χρησιμώτατος, κουφότερα ταῦτα παρασκευάζων, ὥσπερ φορτία μεταδιδόντων ἡμῶν ταῖς ἑαυτῶν γυναιξὶ τῶν δυσχερῶν, καὶ [b] τῆς κοινωνίας παρηγορουμένων. ἐν δὲ τούτῳ καὶ τὰ ἡδέα ἀνάγκη τερπνότερα φαίνεσθαι, μὴ αὐτῶν ἐφ' ἑαυτῶν εὐφραινομένων, ἀλλὰ ἐχόντων καὶ τοὺς συμπανηγυρίζοντας καὶ τοὺς συνευφραινομένους παῖδάς τε καὶ γυναῖκας, καὶ τοὺς ἄλλους συγγενεῖς. καὶ ἑορταὶ δὲ καὶ πανηγύρεις διὰ τοῦτο τερπναὶ, ὅτι ἐν πολλοῖς γίνονται. ἀνάγκη δὲ ἐκ τούτων καὶ τὰς συγγενείας αὐξάνεσθαι. καὶ ὅτι [c] ἐκ τούτου πρῶτον μὲν συνοικίαι ἐγένοντο, εἶτα καὶ κῶμαι, εἶτα καὶ πόλεις. ἐκ δὲ τῶν ἐπιγαμιῶν καὶ ἡ γνῶσις πλειόνων, καὶ ἡ συγγένεια ἐν ὑπερορίοις. ἤδη παραθετέον καὶ μνηστέον καὶ ἐνδόξων γάμων ἢ ἀρχαίων, καὶ ὅσα ἀπὸ τούτων ἀγαθὰ ἐγένετο τοῖς ἀνθρώποις, καὶ ὡς ἡ ἀποτροπὴ τῶν δυσχερῶν διὰ γάμου· οἷον ὅτι Μενέλεως ἀθάνατος ἐγένετο διὰ τὸν γάμον τῆς Ἑλένης, καὶ ὁ Πηλεὺς διὰ τὸν τῆς Θέτιδος· καὶ ὁ Ἄδμητος διὰ τὴν Ἄλκηστιν τὸν ἐκ τῆς εἱμαρμένης θάνατον διέφυγεν.

ς'. Ἐπειδὰν δ' ἱκανῶς περὶ τούτων διέλθῃς, εὐχῇ χρηστέον ἀγαθῶν μὲν αἴτησιν ἐχούσῃ περὶ τῶν γάμων καὶ τῆς παιδοποιίας, ἀποτροπὴν δὲ τῶν κακῶν. εἶτα διατυπωτέον λόγῳ, οἷον προαναφωνοῦντα, ὁποῖος ἂν ὁ βίος ὁ μετὰ τῶν παίδων γένοιτο, ὅτι τερπνότατος χορὸς παίδων εἰ γένοιτο ὁρῶντι, καὶ ὅτι τρόπον τινὰ ἐξ ἀρχῆς [d] ἀνανεάζεσθαι αὐτὸν καὶ ἀνηβάσκειν σὺν τοῖς αὐτοῦ παισίν. ἐν τούτῳ δὲ ἀνάγκη καὶ ἀναμιμνήσκειν ὧν ποτε καὶ αὐτὸς ἐν νεότητι ἐποίησεν. ἡδεῖα [e] καὶ ἡ μνήμη τῶν ἐν παισὶν ἡμῖν πεπραγμένων, καὶ ὅτι οὐδὲν ἕτερόν ἐστι τὸ ποιοῦν ἐξ ἀρχῆς πάλιν βεβιωκέναι. εἰ δὲ εἰκόνα τις ὁρῶν ἑαυτοῦ ἄψυχον ἥδεται, [f] ὅταν καὶ μὴ ἄψυχον ταύτην ὁρᾷ, ἀλλὰ καὶ ἔμψυχον, μηδὲ μίαν, ἀλλὰ πολλὰς, ἂν οὕτω τύχῃ. [g] ἀπακτέον δὲ πάλιν καὶ ἐνταῦθα ἱστοριῶν τινων μνημονεύοντα ὅσοι ἀπὸ παίδων εὐτύχησαν, ὅσοι κακῶν ἀποτροπὰς εὕραντο, [h] οἷον τῷ Ἀγχίσῃ περὶ τοῦ Αἰνείου. δεῖ δὲ μηδὲ τὰ πρόσωπα τῶν γαμούντων τε καὶ γαμουμένων [i] παρεῖναι, ἀλλὰ καὶ τούτων ἐπαίνους λέγειν. ποτὲ μὲν οὖν ἐν ἀρχῇ χρηστέον τῷ [k] τύπῳ τούτῳ, ποτὲ δὲ καὶ ἐπὶ

rum optima virtutis eſt pars, ſtatim ab ipſis nuptiis aſſequi incipiunt. Ob matrimonium enim continuo temperantes homines exiſtimantur: quippe tales, ab illegitimo inordinatoque coitu liberati, ad propriam ſolam uxorem reſpicere videntur. Ex hoc etiam neceſſe eſt homines honoratiores evadant, & fideliores, benevolentioresq; omnibus in rebus erga patrias cenſeantur: eo quod ſuos ipſorum liberos, tanquam obſides, patriis dederint: propter quos in primis neceſſarium eſt, ut in conſilium adhibeantur.

V. Ad dolores etiam, & difficilia quæ ſunt in vita, nuptiæ utiliſſimæ: quippe quæ hæc *tanquam onera reddant leviora, cum moleſtiarum omnium uxores faciamus participes, & ex communicatione non minimam capiamus conſolationem. Hinc ea quæ jucunda ſunt, neceſſe eſt uti videantur jucundiora: cum ipſi non nobiſmet ipſis tantum lætemur, ſed filios, uxores, aliosque conſanguineos habeamus, qui hæc nobiſcum celebrent, ac lætitia ſimul efferantur. Hac de cauſa dies feſti, & conventus publici jucundiores ſunt; quia cum multis communicantur. Qua ex re affinitates augeri neceſſe eſt. Inquies etiam, hinc primum cohabitari cœptum, dein vicos & civitates conſtitui. Ex matrimonio etiam quam plurimorum cognitio, & cum externis affinitas conſequuta eſt. Tunc adjicere oportet & commemorare celebres nuptias vel antiquas; & bona quæ inde hominibus provenere; & mala, quæ depulſa: veluti quod Menelaus propter nuptias Helenæ immortalis factus ſit, & Peleus ob Thetidis matrimonium; & Admetus propter Alceſtim fatalem mortem evitaverit.

VI. Ubi autem de his ſatis dictum fuerit, votis utendum, quæ bonorum petitionem pro nuptiis ac ſuſceptione liberorum habeant, & mala deprecentur. Præterea oratione exprimendum, veluti prædicendo, qualis vita ſit futura cum liberis; & quod eorum chorus, ſi contingat, erit inſpicienti jucundiſſimus; & quod rurſus inſtaurabitur quodammodo, & una cum propriis liberis iterum adoleſcet. Tum etiam memoranda quæ & ipſe aliquando in juventute geſſerit. ſuavis enim & jucunda eſt eorum, quæ in pueritia fecerimus, recordatio: nec aliud eſt quod nos rurſus faciat reviviſcere. Si quis imaginem ſuam inanimatam inſpiciens delectatur; quando hanc non inanimem, ſed vivam & ſpirantem intuetur, & non unam, ſed multas, (ſi ita contingat) quanto magis lætari debebit? Rurſus ex hiſtoriis recenſendum, quot mortales propter liberos floruerint, & mala propulſarint; ut Anchiſæ, Æneæ opera, contigit. Nec perſonæ illorum, qui matrimonia conjunguntur, ſilentio prætereundæ; ſed harum quoque laudes in medium afferendæ. Aliquando igitur hac dicendi forma in principio, aliquando

a Vel legendum περὶ τὰς αὐτῶν πατρίδας, vel περὶ αὐτὰς τὰς πατρίδας, vel ſimplicius περὶ τὰς πατρίδας. *Sylb.* *Wolfius* in ſuo libro repoſuit περὶ τὰς αὐτῶν π. atque ita in *Cod. Cant.* & *Ed. Ald.* b Inſtrumentali caſu legendum videtur τῇ κοινωνίᾳ *communicatione affectionum noſtrarum. Sylb.* c Ἐκ τούτων *Colb.* & *Cant.* d Poſt ἀνανεάζεσθαι αὐτὸν deſideratur verbum ποιεῖ, ut mox v. 39. τὸ ποιοῦν ἐξ ἀρχῆς πάλιν βεβιωκέναι. *Sylb.* e Pro καὶ melius legeris δὲ, vel, ut *Antimachus* maluit, γάρ. *Sylb.* Ἡδεῖα δὲ καὶ, *Reg.* 1. *Colb.* & *Cant.* f Ante ὅταν ſaubaudiendum tale quodpiam commation, πολλῷ μᾶλλον ἡσθήσεται. *Sylb.* Πόσῳ χαρήσεται μᾶλλον in ſuo libro repoſuit *Wolfius*. g Malim ἐπακτέον, ut ſupra (p. 64. v. 29.) ἐφεξῆς ἐπάγειν χρὴ &c. h Structura & ſenſus poſtulat, οἷον ὁ Ἀγχίσης παρὰ τοῦ Αἰνείου, vel οἷον τῷ Ἀγχίσῃ παρὰ τοῦ Αἰνείου συνέβη, *Sylb.* Οἷον τῷ Ἀγχίσῃ παρὰ τοῦ Αἰνείου *Reg.* 1. *Colb.* & *Cant.* i Si παρεῖναι accipias pro aoriſto 2. à them. παρίημι, proba eſt ſcriptura: vel legendum παριέναι *prætermittere. Sylb.* k Si τόπῳ malis (ut ſupra p. 66. v. 3. & 8.) per me licet. *Sylb.* * Conſtat interpretem non diſtinxiſſe poſt παρασκευάζων ſed φορτία.

* I

* Non

do in fine utendum eſt. Si enim celebres fuerint, in principio: ſi minus inſignes, ſubjiciendæ erunt, & ultimo loco memorandæ.

VII. Laus autem eadem quæ in laudationibus continebit; & loci iidem ipſi erunt, à patria, à genere, à natura, ab educatione, & quod æquales & ſimiles, atque conſtantes ambo ſint, atque ex ejuſmodi parentibus atque majoribus: atque profecto ſi ex eadem ſint patria, quod jam diu familiares exſtiterint ex loci vicinitate; ſi autem ex diverſis, quod à diis in hanc ſocietatem coacti fuerint: item ſi ex eodem genere ſint, quod amplificatio affinitatis & neceſſitudo, alia ad aliam, acceſſit; proinde vinculum multo firmius & validius effectum eſſe. Quando autem à variis ſtudiis laus petenda, ut à militia, à literis, dicendum, concentum hunc, cum ſapientiæ ſit adjuncta fortitudo, optimum eſſe; taleſque par eſt futuros illos qui ex his ſuſcipiuntur.

VIII. Si autem tu ipſe, qui orationem haberes, uxorem duceres, de hoc ipſo eleganter exordium faciendum: ſcilicet, ſi amatores delicias ſuas laudant, multo quidem magis te decet matrimonium laudare, quam illos ſuas ipſorum delicias: & quod oratione & diſciplina etiam ex hoc utendum eſt, tanquam jam præfari incipias & de filiis vaticinari, quod & ipſos, in iis quæ ad diſciplinam pertinent, præſtantes evaſuros veriſimile.

Dictio qualis eſſe debet.

IX. Ab elocutione vero ſimplici non erit diſcedendum, ſed Xenophontis & Nicoſtrati veſtigiis inhærendum, in paucis ad gravitatem orationem efferendo, ſi alicubi ſententiarum requirat magnitudo.

τέλει. ἐὰν μὲν οὖν πάνυ ἔνδοξα ᾖ, ἐν ἀρχῇ· ἐὰν δὲ ἥττονα, [a] ὑποβάλλοντα καὶ ὑπὸ πᾶσι λέγοντα.

ζ. Ὁ δὲ ἔπαινος ἅπερ ἐν τοῖς ἐγκωμίοις ἕξει, καὶ τόποι οἱ αὐτοὶ, ὁ ἀπὸ τῆς πατρίδος, ὁ ἀπὸ τοῦ γένους, ὁ ἀπὸ τῆς φύσεως, ὁ ἀπὸ τῆς ἀγωγῆς, καὶ ὅτι ἴσοι καὶ ὅμοιοι καὶ βέβαιοι ἀμφότεροι, καὶ ἐκ τούτων πατέρων καὶ προπατόρων· καὶ εἰ μὲν ἐκ τῆς αὐτῆς πατρίδος, ὅτι ἐκ πολλοῦ προσῳκειωμένοι ὑπὸ τοῦ τόπου· εἰ δὲ ἐκ διαφόρων, ὅτι καὶ ὑπὸ θεῶν συνήχθησαν εἰς τὴν κοινωνίαν· εἰ δὲ δὴ ἐκ τοῦ αὐτοῦ γένους εἰσὶν, ὅτι αὔξησις καὶ οἰκειότης συγγενείας ἄλλη ἐπ' ἄλλῃ γέγονε, καὶ δεσμὸς βεβαιότερος καὶ ἰσχυρότερος. ὅταν δὲ ἀπὸ διαφόρων ἐπιτηδευμάτων, ὁ μὲν ἀπὸ στρατείας, ὁ δὲ ἀπὸ παιδείας, [b] καὶ ἁρμονία αὕτη ἀρίστη, τὸ εἰς ταὐτὸν σοφίαν τε καὶ ἀνδρείαν τελεῖν, καὶ οἵους εἰκὸς τοὺς ἀπὸ τούτων γενέσθαι.

η. Εἰ δὲ δὴ αὐτὸς εἴης ὁ γαμῶν ὁ τὸν λόγον διαθέμενος, περὶ αὐτοῦ τούτου προοιμιαστέον χαριέντως, ὥσπερ οὖν καὶ σοὶ ποιητέον, ὅτι εἰ καὶ οἱ ἐρασταὶ τὰ αὐτῶν παιδικὰ ἐπαινοῦσιν, πολὺ δή που μᾶλλον [c] αὐτῷ [d] πρέπει τὸν γάμον ἐπαινεῖν, ἢ τὰ ἑαυτοῦ παιδικά· καὶ ὅτι τῷ λόγῳ καὶ τῇ παιδείᾳ καὶ ἐκ τούτου χρηστέον, ὥσπερ ἤδη προοιμιαζόμενον, καὶ προκαταμαντευόμενον περὶ τῶν παίδων, ὅτι καὶ αὐτοὺς εἰκὸς διαφέροντας περὶ παιδείαν γενέσθαι.

θ. Λέξει δὲ χρηστέον ἀφελεῖ μᾶλλον, ἐγγὺς Ξενοφῶντός τε καὶ Νικοστράτου βαίνοντα, ὀλιγαχοῦ δὲ [e] ἐξαίροντα τὸν λόγον εἰς σεμνότητα, εἴ που τὰ ἐνθυμήματα ἀναγκάζοι.

CAP. III.

De Oratione Natalitia.

Laudes uni[us] ſu-

SEquitur oratio quæ in puerorum nativitate dici conſuevit: (nuptias enim partus ſubſequatur neceſſe eſt) quam & ipſam hoc modo perficere oportet. Cum nativitatis uniuſcujuſque principium ſit dies in qua in lucem editur, ut pauca de die dicantur æquum eſt, quaſi in laudem occaſionis. ſi utique peculiare aliquid præter alios dies habuerit. Si calendis natus ſit, quod menſis ſint principium: principium autem eſt optimum, & à principio ſunt omnia: & quod eſt totius dimidium, vel totum, auctore Platone. Si vero ſeptimus vel ſextus ſit, diis ſacros hoſce dies, & communitatem quandam eſſe cum ipſis ob nativitatem. Poteris veriſimile etiam de nono dicere, quod eſt Soli conſecratus: & quod par eſt, illum, qui ejuſmodi die natus fuerit, illuſtrem evaſurum, & forte etiam (quoniam ea eſt Solis natura) beneficum. Si autem fuerit quintuſdecimus, hunc itidem Minervæ dicari, & in hoc perfectum eſſe plenilunium: & probabile, hanc viri nativitatem ejuſmodi eſſe, ut in ea nihil deſit. Simi-

ΚΕΦ. γ'.

Μέθοδος γενεθλιακῶν.

Ἐχόμενος δέ σοι τούτου ὁ ἐπὶ ταῖς γενέσεσι τῶν παίδων λεγόμενος λόγος· γάμῳ γάρ που γένεσιν ἀνάγκη ἀκολουθεῖν· ὃν καὶ αὐτὸν τελεῖν χρὴ τοῦτον τὸν τρόπον. ἐπεὶ γὰρ ἀρχὴ τῆς γενέσεως τῆς ἑκάστου, ἡ ἡμέρα ἐφ' ἧς ἐγένετο, ἀναγκαῖόν που ὀλίγα ἄττα καὶ περὶ τῆς ἡμέρας εἰπεῖν, οἷον ἐγκωμιάζοντα τὸ προσὸν, εἰ ἄρα ἴδιόν τι ἔχει παρὰ τὰς ἄλλας ἡμέρας ἐπισημαινόμενον. εἰ μὲν τῇ νουμηνίᾳ, ὅτι ἀρχὴ τοῦ μηνός· ἀρχὴ δὲ κράτιστον, καὶ ἐξ ἀρχῆς τὰ πάντα· καὶ ὅτι ἥμισυ τοῦ παντὸς, ἢ τὸ πᾶν, κατὰ τὸν Πλάτωνα. εἰ δὲ ἑβδόμη ἢ ἕκτη, ὅτι ἱεραὶ τοῖν θεοῖν, καὶ ὅτι κοινωνία πρὸς τὸ κρεῖττον κατὰ τὸ τῆς γενέσεως. ἔχοις δ' ἂν καὶ περὶ τῆς [f] ἐνάτης λέγειν, ὅτι ἱερὰ τοῦ Ἡλίου, καὶ ὅτι εἰκὸς ἐπίσημον [g] τοῦ τοιοῦτον γενέσθαι, τάχα δὲ καὶ εὐεργετικὸν κατὰ τὴν τοῦ Ἡλίου φύσιν. εἰ δὲ πεντεκαιδεκάτη εἴη, ὅτι καὶ αὐτὴ τῆς Ἀθηνᾶς, καὶ ὅτι τέλειος ἐν τούτῳ ὁ κύκλος, καὶ εἰκὸς ἀνενδεῆ τὴν τοιαύτην εἶναι γένεσιν τοῦ ἀνδρός.

ὁμοίως

[a] Non inepte fortaſſe legeris ὑπερβάλλοντα, καὶ ἐπὶ πᾶσι λέγοντα, *differentem & poſt reliqua omnia dicentem.* quo loquendi genere infra (p. 44. & 50. in Editione mea) utitur. *Sylb.* Ἐπὶ πᾶσι *Reg.* 1. *Colb.* & *Cant.* [b] Pro καὶ malim ὅτι. *Sylb.* [c] Rectius αὐτῷ, per enallagen ſcilicet pro σεαυτῷ. *Sylb.* [d] Πρέποι *Reg.* 1. *Colb.* & *Cant.* [e] Ἐξαίροντες *Codd. MSS.* [f] Ἐννάτης *Reg.* 1. & *Colb.* [g] Convenientius eodem caſu leges τὸν τοιοῦτον, ut mox (v. 46.) τὴν τοιαύτην: quo modo & *Wolfius* in ſuo libro emendavit. *Sylb.* atque ita plane in *Codd. MSS.*

a Προσ...

ὁμοίως δὲ εἰ καὶ ἄλλη τις ἡμέρα, ἢ τῇ ἀρχῇ ἢ τῷ τέλει [a] προσβιάζοντας, καὶ τὸ πρόσον θεωροῦντας, οὕτω πειρᾶσθαι τὸν ἔπαινον ποιεῖσθαι.

liter de reliquis diebus, quos aut principio aut fini accommodare ſtudebis; & conſideratis iis quæ in medium poſſis afferre, ſic laudem conficere conaberis.

β'. Ἐπὶ δὲ τῇ ἡμέρᾳ τὸν καιρὸν [b] ἐπιθεωρεῖν ἀναγκαῖον, ὁποῖός τις οὗτος· καὶ τοῦ καιροῦ τὸ μὲν κατὰ τὴν ὥραν, οἷον ἐν χειμῶνι, ἢ ἐν ἦρι, ἢ ἐν τοῖς ἑτέροις μέρεσι τοῦ ἔτους, ὥσπερ ἐν τοῖς περὶ τοῦ ἀγῶνος ἐπαίνοις ἐπεσημαινόμεθα τὰς ἰδιότητας τῶν καιρῶν, τῷ μὲν τὸ ἀνδρεῖον, τῷ δὲ τὸ φαιδρὸν [c] ἀπονέμοντας, καὶ τῷ θέρει τὸ πεπληρῶσθαι τὴν γῆν ἐν τούτῳ τῶν ἀγαθῶν, καὶ τῷ λοιπῷ δὲ τὸ ἐν ἀνέσει καὶ ἀναπαύλῃ τῶν ἔργων γενέσθαι. ἐπισημαίνεσθαι δὲ καὶ τὰ συμβεβηκότα ἐνίοτε τοῖς καιροῖς· οἷον εἰ ἐν ἑορτῇ τις γέγονεν, [d] οἷον ἐν Διονυσίοις, ἢ [e] ἐν μυστηρίοις, ἢ ἐν πανηγύρεσίν τισιν. ἅπαντα γὰρ ταῦτα ἀφορμὰς [f] παρέξει σοι εἰς τὸν ἔπαινον.

II. Poſtmodum vero & tempus, cujuſmodi ſit, conſiderare neceſſe erit; & omnem tempeſtatem aut hiemis, aut veris, aut reliquarum anni partium, ut in laudibus ad ludos attinentibus temporum proprietates indicavimus, hiemi ſane fortitudinem, veri ſpecioſam venuſtatem attribuentes, æſtati agrorum fructus & bonorum copiam, reliquo autem tempori operum vacationem & laborum quietem. Erunt præterea ſignificanda quæ aliquando accidere temporibus: uti ſiquis natus ſit die feſto, ſcilicet Bacchanalibus, aut Myſteriis, aut publico aliquo conventu. Hæc enim omnia argumenti facultatem ad proſequendas laudes tibi ſuppeditabunt.

γ'. Ἀπὸ δὲ τούτου ἰτέον καὶ ἐπὶ τοὺς τόπους ἐν οἷς τις γέγονε. πρῶτον μὲν, ἀπὸ τοῦ περιέχοντος τὸ ἔθνος, Ἀσίαν, Εὐρώπην· καὶ τούτου αὖ πάλιν, Ἑλληνικὸν ἢ [g] βαρβαρικόν· ἢ σοφίαν, ἢ ἀνδρείαν τοῦ ἔθνους, ἤ τι τοιοῦτον ἐπισημαινόμενον. εἶτα ἐπὶ τὸ περιεχόμενον· τίς ἡ πόλις, καὶ ἡ μητρόπολις αὐτῶν· ἐχομένη ἡ πόλις μητροπόλεως τῇ τιμῇ [h] τῇ μεγάλῃ, πολυάνθρωπος, εὔφορος πρὸς ἀνδρῶν ἀρετήν, ἢ ἄν τι ἕτερον ἀνδραγάθημα τῆς πόλεως. ἔπειτα τὰ μὲν περιεχόμενα ἐν τῇ πόλει· ποίας τινὸς οἰκίας, ὅτι οὐ φαύλης, ὅτι οὐκ ἀδόξου, γένους ἐνδόξου, ποίων τινῶν προγόνων καὶ πατέρων, καὶ ἔπαινον ἐν βραχεῖ τούτων ἀπὸ τῶν προσόντων.

III. Hinc ad loca, ubi natus eſt aliquis, deveniendum. primum quidem, ab eo quod nationem continet, ad Aſiam, viz. ad Europam: & hinc rurſus explicandum, ſi natio Græca ſit, vel barbara; ſi ſapientiam aut fortitudinem, vel aliquid ejuſmodi præclarum in ſe habuerit. Dein ad illud quod continetur, ut quænam ſit civitas, & ipſorum metropolis: aut ſi ſit principi civitati in honore proxima, ſi ampla & florens, ſi frequens populo, ac ad virorum virtutem fertilis, aut ſi quod aliud ſit civitatis ſtrenue factum. Tum ea quæ in urbe continentur proſequeris, ex qua familia quis natus ſit, quod non ex humili & ignobili, ſed ex præclaro genere; ex quibus avis & parentibus, quorum laudem (prout res copiam ſuppeditaverit) perſtringes.

δ'. Μετὰ ταῦτα δὲ καὶ ἐπ' αὐτὸν ἤδη τὸν ἔπαινον ἰέναι τοῦ ἐγκωμιαζομένου, καὶ οὗ ἡ γενέθλιος· ποίας τινὸς φύσεως κατὰ σῶμα, [i] κατὰ ἰσχύν. εἰ μέγας ἐστὶ, κατὰ τὸν Αἴαντα· εἰ καλὸς καὶ ἀνδρεῖος, κατὰ τὸν Ἀχιλλέα. καὶ εἰ εὔβουλος, ἢ δίκαιος, ἢ σώφρων εἴη, τὰ ἁρμόζοντα πρόσωπα, τὸν Νέστορα, τὸν Θεμιστοκλέα, τὸν Ἀριστείδην, τὸν Φωκίωνα. εἰ χρηστὸς, ὅτι θυμοειδὴς μετὰ τοῦ πρᾴου, [k] καὶ ὅτι ὀξὺς ἐνθυμηθῆναι. κἂν ᾖ μικρὸς, ὅτι μείζων τὴν τῆς ψυχῆς ἀρετήν, κατὰ τὸν Τυδέα, κατὰ τὸν Κόνωνα.

IV. Ad hæc ad laudem illius de cujus laudatione agitur, cujuſque eſt natalis dies, devenies; cujus ſit naturæ, tum in iis quæ ad corpus ac vires attinent. Si magnus ſit, Ajaci; ſi pulcer & fortis, Achilli ſimilem dices. Si prudens, aut juſtus, aut temperans fuerit, congruentibus perſonis, Neſtori, Themiſtocli, Ariſtidi, Phocioni illum æquiparabis. Si facilis ſit, quod & iram quandam manſuetudini admiſtam habeat, ſitque ad cogitandum celer. Si autem parvus ſit, quod animi virtute excellit, ut Tydeus & Conon.

ε'. Οἷός τις τὰ περὶ τὸν βίον, εἰ φιλόκαλος, εἰ φιλοπρεπής· οἷος πρὸς τοὺς ἰδιώτας, πρὸς τὴν πόλιν, κατὰ τὰς φιλοτιμίας τὰς πρὸς τὴν πόλιν. κἂν εἰ ἐπιστήμης τινὸς ἐπίβολος εἴη, οἷον ἰατρικῆς, ἢ ῥητορικῆς, ἢ φιλοσοφίας, τελικῶς ἐπάγοντα τὸν ἐν τούτοις ἔπαινον, εἰς ὅσα τούτων ἕκαστον χρήσιμον. οὕτω γὰρ ἂν [l] ἀμφιλαφὴς ὁ λόγος γένοιτο· ποῖος ἤδη γέγονεν, ποῖός ἐστιν ἐν τῷ παρόντι, καὶ [m] ποῖον εἰκὸς ἔσεσθαι εἰς τὸν μέλλοντα χρόνον. ἐν τούτῳ δὲ γενόμενοι, οὐκ ἀπὸ τρόπου ἂν ποιοῖμεν καὶ εὐχόμενοι τοῖς τε ἄλλοις καὶ τοῖς [n] γενεθλίοις περὶ τοῦ μέλλοντος βίου, καὶ τοῦ ἀμείνω τοῦ παρεληλυθότος

V. Explicabis etiam, qualis ſit in iis quæ ad vitam pertinent: ſi elegans ſit, ſi magnificus. qualis in privatos, qualis erga civitatem, in iis etiam quæ ad honoris & gloriæ ſtudia ſpectant. Item ſi in aliqua ſcientia emineat, ut in medicina, rhetorica, aut philoſophia; appoſite, ut debet, laus ex iis inducenda erit, ad quæcunque horum ſingula utilia videbuntur. Sic enim copioſa fiet oratio; ut conjicere liceat, qualis olim jam fuit, qualis impræſentiarum, qualemque in poſterum fore veriſimile eſt. In hoc autem cum erimus, non alienum fuerit, ſi tam ab aliis diis, quam ab iis qui nativitatibus præſunt, precibus petierimus; ut vita futura melior ſit quam prætertia,

a Προσβιάζοντας *Reg.* 1. & *Colb.* Προσβιάζοντας *Cant.* *b* Θεωρεῖν *Cant.* *c* Ἀπονέμοντες *Codd. MSS.* *d* Οἷον εἰ ἐν Δ. *Cant.* *e Sc.* ἐν Ἐλευσινίοις. nam Cereris Eleuſiniæ ſacra, Eleuſinia dicta, μυστήρια etiam κατ' ἐξοχὴν appellata ſunt. Vide *Meurſium* de Eleuſiniis. *f* Ita & *Wolfius* legit: nec aliter in *Codd. MSS.* Παρέξαι ediderunt *Ald.* & *Steph.* *g* Βάρβαρον *Codd. MSS.* & mox ἀνδρείαν. *h* Deeſt *Reg.* 1. Ει vel ἢ μεγάλη, π. legiſſe videtur interpres. *i* Καὶ ἰσχὺν *Cant.* *k* Omittit *Cant.* *l* Ἀμφιλαφὴς *Codd. MSS.* *m* Ita etiam *MSS.* ποῖος ediderunt *Ald.* & *Steph.* *n* Γενεθλίοις θεοῖς in *Codd. MSS.*

terita, ac ut confectis multis temporum ſpatiis, ad viridem felicemque ſenectutem perveniat.

CAP. IV.

De Oratione Epithalamia.

ANte orationem de nativitate (id enim me fere præterierat ob tumultum & turbationem diſceſſus) tractanda eſſet oratio quæ apud thalamum dici conſuevit: nam & illa proxima eſt ſimplicibus orationibus, eademque cum nuptiali oratione, niſi quod differt tantum tempore, quia nuptiis conſummatis hæc recitatur: in reliquis tamen prædictæ orationi penitus reſpondere videtur, & poſt nuptias veluti Hymenæorum loco canitur. Sunt igitur etiam apud Sappho hujus formæ exempla, cum odæ *Epithalamii* inſcriptionem habeant. Verum quia carminis & ſolutæ orationis non eadem eſt tractatio; ſed ſicuti metris, ita etiam mentis conceptu & ſententiis hæc differunt; hoc pacto hanc itidem orationem commode tractari poſſe cenſeo, ſi in exordio ſtatim hoc ſignificaveris, alios quidem Hymenæum canere conſueviſſe, nos vero Hymenæi loco orationem habere, non tibiis, aut citharis, neque ædepol aliquo ejuſmodi cantu, ſed eorum laudibus & hymnis qui matrimonio copulantur.

Præcepta de hac oratione.

II. Poſt hæc deinceps adducendum erit, quod hominibus exſiſtentibus nuptiæ neceſſariæ ſunt: (ex his enim humani generis ſalus) & quæcunque alia bona ad nuptias pertinent, oratione proſequeris. Devenies poſtea ad perſonas, quæ ad nuptias convenere, & quænam hæ ſint, explicabis: in quo de ipſarum origine, de educatione, de corporum pulcritudine, de ætate; quot fortunæ bona habeant: atque de ſtudiis eorum & moribus diſſerendum; quod diligentiam, uti matrimonium atque conjunctio efficeretur, adhibuerint; & quo animo ſint nuptiarum cauſa familiares, itemque alieni, & civitas ipſa publice: atque matrimonium plane omnibus curæ eſſe; & nuptias conventui alicui, & calendarum celebrationi, & civitatis ſolenni feſto ſimiles exſiſtere. Sicuti autem in nuptialibus, poſt reliqua, illud inſpicere dignum putamus, uti ſi ex eadem patria, ſi ex eodem genere: ita in his quoque ejuſmodi orationis partem non minimi faciendam eſſe duces.

III. Poſt laudes vero & laudationes, cohortatio quædam nuptias celebrantibus accedat, ad mutuum inter ſe ſtudium exercendum, ac ad unum idemque ſentiendum. Dein memorans quot bona ex hujuſmodi concordia & amore neceſſario contingant, ab univerſali materia ad ſingularem propriamque orationem trahes: videlicet quod concordia omnibus eſt bonorum dux, & potiſſime matrimo-

γενέσθαι τοῦτον, καὶ πολλὰς περιόδους χρόνων τελέσαντα, εἰς λιπαρὸν καὶ εὐδαίμονα γῆρας παρελθεῖν.

ΚΕΦ. δ'.

Μέθοδος ἐπιθαλαμίων.

ΠΡΟ δὲ τοῦ περὶ τῆς γενέσεως λόγου· μικροῦ γάρ με παρῆλθεν ὑπὸ τοῦ θορύβου καὶ τῆς ταραχῆς τῆς περὶ τὴν ἔξοδον· ὁ ἐπὶ τῷ θαλάμῳ λεγόμενος λόγος. [a] ἐχόμενος δέ τοι μάλιστα καὶ ἀκόλουθος εἴη τοῖς ἀμίκτοις τῶν λόγων σχεδὸν, εἷς καὶ ὁ αὐτὸς ὢν τῷ γαμικῷ, πλὴν τῷ χρόνῳ διαφέρων, ἐπὶ τετελεσμένοις τοῖς γάμοις λεγόμενος οὗτος· οὐ μὴν τοῖς γε ἄλλοις ἀπᾴδων τῶν προειρημένων, καὶ ὥσπερ ἀντὶ Ὑμεναίων ἐπᾳδόμενος τοῖς γάμοις ἐστίν. [b] εἰ μὲν οὖν καὶ παρὰ Σαπφοῖ τῆς ἰδέας ταύτης παραδείγματα, [c] ΕΠΙΘΑΛΑΜΙΟΣ οὕτως ἐπιγεγραμμέναις ταῖς ᾠδαῖς· ἀλλ' ἐπειδὴ οὐχ ἡ αὐτὴ [d] μεταχείρησις ποιήσεώς τε καὶ πεζοῦ λόγου, ἀλλ' ὥσπερ τοῖς μέτροις, οὑτωσὶ δὲ καὶ τοῖς ἐννοήμασι διενήνοχε ταῦτα, τοῦτον ἄν μοι δοκεῖ τὸν τρόπον καὶ τοῦτον τὸν λόγον προσφόρως μεταχειρίσασθαι, εἰ ἐν μὲν τῷ προοιμίῳ εὐθὺς αὐτὸ τοῦτο ἐπισημαίνοιο, ὅτι οἱ [e] μὲν ἄλλοι τὸν Ὑμέναιον ᾄδουσιν, ἡμεῖς δὲ ἀντὶ τοῦ Ὑμεναίου τὸν λόγον, οὐχ ὑπ' αὐλοῖς, ἢ πηκτίσιν, ἢ νὴ Δία καλλιφωνίᾳ τινὶ τοιαύτῃ, ἀλλ' ἐπαίνοις καὶ ὕμνοις τῶν γεγαμηκότων.

β'. Εἶτα ἐπὶ τούτοις ἐπάγειν ὅτι ἀναγκαῖος ὁ γάμος ἀνθρώποις γε οὖσι· σωτηρία γὰρ τοῦ γένους· καὶ ὅσα ἀγαθὰ εἰς γάμον. εἶτα μεταβήσῃ ἐπὶ τὰ πρόσωπα τῶν [g] συνιόντων εἰς τὸν γάμον, ὁποῖοί τινες οὗτοι· ἐν ᾧ περὶ γένους ἐρεῖς αὐτῶν καὶ [h] τροφῆς, καὶ περὶ κάλλους σωμάτων καὶ ἡλικίας· ὅσα ἐκ τύχης αὐτοῖς πρόσεστιν· καὶ περὶ ἐπιτηδευμάτων, ὅτι σπουδὴν ἔσχον περὶ τὸν γάμον καὶ τὴν σύζευξιν αὐτήν· ὅπως διάκεινται ἐπὶ τῷ γάμῳ οἱ οἰκεῖοι, οἱ ἀλλότριοι, ἡ πόλις αὐτὴ δημοσίᾳ· ὅτι πᾶσι διὰ σπουδῆς ὁ γάμος ἐστί· καὶ ὁ γάμος ἔοικε πανηγύρει τινὶ, καὶ νεομηνίᾳ, καὶ δημοτελεῖ ἑορτῇ τῆς πόλεως. ὥσπερ δὲ ἐν τοῖς γαμικοῖς ἠξιοῦμεν πρὸς τοῖς ἄλλοις ἐπισκοπεῖν, οἷον, εἰ ἐκ τῆς αὐτῆς πατρίδος, εἰ ἐκ τοῦ αὐτοῦ γένους, οὑτωσὶ δὲ μηδὲ ἐν τούτῳ παρὰ φαῦλον ποιεῖσθαι τὸ μέρος τοῦ λόγου τούτου.

γ'. Ἐπὶ δὲ τοῖς ἐπαίνοις καὶ τοῖς ἐγκωμίοις καὶ προτροπή τις ἔστω τοῖς γαμοῦσι πρὸς τὸ σπουδάζειν περὶ ἀλλήλους καὶ ὁμονοεῖν ὅτι μάλιστα· καὶ ὅσα ἀγαθὰ ἐκ τῆς τοιαύτης ὁμονοίας καὶ φιλίας ἀνάγκη συμβαίνειν, ἀπὸ τοῦ καθόλου ἐπὶ τὸ ἴδιον ἄγοντα τὸν λόγον· ὅτι ὁμόνοια πᾶσι μὲν ἀνθρώποις ἡγεῖται τῶν ἀγαθῶν, μάλιστα δὲ τοῖς γεγαμηκόσι. καὶ εἰς τοῦτο

καὶ

a Ἐχόμενον δέ τι μάλιστα καὶ ἀκόλουθον *MSS.* *b* Pro εἰ μὲν οὖν cum *Antimacho* & *Stephano* legemus ἔτι μὲν οὖν. *Sylb.* Ἦν μὲν οὖν in *Codd. MSS.* *c* Forſan ſic legendum, ἐν ταῖς ἐπιθαλαμίοις οὕτως ἐπιγεγραμμέναις ᾠδαῖς. quanquam etiam nominandi caſu legere poſſumus αἱ ἐπιθαλάμιοι οὕτως ἐπιγεγραμμέναι ᾠδαί, vel ſingulariter ἡ ἐπιθαλάμιος οὕτως ἐπιγεγραμμένη ᾠδή, ut ſupra (p. 53. v. 38.) τοιοῦτον γὰρ Σαπφικόν τι ἐπιθαλάμιον τινί. Loquendi autem genus illud cum adverbio οὕτως uſurpatum etiam ſupra p. 64. v. 12. & alibi. *Sylb.* Cum vulgatis conſentiunt *MSS.* niſi quod ἐπιγραφομέναις pro ἐπιγεγραμμέναις habeant. *d* Ut hîc μεταχείρησις ſcriptum, & mox (v. 19.) μεταχειρίσασθαι, ita & infra p. 64. (juxta *Ed. Sylb.*) ejuſdemque generis alia diverſitas notata ſupra p. 64. v. 14. *Sylb.* Μεταχείρησις legit *Wolfius.* Ἐπιχείρησις in *Cod. Cant.* *e* Omittunt *Colb.* & *Cant.* *f* Ex τῶν γάμων *Reg.* 1. *g* Συνιόντων mavult *Wolfius.* *h* Alibi ἀναστροφῆς.

a Ἐνδέξα

καὶ τὸ τοῦ Ὁμήρου παρακλητέον ᵃ ἐνδόξῳ χρήσει χρώμενον, ὅτι οὐδὲν μεῖζον ἀγαθόν,

ᵇ Ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
Ἀνὴρ ἠδὲ γυνή. ———

τινὰ μὲν ἐκ τούτου τοῖς ἐχθροῖς ἀνιαρά, τινὰ δὲ ἡδέα τοῖς φίλοις. ἐπὶ τέλει δὲ καὶ εὐχῇ χρῆσθαι, ὅπως ὅτι τάχιστα παῖδες γένοιντο, ὡς καὶ τούτων ἐπιδεῖν γάμους, καὶ ᾆσαι τὸν Ὑμέναιον, καὶ ὑπόθεσιν ἔχειν αὖθις τοιούτων λόγων.

nio conjunctis. Ad quod illud Homeri omnium ſermone celebratum tibi adducendum erit; nullum majus bonum,

Quam dum concordes conſiliis ædes habitent
Vir atque conjunx. ———

quanto ob eam rem inimici dolore, quantaque amici voluptate afficiantur. Poſtremo precibus uteris, ut quam primum liberi ſuſcipiantur, quo eorum nuptias adſpicere, Hymenæum canere, & ejuſmodi orationum materiam occaſionemque rurſus habere poſſimus.

ΚΕΦ. έ.

Μέθοδος προσφωνηματικῶν.

Ἰσοκράτης μὲν ὁ σὸς ἑταῖρος καὶ ἐμός, ὦ Ἐχέκρατες, εἴπερ ἄλλο τι, φησὶ χρῆναι προσεῖναι τοῖς σπουδαίοις ἀνθρώποις, ἐν ΤΗ ΠΑΡΑΙΝΕΣΕΙ τῇ πρὸς ᶜ τὸν Ἱππονίκου, καὶ τὴν φιλοπροσηγορίαν· ὅπερ ἐστὶ τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας, ὡς αὐτός φησιν. εἰ δὲ καὶ ἰδίᾳ χρὴ πρὸς ἕκαστον τοῦτο ποιεῖν, ὅπως καὶ τοὺς ἰδιώτας ὡς ὅτι μάλιστα οἰκειοτέρως καὶ εὐμενεστέρως ἔχειν πρὸς ἡμᾶς ᵈ παρασκευάζοιμεν ἐκ τῆς τοιαύτης φιλο-
38 προσηγορίας· πολλῷ δή που ἀναγκαιότερον τὸ πρᾶγμα, καὶ ὁ τοιοῦτος τρόπος τῆς προσφωνήσεως, εἰ πρὸς τοὺς ἐν τέλει καὶ ἐν ἀρχαῖς γινομένους ἀφ' ἡμῶν γίγνοιτο, μάλιστά γε δὴ τοὺς ἑκάστοτε ἐκ βασιλέων εἰς τὰ ἔθνη καὶ τὰς πόλεις τὰς ἡμετέρας παραγινομένους, ὅπως καὶ αὐτοὺς διὰ τοιούτου τρόπου, καὶ πρὸς ἡμᾶς καὶ πρὸς τὰς ᵉ αὐτῶν πατρίδας οἰκειοτέρως διακεῖσθαι παρασκευάσαιμεν. ἐπεὶ δὲ καὶ τὸ πρᾶγμα ἤδη ἐπιχωριάζει ἐπὶ πᾶσι, καὶ καθάπερ τις οὗτος ὁ νόμος καὶ θεσμὸς διελήλυθε διὰ πάντων, ὡς εὐθὺς ἅμα τε τῇ πρώτῃ τῶν πυλῶν, ὡς ἂν εἴποι τις, εἰσόδῳ προσφωνεῖν τούτους δημοσίᾳ τὰς πόλεις ὑφ' ἑνός τινος τῶν ἀρίστων κατὰ τὴν παιδείαν, ὥσπερ δημοσίᾳ τινὶ φωνῇ καὶ κοινῷ προσαγορεύματι ᶠ προσαγορευόντος. φέρε οὖν εἴπωμέν τι καὶ περὶ τούτων τῶν λόγων, ὅπως ἂν καὶ τούτους ἄριστα καὶ ῥᾷστα μεταχειριζοίμεθα.

β'. Καθόλου μὲν ὁ τρόπος αὐτοῦ τοιοῦτος, ὡς σύστασίν τινα ἔχειν τῆς αὐτοῦ πατρίδος πρὸς τοὺς ἄρχειν μέλλοντας. δεῖ δὲ οὐκ αὐτὸ τοῦτο μόνον πραγματεύεσθαι ἐν τῷ λόγῳ, ἀλλὰ μηδὲ αὐτοῦ ἐν τῷ τοιῷδε ὀλιγώρως ἔχειν. ἀρχὴ οὖν ἐμοὶ δοκεῖ ἀναγκαιοτάτη ἂν ᵍ αὐτῇ γενέσθαι περὶ αὐτοῦ τε εἰπεῖν, καὶ τῆς ἑαυτοῦ προαιρέσεως, καὶ δι' ὅ,τι προκεχείρισται ἐκ πάντων ἐπὶ τὸν λόγον, καὶ ὅ,τι ἀναγκαία αὐτῷ ἡ ὑπόθεσις τοῦ λόγου. ἐχέτω δὲ ἐν τούτῳ καὶ θεραπείαν τινὰ τοῦ ἄρχοντος, ὡς ʰ ἀποδεχομένου τοὺς τοιούτους ἅπαντας, καὶ οἷον αὐτοῦ χεῖρα ὀρέγοντος, διόπερ καὶ ἑτοιμότερον ὑπήκουσε· καὶ ὅτι ἦν μὲν καὶ ἀκούειν τοῦτο εὐθὺς περὶ αὐτοῦ, πολὺ δὲ ἔτι ἐναργέστερον τῇ ὄψει αὐτῇ

CAP. V.

De Oratione Compellatoria.

Iſocrates quidem ille tuus meuſque amicus, O Echecrates, inter alia, quæ in *Admonitione* ad Hipponici filium, decere judicat virum probum, facilitatem atque affabilitatem maxime requirit; cujus proprium eſt obvios quoſque ſalutare & blande compellare. Si vero inter noſmet etiam privatim ea conſuetudine uti debeamus, ad familiaritatem nobis ſingulorum amicitiamque tali comitate atque urbanitate conciliandam: multo magis neceſſaria eſt res, ſumma cum humanitate eos excipere, qui clavum tenent reipublicæ rerumque potiuntur; præſertim vero qui à Regibus legati urbium populorumque noſtrorum obtinent principatum: ut hac ratione ipſos erga nos atque adeo patriam univerſam propitios magis atque benevolos reddamus. Nam & hoc more quidem inſtitutoque omnium fere receptum eſt, & quaſi lex quædam ab omnibus ſervanda ſancita videatur; ut illi, primo ſtatim (ut dixerit quiſpiam) ad urbem acceſſu, à docto aliquo & literato viro communi urbis totius voce ſalutentur. Age igitur, atque experiamur aliquid dicere de hujuſmodi orationibus, quo melius faciliuſque à nobis tractari poſſint.

II. In univerſum autem hæc in iis ſervanda methodus, ut quandam præ ſe ferant patriæ commendationem ad eos qui reip. curam ſuſcepturi ſunt: neque hoc ſolum ſibi proponere debet oratio, ſed & noſmet aliquo modo reſpiciat neceſſe eſt. Primo quidem res poſtulat ut de nobis ipſis verba faciamus, necnon inſtitutum noſtrum animique conſilium in medium adferamus; atque argumenti ad hæc neceſſitas eſt explicanda, quam ob cauſam in eam ingreſſi ſumus orationem. Hinc principis gratia prædicanda, utpote tales ad provinciæ adminiſtrationem mittentis, & quaſi manum nobis porrigentis: cui idcirco promptius ſit obtemperatum, quod non tantum auditu perceptum eſt, ſed & manifeſtius in

Methodus hujus orationis.

a Ἐνδόξῳ ῥήσει χρώμενον legit *Wolfius*. b Ex *Homeri* Odyſſ. ζ. v. 183. c Τὸν Ἱππονίκου legendum eſſe, pro vulgato τῇ Ἱππόνικον, *Muretus* quoque pridem monuit in *Var. Lect.* c. 1. ubi etiam ex hoc *Dionyſii* loco docet Παραίνεσιν *Iſocratis* ad Demonicum Hipponici filium ſcriptam, non ad veterem *Iſocratem*, ſed ad recentiorem, *Dionyſii* ſcilicet æqualem & familiarem, eſſe referendam. *Sylb.* Verum inquit *Colomeſius*, ex eo quod *Iſocratem* appellat ἑταῖρον *amicum* (ut vertendum eſſe oſtendit *Cotelerius* ad *Chryſoſt.* in *Danielem*) non recte evincit *Iſocratem* hunc circa *Dionyſii* tempora floruiſſe: nam *amicus* non modo is eſt qui eadem nobiſcum ætate luce fruitur, ſed etiam qui longo tempore ante nos vixit. Vide *Colomeſii* Opuſcula cap. IX. d Παρασκευάζωμεν in *Codd. MSS.* e Αὐτῶν & mox (v. 34.) ἑαυτῶν *Cant.* f Προσαγορεύοντες *Codd. MSS.* g Legendum videtur vel αὕτη vel αὐτῷ. *Sylb.* h Ἀποδεικνυμένου legiſſe videtur interpres.

in vultu perſpectum; ex cujus ſplendore, tanquam in ſpeculo, mores dexteritaſque in negotiis gerendis clare eluceſcant. Ita inſtituta oratione, ad regis ipſius laudes procedendum: ſed levius perſtringantur, quod ad eas celebrandas vix univerſum ſufficiat tempus, & quod alterius, non præſentis, orationis eſſe debeant argumentum. Hæc vero ſit oportet totius laudationis concluſio: inter cæteras ejus laudes eam nequaquam infimam eſſe, quod ad hanc præfecturam obeundam talem virum delegerit, qui virtutibus ejus & veſtigiis inſiſtet.

III. Atque hinc ad prætoris laudes progrediendum: quæ ducendæ à genere, ab animi corporiſque dotibus, & ab inſtitutione. Ea, ſi nota ſint & manifeſta, verbis quam ampliſſimis recenſenda; ſin vero ignota atque incerta, adferantur in medium veriſimilia: certum nimirum eſſe, ei, qui ad hoc munus tam honorifice ſit aſſumptus, nihil defuiſſe vel ad natalium ſplendorem, vel ad ingenii præſtantiam, vel ad educationis curam, ſed ideo ad hanc dignitatem evectum. Quæ autem nota ſunt, ea accuratius oratione illuſtranda: veluti, qui prima ætate talis extiterit, quid non de eo in poſterum exſpectandum? & quod ætate licet juvenis ſit, prudentia tamen ſenex. Si vero ſenectutem attigerit, quod in variis rebus virtutem ſuam teſtatam fecerit, ideoque merito ei hoc imperium commiſſum: atque id felicioris ejus indolis indicium eſſe, quod in ſenectute vigeat floreatque. Quinetiam ſi vultu majeſtatem præ ſe ferat; neque id ſilentio prætereundum. Si vero literis ſit imbutus, doctrinæ encomium adjiciendum; & non niſi viris ſcientia præſtantibus ad honores & imperia aditum patere. Si Romanæ linguæ peritus ſit, cum Romanis; ſi Græce ſciat, cum Græcis præſtantiſſimis comparandus: atque ideo juſtum eſſe, temperantem, & in judiciis æquiſſimum. Itaque & antiquorum exempla proferenda, ut Ariſtidis & Themiſtoclis, quibus illum non modo ſimillimum eſſe & æqualem prædicabis, ſed & ſuperiorem.

IV. Quod ſi ab eo præclara quædam olim geſta fuerint, vel etiam munera primaria in exercitu aut rep. adminiſtrarit, & hæc quoque in laudes adjecta ſunto: quinimo * & honorum etiam, qui majoribus ipſius forte obtigerunt, fiat peculiaris mentio. Atque hinc ſequatur ſermo ad conciliandam civitatis benevolentiam hortatorius, quo oſtendetur ipſam pulcerrimam de eo ſpem habere. manifeſtum enim ex eo quod urbs tam benigne eum exceperit, omneſque humanitate ac comitate adeo ſingulari proſecuta fuerit, cumque iis ſermones miſcuerit, ipſam non ſine ratione hoc feciſſe. Hujuſmodi nimirum eſſe civitatem, quæ ſingulis, de ea bene mereri ſtudentibus, vices rependat.

V. Deinde procedat ad laudes urbis, quæ petendæ ab origine ipſius; à vectigalium magnitudine; ab incolarum eruditione; à regione ſtipendiaria, unde annui cenſus:

πέφυκεν ἀτεχνῶς, οἷον ἐκ τοῦ προσώπου καὶ τῆς φαιδρότητος, ὥσπερ ἐν κατόπτρῳ, τοῦ ἤθους καὶ τῆς πρὸς ταῦτα δεξιότητος φανερῶν γινομένων. οὕτω δὲ προκατασκευασάμενον τὸν λόγον, ἑξῆς ἰτέον ἐπὶ τὸ ἐγκώμιον τοῦ βασιλέως, ἐν βραχεῖ τοῦτο [a] ποιησάμενον, ὅτι οὐδὲ ὁ σύμπας χρόνος [b] ἐξαρκέσαι πρὸς τοῦτο, καὶ ὅτι ἑτέρου καιροῦ, οὐ τοῦ παρόντος. κατακλείσας δὲ τὸ ἐγκώμιον εἰς τοῦτο, ὅτι ἕν τι τῶν καλῶν τοῦ βασιλέως καὶ τοῦτο, τὸ τοιοῦτον ἄνδρα ἐπιλεξάμενον καταπέμψαι ἐπὶ τὸ αὐτὸ ἔθνος οὐ πόρρω βαίνοντα τῆς [c] αὐτοῦ προαιρέσεως.

γʹ. Καὶ ἐντεῦθεν ἀρχέσθω σοι τὸ ἐγκώμιον τοῦ ἡγουμένου. χρήσῃ δὲ καὶ ἐνταῦθα τοῖς ἐγκωμιαστικοῖς λόγοις, ἀπὸ γένους, ἀπὸ φύσεως, ἀπὸ ἀνατροφῆς, εἰ μὲν φανερὰ εἴη, καθ᾽ ἕκαστον ἀκριβῶς διεξιόντα· εἰ δὲ ἄδηλα, κατὰ τὸ πιθανὸν προσάγοντα, ὅτι ἀνάγκη τὸν τηλικούτων καὶ τοιούτων κατηξιωμένον, οὐ γένει, οὔτε φύσει, οὔτε ἀνατροφῇ λείπεσθαί τινων, ἀλλὰ διὰ ταῦτα προκεκρίσθαι. τά γε μὴν φανερὰ ἀκριβέστερον ἐπισημαινόμενον, οἷον, ἐν νέᾳ ἡλικίᾳ τοιοῦτος, τί χρὴ προσδοκᾶν εἰς τὸν μέλλοντα χρόνον; καὶ ὅτι νέος μὲν τὴν ἡλικίαν, πρεσβύτερος δὲ τὴν φρόνησιν. εἰ δὲ πρεσβύτης, ὅτι ἐν πολλοῖς δοὺς πεῖραν ἑαυτοῦ τῆς ἀρετῆς, εἰκότως καὶ τὴν ἀρχὴν ταύτην ἐπιστεύθη· καὶ ὅτι καὶ τοῦτο τῆς εὐμοιρίας τῆς περὶ αὐτόν, τὸ ἐν τῷ γήρᾳ ἀκμάζειν. εἰ δὲ δὴ καὶ σεμνότης τις προσείη τῷ προσώπῳ, μηδὲ τοῦτο παρέργως παρατρέχειν. εἰ φιλόλογος εἴη, ἐγκώμιον παιδείας, καὶ ὅτι οἱ πεπαιδευμένοι μάλιστα ἄξιοι ἀρχῆς καὶ τοιαύτης ἡγεμονίας. καὶ εἰ μὲν τὴν Ῥωμαϊκὴν διάλεκτον εἴη πεπαιδευμένος, τοῖς ἀρίστοις τῶν Ῥωμαίων παραβάλλειν· [d] εἴ τε τὴν Ἑλληνικὴν, τοῖς τῶν Ἑλλήνων· διὰ τοῦτο δὲ καὶ δίκαιος, καὶ σώφρων, καὶ περὶ τὰς δίκας ἀκριβής. παραδείγμασι δὲ καὶ ἐπὶ τούτῳ χρηστέον προσώποις, τῷ Ἀριστείδῃ, τῷ Θεμιστοκλεῖ ἐφαρμόζοντα, καὶ παραβάλλοντα, καὶ τούτων ἀμείνω ἀποφαίνοντα.

δʹ. Ἐὰν δὲ ἔχωμεν καὶ πράξεις τινὰς αὐτοῦ προγεγενημένας, καὶ ἀρχὰς [e] προηγουμένας λέγειν ἢ ἐν στρατείαις ἢ ἐν διοικήσεσιν, καὶ ταύτας παρατιθέναι. ἐὰν δὲ καὶ τιμὰς ἔχωμεν αὐτοῦ πατέρων γενομένας λέγειν, καὶ τούτων χρὴ μνημονεύειν. καὶ ἐντεῦθεν προτροπὴ καὶ παράκλησις πρὸς εὔνοιαν τῆς πόλεως, [f] ἐπισημηνάμενον ὅτι χρηστὴν ἐλπίδα περὶ τούτου ἔχουσι. φανερὸν γάρ τοι ἀπὸ τοῦ οὕτως ἀποδέξασθαι τὴν πόλιν, ἀπὸ τοῦ φιλανθρώπως καὶ εὐπροσηγόρως ἅπασι προσενεχθῆναι καὶ ὁμιλῆσαι, ὅτι [g] εἰκότως τοῦτο ἐποίησεν. τοιαύτη γὰρ ἡ πόλις, οἷα ἀμείβεσθαι τοὺς εὖ χρησαμένους ἑαυτῇ.

εʹ. Καὶ ἐντεῦθεν ὁ ἔπαινος ὁ περὶ τῆς πόλεως, ἐὰν λέγῃς περὶ γένους αὐτῆς, περὶ δυνάμεως τῆς ἐν ταῖς προσόδοις, περὶ παιδείας τῶν ἐνοικούντων, περὶ χώρας τῆς ὑποτελοῦς ἀφ᾽ ἧς ἡ προσο-

a Καὶ αὐτὸ τοῦτο ἐπισημηνάμενον post ποιησάμενον adjicit *Reg.* 1. *b* Si quis malit ἐξαρκέσει vel ἐξαρκέσῃ, per me licet. *c* Ἑαυτοῦ *Cant.* *d* Rectius (opinor) legeris εἰ δέ. *Sylb.* *e* Προηνυσμένας *Reg.* 1. & *Colb.* *f* Accuſativum ἐπισημηνάμενον reſpicit gerundium: ea nimirum ſtructuræ forma qua v. 3. οὕτω δὲ προκατασκευασάμενον τὸν λόγον, ἑξῆς ἰτέον ἐπὶ τὸ ἐγκώμιον τοῦ βασιλέως. Sic etiam v. 11. & pag. ſeq. v. 1. *Sylb.* *g* Εἰκότως καὶ τοῦτο *Cant.* * *Al.* honores quoque dignitateſque à majoribus exhibitæ commemorandæ ſunt.

In

ἡ πρόσοδος, εἰ μὲν πολλὴ εἴη, εἰς ἰσχὺν τῆς πόλεως ἀναφέροντα· εἰ δὲ ὀλίγη, ὅτι ἀρκεῖται καὶ ταύτῃ. ὅπουπερ ἂν οἰκιστὴν ἀναγκαῖον εἰπεῖν, ἐάν τε θεὸς, ἐάν τε ἥρως εἴη, εἴτ' οὖν τῶν ἀρχαίων τις, εἴτ' οὖν τῶν ἔναγχος γεγενημένων βασιλέων. εἰ οὖν καὶ μύθους τινὰς [a] ἔχοιμεν προσόντας τῇ
39 πόλει, μηδὲ τούτους παραλιπεῖν. μετὰ ταῦτα περὶ μεγέθους τῆς πόλεως, περὶ κάλλους, περὶ θέσεως, εἴτε ἠπειρωτικὴ εἴη, εἴτε ἐπιθαλαττίδιος, ἢ νησιῶτις. καὶ εἴ τινας τιμὰς ἔχοιμεν [b] περὶ βασιλέων, μηδὲ ταύτας παραλιπεῖν, κἂν εἰ πράξεις τινὰς προγεγενημένας, ἢ παλαιὰς ἢ νέας, ἢ εἰ τιμὰς προϋπαρξάσας παρ' ἡμῶν πρὸς τοὺς ἄρχοντας τοὺς προγεγενημένους.

quæ ſi ampla ſit, ad urbis robur & potentiam etiam hoc referendum: ſi parva, ei tamen ſufficere dicendum. Ubi & urbis conditorem laudare neceſſe erit; utrum deus fuerit, an heros, aut quis antiquorum regum, ſive ex iis unus qui nuper vixerit, memorandum. Neque demum fabulæ, ſi quæ ad urbem ſpectant, prætereundæ. Adjiciatur & aliquid de magnitudine urbis, ejuſque pulcritudine; atque etiam de ſitu, utrum in continenti ſit, aut mari vicina, aut denique inſula. Recenſendi inſuper honores, ſi quos à regibus acceperit, res item olim aut nuper præclare geſtæ; atque honores, ſi quos principibus prioribus & ipſa exhibuerit.


hîc vero commemorare? Et ſi quis dicat, ideo Diomedem hæc facere, quod inter cæteros in pugna optime ſe geſſerit, declarat virum rerum imperitum parum moderate uſum proſperitate. Quid igitur hæc ſibi volunt? Maxima hæc Agamemnonis accuſatio, à Diomede inſtituta, Regi patrocinatur. Cum enim vellet in gratiam ejus perſuadere Græcis ne diſcederent, ſimulata in ipſum ira & dicendi libertate; ipſos, ut manerent, hortatur, &, velut indigne ferens, quod Agamemnon crederet, Græcis poſſe perſuaderi, ut navibus in patriam redirent, hac orationis libertate apud ipſum utitur; & conviciis ſuæ cauſæ argumentum artificioſe conjungit,

Improbe degenerem ſperaſti poſſe notari
Omnibus è Danais, qui te et tua dicta probaret?

Et quæ deinceps recenſet, jubens Agamemnonem, ſi videatur, navigio diſcedere; Græcos autem non poſſe adduci ut abirent affirmabat. Tandem vero juveniliter admodum ſe jactans,

——— ſin minus ipſi,
Jam patriam repetant ———
Nã mihi cũ Sthenelo mens eſt ſubſiſtere caſtris
Et finẽ exſpectare urbis: nos numina curant.

Hoc tibi habeto exemplum patrocinantis ei, quem accuſat, figuratæ dictionis auxilio.

XIV. Neſtor autem, qui Diomedi in dicendo ſucceſſit, quidnam agat videamus, & in orationis artificium inquiramus; ſi prius conſideraverimus, quæ eſſet orationis futura abſurditas, ſi abſque figura intelligatur. Laudat ſiquidem ob prædicta Diomedem; ſic tamen laudat, ut non omnia ipſum oratione perſecutum dicat, cujus rei cauſam in ætatem [juvenilem] rejicit. pollicetur autem ipſe dicturum ſe, & omnia enarraturum. Deinde longo

ἀσυμφώνως τῇ αὐτοῦ γνώμῃ καὶ ἀνακολούθως τῇ τοῦ προοιμίου θεραπείᾳ,

[a] Ατρείδη, σοὶ πρῶτα [b] μαχήσομαι ἀφραδέοντι,
Η θέμις ἐστὶν ἄναξ ἀγορῇ· σὺ δὲ μή τι χολωθῇς.

τὸ μὲν προοίμιον ἀνδρὸς πρᾴου, τὴν μέλλουσαν παῤῥησίαν ὡς ἐπὶ συμφέροντι γενησομένην παραμυθουμένου· ἃ δὲ ἐπιφέρει,

[c] Αλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσι,
Φὰς ἔμεν ἀπτόλεμον καὶ ἀνάλκιδα. ταῦτα δὲ πάντα
Ισασ᾽ Αργείων ἠμὲν νέοι ἠδὲ γέροντες.
Σοὶ δὲ [d] διάνδιχ᾽ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω.
[e] Σκήπτρῳ μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων·
Αλκὴν δ᾽ οὔ τοι δῶκεν, ὅ, τε κράτος ἐστὶ μέγιστον.

πῶς οὖν ταῦτα ἂν ἀλλήλοις συνᾴδοιτο, ἀτυχοῦντι μνησικακεῖν τῷ Αγαμέμνονι τὸν Διομήδην, καὶ ὅτε μὲν ὠνείδισε, πρᾴως [f] ἐνεγκεῖν, καὶ τῷ χαλεπαίνοντι Σθενέλῳ ἐπιτιμῆσαι;

[g] Τέττα, σιωπῇ ἧσο, ἐμῷ δ᾽ ἐπιπείθεο μύθῳ·
Οὐ γὰρ ἐγὼ νεμεσῶ Αγαμέμνονι ποιμένι λαῶν·

ἐνταῦθα δὲ ἀπομνημονεύειν; εἰ γάρ τις φαίη διὰ τὸ ἠριστευκέναι τὸν Διομήδην ταῦτα ποιεῖν, ἀποφαίνει τὸν ἄνδρα ἀπαίδευτον, οὐ μετρίως [h] τῇ ἀτυχίᾳ χρώμενον. ἀλλὰ τί ταῦτά ἐστι; αὐτὴ ἡ κατηγορία Αγαμέμνονος μεγίστη παρὰ τοῦ Διομήδους, τῷ βασιλεῖ συνηγορία ἐστί. βουλόμενος γὰρ [i] αὐτῷ καὶ κατασχεῖν τοὺς Ελληνας, ἐν προσποιήσει τῆς πρὸς αὐτὸν ὀργῆς καὶ παῤῥησίας, ἀναμένειν παραινεῖ, καὶ ὡς ἀγανακτῶν εἰ οἴεται ὁ Αγαμέμνων τοὺς Ελληνας πεισθήσεσθαι ἀποπλεῖν, οὕτω πρὸς αὐτὸν παῤῥησιάζεται, ἐπιφέρων ταῖς λοιδορίαις τὴν ἐντεχνον ἀπόθεσιν·

[k] Δαιμόνι᾽, οὕτω που μάλα ἔλπεαι υἷας Αχαιῶν
Απτολέμους τ᾽ ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις;

καὶ ὅσα ἑξῆς ἐπιλέγει, τὸν Αγαμέμνονα κελεύων εἰ βούλεται ἀποπλεῖν, τοὺς δὲ Ελληνας οὐκ ἀνασχέσθαι ἀπελθεῖν φάσκων· ἐπὶ τέλει δὲ νεανικῶς πάνυ ἐπαπειλῶν,

——— [l] εἰ δὲ καὶ αὐτοὶ,
Φευγόντων ———
Νῶϊ δ᾽, ἐγὼ Σθένελός τε, μαχησόμεθ᾽ εἰσόκε τέκμωρ
Ιλίου εὕρωμεν· σὺν γὰρ Θεῷ εἰλήλουθμεν.

τοῦτό τοι τὸ παράδειγμα τοῦ κατηγοροῦντα συναγορεύειν, ἐσχηματισμένῳ τῷ λόγῳ χρώμενον.

ιδ᾽. Ο δὲ Νέστωρ, διαδεξάμενος τὸν λόγον παρὰ τοῦ Διομήδους, τί ποιεῖ θεασώμεθα, καὶ τῶν λόγων τὴν τέχνην ἐξετάσωμεν· πρότερον τὴν ἀτοπίαν, ἂν ἁπλῶς ἦ λεγόμενος ὁ λόγος, καταμαθόντες. ἐπαινεῖ μὲν γὰρ τὸν Διομήδην τῶν εἰρημένων· ἐπαινέσας δὲ οὔ φησι πάντα ἐκτελέσαι τὸν λόγον, καὶ τοῦ μὴ ἐκτελέσαι τὰ ῥητέα, τὴν ἡλικίαν αἰτιᾶται. ὑπισχνεῖται δὲ αὐτὸς ἐρεῖν καὶ πάντα διεξελεύσεσθαι· εἶτα μακρὰ προοιμια-

a *Il.* ι. v. 32. b Μαχέσομαι *Cant.* Μετέχομαι *Colb.* c *Il.* ι. v. 34. d Διάνδιχα δῶκε in vulgatis *Homeri* libris. e Σκῆπτρον & mox τετιμῆσθαι περὶ in *Cod. Cant.* f Επιτυχεῖν *Cant.* g *Il.* δ. v. 412. h Rectius τῇ εὐτυχίᾳ *proſpera fortuna. Sylb.* i Αὐτῷ βοηθῆσαι καὶ *Reg.* 1. k *Il.* ι. v. 40. l Abbreviatus hic locus *Homeri* exſtat *Il.* ι. v. 46 &c.

a Et

προσοιμιασάμενος καὶ ἐπαναλειψάμενος, λόγους πιστὰς θαυμαστοὺς ὡς ἐρῶν, τοὺς μὲν φύλακας ἐκπέμπει ἐπὶ τὴν φυλακὴν, τῷ δὲ Ἀγαμέμνονι συμβουλεύει δεῖπνα παρασκευάζειν τοῖς γέρουσι· κἀκεῖ φησι πολλῶν λεγόντων τὰ παρὰ τοῦ ἄριστα λέγοντος αἱρήσεσθαι τὸν Ἀγαμέμνονα. Ταῦτα οὑτωσὶ μὲν ἀκοῦσαι ἄτοπά ἐστιν· ἀλλ' εἰδέναι χρὴ ὅτι Νέστωρ καὶ αὐτὸς σχηματίζει, καὶ λέγεται μὲν τὰ παρὰ τοῦ Διομήδους εἰρημένα, οὐχ ᾗ γνώμῃ Διομήδης εἶπεν, ἀλλ' ὡς αὐτοῦ συμφέρει πρὸς τὸν λόγον. ὁ γὰρ Διομήδης, χαριζόμενος τῷ Ἀγαμέμνονι, ἐπέπληξεν αὐτοῦ· ὁ δὲ ἐπῄνεσεν αὐτοῦ τὴν παρρησίαν, ὡς καλῶς αὐτὸν λοιδορησάμενον τῷ Ἀγαμέμνονι. τί οὖν τοῦτο βούλεται; παρασκευάσαι βούλεται τὸν Ἀγαμέμνονα ἱκετεῦσαι τὸν Ἀχιλλέα, καὶ διὰ τοῦτο ἀποδέχεται τοῦ νεανίσκου τὴν εἰς τὸν βασιλέα παρρησίαν.

——— [a] ἀτὰρ οὐ τέλος ἵκεο μύθων, φησίν·
Ἦ μὴν καὶ νέος ἐσσί, ———
——— ——— ἀτὰρ πεπνυμένα βάζεις
Ἀργείων βασιλῆας ———
Ἀλλ' ἄγ', ἐγών, ὃς σεῖο γεραίτερος εὔχομαι εἶναι,
Ἐξείπω καὶ πάντα διΐξομαι. ———

τήρει καὶ τὰ ὀνόματα· τὸ γὰρ "Ἐξείπω", ὥσπερ ἀπορρήτου λόγου ἐξαγόρευσιν ἔχει.

——— ——— [b] οὐδέ κε τίς μοι
Μῦθον ἀτιμήσει, οὐδὲ κρείων Ἀγαμέμνων.

εἶτα πάλιν ἐπάγει τὸ σχῆμα, ὡς διὰ κοινοῦ δόγματος καθαπτόμενος τοῦ Ἀγαμέμνονος·

[c] Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
Ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.

εἶτα δείξας τῷ Ἀγαμέμνονι τὴν ὁρμὴν τοῦ λόγου, τὸ μὲν ἀποκαλύπτειν τὸν λόγον καὶ σαφῶς ἐλέγχειν αὐτὸν παρῆσιν· ἀποπέμπεται δὲ τοὺς νεωτέρους, ὡς ἂν μὴ αἰσχύνοιτο ὁ Ἀγαμέμνων ἐκείνων ἀκουόντων ἐλεγχόμενος·

[d] Ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ,
Δόρπα τ' ἐφοπλισόμεσθα· φυλακτῆρες δὲ ἕκαστοι
Λεξάσθων [e] περὶ τάφρον ὀρυκτὴν τείχεος ἐκτός.

εἶτα ἀποπέμψας τοὺς νέους, ἰδίαν σύνοδον πρὸς τὴν παρρησίαν αὐτῷ μηχανᾶται φέρων·

[f] Κούροισιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ ἔπειτα,
Ἀτρείδη, σὺ μὲν ἄρχε· σὺ γὰρ [g] βασιλεύτερος ἐσσί.
Δαίνυ δαῖτα γέρουσιν· ἔοικέ τοι οὐ [h] τι ἀεικές.
Πολλῶν δ' ἀγρομένων τῷ πείσεαι ὅς κεν ἀρίστην
Βουλὴν βουλεύσῃ. ———

εἶτα ἀναβαλλόμενος, ὡς εἰς τοῦτο ἐρῶν πάλιν, ὑπαινίττεται, καὶ τὰς ἀνάγκας τοῦ ἱκετεῦσαι δεῖν τὸν Ἀχιλλέα, ἐπάγει βιαίως πρὸς τὸν Ἀγαμέμνονα λέγων·

——— [i] μάλα δὲ χρεὼ πάντας Ἀχαιοὺς
Ἐσθλῆς καὶ πυκινῆς, ὅτι δήϊοι ἐγγύθι νηῶν
Καίουσι πυρὰ πολλά. τίς ἂν τάδε γηθήσειε;

uſus prooemio, cum in varias ſe formas vertiſſet, quaſi novo & admirabili dicendi genere delectatus, ad ſtationes mittit excubitores; & Agamemnoni ſuadet, ut cœnam adornet ſenioribus: ut, ibi multis ſua conſilia proferentibus, quæ prudentiſſime dicerentur Agamemnon deligat. Hæc prima fronte abſurda videntur auditu. Sed ſciendum, quod & ipſe Neſtor non ſine figura loquatur, & repetat quæ à Diomede dicta, non quidem qua ſententia Diomedes ea dixerat; ſed ut ſuis rationibus conferre exiſtimabat. Diomedes enim, ut Agamemnoni gratificaretur, cum ipſo jurgabat: Neſtor autem laudabat ejus in dicendo libertatem, proinde ac ſi jure Agamemnoni convicia dixiſſet. Quorſum igitur hæc tendunt? Adducere conatur Agamemnonem, ut Achilli ſupplicet, ideoque adoleſcentis in dicendo libertatem in regem approbat.

Non finem optatum fert conſultatio, ——
Et quamvis juvenili ætate, ———
——— *cordata quidem è pectore promis*
Regibus Argivis ——— ———
Ergo age, qui ſenior te ſum tot euntibus annis,
Eloquar atque recenſebo omnia. ———

Verba abhibet accommoda. Illud enim *Eloquar* velut abditæ cujuſdam orationis ſignificationem habet.

——— ——— ——— *neve revellat*
Quæ dicam, non ipſe etiam Princeps Agamemnon.

Deinde rurſum redit ad * ſchema, veluti communi decreto perſtringens Agamemnonem:

Flagitioſus is eſt, ſceleratus, inutilis, excors,
Quiſquis amat populis bella inteſtina movere.

Ad hæc cum oſtendiſſet Agamemnoni orationis vehementiam; traducere ipſum & palam redarguere ſuperſedit: ſed dimiſit natu minores, ne ipſis audientibus Agamemnon reprehenſus pudore afficeretur:

At nunc (quod ſuadeo) nocti cedamus opacæ,
Corpora feſſa cibo relevabimus, excubiæque
Ad foſſam muri lecto cuſtode locentur.

Deinde miſſa juventute, conventum agere ſibi hiſce verbis molitur, orationis libertati aptum & congruentem:

Hæc acri dabimus per noctē obeunda juventæ.
Cum vero penes imperii te ſumma ſit inter
Argivos, age duc proceres, epuliſque vocatos
Accipe adornatis, ut par: multiſque coactis
Tu multos audire queas, ut & optima poſſis
Eligere & conſulta ſequi. ———

Poſt aliud obtendens, quaſi eadem de re iterum diſſereret, obſcure indicat cur neceſſe ſit Achilli ſupplicare; vehementiaque orationis Agamemnona ſic aggreditur:

——— ——— *Quo tempore noſtris*
Conſilia adferri cuperem pulcerrima rebus,
Quando tot hoſtiles non longe à navibus ignes
Cernimus accenſos. tum lætus quis queat eſſe?

Infert

a Et hic locus, quo modo ſuperior abbreviatus, occurrit *Il.* ι. v. 56. b *Il.* ι. v. 61. c *Il.* ι. v. 63. d *Il.* ι. v. 65. e Παρὰ *Colb. & Cant.* f *Il.* ι. v. 68. g Βασιλεύτατος in vulgatis *Homeri* editionibus. h Οὔ τι in *Codd. MSS.* & vulgatis *Homeri.* i *Il.* ι. v. 75. * Σχῆμα, figuratum dicendi genus.

Infert tandem ſupplicandi neceſſitatem, ut quæ ne dilationem quidem ullam patiatur, ſed quamprimum fieri oporteat:

Nox hæc aut ſervet, vel nos male perdat Achivos.

καὶ ἐπάγει τὴν ἀνάγκην τῆς ἱκετείας, ὡς οὐδ' εἰς ἀναβολὰς δέον αὐτὴν, ἀλλ' ἤδη γενέσθαι·

[a] Νὺξ δ' ἥδ' ἠὲ διαῤῥαίσει στρατὸν, ἠὲ σαώσει.

Hæc publice locutus, majoribus natu jam ſolis & ſegregatis, veluti rem ipſam aperiens, quæ longius commemorare ac referre nihil eſt neceſſe, ſchemate valere juſſo, omnia perſpicue ac dilucide exprimit:

Et quo nemo alius poſſit meliora referre,
Quale ac illud erat nuper, quod diximus iſto
Tempore, quo forti Briſeida ſolus Achilli
Præreptā abductamq; viro in tua caſtra tuliſti,
Materiem præbens iræ cauſamque furoris,
Me tamen invito, & contraria multa loquente
Ne faceres: at tu præceps & fervidus ira,
Per tua facta virum (quo non eſt fortior alter
Quem ſibi honorandū Dii confiteantur & ipſi)
Ipſe nec es veritus dulci ſpoliare puella.

ταῦτα εἰπὼν ἐν κοινῷ· ἐπειδὰν δὲ καθ' αὑτοὺς οἱ γέροντες γένωνται, ὥσπερ ἀποδείξας καὶ οὐ δεόμενος μακρῶν λόγων, ἀποκαλύπτει τὸ σχῆμα φανερῶς λέγων·

[b] Οὐ γάρ τις νόον [c] ἄλλος ἀμείνονα τοῦδε νοήσει,
Οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι, ἠδ' ἔτι καὶ νῦν,
Ἐξέτι τοῦ, ὅτε, διογενὲς, Βρισηΐδα κούρην
Χωομένου Ἀχιλῆος ἔβης κλισίηθεν ἀπούρας,
Οὔτι καθ' ἡμέτερόν γε νόον· μάλα [d] γάρ τι ἔγωγε
Πολλ' ἀπεμυθεόμην· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ
Εἴξας, ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν,
Ἠτίμησας· ἑλὼν γὰρ ἔχεις γέρας ------

Concludit denique:

Omnia nunc igitur circumſpiciamus, ut ipſum
Et quibus officiis placemus, qualibus autem
Muneribus, quo verborum captemus honore.

εἶτα ἐπάγει,

--------- ἀλλ' ἔτι καὶ νῦν
Φραζώμεσθ' ὥς κέν μιν ἀρεσσάμενοι πεπίθοιμεν
Δώροισίν τ' ἀγανοῖσιν, ἔπεσσί τε μειλιχίοισιν.

Atque his admonitionibus obtemperat Agamemnon. Sit hæc igitur nobis figuratæ orationis forma; quæ aliud, quam dicere conatur, prætexat ac fingat.

καὶ πείθεται τούτοις ὁ Ἀγαμέμνων. οὗτός σοι ὁ τρόπος τοῦ καὶ ὡς ἀναβαλλόμενον ἐρεῖν, ἤδη λέγειν τὸν ἐσχηματισμένον λόγον.

XV. Nunc ad reliquam orationis ſpeciem redeamus: quæ contrariis utatur argumentis, quam propoſitum erat; & contraria iis, quæ proponuntur, probare nititur. Hujus exemplum ſit Agamemnonis iterum apud eundem Homerum oratio, qua Græcos explorat verbis; & rei de qua agitur ex repugnantibus ſpecimen exhibet: ſcopo quodam interim orationi ſuæ propoſito ſic fere;

Verum agite, armati veniant jubeamus Achivi:
Protinus aggrediar verbis tentantibus ipſos,
Claſſē aptent patriā repetendo: & protinus iſtas
Linquamus terras: at vos prohibete volentes
Qua pote, nunc aliis placidiſq; obſiſtite verbis.

ιε'. Ἐπανέλθωμεν ἐπὶ τὸν ὑπόλοιπον λόγον τὸν περὶ τῶν τὰ ἐναντία λεγόντων, καὶ τὰ ἐναντία βουλομένων οἷς λέγουσι. τούτου τοίνυν τοῦ λόγου παράδειγμα ὁ τοῦ Ὁμήρου ἐστὶν Ἀγαμέμνων, ἐν τῇ ἀποπείρᾳ τῶν Ἑλλήνων τὸ εἶδος τῶν λόγων ἡμῖν [e] παραδοὺς, καὶ πρότερον μὲν προτείνας τὴν ὑπόθεσιν·

[f] Ἀλλ' ἄγετ' αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν·
Πρῶτα δ' ἐγὼν ἔπεσιν πειρήσομαι, [g] ἣ θέμις ἐστὶ,
Καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύσω·
Ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν.

Artificium nimirum adhibet, debilia in concionem ac levia confirmationis proferens argumenta, contradicendi præbita occaſione iis qui vellent adverſari; dicit etiam interdum quæ facile queant inverti ac commutari. Rurſum verba poëtæ recitemus:

Jupiter ærumnis dejectum affligit acerbo
Vulnere, crudelis nimiū mihi, ſævus, & atrox:
Qui mihi ſpondebat nutu, nos Pergama noſtris
Capturos manibus. ———

ἐπάγει τὴν τέχνην, ἐν τῇ δημηγορίᾳ ἀσθενεῖς προτάσεις προτείνων, καὶ λαβὰς ἀντιλογίας διδοὺς τῷ βουλομένῳ ἐναντιοῦσθαι, καὶ στρεφόμενα λέγων. [h] ἴδωμεν δὲ αὐτὰ τὰ ἔπη·

[i] Ζεύς με μέγας Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ
Σχέτλιος· ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον, ἀπονέεσθαι.

Quis Agamemnoni contradicere potuiſſet, ſi quid promiſerit atque annuerit Jupiter: nutus enim maximum eſſe fidei divinæ ſignum, dictis ſe ſtaturum, ipſe apud Homerum teſtatur:

Firmabo æternum promiſſa fidelia nutu.
Hoc etenim ſigno Diis immortalibus exſtat
Præcipue mea certa fides, mea nota voluntas.
Non etenim ulterius cuiquā eſt revocabile fatū
Terrificæ ſimul annuero de vertice frontis.

[k] ἔχοι τις ἀντειπεῖν πρὸς τὸν Ἀγαμέμνονα· εἰ τοίνυν ὑπέσχετο καὶ κατένευσεν, ὅπερ ἐστὶ μέγιστον σημεῖον τοῦ ἀψευδεῖν τὸν Δία, ὡς αὐτὸς ὁ Ζεὺς ὁ Ὁμήρου λέγει·

[l] Εἰ δ' ἄγε τοι κεφαλῇ κατανεύσομαι, ὄφρα πεποίθῃς.
Τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ' ἀθανάτοισι μέγιστον
Τέκμωρ. οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλὸν,
Οὐδ' ἀτελεύτητον γ' ὅτι κεν κεφαλῇ κατανεύσω.

εἰ

a Il. ι. v. 78. b Il. ι. v. 104. c Ἄλλον in Codd. MSS. & mox (v. 10.) διογενὲς. d Γάρ τι Colb. Cant. atque ita in vulgatis Homeri editionibus. e Παραδιδοὺς Reg. 1. f Il. β. v. 73. g Ei in Codd. MSS. h Εἴδωμεν Reg. 1. & Colb. i Il. β. v. 111. k Ἔχοι τις ἂν ἀντειπεῖν Reg. 1. l Il. α. v. 524.

a Il.

εἰ τοίνυν ὁ Ζεὺς ὑπέσχετό σοι, καὶ κατένευσε, πῶς ἀξιοῖς ἀποπλεῖν; εἶτα πάλιν ἐπάγει·

[a] Νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
Δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν·

πάλιν ἀντιλαβὴν δίδωσιν ἐν τῷ Δυσκλέα· δικαίως γὰρ ἄν τις ἀντείποι πρὸς αὐτὸν, ὅτι οὐ χρὴ αἰσχρῶς ἀπαλλάττεσθαι. εἶτα ἑξῆς λέγει,

[b] Οὕτω που Διῒ μέλλει ὑπερμενέϊ φίλον -----

τὴν φωνὴν αὐτὴν, ὅτι στοχασμὸν ἔχει, οὐκ ἀπόφασιν [c] σαφῆ. εἶτα ἐφεξῆς,

[d] Ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα,
[e] Ἠδ᾽ ἔτι καὶ λύσει --------

πάλιν εἴποι τις ἂν πρὸς αὐτὸν, εἰ τοίνυν κατέλυσε πόλεις, [f] καταλύσει· πιστευτέον τῷ Διῒ, καὶ μενετέον. τὸ δὲ ἐφεξῆς θαυμασίως στρεφόμενόν ἐστιν, ᾧ χρῆται καὶ ὁ ἀντιλέγων·

[g] Αἰσχρὸν γὰρ τόδε γ᾽ ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι,
Μὰψ οὕτω τοιόνδε τοσόνδε τε λαὸν Ἀχαιῶν
Ἄπρηκτον πόλεμον πολεμίζειν, ἠδὲ μάχεσθαι.

αὐτὸ γὰρ τοῦτο τὸ αἰσχρὸν, ὁ μένειν ἀξιῶν προτείνει, καὶ ταῦτα αὐτὰ Ὀδυσσεὺς λέγει. τὸ δὲ τέλος τῶν λόγων, ἰσχυρῶς ἐναντία βουλόμενος ἐστὶν οἷς λέγει·

[h] Ἀλλ᾽ ἄγεθ᾽, ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες,
Φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.

τὸ γὰρ αἰσχρὸν τοῦ ὀνόματος κατέχει μᾶλλον, ἢ ἀποπέμπει τοὺς Ἕλληνας. τούτῳ γέ τοι τῷ ὀνόματι καὶ Ἥρα πρὸς τὴν Ἀθηνᾶν χρῆται, τούτῳ ἡ Ἀθηνᾶ πρὸς τὸν Ὀδυσσέα, τούτῳ Ὀδυσσεὺς πρὸς τὸ πλῆθος,
51 καὶ ὁ Ἀγαμέμνων πρὸς τὸν Ἀχιλλέα τούτῳ κέχρηται, καὶ ὅλως Ὅμηρος πανταχοῦ τὸ [i] τῆς [l] φυγῆς ὄνομα ἐπ᾽ αἰσχροῦ καὶ [k] δειλίας τάττει. οὕτω μὲν δὴ καὶ ἐνδόσιμα καὶ εὐδιάλυτα προτείνει, καὶ στρεφόμενα καὶ ἐναντία λέγει.

ις'. Λοιπὸς δὲ ἡμῖν ἐστὶ λόγος τοῦ λανθάνειν ἡ τέχνη. τί οὖν ἡ τέχνη; ἡ τοῦ ἤθους προσθήκη. ὡς γὰρ σχετλιάζων τοὺς λόγους ποιεῖται, καὶ ἤρξατο ἀπὸ τοῦ μέμφεσθαι τὸν Δία καὶ βλασφημεῖν εἰς τὸν θεόν· οὕτως ἔκλεψε τὸν ἀκροατήν. οἱ γὰρ ἀκούοντες οἴονται αὐτὸν ὑπὸ ἀκρασίας οὐκ ἀκριβεῖ λόγῳ χρώμενον, ἀλλὰ πάθει ταῦτα διεξιέναι. αὕτη καὶ τὸν σχηματίζοντα τὸν σχηματισμὸν τοῦτον τοῦ λαθεῖν ἡ μέθοδος. ἔχει οὖν συμπλοκὴν [m] πίστεως, ἥπερ μεγίστη σχημάτων μέγεθος, ἅπερ ἂν εἴπες εἰς ἁπλῆν ὑπόθεσιν, τὰ αὐτὰ λέγοντα ἐπὶ τῶν πλαγίων λόγων τὸ σχῆμα περαίνειν, συγκατασκευάζοντα τὸν οἰκεῖον ἀγῶνα τῷ κοινῷ, ὡς ἔμαθες παρὰ Δημοσθένους, παρὰ Θουκυδίδου, παρὰ Πλάτωνος, εὐδιάλυτα λέγειν, στρεφομένοις χρῆσθαι λόγοις ἐν προσποιήσει πάθους. καὶ ὅλως εἰδέναι χρὴ ὅτι τὰ σχήματα οὐχὶ προσκεύματά ἐστιν ὀνομάτων, [n] ἀμφι-

Si igitur Jupiter promiſit & annuit, cur hinc Agamemnon vis navigare? Dein ſubjicit poëta:

Nunc tanto amiſſo populo, ſine nomine laudum,
Indecorē, patrias jubet hinc redeamus ad oras:

rurſus adverſandi anſam, quando dixit *cum infamia*, præbet, jure enim ipſi quis contradixerit, non eſſe diſcedendum cum dedecore. Sequitur deinceps:

Sic etenim cordi eſſe Jovi. ———

Vocem ipſam ſi conſideremus, patebit hæc velut conjecturas, non demonſtrationes manifeſtas, adferri. Subjungit:

Qui Deus innumeras bellis everterit urbes,
Evertetque alias deinceps. ———

Ad quæ rurſum quis reſpondeat; quod ſi everterit urbes, & evertet: fidendum potius Jovi & manendum. Quod vero ſubjicit, admodum eſt ad invertendum facile, atque adeo utrique parti commune, quo adverſarius utatur:

Turpe ait hæc noſtros olim meminiſſe nepotes,
Fruſtra ſic populū tantū & tot millia Grajûm
Tam geſſiſſe viris lacrymoſum & inutile bellū.

Hoc enim ipſum turpe & is, qui manendum cenſet, addit; atque hæc eadem Ulyſſes alibi dicit. Finis autem orationis manifeſte declarat, eum qui dicit propoſito contraria moliri:

Quare agite, unanimi ſenſu conſulta probate,
Et patriæ dulces cuncti redeamus ad oras.

Turpitudo enim dictionis magis retinet Græcos, quam ad diſcedendum inducit. Hoc certe nomine Juno utitur ad Minervam; hoc nomine Minerva ad Ulyſſem; hoc nomine Ulyſſes ad ipſas copias; & Agamemnon ad Achillem hoc nomine uſus eſt; & Homerus ubique plane *fugæ* nomen, tanquam rei turpis, quod timiditatem notet, uſurpat. Hac ratione ea prætendit, quæ refellendi anſam porrigunt, quæque facile diluuntur; & commutabilia ac pugnantia dicit.

XVI. Supereſt ut doceamus, quo occultarit ſchema artificio. At quæ fuit hujus rei ars? Animi habitum & vultum inducit [*propoſito convenientem.*] Nam veluti indignabundus orationem habet, & à Jovis accuſatione ac conviciis in Deum initium duxit; atque ita auditorem fefellit. Exiſtimabant enim, qui intererant, eum, præ animi impotentia, oratione accurata uti non poſſe; ſed perturbatione hæc effundere. Hæc ipſa via ac ratio eſt utendi figurata oratione, quam maxime eam tegere ac diſſimulare. Habet itaque fidei complexionem, quæ figurarum eſt maxima, magnitudo: quæ in ſimplici dixeris argumento, dicendo eadem in obliquo & calido ſermone, figuram terminare, comparando privatam contentionem cum publica, ut jam è Demoſthene, Thucydide, & Platone cognoſcere licuit, adhibere nimirum quæ ſolutu facilia ſint, promptiſque ad invertendum uti, quæſito interim perturbati animi colore ac ſpecie. Denique illud ſemel tenendum, figuras non eſſe

Occultationis artificium.

a *Il. β. v.* 114. b *Il. β. v.* 116. c Poſt σαφῆ deeſſe videtur δηλῶσαι, aut ſimile quodpiam participium. *Sylb.* d *Il. β. v.* 117. e *Il. β. v.* 118. f Καὶ καταλύσει *Reg.* 1. g *Il. β. v.* 119. h *Il. β. v.* 139. i Deeſt *Cant.* k Δειλίας *Colb.* & *Cant.* l Τίς *Cant.* quo modo legendum eſſe conjecerat *Sylb.* m Πίστεων *Reg.* 1. n Ἀμφιβολίαις *Codd. MSS.*

α Λέγειν

eſſe nominum impedimenta, qualia ſint quæ ambiguæ dicuntur, ſed integræ contentiones ſunt arte complexionis digeſtæ. Simplex eſt enim delectus figurarum: ſtructura vero & compoſitio ſingulorum capitum, ut à ſimplicibus oritur, finit obliquas orationes.

CAP. IX.

De Oratione Figurata tract. II.

ASſerere quidam audent, nullam eſſe orationem figuratam. Aut enim ſimplici oratione utendum *ajunt*, vel nulla. Quid enim proficit oratio, in qua ſubintelligendum quid relinquatur. Si enim auditor orationem intelligat, id ei ſatis eſt: ſi vero non intelligat, dicenti nihil prodeſt. Nos vero dicimus tantum abeſſe ut recte dicat, cui placet nullum dari figuratum dicendi genus; ut contra nullam dicamus orationem eſſe figuræ expertem, nullam ſimplicem. Ab iis quæ nobiſcum nata ſunt & ipſo uſu comparata exordiamur. Nulla ſine figura compellatio: alius enim benigne compellat, alius verecunde, hilariter alius, alius irridens, aliuſque veluti admirando. Invitationes etiam ad privatas cœnas indigent figura: neque enim omnes eodem modo invitare conſuevimus, verum apta ſingulis nomina tituloſque tribuimus. In exactione mutui non ſemper eadem procedendum via; nam & id eo quo deceat debeatque modo repoſcere oportet: interdum aſpere, interdum vero benignius, aut cum excuſatione quadam. Ut ſummatim dicam, ipſum ironiæ ſchema ſignum quoddam eſt figuratæ orationis.

Nulla oratio figuræ expers, aut ſimplex.

II. Jamque oſtendamus orationem non tantum in demonſtrativo aut deliberativo dicendi genere, ſed & in diſceptationibus figuratam eſſe; ejuſque tres eſſe ſpecies. Verbi gratia; qui dicit, vel decenter & ſpecioſe dicit; vel aliud dicendo, aliud efficit; vel contraria dicendo, contraria efficit. Horum omnium exempla Homerus magiſter abunde ſuppeditat.

Figuratum dicendi genus triplex.

III. Ejus enim, qui decentem & ſpecioſam ſectatur orationem, exemplum dat in Iride & Neptuno Jovi ſuccenſenti. Iris, quo ſecurior, eſſet oratio, monet ut decenter loquatur; eaque præcipiendi libertate decentem efficit admonitionem, ut ſimul præceptum artemque ipſam tradat.

1. Decenter & ſpecioſe dicere.

Hæc ego cæruleis ſplendens Neptune capillis
Deſero verba Jovi fortiſſima duraque patri.
An quid mutandum?

Admonet quidem ſimulque decentis orationis exemplum adhibet. Sed quomodo hoc? Primo laudibus ejus benevolentiam demereri ſtudet, ut liberiori oratione uti liceat; dein minas ei proponit unico verbo,

βολίαι λεγόμεναι, ἀλλὰ ἀγῶνες ὅλοι τέχνῃ τῆς συμπλοκῆς διοικουμένης. ἡ μὲν γὰρ αἵρεσις ἁπλῆ τῶν σχημάτων· ἡ δὲ κατασκευὴ τῶν κεφαλαίων ἑκάστων, ὡς δι᾽ ἁπλῶν πορευομένη, τοὺς πλαγίους περαίνει λόγους.

ΚΕΦ. θ′.

Περὶ ἐσχηματισμένων δεύτερον.

ΤΟλμῶσί τινες λέγειν ὅτι οὐκ ἔστιν ἐσχηματισμένη ἰδέα λόγων. δεῖ γὰρ ἁπλῶς λέγειν ἢ μὴ λέγειν. καὶ γὰρ οὐδὲν πλέον τοῦ καθ᾽ ὑπόνοιαν [a] λέγει. [b] εἰ γὰρ συνίησιν ὁ ἀκούων, ἐξ ἴσου καθέστηκε τῷ φανερῶς ἀκούοντι· εἰ μὴ συνίησι, πλέον οὐδὲν τῷ λέγοντι. ἡμεῖς δέ φαμεν ὅτι τοσοῦτον ἀπέχει ὀρθῶς λέγειν ὁ λέγων μὴ εἶναι ἐσχηματισμένους λόγους, ὥστε τοὐναντίον οὐδεὶς λόγος ἀσχημάτιστος, οὐδὲ ἁπλοῦς λόγος οὐδείς. καὶ δὴ ἀπὸ τῶν συντρόφων καὶ συνήθων ἀρχώμεθα. τὸ προσαγορεύειν ἄνευ σχήματος οὐ γίνεται· ὁ μὲν, φιλοφρόνως προσαγορεύει· ὁ δὲ αἰδημόνως· ὁ δὲ, σκώπτων· ὁ δὲ, ἱλαρῶς· ὁ δὲ, ὡς θαυμάζων. αἱ κλήσεις εἰς ἴδια δεῖπνα σχηματισμοῦ δέονται· οὐ γὰρ πάντας ὁμοίως τις καλεῖ, ἀλλὰ ἑκάστῳ τὴν πρέπουσαν κλῆσιν προστίθησιν, αἱ τῶν δανεισμάτων ἀπαιτήσεις οὐ πρὸς πάντας ὅμοιαι, ἀλλ᾽ εὐπρεπείας δέονται καὶ διοικήσεως· καὶ αἱ μὲν, εἰσὶ θρασύτεραι· αἱ δὲ, μετριώτεραι· αἱ δὲ, ἄλλης προφάσεως δέονται. [c] ἵνα βραχέως εἴπω, [d] οἷον τὸ τῆς εἰρωνείας σχῆμα ἐσχηματισμένου λόγου σημεῖόν ἐστι.

β′. Δείξωμεν δὲ καὶ ἀγῶνας ὅλους ἐσχηματισμένους, καὶ λόγους δημηγορικοὺς ἐσχηματισμένους, καὶ πανηγυρικὰς ἰδέας, καὶ ἀποφανοῦμεν τῶν σχημάτων τὰ εἴδη. ἔστι δὲ ταῦτα· ἤτοι λέγειν μὲν βούλεται, εὐπρεπῶς δὲ λέγει· ἢ ἕτερα προτείνων, ἕτερα διοικεῖται· ἢ τὰ ἐναντία προτείνων, τὰ ἐναντία διοικεῖται. τούτων τὰ παραδείγματα καὶ [e] ἡ διδασκαλία, Ὅμηρος πάντα παραδίδωσι.

γ′. Τὸν λέγοντα ζητεῖν εὐπρεπῶς λέγειν δείκνυσιν ἐπὶ τῆς Ἴριδος καὶ τοῦ Ποσειδῶνος ἀγανακτοῦντος πρὸς τὸν Δία· παραινεῖ [f] αὐτῷ ἡ Ἶρις εὐπρεπέστερον λέγειν, ἵν᾽ ἀκινδυνότερος ὁ λόγος ᾖ· καὶ ταύτῃ παραινοῦσα ἐν τῇ παρρησίᾳ, τῆς παραινέσεως τὸ εὐπρεπὲς διοικεῖ· ὥστε καὶ τὸ παράγγελμά ἐστι, καὶ ἡ τέχνη παραδιδομένη.

[g] Οὕτω γὰρ δή τοι γαιήοχε κυανοχαῖτα,
Τόνδε φέρω Διῒ μῦθον ἀπηνέα τε κρατερόν τε.
Ἦ τι [h] μεταστρέψεις;--------

[i] Ταῦτα καὶ παραινεῖ τὸ εὐπρεπὲς διδάσκουσα. ποιεῖ δὲ αὐτὴ αὐτὸ πῶς; μετὰ γὰρ ἐπαίνων θεραπεύει αὐτὸν, ἵνα ἀνάσχηται τῆς παρρησίας, καὶ τὴν ἀπειλὴν αὐτῷ ἐπάγει ὀνόματι ἑνὶ λέγουσα,

Διῒ

a Λέγει *Colb.* ex alicujus emendatione. Fortaſſe (inquit *Sylb.*) legendum οὐδὲν πλέον τῷ καθ᾽ ὑπόνοιαν λέγειν (ut v. 9.) nihil proficimus ex orationis figura, qua inter dicendum auditori ſubintelligenda relinquimus, quæ diverſa elocutionis forma tacite innuimus. Sicut ſupra etiam (p. 78. v. 32.) dixit, μὴ δυνατὸν εἶναι μὴ σαφῶς ἀκούοντας τοὺς ἀκροωμένους συνιέναι περὶ οὗ ὁ λόγος ἐστί. *b Wolfius* legit εἰ μὲν γὰρ & ſeq. verſu εἰ δὲ μή. *c* Idem legit ἵνα δὲ βραχέως. *d* Οἷον accipiendum pro *exempli gratia*, ut apud *Ariſtotelem* ſæpe λέγω δὲ οἷον. *Sylb.* *e* Senſus & ſtructuræ ratio talem quampiam lectionem poſtulat, τούτων τὰ παραδείγματα καὶ τὴν διδασκαλίαν Ὅμηρος πάντων παραδίδωσι, vel τούτων τὰ παραδείγματα ἡ διδασκαλία ἡ Ὁμήρου πάντα (vel πάντων) παραδίδωσι. Sequentia vero infinitiva ſic finite intelligenda ſunt, ὅτι [illegible] ὁ λέγων ζητεῖ εὐπρεπῶς λέγειν. *Sylb.* *f* Αὐτοῦ *Cant.* *g Il.* ο. v. 201. *h* In *Ed. Steph.* & *Reg.* 1. & *Colb.* μεταστρέψῃς. *i* Ταῦτα μὲν παραινεῖ. *Cant.*

a Il.

——— Διὶ μῦθον. ———

δʹ. Ὁ δὲ ἕτερα λέγων καὶ ἕτερα διοικούμενος, ὁ λόγος ἐστὶ τῆς Θέτιδος πρὸς τὸν Ἀχιλλέα, ἄλογος εἶναι δοκῶν, ἂν μή τις τὸ σχῆμα γνῷ. παραμυθουμένη γὰρ τὸν υἱὸν ἐπὶ τῷ Πατρόκλου θανάτῳ λέγει·

——— [a] ἀγαθὸν δὴ γυναικί περ ἐν φιλότητι
Μίσγεσθαι. ———

τίς ἂν εἴη ταύτης τῆς παραινέσεως ἀπρεπεστέρα παρὰ μητρός; ἀλλὰ ὡς μητρικῶς παραμυθουμένη ὑπαινίττεται πρὸς τὸν Ἀχιλλέα, ὅτι οὐ χρὴ αὐτὸν τρυφᾶν, ἀλλὰ μεμνῆσθαι καὶ τῆς προτέρας χάριτος τῆς περὶ τὴν Βρισηίδα, ὅτι ἐπήμυνεν αὐτῷ ὁ Ζεύς, καὶ ἵνα ἀπολάβῃ δεινὰ πεπόνθασιν οἱ Ἀχαιοί. ἵν' οὖν μὴ ὀνειδίζοι, τοῦτο ὡς λύπης παραμυθίαν προτείνουσα τὸ καὶ συναναπαύσασθαι τῇ γυναικί, τὴν ἀνάμνησιν ἐποιήσατο. σαφέστερον δὲ εἶδος τοῦτο δηλοῖ ὁ Διομή-
52 δους λόγος πρὸς Ἀγαμέμνονα, ὅτε Ἀγαμέμνων ἀπόπειραν ποιεῖται τῶν Ἑλλήνων τῶν ἀριστέων, τὸ δεύτερον κελεύων φεύγειν·

[b] Ἀτρείδη, σοὶ πρῶτα [c] μαχήσομαι ἀφραδέοντι,
Ἣ θέμις ἐστὶν ἄναξ, ἀγορῇ· σὺ δὲ μή τι χολωθῇς.
Ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσι,
Φὰς ἔμεν ἀπτόλεμον καὶ ἀνάλκιδα. ταῦτα δὲ πάντα
Ἴσασ' Ἀργείων ἠμὲν νέοι, ἠδὲ γέροντες.
Σοὶ δὲ διάνδιχ' ἔδωκε Κρόνου πάϊς ἀγκυλομήτεω,
Σκήπτρῳ μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων·
Ἀλκὴν δ' οὔ τοι δῶκεν, ὅ, τε κράτος ἐστὶ μέγιστον.
Δαιμόνι', οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
Ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις;
Εἰ δέ τοι αὐτῷ θυμὸς ἐπέσσυται ὥστε νέεσθαι,
Ἔρχεο· πάρ τοι ὁδός. νῆες δέ τοι ἄγχι θαλάσσης
Ἑστᾶσ', αἵ τοι ἕποντο Μυκήνηθεν μάλα πολλαί.
Ἀλλ' ἄλλοι μενέουσι καρηκομόωντες Ἀχαιοί,
Εἰσόκε περ Τροίην διαπέρσομεν· εἰ δὲ καὶ αὐτοὶ
Φευγόντων σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
Νῶϊ δ', ἐγὼ Σθένελός τε, μαχησόμεθ' εἰσόκε τέκμωρ
Ἰλίου εὕρωμεν· σὺν γὰρ θεῷ εἰλήλουθμεν. ——

οὗτος ὁ λόγος ἂν μή τι ἕτερον διοικῆται [d] ἢ λέγῃ παντάπασιν ἄτοπός ἐστι καὶ ἀσχήμων· τὸ γὰρ ἐν κακοῖς ἐπιτίθεσθαι τῷ βασιλεῖ καὶ λοιδορεῖσθαι, ἀπρεπέστερον. καὶ ἔοικέ πως ὁ Διομήδης ὁμολογεῖν ὅτι εὐπρεπῶς χρῆται τῷ λόγῳ· προοιμιάζεται γοῦν παραιτούμενος, καὶ ἀτοπώτατον πρᾶγμα λέγει· ὅτε μὲν αὐτῷ ὠνείδιζεν ὁ Ἀγαμέμνων, ἤνεγκεν εὐπρεπῶς, καὶ τῷ Σθενέλῳ ἀποκρινομένῳ ἐπετίμησε·

[e] Τέττα, σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ.
Οὐ γὰρ ἐγὼ νεμεσῶ Ἀγαμέμνονι ποιμένι λαῶν
Ὀτρύνοντι μάχεσθαι ἐϋκνήμιδας Ἀχαιούς.

νῦν δ' ἀναμιμνήσκεται καὶ μνησικακεῖ. εἰ δέ τις φαίη, [f] ἐπειδὴ ἠρίστευσεν, θαρρεῖ· τοσούτῳ μᾶλλον [g] ὑβριστικώτερος φαίνεται, εἰ τῇ τύχῃ ἐντρυφᾷ. ἀλλ' εἰδέναι χρὴ ὅτι αὗται αἱ λοιδορίαι αἱ πρὸς Ἀγαμέμνονα, χρυσὸς ἦν τῷ Ἀγαμέμνονι. ἐν γὰρ σχήματι τοῦ

——— *Jovi ſermonem.* ———

IV. Ejus vero, qui aliud dicendo aliud efficit, exemplo ſit Thetidis ad Achillem oratio, quæ figuram ignorantibus à ratione aliena eſſe videatur. Ipſa enim, dum ob Patrocli mortem mœſtum ſolatur filium, dicit, *2. Aliud dicendo aliud efficere.*

——— *dulce eſt in amore*
Fœmineo miſceri. ———

Ecquidnam materna iſta admonitione indecentius? Verum ex affectu matris obſcure indicat deliciis nequaquam eſſe indulgendum, ſed Briſeïdis amorem in memoriam revocandum, quod Jupiter ipſi ſuccurrerit, atque ad eam recuperandam multa paſſus fuerit Græcorum exercitus. Ne igitur exprobrare videatur, muliebres amores profert in medium, quaſi doloris omnis lenimentum. Clarius vero hoc dicendi genus ex Diomedis ad Agamemnonem oratione patebit, cum Agamemnon, tentaturus Græcorum principes, iterum ad fugam ſolicitat:

Atrida inſipiens, ego tecum prælia inibo,
Acrius obſiſtens: iram depone ferocem.
Grajorū in caſtris primus mihi probra dediſti,
Imbellemque animum mihi, lentaque pectora dicens.
Hoc vero Græci norunt, juveneſque ſeneſque.
Aſt utrimque tibi donavit Jupiter: inde
Sceptra tenere manu, majeſtateinq; verendam:
Inde autem vires, quæ gloria ſumma, negavit.
Speraſti infelix Grajûm lenteſcere mentes,
Imbelleſque animos forti concedere Marti?
Si tibi mens reditū ſuadet patriamq; capeſſis,
Vade age, aperta via eſt, conſiſtunt littore naves,
Quæ te è Mycenis vexerunt ordine: noſque
Agmina Græcorū Trojana ad caſtra manemus,
Donec ad exitium ducamus Pergama, & urbē.
Sin minus, & patrias repetat gens cætera terras, [*caſtris*
Tum mihi cum Sthenelo mens eſt ſubſiſtere
Et finem exſpectare urbis: nos numina curant.

Hæc oratio, ſi non aliud dicat atque aliud dicendo efficiat, abſurda omnino & indecens ſit neceſſe eſt: nihil enim magis indecorum, quam Regem in calamitate aggredi & probris inceſſere. Atque hoc quodammodo fateri videtur Diomedes, ſe quidem oratione uti decenti; orditur enim à deprecatione, reique indignitatem ſtatim oſtendit: quando ſc. Agamemnon convicia ſibi fecerit, non gravate id tulit, & Sthenelum ei reſpondentem increpavit:

Tu linguam noſtris perſuaſus comprime verbis,
Haud equidem plebis paſtori iraſcar Atridæ,
Hortanti ad pugnā celeres per caſtra Pelaſgos.

Hoc quidem loco injurias præteritas commemorat eique exprobrat. Si quis vero dicat, Diomedem, quod optime ſe geſſerit, viribus fidere; tanto contumelioſius quiddam videbitur, proſperitate parum moderate uti. Sciendum autem eſt, id genus convicia, in Agamemnonem conjecta, ei in emolumentum cedere.

a Il. ω. v. 130 b Il. ι. v. 32. c Μαχέσομαι in Codd. MSS. d Rectius ἢ λέγει quam quod dicit. Sylb. e Il. δ. v. 412. f Vide pag. 85 & 86. g Ὑβριστότερος Colb. & Cant. a al.

dere. Specie enim indignantis & iraſcentis eidem patrocinatur; dumque Græcorum principes, ut manerent, neve diſcederent, hortari vult; non ſub ſpecie ſuadentis, ſed ſuccenſentis Agamemnoni, hoc præſtat: atque ita animi ſui ſententiam exprimere auſus eſt. Huc enim convicium illud pertinet:

Improbe, ſicne aliquem ſperaſti poſſe notari
Degenerem, fractumq; animo, belliq; fugacem
Omnibus è Danais? ————

Cum enim ſuaſione ad manendum eos induceret, ſpeciem præ ſe fert indignantis, ut ipſos tanquam fugientes manere hortaretur. Primo enim proponit, dein * interjicit; *Tu abeas, alii vero manebunt.* Indignum enim cenſet eis ſuadere ut maneant; ſed quaſi ad perſuaſos verba facit: veritus autem ne cederent, ipſis quoque reditum in patriam concedit. Atque hæc figura eſt, qua aliud quis dicat, aliud dicendo efficiat.

3. *Contraria dicendo contraria efficere.* V. Tertia vero, cujus eſt contraria iis quæ dicimus prætendere, in efficaciſſima Agamemnonis oratione locum habet. Obſervandum etiam in periculis figuras uſu venire. Incertus enim Agamemnon quomodo Græcos in aciem educeret, rei abſurditatem ipſe prætendit:

Dicite quînam bellantes armemus Achivos.
Primum tentabo quantum ſermone licebit,
Armatiſque domum remeare jubebo carinis.
Vos vero contra ſuadete inſiſtere Marti.

Intelligenti manifeſta apparet experimenti ratio: quod cum Achilles à Græcorum exercitu ſe ſubduxiſſet, militiæ jugum ſubire detrectans, (totius enim exercitus ductor erat) tunc Agamemnon quærit quomodo ſine Achille in aciem exirent. Quamvis enim noverat Græcos Achilli infenſos, timet tamen, ne (cum hoc ita ſit) ſi quid juſſerit, imperium recuſent:

Dicite quînam bellantes armemus Achivos.

atque illud,

Primum tentabo quantum ſermone licebit,
Armatoſque domum remeare jubebo carinis.

Si quis forte objiciat Agamemnonem voti compotem nequaquam eſſe factum; ſed tentamine maximum ſubiiſſe periculum, & infeliciter hoc ſermonis genere uſum, cum & Græci in patriam conceſſerint: is hoc ejus eſſe artificium ignoret neceſſe eſt. Non enim oratione eos explorat, quaſi hoc modo retineri poſſe ſperaret. Quænam ideo hujus rei ars? Cum Græci infenſi eſſent Achilli, neque iram oſtenderent, donec diſcedendi urgeret neceſſitas, vult eos Agamemnon indignationem perfringere, bilemque palam facere, & à principibus contineri; quod & præſtitum eſt. Nam ſeſe ad reditum expedire videntur: ſed Ulyſſes & Neſtor in caſtris eos retinent. Hæc itaque dum Agamemnon ſerio tentat, figuratum artificium non obſcure docet; quo aliud dicit, aliud dicendo mo-

ἀγανακτεῖν πρὸς αὐτὸν, συναγορεύει· καὶ βουλόμενος παραινέσαι τοῖς ἀριστεῦσι μένειν καὶ μὴ ἀπαλλάττεσθαι, οὐκ ἐν σχήματι παραινέσεως λέγεται, ἀλλ᾿ ἐν ὀργῆς τῆς πρὸς τὸν Ἀγαμέμνονα σχήματι, καὶ ἐτόλμησε τοιαύτην γνώμην καταθέσθαι εἰς μέσον. ἤδη γὰρ ἡ λοιδορία ἐπὶ τοῦτο ἔρχεται·

ᵃ Δαιμόνι᾿ οὔτω πω μάλα ἔλπεαι υἷας Ἀχαιῶν
Ἀπτολέμους τ᾿ ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις;

ἃ γὰρ ἔδει συμβουλεύοντα πείθειν μένειν, ταῦτα λέγει ὡς ἀγανακτῶν, εἰ ἀξιοῖ μένειν αὐτοὺς ὡς φεύγοντας· ᵇ προτείνεται γὰρ εἶθ᾿ ἡ ἐπίτασις, τοῦ, ᶜ Σὺ πορεύου, καὶ ⓐ ἄλλοι μενοῦσιν. οὐ γὰρ ἀξιοῖ συμβουλεύειν μένειν, ἀλλ᾿ ὡς πεπεισμένων διαλέγεται· εἶτα φοβούμενος μὴ ἐνδῶσι, καὶ αὐτοῖς ᵈ συγχωρεῖ φεύγειν. οὗτος ὁ σχηματισμός ἐστι τοῦ ἄλλα λέγοντα ἄλλα διοικεῖν.

ε΄. Τὸ δὲ τὰ ἐναντία οἷς λέγει διοικεῖσθαι, ἐν τῇ ἀναγκαιοτάτῃ ἐστὶ δημηγορίᾳ τῇ Ἀγαμέμνονος. καὶ τηρητέον ὅτι ἐν κινδύνοις οἱ σχηματισμοὶ εὑρίσκονται. ὁ γὰρ Ἀγαμέμνων ἀπόρως ἔχει ἐκστρατεῦσαι τοὺς Ἕλληνας, καὶ προτείνει αὐτὸς τὴν ἀτοπίαν·

ᵉ Ἀλλ᾿ ἄγετ᾿ αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.
Πρῶτα δ᾿ ἐγὼν ἔπεσιν πειρήσομαι, ἣ θέμις ἐστὶ,
Καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύσω·
Ὑμεῖς δ᾿ ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν.

καὶ τῆς διαπείρας ἡ αἰτία φανερὰ ᶠ τῷ συνέχοντι, ὅτι ἐπειδὴ ὁ Ἀχιλλεὺς ᵍ ἐφέστηκε τοῦ Ἑλληνικοῦ, καὶ οὐ συστρατεύεται· ἦν δὲ ἡγεμὼν παντὸς τοῦ στρατεύματος· ζητεῖ πῶς ἂν δίχα Ἀχιλλέως ἐξέλθοιεν. καὶ οἶδε τοὺς Ἕλληνας ὀργιζομένους ἐπ᾿ Ἀχιλλεῖ, καὶ φοβεῖται μὴ ἄρα, ἂν κελεύσῃ, οὐχ ὑπακούσωσιν, ʰ τούτου ὄντος·

ⁱ Ἀλλ᾿ ἄγετ᾿ αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν.

καὶ τὸ,

Πρῶτα δ᾿ ἐγὼν ἔπεσιν πειρήσομαι, ἣ θέμις ἐστὶ,
Καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύσω.

καὶ ἐάν τις προτείνῃ ἡμῖν, ὅτι οὐ τυγχάνει τῆς προαιρέσεως Ἀγαμέμνων, ἀλλ᾿ ἀποπειρώμενος κινδυνεύει ἡττᾶσθαι, καὶ ἀτυχῶς χρῆται τῷ λόγῳ· ὡρμήκασι γὰρ εἰς τὰς πατρίδας· ἀγνοεῖ ὅτι Ἀγαμέμνονος τέχνη αὕτη ἐστὶ, τὸ ὁρμῆσαι αὐτούς. οὐ γὰρ οἴεται τῇ ἀποπείρᾳ τῶν λόγων ᵏ καθέξειν αὐτούς. ἀλλὰ τίς ἡ τέχνη; ἐπειδὴ ἀγανακτοῦσιν ὑπὲρ Ἀχιλλέως, οὐκ ἐνδείκνυνται δὲ τὴν ἀγανάκτησιν, ἕως ἂν χρεία γένηται ἐξόδου, βούλεται αὐτοὺς ἀπορρῆξαι τὸν θυμὸν, καὶ φανεροὺς γενέσθαι ὀργιζομένους, καὶ ὑπὸ τῶν ἀρίστων κατασχεθῆναι· ˡ τοῦτό σοι καὶ γίνεται. φαίνονται ἑτοίμως ἀπιόντες εἰς τὰς πατρίδας· Ὀδυσσεὺς δὲ καὶ Νέστωρ κατέχουσιν αὐτούς. ταῦτα οὖν ὁ Ἀγαμέμνων ἀποπειρώμενος, φανερῶς τοῦ σχήματος τὴν διδασκαλίαν παραδίδωσι. τὰ γὰρ ἐναντία οἷς βούλεται λέγει.

ἔστι

a *Il.* ι. v. 40. b Sic diſtinguendum cenſeo, προτείνεται γάρ· εἶθ᾿ ἡ ἐπ᾿. c Alludit ad illud *Homeri, Il.* ι. v. 42. “Εἰ δέ τοι αὐτῷ θυμὸς ἐπέσσυται ὥστε νέεσθαι, “Ἔρχεο —— “Ἀλλ᾿ ἄλλοι μενέουσι ——— d Ita etiam in *Codd. MSS.* Perperam in *Ed. Steph.* συγχωρεῖν. e *Il.* β. v. 72. f Τῷ συνέχοντι Rhetorum more accipiendum hîc pro cauſæ firmamento, & eo quod totius negotii ſummum caput continet. *Sylb.* Malim τῷ συνιόντι, vel ut in margine *Reg.* 1. τῷ νῦν ἔχοντι. g Ἀφέστηκεν in *Codd. MSS.* h Τούτου ὄντος *cum hoc ita ſit*: ut infra in *Iſocrate* (p. 101. juxta *Ed. Sylb.*) τούτων ὑπαρχόντων. *Sylb.* Forſan τούτου ἀπιόντος vel ἀπόντος. i *Il.* β. v. 72. k In *Ed. Steph.* καθίξειν errore ambiguo. Sed καθέξειν [cum *Codd. MSS.*] legendum eſſe ſatis eſt perſpicuum, præcipue ex v. 46. *Sylb.* l Τοῦτό τοι *Reg.* 1. * Vide *Voſſii* Inſtit. Poëtic. l. 2. c. 5. a Le-

ἔστι δὲ ἡ μέθοδος τούτων τῶν λόγων θαυμαστή τις καὶ ἄτοπος· τὰς γὰρ ἐν λόγοις ῥητορικοῖς κακίας, ταύτας αὕτη ἡ ἰδέα ἀρετὰς ἀναφαίνει. εἰσὶ δὲ κακίαι λόγων ῥητορικῶν, τό, τε εὐδιάλυτα λέγειν καὶ τὸ ἀντίστροφα· ὧν τὸ μὲν, ἀσθενείας· τὸ δὲ, καὶ κινδύνου. δι' ἀμφοτέρων
53 πορεύεται ὁ Αγαμέμνων εἰκότως. ὥσπερ γὰρ ὅταν τις ἃ βούλεται λέγῃ, οὐ χρὴ αὐτὸν ὑπεναντίοις ἔπεσι χρῆσθαι, οὔτ' εὐδιαλύτοις, οὕτως ὅταν τις ὧν λέγει τὰ ἐναντία βούληται, ἀνάγκη αὐτῷ τὴν κακίαν τὴν ἐκ τῶν λόγων, ἀρετὴν ἐνταῦθα ποιήσασθαι· εἰ δὲ μὴ, συμβήσεται αὐτῷ ἐναντιώσει περιπεσεῖν, [a] ἀλλ' ἔτι πεῖσαι οὐχ ἃ βούλεται. τοῦτο μὲν οὖν καὶ οἱ μελετῶντες ἴσασιν. ὅταν γάρ τις προσέλθῃ τῇ βουλῇ ἀξιῶν ἀποθανεῖν, οὐδεὶς αὐτὸν ἀποθανεῖν βούλεται, ἀλλὰ τὰ ἐναντία βούλεται ὧν λέγει· καὶ οἱ τὰ δῶρα παρὰ τῶν φίλων ἀπωθούμενοι, βουλόμενοι δέξασθαι, λέγουσι μὲν τὰ ἐναντία, προῦλουσι δὲ τὰ ἐναντία. δεῖ οὖν ἡμᾶς διδάξαι, πῶς μὲν λέγει εὐδιάλυτα καὶ στρεφόμενα· τὸ δὲ μέγιστον, πῶς ἔλαθε τοῦτο ποιῶν· ἐπεὶ συμβήσεται, ἂν [b] καταφωρος ἡ τέχνη γένηται, καὶ τὸν ἀκούοντα ἀντιτεχνάζειν καὶ ἀντισχηματίζειν, προσποιούμενον πείθεσθαι καὶ συγχωρεῖν. ὅτι μέντοι εὐδιάλυτα λέγει, ἐκεῖνο σημεῖον·

-----ὅς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσεν
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον, ἀπονέεσθαι.

εἰ τοίνυν ὑπέσχετο καὶ κατένευσε, περιμενετέον.

Νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο, καί με κελεύει
Δυσκλέα Ἄργος ἱκέσθαι------

πάλιν ἀντιλαβὴν ἔχει· οὐ γὰρ δεῖ δυσκλέα ἀπιέναι. ταῦτα μὲν εὐδιάλυτα· ἐκεῖνα δὲ, σαφῶς στρεφόμενα·

Αἰσχρὸν γὰρ τόδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι,
Μὰψ οὕτω τοιόνδε τοσόνδε τε λαὸν Ἀχαιῶν
Ἄπρηκτον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι.

ταῦτα φανερῶς ὁ ἀντιλέγων [c] ἐρεῖ,

Αἰσχρὸν γὰρ τόδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι.

πῶς οὖν διοικεῖ; ὅτι μὲν γὰρ εὐδιάλυτα λέγει καὶ στρεφόμενα, δῆλον· καὶ ἔτι μᾶλλον, ἂν ἐπεξίῃ τις τὴν τέχνην τῶν ἐπῶν, εὑρήσει. ἀλλὰ τίς ἡ τέχνη τῶν τοιούτων; πάθους ὑπερβολὴ πρὸ τοῦ λόγου, ἵνα δοκῇ ὑπὸ λύπης φέρεσθαι αὐτῷ ὁ λόγος, μὴ ἐξ ἐπιβουλῆς διοικεῖσθαι. διὰ τοῦτο Ἀγαμέμνων ἀπὸ σχετλιασμοῦ ἤρξατο,

Ζεύς με μέγας Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ
Σχέτλιος ----------

ὁ οὖν τῷ Διῒ οὕτω προσφερόμενος, καὶ βλασφημῶν, δῆλός ἐστιν ὑπὸ λύπης καὶ ἀσύμφωνα αὐτῷ λέγων. πάθους οὖν προσβολὴ, κλοπὴ γίνεται διοικήσεως τεχνικῆς. τοιοῦτο μὲν ἐστὶ τὸ σχῆμα, τὸ τὰ ἐναντία λέγειν οἷς βούλεται.

ϛʹ. Ἔστι δὲ καὶ τέταρτον σχῆμα βαθύτατον, τὸ δι' ἄλλων πορευόμενον, καὶ παντελῶς ἐπ' ἄλλης ὑποθέσεως τὸν λόγον ποιούμενον, ἄλλην περαίνειν. καὶ τοῦτο Ὅμηρος τὸ παράδειγμα ἔδωκεν, καὶ ἔλαθε τοὺς πολλούς. ἐπὶ γὰρ τῇ ἀποπείρᾳ τοῦ Ἀγαμέμνονος, ἣν ποιεῖται πρὸς τοὺς Ἕλληνας, οἱ κατέχοντες

ficere. Eſt autem hæc methodus plane admiranda & fere abſurda: nam quæ in ſermone oratorio vitia eſſe dicimus, illa virtutes eſſe oſtendit. Nam inter Rhetorum vitia recenſentur ſolutu facilia, & retortu facilia: quorum illud eſt debilitatis ſignum, hoc vero periculi. Per utrumque non ſine ratione incedit Agamemnon. Sicut enim, cum quis eadem dicit quæ prætendit, nec repugnantibus nec ſolutu facilibus uti neceſſe habet; ita cum quis contraria iis, quæ mente concipit, pronunciat, neceſſe eſt illum ex orationis vitiis conficere virtutes: alioqui in contraria incidet, nec id quod intendit perſuadebit. Norunt hoc meditantes orationem. nam cum quis ad curiam accedat mori poſtulans, nemo ipſi moriendum eſſe exiſtimat, ſed contraria iis quæ dicit intendit: ſic qui munera ab amicis oblata rejiciunt, cum tamen accipere volunt, aliud quam ſentiunt præ ſe ferunt. Docendum itaque quomodo ſolutu facilia & retortu facilia dicemus, & (quod maximum) quomodo tecte & occulte hoc præſtabimus: nam continget ut auditor, ſi artificium deprehendatur, artem figuramque æmuletur, ſimulans ſe perſuaſum eſſe atque omnia conceſſurum. *Solutu facilia.* Ejus qui ſolutu facilia dicit hoc ſit exemplum:

Qui mihi promittens ſic Jupiter annuit ultro
Poſt Trojæ excidium patriis ſuccedere tectis.

Si igitur promiſerit & annuerit, manendum.

Nunc me decipiens animum mutavit, & Argos
Infamem rediiſſe jubet ——

Iterum adverſandi anſam præbet: non enim inglorius redeat oportet. Illa quidem, ſolutu facilia; hæc vero, manifeſte retortu facilia: *Retortu facilia.*

Turpe erit & noſtris audire nepotibus iſta,
Incaſſum tantum populum gentemq; Pelaſgam
Bellum haud affectum gerere & committere pugnam.

Palam hæc contradicens poſuit:

Turpe erit & noſtris audire nepotibus iſta.

Quale artificium? perſpicuum eſt ſolutu & retortu facilia dici: idque eo propius deprehendes, quo accuratius verborum expenderis ſtructuram. Sed ars quænam? Orditur ab affectus hyperbole, ut magis videatur doloris vehementia efferri, quam conſilii ratione duci. Quare Agamemnon cum indignatione incipit:

Jupiter ingenti damno Saturnius urget.
Nos valde ——————

Qui ita contumelioſe Jovem aggreditur, manifeſtum eſt quod præ dolore tam diſſonantia eructet. Affectus igitur adjectio tegit & occultat orationis figuratæ artificium. Hujuſmodi quidem eſt figura; qua contraria iis, quæ volumus, dicimus.

VI. Eſt autem & quarta ſpecies admodum abdita; qua alia concludimus oratione quam quæ initio propoſuimus aut argumentis evicimus. Ejus & apud Homerum exemplum reperitur, quod plurimos latuit. In illa tentatione Græcorum quam fecit Agamemnon, *4. Alia via incedere, alium ſcopum reſpicere.*

[a] Legendum videtur ἀλλὰ τι πεῖσει, οὐχ ἃ βούλεται, vel ἀλλ' οὐκ ἔτι πεῖσαι ἃ βούλεται. *Sylb.* [b] Ita in *Codd. MSS.* Perperam κατάφορος in *Ed. Steph.* uti & (v. 16.) ἀποθέμενοι. Κατάφωρος γίνεται idem hic eſt (notante *Sylburgio*) quod ſupra φωραθῇ p. 80. v. 9. [c] Ἀντιρεῖ *Cant.*

Ὑπόθεσις

non, Ulyſſes & Neſtor in Græcorum exercitu retinendo præcipui ſunt. Quænam autem ibi admiratione digna? Duo equidem: videtur Neſtor nihil ex ſe proferre, ſed eadem cum Ulyſſe dicere, * uti diſcipulus magiſtrum imitatur: atque illi laudem tribuit Agamemnon, ut qui Græcorum animos conſilio ſibi ſubjiciat: quod abſurdiſſimum eſt. Nam & ipſi magiſtri affirmant, quod, quoniam Ulyſſes habita oratione à multitudine laudatur, Agamemnon quoque, ne ſenex dejectiori ſit animo, ipſi laudem ſuam attribuit; idemque cum magiſtro facit, qui ſolet diſcipulos, in ludo ſcientiæ ſuæ ſpecimen dantes, ne in fletum prorumpant, [præmiis] excitare. Sed ars quænam eſt? In univerſum quidem non idem dicendi ſcopus Neſtori qui Ulyſſi. Interroget forſan aliquis, qui fit ut idem non ſit? eadem quidem dicunt. Id Neſtoris artificium, quod eadem cum illo dicens non eundem habeat ſcopum [nec in idem deſinat.] Sed quæ hujus rei ars? quod ſuaſurus difficilia, per conceſſa & jam perſuaſa ſe inſinuet. Perſuaſi erant Græci ab Ulyſſe ut manerent, ſimul & reprehenſione permoti & conſolationis ſuavitate inducti. Verum difficilius quiddam Neſtori aggrediendum: ea ideo aſſumit quæ perſuaſerat Ulyſſes, atque eadem plane dicit:

Pectore ita pueri & muliebria corda gerentes,
Ad caros cupiunt natos patriamque reverti.

Sic Ulyſſes: eadem quoque Neſtor;

Mollibus heu! pueris effunditis ore loquelas
Aſſimiles ——————

Promiſſæ vires ubi, ſacramentaque data?
Omnia ceſſerunt flammis mandata virorum.

Efficere, Atrida, nunc te conantur Achivi
Omnibus inviſum mortalibus atque peroſum.

Narrat ille ſigna ex Chalchantis vaticiniis, hic vero fulgura: unde patet eos eadem incedere via. Quodnam ideo diſcrimen? ſcopi differentiam oſtendit laudum diverſitas. Ulyſſi applaudunt Græci univerſi, perſuaſique non diſcedunt: quod factum Ulyſſis ſplendidum:

Grajugenæ tum plus pugnæ Martiſq; laborum
Quā patriæ memores, quā navibus ire per altū.

Scopum plane alium habuit Neſtor. Cum enim videt Græcos ad manendum proclives, acriter ad prælium urget. nam quod maneant parum prodeſſet, niſi ad conflictum veniatur: quod Agamemnon deſiderat & quærit quam maxime.

Nunc agite & quinā celeres armemus Achivos?

Qua ratione vero abſente Achille manus conferendæ? Hoc eſt quod docet Neſtor:

Atrida, has acies nunc ordine rite locato:
Ordine ſtet gens una ſuo, tribus una ſua ſtet,
Gentilis ferat auxilium ſibi ſanguine juncto.
Quod ſi me audieris, Argivique iſta monentem,
Cognoſces quis dux melior, quis miles in armis,
Quæve cohors: pugnabit per ſe ſingula quæque.

τὸ Ἑλληνικόν εἰσιν Ὀδυσσεὺς καὶ Νέστωρ. καὶ θαυμαστὸν τί ἐν τῷ λόγῳ; ἔστι διπλοῦν τὸ θαυμαστόν. ἔοικεν ὁ Νέστωρ μηδὲν ἴδιον λέγειν, ἀλλὰ τὰ αὐτὰ λέγειν τῷ Ὀδυσσεῖ, ὥσπερ μαθητὴς τὰ διδασκάλου· καὶ ἀπονέμει αὐτῷ ἔπαινον ὁ Ἀγαμέμνων, ὡς κρατοῦντι τῶν Ἑλλήνων ἐν ταῖς βουλαῖς· ὅπερ ἐστὶν ἀτοπώτατον. καὶ λέγουσιν οἱ διδάσκαλοι, ὅτι ἐπειδὴ ἐπῄνεσε τὸν Ὀδυσσέα τὸ πλῆθος, ἵνα μὴ λυποῖτο ὁ γέρων, καὶ ὁ Ἀγαμέμνων τὸν γέροντα· ὡς περὶ παιδαρίων ἐν διδασκαλείῳ ἐπιδεικνυμένων, καὶ παραμυθίαν τοῦ διδασκάλου ἀπονέμοντος, ἵνα μὴ κλαίῃ τὰ παιδία. ἀλλ' ἡ τέχνη τίς; ὅλως ἡ αὐτὴ ὑπόθεσις τῶν λόγων οὐκ ἔστιν Ὀδυσσεῖ καὶ Νέστορι. ἔροιτο ἄν τις, καὶ πῶς οὐχ ἡ αὐτὴ [a] ὑπόθεσις; τὰ αὐτὰ γὰρ λέγουσι. τοῦτο ἡ τέχνη ἡ Νέστορος, ὅτι τὰ αὐτὰ λέγων, οὐκ εἰς τὴν αὐτὴν ὑπόθεσιν λέγει. ἀλλ' ἡ τέχνη τίς; ἐπειδὴ μέλλει χαλεπὴν ὑπόθεσιν πείθειν, πορεύεται διὰ τῆς πεπεισμένης ὑποθέσεως. πεπεισμένοι εἰσὶν οἱ Ἕλληνες ὑπὸ τοῦ Ὀδυσσέως μένειν, καὶ ἤνεγκαν αὐτοῦ τὴν ἐπιτίμησιν καὶ τὴν παραμυθίαν. ἀλλ' ἔχει χαλεπωτέραν ὑπόθεσιν ὁ γέρων. ποιεῖται οὖν δι' ὧν ἔπεισεν Ὀδυσσεύς, καὶ τὰ αὐτὰ λέγει Ὀδυσσεῖ·

[b] Ὥστε γὰρ ἢ παῖδες νεαροὶ, χῆραί τε γυναῖκες,
Ἀλλήλοισιν ὀδύρονται οἶκόνδε νέεσθαι.

[c] Ὀδυσσεύς· τὰ αὐτὰ ὁ γέρων,

[d] Ὦ πόποι, ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε
Νηπιάχοις ——————

[e] Πῆ δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμῖν;
Ἐν πυρὶ δὴ βουλαί τε γενοίατο, μήδεά τ' ἀνδρῶν.

[f] Ἦ μάλα δή σε ἄναξ —— ἐθέλουσιν Ἀχαιοὶ
Πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσι.

λέγει ἐκεῖνος σημεῖον μαντείας [g] τῆς περὶ τὸν Κάλχαντα· οὗτος, τὰ τῆς ἀστραπῆς· ὥστε διὰ τῆς αὐτῆς πορεύονται. τί οὖν ἐστι τὸ παραλλάττον; διδάσκει τὸ παραλλάττον τῆς ὑποθέσεως τῶν ἐπαίνων ἡ διαίρεσις. ἐπῄνεσαν οἱ Ἀχαιοὶ καὶ τὸ πλῆθος τὸ κοινὸν τὸν Ὀδυσσέα· πεισθέντες μένουσιν· καὶ τὸ ἔργον τοῦ Ὀδυσσέως λαμπρόν·

[h] Τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων γένετ', ἠὲ νέεσθαι
Ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν.

ὁ γέρων ἄλλην ὑπόθεσιν ἔχει. ἐπειδὴ γὰρ πεπεισμένοι εἰσὶν οἱ Ἕλληνες μένειν, ζητεῖ αὐτοὺς ἐκστρατεῦσαι. οὐδὲν 54
γὰρ ὄφελος τοῦ μένειν ἄνευ τοῦ ταχθῆναι· ὅπερ μάλιστα ὑπόθεσίς ἐστι καὶ ζήτησις τοῦ Ἀγαμέμνονος.

[i] Ἀλλ' ἄγετ' αἴ κέν πως θωρήξομεν υἷας Ἀχαιῶν·

πῶς ἄνευ τοῦ Ἀχιλλέως ἐκστρατεύσαιντο; ἔστιν οὖν τοῦ Νέστορος ἡ ὑπόθεσις·

[k] Κρῖν' ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον·
Ὡς φρήτρη φρήτρηφιν [l] ἀρήγῃ, φῦλα δὲ φύλοις.
Εἰ δέ κεν ὣς ἔρξεις, καί τοι πείθονται Ἀχαιοὶ,
Γνώσῃ ἔπειθ' ὅς θ' ἡγεμόνων κακὸς, ὅς τέ νυ λαῶν,
Ἠδ' ὅς κ' ἐσθλὸς ἔῃσι· κατὰ σφέας γὰρ [m] μαχέονται.

αὕτη

a Ὑπόθεσις τῶν λόγων *Cant.* b *Il.* β. v. 289. c Ὀδυσσεὺς brachyologia elliptica dictum pro ταῦτά φησιν ὁ Ὀδυσσεύς, *hæc Ulyſſes inquit. Sylb.* d *Il.* β. v. 337. e Vulgata *Homeri* exemplaria (*Il.* β. v. 339.) habent Πῆ δή. f *Il.* β. v. 284. ſed in libris vulgatis Ἀτρεΐδη νῦν δή σε ἄναξ ἐθέλουσιν Ἀχαιοί. g Τὰ in *Cod. Colb.* ex alicujus emendatione. h *Il.* β. v. 453. i *Il.* β. v. 72. & 83. k *Il.* β. v. 362. l Ἀρήγῃ *Colb.* & *Cant.* m Μαχέονται *Colb.* & *Cant.* * Μαθητὴς pro καταμαθεὶς legit *Interpres.*

αὕτη ἡ ὑπόθεσίς ἐστιν ἧς χρείαν ἔχει ὁ Ἀγαμέμνων· αὕτη ἡ ἐπικίνδυνος ὑπόθεσις τῶν λόγων τῷ Νέστορι· ὡς ἐν παρέργῳ δὲ αὐτὴν ἔρριψεν.

ᵃ Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·

ὡς προσθήκην τῷ λόγῳ ποιούμενος· καὶ γίνεται ὥσπερ τέλος τῆς δημηγορίας τῆς πεπεικυίας χρεία δημηγορίας ἀναγκαιοτέρας. διὰ τοῦτο Ἀγαμέμνων, τυχὼν ὧν ἐβούλετο, ἐπαινεῖ τὸν γέροντα·

ᵇ Ἦ μὰν αὖτ' ἀγορῇ νικᾷς, γέρον, υἷας Ἀχαιῶν.
Αἲ γὰρ Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
Τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν.
Τῷ κε τάχ' ἠμύσειε πόλις Πριάμοιο ἄνακτος
Χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε.

ὅτι δὲ αὕτη ἐστὶν ἡ ὑπόθεσις τοῦ Νέστορος, τὸ ἐκστρατεῦσαι, καὶ ὅτι τοῦτο ἐπαινεῖ, σχηματίζει ὁ Ἀγαμέμνων ὡς τυχὼν ὧν ᶜ ἐβούλετο. τίς ὁ ἔλεγχος, καὶ τίς ἡ ἀπόδειξις; φοβεῖται μὴ οὐ πείσῃ ὁ Νέστωρ, καὶ βοηθεῖ αὐτῷ ὅσα δύναται. τί οὖν ἐστι τὸ μὴ ποιοῦν πείθειν τὸν Νέστορα; ὀργὴ ὑπὲρ Ἀχιλλέως τῶν Ἑλλήνων. παραμυθεῖται τὴν ὀργὴν αὐτῶν ὁ Ἀγαμέμνων ὁμολογῶν ἡμαρτηκέναι, καὶ μέμνηται τοῦ Ἀχιλλέως, ἵνα μαλάξῃ αὐτῶν τὸν θυμὸν ἐπ' αὐτῷ. ἐπεὶ τί βούλεται τό;

ᵈ Ἀλλά μοι αἰγίοχος Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν,
Ὅς με μετ' ἀπρήκτους ἔριδας καὶ νείκεα βάλλει.
Καὶ γὰρ ἐγὼν Ἀχιλεύς τε μαχεσσάμεθ' εἵνεκα κούρης
Ἀντιβίοις ἐπέεσσιν· ἐγὼ δ' ἦρχον χαλεπαίνων.
Εἰ δέ ποτ' ἔς γε μίαν βουλεύσομεν, οὐκέτ' ἔπειτα
Τρωσὶν ἀνάβλησις κακοῦ ἔσσεται οὐδ' ἠβαιόν.

ἐκίνησεν αὐτοὺς οἰκτεῖραι, εἰ ὁμολογεῖ τὸ ἁμάρτημα, καὶ ἀπεπλήρωσεν αὐτῶν τὸν θυμόν. εἶτα συναγορεύσας τῷ γέροντι καὶ παραμυθησάμενος, ἀφεὶς ταῦτα, ἐπὶ τὸ οἰκειότατον ἔρχεται, ἐπὶ τὸν βασιλέα·

* ᵉ Νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν ἄρηα.

ταῦτα κελεύσας ἐπάγει, ᶠ φησί, καὶ τὴν ἀπειλήν, ἐὰν δέ τις χωρίζηται·

ᵍ Ὃν δέ κ' ἐγὼν ἀπάνευθε μάχης ἐθέλοντα νοήσω
Μιμνάζειν παρὰ νηυσὶ κορωνίσιν, οὔ οἱ ἔπειτα
Ἄρκιον ἐσσεῖται φυγέειν κύνας ἠδ' οἰωνούς.

ὥστε ἄρχεται ἀπὸ ἐπαίνου συναγορεύων τῷ Νέστορι· ἔπειτα παραμυθεῖται τὸν θυμόν, ὁμολογῶν ἡμαρτηκέναι· εἶτα κελεύει καὶ ἀπειλεῖ βασιλικῶς. αὕτη οὖν ἡ τέχνη τίς ἐστι; τό, ἐπ' ἄλλης ὑποθέσεως πεπεικυίας πρότερον, ἐπὶ τέλει ὡς πάρεργον ʰ ἐρρίπτειν ἐπὶ οἰκειοτέραν ὑπόθεσιν. ταύτην τὴν τέχνην τίς ἐμιμήσατο, καὶ τίς ἐξηγήσατο; Πλάτων. ἐγκώμιον λέγει ἐν ΤΩ ΣΥΜΠΟΣΙΩ Ἀλκιβιάδης Σωκράτους. ἐπὶ τέλει τοῦ ἐγκωμίου λέγει πρὸς Ἀγά-

Id erat quod valde requirebat Agamemnon: idque propoſitum Neſtoris orationis periculoſæ plenum aleæ, quod quaſi aliud agens injicit,

Tanquã aliud dicam, memori tu mente reconde,

orationi veluti additamentum faciens: eſtque quaſi finis ſuaſionis, quæ per confeſſa ſe inſinuat, ſuaſione magis neceſſaria uti. Agamemnon ideo voti campos factus Neſtorem laudat:

Gratia commendat te, Neſtor, plurima linguæ,
Atq; iterum cunctos ſuperas vinciſq; loquendo.
O utinam tales mihi Dii bis quinque dediſſent,
Jupiter ipſe pater, Pallaſq; & Phœbus Apollo.
Nẽpe brevi noſtris manibus caperentur & alto
Pergama conciderent à culmine. ———

Quod vero hic ſit ſcopus Neſtoris, in hoſtem eos ducere; & quod hoc laudet figurata oratione Agamemnon, ac ſi voti eſſet compos; unde probatur, unde demonſtratur? Neſtorem nihil effecturum ſubveretur: ei ideo pro virili auxilium fert. Quid cauſæ, cur Neſtor minime perſuaſurus videretur? ira Græcorum ob Achillis diſceſſum. Eam mitigare ſtudet Agamemnon, dum ſe reum fatetur; Achillemque memorat, ut Græcorum animos concitatos emolliret. Quorſum igitur hæc tendunt?

Jupiter ipſe dedit vim materiamque doloris,
Tam male cum forti qui me commiſit Achille,
Unius ob pulcræ certantem jura puellæ:
Cujus principium certaminis omne redundat
In caput hoc. Si tempus erit, quo noſtra redibit
Gratia, nempe cadent ſubito altæ mœnia Trojæ.

Ad commiſerationem eos commovit, dum ſibi peccatum imputat, iramque non mediocriter placavit. Tum Neſtori patrocinans & conſolationem adhibens, his omiſſis, venit ad id quod maxime proprium, ad Regem:

Nunc firmare cibo tempus languentia membra,
Poſt Marti libare decet. ———

Hoc dicto minas etiam intentat iis, qui ſe militiæ ſubtraxerint:

Seu qui detrectarit opus pugnæque laborem,
Seu quis ad æratas devitans prælia naves
Reſtiterit, non effugiet, quin corpore ſparſo
Paſcat aves, canibuſq; inhumatus præbeat eſcã.

Adeo ut Neſtori patrocinans ab encomio ejus initium ducat: dein conceptam iram demulcet, dum ſe deliquiſſe fatetur: more denique regio imperat minaſque intentat. At quæ rei hujus ars? Hæc *ſcilicet*, ab eo quod prius propoſuit & perſuaſit, tandem ad quiddam magis proprium (tanquam aliud agens) tranſire. Figuram hanc quis imitatus eſt, ejuſque exemplum dedit? Plato: in cujus *Sympoſio* Socratem laude proſequitur Alcibiades. In fine encomii Agathonem ita alloquitur

a Il. α. v. 297. *b Il. β. v.* 370. *c* Siquis poſt ἐβούλετο ſemiperfectæ periodi punctum ſtatuere velit, præcedens σχηματίζει vertendum fuerit in participium σχηματίζων. qua de re judicent alii. *Sylb.* *d Il. β. v.* 375. *e Il. β. v.* 381. *f* Pro φησὶ & δὲ convenientius legeris φασὶ & δή. vel paullo majori mutatione ſic: ἐπάγει σφίσι καὶ τὴν ἀπειλήν, ἐὰν δή τις χωρίζηται. *Sylb.* *g Il. β. v.* 391. *h* Pro ἐπὶ legendum videtur ἔπι. & cum ἐρρίπτειν hîc compoſite dicat pro ſimplici ἔρριψε (ut v. 3. & p. 98. v. 6.) forſan compoſite legendum ἐνέρριψε *injecit*. Eſt autem ἐρρίπτειν ea compoſitionis forma hîc factum, qua in *Antiquitatibus Rom.* ἐρράπτειν *inſuere*, p. 249. v. 15. *Sylb.* Ἐρρίπτειν in *Cod. Cant.*

α Para-

quitur Alcibiades: “Vide igitur, Agatho, ne “idem tibi, quod aliis pleriſque accidat. Iſte “enim Socrates, qui amatorem ſe eſſe ſimu-“lat, amaſius evadit: ne ſic ille tecum agat, “uti cum omnibus egit. Agathonem amabat quidem Alcibiades, ipſumque à nemine alio amari voluit. Sub finem vero intertexuit excuſationem, quaſi in laude ponens. Ipſe vero Socrates artificium ediſſerit: “Sobrius mihi “videris, Alcibiades: (ebrius autem viſus eſt) “non enim tam artificioſe hanc Satyricam “perſonam induiſſes, niſi ſobrius fuiſſes. at-“que hæc omnia à te dicta ſunt, ut me & A-“gathonem calumnieris, atque ut ego tui & “nullius alterius amator ſim. Id autem in o-“rationis concluſionem reſervaſti, quaſi non “hujus rei gratia cætera omnia protuliſſes: “verum non latuit nos, quid ſibi velit illud “tuum Satyricum figmentum. En perſpicuum hujus rei artificium! Conabimur igitur, poſt Homerica exempla, oſtendere artificium hoc & oratores adhibuiſſe in concionibus & judiciis, & in panegyricis, & dialogis.

Liberiori orationi ſecuritatis aditum præmunire.

VII. Prius vero aliud figuratæ orationis genus inſpiciamus. Duplex autem hoc: unum quidem, liberiori orationi ſecuritatis aditum præmunire, lenitionem quandam præmittendo; alterum vero in narratione ſubinde perſonam mutare, aliis pro aliis loquentem inducendo; atque hoc habet ſecuritatis, quod aliis loquatur alios petat, ipſiſque audientibus ea dicat aliis, quæ his tamen maxime conveniunt. At quale demum utrumque? Sub initium *Iliados*, ſurrexit Achilles, & poſt hunc Calchas vates, uterque Agamemnonem reprehendens, quod ille cauſa exſtiterit luis graſſantis: Achilles quidem conſultoris more illi hujus mali cauſam imputat, ut incertus tamen & in eam inquiſiturus, unde liberius dicendi occaſionem ſumit à vate. Vates Achilli reſpondens cauſæ ſuſpicionem amovet. Achilles, accuratius facta inquiſitione, præſtruit viam ad malorum originem detegendam. Utriuſque igitur ſermones perſpiciamus, ut ſe habeant ad invicem & quale decorum ſervent: atque hinc quidem Achillis ſubtilitas apparebit in re inveſtiganda, inde vero Calchantis tuta & munita reſponſio:

Cenſeo nunc iterum Danaos Artida reverti
Actos per tumidas variis erroribus undas,
Si fatum liceat præſens evadere: leto
Abſumunt parili nunc Mars & peſtis Achivos.
Verum age, jam nobis vatis reſponſa petenda,
Sacrifici aut oracula, vel cui ſomnia parent
Poſce aliquē, (à Divis obſcuræ ſomnia noctis)

θῶνα ὁ Ἀλκιβιάδης· “[a] Ὅρα τοίνυν, ὦ Ἀγάθων, μὴ πάθῃς ὅ-“περ οἱ πολλοί. ὁ γὰρ Σωκράτης οὗτος προσποιεῖται ἐραστὴς “εἶναι· εἶτα ἐρώμενος ἀναφαίνεται. μὴ οὖν καὶ σὺ τὸ αὐτὸ πάθῃς, “ὅπερ καὶ πάντες πεπόνθασι. ἔτυχε δὲ ὁ Ἀλκιβιάδης ἐρῶν τοῦ Ἀγάθωνος, καὶ ἐβούλετο ὑπὸ μηδενὸς ἄλλου [b] αὐτὸν ἐρᾶσθαι. καὶ ἐπὶ τέλει ἔρριψε τὴν παραίτησιν τὴν πρὸς Ἀγάθωνα, ὡς ἐπὶ τοῦ ἐγκωμίου λέγων. αὐτὸς ἐξηγεῖται ὁ Σωκράτης τὴν τέχνην· “[c] Νήφειν μοι δοκεῖς, ὦ Ἀλκιβιάδη· δοκεῖ γὰρ μεθύειν ὁ Ἀλκιβιάδης· οὐ γὰρ ἂν κομψῶς γε, φησὶ, τὸ Σατυ-“ρικὸν δρᾶμα περιέβαλες, εἰ μὴ ἔνηφες. καὶ πάντα ταῦ-“τα εἴρηκας ὑπὲρ τοῦ διαβάλλειν ἐμὲ καὶ Ἀγάθωνα, ἵνα ἐγὼ “μὲν σοῦ ἐρῶ καὶ μηδενὸς ἄλλου. καὶ γὰρ ἐποίησας αὐτὸ, φησὶν, “ὡς οὐδὲν, ἢ ἐπὶ τέλει αὐτὸ εἰπὼν, ὡς οὐχ ἕνεκα τούτου πάν-“τα τὰ ἄλλα εἰρηκώς. ἀλλ' οὐκ ἔλαθες, ἀλλὰ τὸ Σατυρι-“κὸν δρᾶμα τοῦτο [d] ἀνεφάνη. οὕτω γάρ τοι γίνεται ἡ τέχνη καὶ παραδίδοται. [e] πειρασόμεθα οὖν δεῖξαι μετὰ τὰ Ὁμηρικὰ καὶ παρὰ τοῖς ῥήτορσι καὶ ἐν δημηγορίαις, καὶ ἐν δίκαις, καὶ ἐν πανηγυρικοῖς λόγοις, καὶ ἐν διαλόγοις τὸ αὐτὸ εἶδος γινόμενον.

ζ. Πρότερον δὲ καὶ ἄλλο εἶδος εἴδωμεν λόγων ἐσχηματισμένων. διπλοῦν τοῦτο· τὸ μὲν, πρὸς τὴν τῶν μελλόντων λεχθήσεσθαι παῤῥησίαν [f] ἔνδειξιν τῶν λεχθησομένων ἀσφαλῆ προαναχρουομένη τὸ λυπηρὸν τοῦ ἀκούσματος· τὸ δὲ, ἐν διηγήσει προσώπων ὑπαλλαγῆς, ὁ διὰ τῶν πρὸς ἑτέρους ἑτέροις· καὶ ἔχει τὸ ἀσφαλὲς ἐν τῷ μὴ οἷς ἐπιπλήττει αὐτοῖς διαλέγεσθαι, ἀλλ' ἀκουόντων αὐτῶν, ἑτέροις ταῦτα λέγειν ἃ τούτοις προσήκει. τί ποτ' οὖν ἐστιν ἑκάτερον τὸ εἶδος; ὁ Ἀχιλλεὺς ἀνέστη, καὶ μετὰ τὸν Ἀχιλλέα ὁ μάντις, ἐν ἀρχῇ τῆς ΙΛΙΑΔΟΣ, ἐλέγχοντες τὸν Ἀγαμέμνονα, ὅτι τὴν αἰτίαν τοῦ νοσήματος αὐτὸς παρέχει. ὁ μὲν Ἀχιλλεὺς, ἐν συμβούλου σχήματι ἐνδίδωσι τὴν αἰτίαν τῷ Ἀγαμέμνονι τῶν κακῶν, ὡς ἀπόρως διακείμενος, καὶ ζητῶν τὴν αἰτίαν, καὶ ἀφορμὴν ποιεῖται τῆς παῤῥησίας τὸν μάντιν· ὁ δὲ μάντις, ἀντιστοιχῶν τῷ Ἀχιλλεῖ τὴν ἀρχὴν σφῶν ὑπέβαλεν. ὁ Ἀχιλλεὺς, ζητῶν τὰς αἰτίας, προδιοικεῖται τὸ φανερὰν γενέσθαι τὴν αἰτίαν τῶν δεινῶν. ἴδωμεν οὖν τοὺς ἑκατέρων λόγους, πῶς ἔχουσι δι' ἀλλήλων, καὶ πῶς τὸ εὐπρεπὲς ἔχουσιν· οἱ μὲν τοῦ Ἀχιλλέως ἐν βαθύτητι ζητήσεως, οἱ δὲ τοῦ μάντεως, ἀσφαλείᾳ [g] περὶ τῆς ἀποκρίσεως· 55

[h] Ἀτρείδη, νῦν ἄμμε παλιμπλαγχθέντας οἴω
Ἂψ ἀπονοστήσειν, εἴ κεν θάνατόν γε φύγοιμεν·
Εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς.
Ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν, ἢ ἱερῆα,
Ἢ καὶ ὀνειροπόλον· καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν·

Os

a Paraphraſis hæc eſt loci *Platonis* ſub finem *Sympoſii*. Verba *Platonis* hæc ſunt: καὶ μὲν τοι οὐκ ἐμὲ μόνον ταῦτα πεποίηκεν, ἀλλὰ καὶ Χαρμίδην τὸν Γλαύκωνος, καὶ Εὐθύδημον τὸν Διοκλέους, καὶ ἄλλους πάνυ πολλούς· οὓς οὗτος ἐξαπατῶν, ὡς ἐραστὴς, παιδικὰ μᾶλλον αὐτὸς καθίσταται ἀντ' ἐραστοῦ. ἃ δὴ καὶ σοὶ λέγω, ὦ Ἀγάθων, μὴ ἐξαπατᾶσθαι ὑπὸ τούτου, ἀλλ' ἀπὸ τῶν ἡμετέρων παθημάτων γνόντα, εὐλαβηθῆναι, καὶ μὴ, κατὰ τὴν παροιμίαν, ὥσπερ νήπιον, παθόντα γνῶναι. Quibus ſubjungit *Plato*; εἰπόντος δὴ ταῦτα τοῦ Ἀλκιβιάδου, γέλωτα γενέσθαι ἐπὶ τῇ παῤῥησίᾳ αὐτοῦ, ὅτι ἐδόκει ἔτι ἐρωτικῶς ἔχειν τοῦ Σωκράτους. *b* Deeſt *Cant.* *c* Hæc ibid. paraphraſtica. *Platonis* enim hæc ſunt: Τὸν οὖν Σωκράτη, Νήφειν μοι δοκεῖς, φάναι, ὦ Ἀλκιβιάδη· οὐ γὰρ ἄν ποτε οὕτω κομψῶς κύκλῳ περιβαλλόμενος ἀφανίσαι ἐνεχείρεις οὗ ἕνεκα ταῦτα πάντα εἴρηκας, καὶ, ὡς ἐν παρέργῳ δὴ λέγων, ἐπὶ τελευτῆς αὐτὸ ἔθηκας, ὡς οὐ πάντα τούτου ἕνεκα εἰρηκὼς, τοῦ ἐμὲ καὶ Ἀγάθωνα διαβάλλειν· οἰόμενος δεῖν ἐμὲ μὲν σοῦ ἐρᾶν, καὶ μηδενὸς ἄλλου, Ἀγάθωνα δὲ ὑπὸ σοῦ ἐρᾶσθαι, καὶ μηδ' ὑφ' ἑνὸς ἄλλου. ἀλλ' οὐκ ἔλαθες· ἀλλὰ τὸ σατυρικόν σου δρᾶμα τοῦτο καὶ σιληνικὸν, κατάδηλον ἐγένετο. ἀλλ', ὦ φίλε Ἀγάθων, μηδὲν πλέον αὐτῷ γένηται, ἀλλὰ παρασκεύαζε ὅπως ἐμὲ καὶ σὲ μηδεὶς διαβάλλῃ. *d* Exiſtimavit forſan aliquis legendum ἐνέφηνε. Sed verum eſſe ἀνεφάνη oſtendunt *Platonis* verba jam citata, κατάδηλον ἐγένετο. *Sylb.* *e* Πειρασώμεθα in *Codd. MSS.* *f* Mutilus & corruptus eſt locus. primum enim poſt ἀσφαλῆ deeſſe videtur verbum διοικεῖσθαι, ποιεῖσθαι, vel aliud conſimile: deinde ſequentis membri poſterior pars ſic videtur legenda, προσώπων ὑπαλλαγῇ, διὰ τῶν πρὸς ἑτέρους, ἑτέροις διαλέγεσθαι. Repetuntur hæc duo præcepta p. 100. v. 16. *Sylb.* *g* In *Ed. Steph.* πρὸς τῆς ἀποκρ. Sed περὶ legendum eſſe docet p. 99. v. 36. & p. 100. v. 17. *Sylb.* *h* *Il.* α. v. 59.

a Oi

Ὅς κ' εἴποι ὅτι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων·
Εἴτ' ἄρ' ὅγ' εὐχωλῆς ἐπιμέμφεται, εἴθ' ἑκατόμβης·
Αἴ κέν πως ἀρνῶν κνίσσης αἰγῶν τε τελείων
Βούλεται ἀντιάσας ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι.
Ἤτοι ὅγ' ὣς εἰπὼν, κατ' ἄρ' ἕζετο. ------

μέχρι τούτου [a] Ἀχιλλέως λόγοι ἔχουσι ὑπαινιττομένου εἰς Ἀγαμέμνονα, προσκρούοντος ἐκείνῳ, ἐν δὲ σχήματι ζητήσεως καὶ ἀπορίας τοῦ δεινοῦ αἰτίας τὸ ἀσφαλὲς προδιοικουμένου. ἡ δὲ ἔνδειξις εἰς Ἀγαμέμνονα λέγεται ταῦτα, πρῶτον μὲν, τὸ πρὸς Ἀγαμέμνονα ποιεῖσθαι τοὺς λόγους, ἀλλὰ μὴ εἰς τὸ κοινόν·

Ἀτρείδη νῦν ἄμμε παλιμπλαγχθέντας. -----

ὡς γὰρ τιμῶν αὐτὸν διὰ τὸ ἀξίωμα, καὶ τὸν κοινὸν λόγον πρὸς ἐκεῖνον ἀποτεινόμενος, τὴν ἀσφάλειαν ἔχει τοῦ [b] προσκρούματος. εἶτα ἑξῆς ἐπάγει,

Εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς.

αἴτιος τοῦ πολέμου [c] Ἀγαμέμνων ἐστὶ, συναγαγὼν τοὺς Ἕλληνας· συνῆψε καὶ τὸν λοιμὸν τῷ πολέμῳ, καὶ φησιν αὐτὸν αἴτιον γεγονέναι. τί γὰρ ἡ μνήμη τοῦ πολέμου ἐνταῦθα, εἰ μὴ ἐβούλετο ἀμφοτέρων αἴτιον ἀποφῆναι τὸν αὐτόν; εἶτα ἐπειδὴ ἔδειξεν ὅτι αὐτὸς αἴτιός ἐστιν [d] οὗ χάριν σαφῶς εἶπεν, ἐπὶ ζήτησιν ἦλθεν·

Ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν, ἢ ἱερῆα,
Ἢ καὶ ὀνειροπόλον· καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν·
Ὅς κ' εἴποι ὅτι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων.

ἡ προσθήκη τοῦ Τόσσον δηλοῖ ὅτι τὰς αἰτίας τῆς ὀργῆς, ἃς ὑποβάλλει ὁ Ἀχιλλεὺς, οὐ πιστεύει ἀκούων, ἀλλ' αἰτίαν μείζω περιμένει·

Εἴτ' ἄρ' ὅγ' εὐχωλῆς ἐπιμέμφεται, εἴθ' ἑκατόμβης.

ἐνδέδωκε τὸν Ἀπόλλωνα ἕνεκεν εὐχωλῆς καὶ ἑκατόμβης τόσσον χολωθῆναι. οὕτω μὲν ὁ Ἀχιλλεὺς διοικεῖται τὸν λόγον. ὁ δὲ μάντις, λαβόμενος τῆς ἀφορμῆς, αὐτοῖς τοῖς Ἀχιλλέως λόγοις χρῆται εἰς διατριβὴν τοῦ δεῖξαι τῷ Ἀγαμέμνονι, πρὶν φανερῶς εἰπεῖν· καὶ γίνεται αὐτῷ ἀφορμὴ τῶν λόγων τὸ Τόσσον· λέγει γὰρ,

Οὔτ' ἄρ' ὅγ' εὐχωλῆς ἐπιμέμφεται, οὐθ' ἑκατόμβης.

καὶ πρότερον προδιοικεῖται τὴν ἀσφάλειαν·

[e] Ὦ Ἀχιλεῦ κέλεαί με Διῒ φίλε μυθήσασθαι
Μῆνιν Ἀπόλλωνος ἑκατηβελέταο ἄνακτος.
[f] Τοιγὰρ ἐγὼν ἐρέω· σὺ δὲ σύνθεο, καί μοι ὄμοσσον,
[g] Ἦ μέν μοι πρόφρων ἔπεσιν καὶ χερσὶν ἀρήξειν.

ταῦτα γὰρ ὁμολογοῦντός ἐστιν ὅτι τῷ βασιλεῖ προσκρούει. εἶτα τῷ προοιμίῳ τούτῳ ἐπάγει·

[h] Ἦ γὰρ ὀΐομαι ἄνδρα χολωσέμεν, ὃς μέγα πάντων
Ἀργείων κρατέει, καί οἱ πείθονται Ἀχαιοί.

εἶτα γνωμολογεῖ·

[i] Κρείσσων γὰρ βασιλεὺς ὅτε χώσεται ἀνδρὶ χέρηϊ.

εἶτα τὴν τέχνην τῆς ὀργῆς ἐπάγει·

[k] Εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ,

Qui gnarus nobis exponat Apollinis iram
Conceptam ex ſacris forſan non rite ſolutis:
Num ſatur agnorum velit aut nidore caprarum
A nobis miſeram placidus depellere peſtem.
His dictis heros reliquis aſſedit. ———

Hactenus Achilles obſcure Agamemnonem ſubinnuit & oblique petit: dubitationis autem & quæſtionis ſpecie ad mali cauſam aperiendam ſibi viam præmunit. Agamemnonem hiſce ſubinnui perſpicuum, quod ad Agamemnonem verba faciat, non ad multitudinem; cum ait:

Atrida, acti iterum variis erroribus. ———

Dum enim regis dignitatem reveretur, eumque communi omnium voce alloquitur, offenſionis periculum amolitur. dein ſubjicit,

Abſumunt leto nunc Mars & peſtis Achivos.

Cauſa belli fuit Agamemnon, Græcorum cogens exercitum. Bello etiam peſtem adjungit, ejuſque originem ei acceptam refert. Quorſum enim illic belli meminit, niſi utriuſque auctorem Agamemnonem declarare voluiſſet? Deinde poſtquam palam fecerat ab illo malum profluxiſſe, quod ſigillatim & diſertim dixerat, ad quæſtionem venit:

Verum age, jam nobis vatis reſponſa petenda
Sacrifici aut oracula; vel cui ſomnia parent.
Poſce aliquem, (à Divis obſcuræ ſomnia noctis)
Gnarum cur ita nos miſere devaſtet Apollo.

Adjectio illa vocis *ita* innuit, Achillem mali cauſæ, quam ſuſpicatur, dubiam habere fidem, & veriorem adhuc exſpectare:

Aut quia vota rite non ſolvimus, aut quia ſacra.

Admittit Apollinem ob vota non perſoluta aut ſacrificia non oblata Græcis infenſum. Et hoc quidem oratione adſtruit Achilles. Vates autem, arrepta occaſione, verba Achillis repetit, ut mora aliqua interpoſita ſit, antequam rem totam patefaciat. Dicendi occaſio ei ſuggeritur ex voce *ita*: inquit enim,

Nec votis damnet, nec ſacra repoſcit Apollo.

Prius enim periculo omni occurrerat, cum dicebat:

Æacida, dilecte Jovi, mandata profari
Præcipis, & cauſas irarum exponere Phœbi.
Pareo, ſi juratus opem promiſeris ipſe
Dictis me ac manibus promptũ te velle tueri.

Hiſce fatetur ſe Regis indignationem incurrere. dein hujuſmodi utitur procemio:

Credo etenim nimiũ quod jã exardeſcit in irã,
Omnibus imperio qui præſidet unus Achivis.

Mox ſententiam adjungit:

Semper enim Regis metuenda eſt ira minori.

Tum iræ artificioſa machinamenta profert:

Et quanquã ad tempus durã concoxerit iram,
Non tamen impreſſæ ſemel obliviſcitur, uſque
Supplicio

a Οἱ Ἀχιλλέως *Cant.* b Προσκρούσματος *Cant.* c Ὁ Ἀγαμέμνων *Cant.* d Illud οὗ Attica brachyologia uſurpatum pro τούτου ὃ *ejus quod. Sylb.* e *Il.* α. v. 74. f Ita etiam legitur in vulgatis *Homeri, Il.* α. v. 76. quamvis convenientius eſſe videatur τοὶ γ' ἄρ. g Pro ſequenti etiam ἦ μὲν in juramentis uſitatius eſt ἦ μὴν, & Dorice ἦ μάν. non in carmine tantum, ſed etiam in proſa oratione: quin & in aſſeverationibus ſine juramento, ſupra p. 89. v. 17. *Sylb.* h *Il.* α. v. 78. i *Il.* α. v. 80. k *Il.* α. v. 81.

Supplicio dum facta gravi commiſſa rependat.
Dic igitur, num me jubeas ſperare ſalutem.

Jamjam oſtendit, antequam verbum eloquatur, Agamemnonem malorum cauſam exſtitiſſe: ac proinde ex adverſo hiſce quædam conſentanea ſtatim adjicit Achilles:

Aude animo vates referens reſponſa Deorum,
Sancta per irati juro tibi numina Phœbi,
Cujus tu Danais promes oracula, Calchas,
Dum ſole intueor, dum ſpiritus hos reget artus,
Nemo manus in te violentas ingeret unquam
Roſtratas juxta naves; non ipſe Agamemnon,
Quem præſtare aliis regnandi viribus ajunt.
Tum confirmatus fidenti pectore vates
Integer his dictis fortem compellat Achillem.

Fatetur poëta aperte artificium. atque prima hæc ſpecioſa figuratæ orationis methodus, ænigmatice animi ſui ſenſa proferre, & quadam quaſi dilatione & cunctatione in proœmio, antequam dicas, exponere, quod offenſionis periculo loquentem objiciat.

Alios alloqui, alios petere.

VIII. Quænam altera ſpecies? Eam methodum eſſe diximus, qua aliis loquendo alios petimus, perſonarum ſubinde mutatione offenſionis periculum evitantes. Hujus exemplum apud Homerum exſtat in Ulyſſis oratione. Ulyſſes enim, priuſquam populum ad concionem vocaret, ut orationem ad manendum ſuaſoriam haberet, quum Græcorum animos tentavit Agamemnon, hiſce verbis utitur:

At ſi quem regem, ſi quem virtute valentem
Prenderet, huc dictis ſuadebat mollibus adſtans.
Optime ſic timidum te non decet eſſe: ſed ipſum
Te recipe, atq; alios firma. nec enim tibi conſtat
Principis Atridæ mens. Nunc attentat Achivos,
At mox, ſi qua notet mala, puniet. ergo cavendũ
(Nã neq; conſilii nota eſt ratio omnibus hujus)
Ne qua furens animo mala forte inducat Achivis;
Magnus enim Regis furor eſt, atq; ira tremenda
Dilecti ſuperis, quem Jupiter altus honorat
Atq; amat. Inde virũ ſi quem de plebe boantem
Ore importuno viſum reperiſſet Ulyſſes,
Hunc ſceptro domitum voce objurgabat amara.

Hac reprehenſione Ulyſſes etiam Reges ad concilium convocat. Qui vero incidit in Homeri exemplaria, exiſtimat, quod & prius dixerat Homerus, hoc ipſum efficere; *ſc.* Reges blando ſermone compellare, populum vero vehementius & aſperius increpare. Quod vero Homericus Ulyſſes præſtat, nemo videt. Nam cum Reges perſtringit, populum alloquitur; cum populum viciſſim reprehendit, ad Reges ſermonem dirigit. Si quæras quid populo Ulyſſes dixerit, audi:

Quin etiam non hic omnes regnamus Achivi.
Nec multos regnare bonum. Rex unicus eſto,
Unius imperium. ——————

Quo modo Reges admonuerit, accipe jam:

Nec vero conſtat quæ ſit ſententia Regis:
Nunc animos tentat mox puniet ipſe ſuorum.

Ἀλλά γε καὶ μετόπιαθεν ἔχει κότον, ὄφρα τελέσσῃ
Ἐν στήθεσσιν ἑοῖσι. σὺ δὲ φράσαι, εἴ με σαώσεις.

καὶ ἤδη ἔδειξεν ὅτι Ἀγαμέμνων τούτων ἁπάντων αἴτιος, μηδέ πω εἰπών· καὶ διὰ τοῦτο ἐπάγει, ἀντίστοιχα λέγων ὁ Ἀχιλλεὺς καὶ ὁμολογούμενα τούτοις·

[a]Θαρσήσας μάλα, εἰπὲ θεοπρόπιον [b]ὅ, τι οἶσθα.
Οὐ μὰ γὰρ Ἀπόλλωνα Διῒ φίλον, ᾧτε σὺ Κάλχαν,
Εὐχόμενος Δαναοῖσι θεοπροπίας ἀναφαίνεις,
Οὔτις ἐμεῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο,
Σοὶ κοίλης παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει
Συμπάντων Δαναῶν· οὐδ᾽ ἢν Ἀγαμέμνονα εἴπῃς,
Ὃς νῦν πολλὸν ἄριστος ἐνὶ στρατῷ εὔχεται εἶναι.
Καὶ τότε δὴ θάρσησε, καὶ ηὔδα μάντις ἀμύμων.

ὁμολογεῖ ὁ ποιητὴς τῶν λόγων τὴν διοίκησιν. μία μὲν αὕτη εὐπρέπεια ἐσχηματισμένων λόγων, τὸ, δι᾽ αἰνιγμάτων λέγειν ἃ φρονεῖ τις, καὶ τὸ, τῇ διατριβῇ καὶ τῇ μελλήσει τῶν λόγων εἰπεῖν, πρὶν εἰπεῖν, τῷ προοιμίῳ τὸ μέλλον δείκνυσθαι λυπηρόν.

η΄. [c]Ἡ δευτέρα τίς; ἐλέγομεν ἐκείνην εἶναι τὴν μέθοδον, τὸ, ἑτέροις διαλεγόμενον ἑτέρων καθάπτεσθαι, τὸ ἀσφαλὲς τοῦ μὴ προσκρούειν τῇ ὑπαλλαγῇ τοῦ προσώπου ἐνδεικνύμενον. καὶ τοῦτο Ὅμηρος ἔδειξεν ἐν Ὀδυσσέως λόγῳ. ὁ γὰρ Ὀδυσσεὺς, πρὶν συναγαγεῖν τοὺς ὄχλους εἰς τὴν ἐκκλησίαν, ἵνα δημηγορήσῃ περὶ τῆς μονῆς, ὅτε τὴν ἀπόπειραν ὁ Ἀγαμέμνων ἐποιήσατο, οὕτω λέγει·

[d]Ὅντινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,
Τὸν δ᾽ ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς.
Δαιμόνι᾽, οὔ σε ἔοικε, κακὸν ὣς, δειδίσσεσθαι·
Ἀλλ᾽ αὐτός τε κάθησο, καὶ ἄλλους ἵδρυε λαούς.
Οὐ γάρ πω σάφα οἶσθ᾽ οἷος νόος Ἀτρείδαο.
Νῦν μὲν πειρᾶται, τάχα δ᾽ ἴψεται υἷας Ἀχαιῶν.
Ἐν βουλῇ δ᾽ οὐ πάντες ἀκούσαμεν οἷον ἔειπε·
Μή τι χολωσάμενος ῥέξῃ κακὸν υἷας Ἀχαιῶν.
Θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέος βασιλῆος.
Τιμὴ δ᾽ ἐκ Διός ἐστι· φιλεῖ δέ ἑ μητίετα Ζεύς.
Ὃν δ᾽ αὖ [e]δήμου ἄνδρα ἴδοι βοόωντά τ᾽ ἐφεύροι,
Τὸν σκήπτρῳ ἐλάσασκεν, ὁμοκλήσασκέ τε μύθῳ.

ταύταις ταῖς ἐπιτιμήσεσι συνάγει καὶ τοὺς βασιλέας. ὁ μὲν δὴ ἐντυγχάνων τοῖς βιβλίοις, οἴεται, ὅπερ καὶ προείρηκεν Ὅμηρος, τοῦτο ποιεῖν, αὐτοῖς τοῖς βασιλεῦσι φιλοφρόνως διαλέγεσθαι, τοῖς δὲ δήμοις πικρότερον καὶ σφοδρότερον. ὃ δὲ ποιεῖ Ὀδυσσεὺς Ὁμήρου, οὐδεὶς ὁρᾷ. ἃ γὰρ ἐβούλετο καθάψασθαι τῶν βασιλέων, τῷ δήμῳ διελέγετο· ἃ δ᾽ ἐβούλετο ἐπιτιμῆσαι τῷ δήμῳ, τοῖς βασιλεῦσι διελέγετο. ἢ εἰπάτω μοι τὶς, τί ἔδοξε τῷ Ὀδυσσεῖ τοῖς δημόταις λέγειν;

[f]Οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ᾽ Ἀχαιοί.
Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,
Εἷς βασιλεύς. -------

ἢ τί ἔδοξε τοῖς βασιλεῦσιν ἐπιτιμῶντα λέγειν;

[g]Ἐν βουλῇ δ᾽ οὐ πάντες ἀκούσαμεν οἷον ἔειπε·
Νῦν μὲν πειρᾶται, τάχα δ᾽ ἴψεται υἷας Ἀχαιῶν.

ταῦτα

a *Il.* α. v. 85. b Ὅτι περ οἶσθα *Cant.* c Ἡ δ᾽ ἡ δευτέρα τίς; *Cant.* d *Il.* β. v. 188. e Δήμου τ᾽ ἄνδρα in *Codd. MSS.* & vulgatis *Homeri.* f *Il.* β. v. 203. g *Il.* β. v. 194.

a *Il.*

ταῦτα δὲ οὐ τοῖς δημόταις λέγει, ἀλλὰ τοὺς βασιλέας ἀναμιμνήσκει. γέγονεν οὖν ὁ λόγος πρὸς ἑκατέρους ἑκατέροις κοινός. καὶ τὴν ἐξήγησιν ἐπάγει Ὅμηρος τῶν ἐσχηματισμένων τούτων λόγων δι᾽ ὀνόματος ἑνός, ὃ οὐδὲ ὁρῶσιν οἱ ἀναγινώσκοντες, Ὅμηρος δὲ ὑπὸ φιλανθρωπίας ἐξηγήσατο,

[a] Ὣς ὅ γε κοιρανέων δίεπε στρατόν. ------

τί ἐστι τὸ Κοιρανέων; [b] ὡς κοίρανος διαλεγόμενος; οὐ δή που· ἀλλὰ στρατήγημα τῶν λόγων οὕτως ὀνομάζων, καὶ ἐξήγημα τοῦ στρατηγήματος, καὶ τοῦ "Κοιρανέων δίεπε στρατόν". ἡ γὰρ διοίκησίς ἐστι τέχνη ἐν τῷ ὀνόματι λεγομένη.

θ΄. Ἴωμεν τοίνυν ἐπὶ τὰ [c] πεζὰ παραγγέλματα. Δημοσθένης διδάσκει ἡμᾶς εὐπρεπῶς διαλέγεσθαι ἃ βούλεταί τις· καὶ οἶδε τοῦ σχήματος τούτου τὸ ὄνομα. λέγει δὲ ἐν τῷ ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ ὧδε τῇ λέξει· "Ἐπειδὰν δὲ ἔλθωσιν οἱ πρέσβεις εἰς Θήβας, πῶς [d] χρήσασθαι τῷ πράγματι παραινῶ, τούτῳ μοι πάνυ προσέχετε τὸν νοῦν." εἶτα ἐπάγει ὥσπερ διδάσκαλος παραδιδοὺς μαθητῇ τὴν διοίκησιν· "Μὴ δεῖσθαι Θηβαίων μηδέν· αἰσχρὸς γὰρ ὁ καιρός· ἀλλ᾽ ἐπαγγέλλεσθαι βοηθήσειν ἐκείνοις, ἂν [e] κελεύωσιν· ὡς ἐκείνων μὲν ὄντων ἐν τοῖς ἐσχάτοις, ἡμῶν δὲ [f] ἄμεινον ἢ ἐκείνων τὸ μέλλον προορωμένων· ἵνα, ἂν μὲν δέχωνται ταῦτα καὶ πεισθῶσιν ἡμῖν, καὶ ἃ βουλόμεθα ὦμεν [g] διοικούμενοι, καὶ μετὰ σχήματος ἀξίου τῆς πόλεως ταῦτα πράξωμεν· ἂν δ᾽ ἄρα μὴ τύχῃ, ἐκεῖνοι μὲν [h] ἑαυτοῖς ἐγκαλῶσιν, ἄν τι ἐξαμαρτάνωσιν· ἡμεῖς δέ, μηδὲν αἰσχρὸν μηδὲ κακὸν [i] ὀφθείημεν πεπεισμένοι."

ι΄. Τὸ δὲ ἕτερα λέγειν καὶ ἕτερα διοικεῖσθαι δείκνυσί σοι πάλιν ὁ αὐτὸς Δημοσθένης ἐν τοῖς συμβουλευτικοῖς, ἔν τε ΠΕΡΙ ΣΥΜΜΟΡΙΩΝ ἐπιγραφομένῳ λόγῳ· ὅσπερ λόγος εἰκότως ἂν καὶ δικαίως ἐπιγράφοιτο [k] ΠΕΡΙ ΤΩΝ ΒΑΣΙΛΙΚΩΝ, ἐν τῷ, πρῶτος καὶ μόνος παραστὰς ἀντειπεῖν. ἐν τούτῳ τῷ λόγῳ ἐναντιοῦται μὲν τῇ Ἀθηναίων γνώμῃ, ὡρμηκότων αὐτῶν πολεμεῖν βασιλεῖ, καὶ μία μὲν διοίκησις τοῦ λόγου ἐστί, τό, βουλόμενον τὸν ῥήτορα μὴ πολεμεῖν αὐτοὺς βασιλεῖ· κλέπτει δὲ τὴν δόξαν, [l] τὸ συμβουλεύειν βασιλεῖ μήπω πολεμεῖν, καὶ αὕτη ἡ τέχνη ἐστὶ οὗ, ἃ βούλεταί τις λέγειν εὐπρεπῶς. ποιεῖ δὲ τοῦτο οὕτως· "Ἐγὼ νομίζω κοινὸν ἐχθρὸν ἁπάντων τῶν Ἑλλήνων εἶναι βασιλέα· οὐ μὴν διὰ ταῦτα παραινέσαιμ᾽ ἂν [m] μόνοις τῶν ἄλλων ὑμῖν πόλεμον πρὸς αὐτὸν [n] συνάγειν." καὶ ἔτι ἡ τέχνη βαθυτέρα, τὸν κωλύοντα πολεμεῖν [o] ἐπαγγέλλεσθαι περὶ δυνάμεως πολεμήσουσιν. τοῦτο μὲν κλέπτοντός ἐστι τὴν ἐναντίωσιν τοῦ πολέμου. μιμεῖται γὰρ ἐνταῦθα τὸν [p] Ἀρχίδαμον τοῦ Θουκυδίδου.

Hæc non ad populum dicit, ſed Reges commonefacit. Fuit igitur hæc ad utroſque alternatim communis oratio. unico autem vocabulo figuratam orationem explicat Homerus; quod quidem lectorum pauci animadvertunt, Homerus autem pro ſua humanitate ita enarrat,

Sic dominans regit agmina. ——

Quid illud *dominans*? an *dominantis* in morem loquens? nequaquam. Verum in orationis ſtratagemate id nomen eſt ejus quaſi expoſitio: ut patet: *Dominans regit agmina.* Nam artificium in ipſo nomine conſiſtit.

Exempla ex oratione proſaica. I. Decenter dicere quæ volumus.

IX. Jam procedamus ad præceptiones proſaicas. Demoſthenes nos docet decenter dicere quæ volumus: nec hujus figuræ nomen ignorat. In oratione enim *de Corona* hujuſmodi dictione utitur: "Ubi Thebas legati venerint, quomodo rem hanc adminiſtrabitis, magnopere moneo ut mihi auſcultetis. Addit deinde quaſi magiſter diſcipulo artis præcepta tradens: "A Thebanis ne quidquam poſtuletis; (id enim hoc tempore abſurdum) ſed auxilium ipſis promittatis, ſi juſſerint; tanquam in extremo periculo conſtituti ſint, nos vero melius quam illi ventura proſpiciamus: ut ſi hæc admiſerint & nobis paruerint, & quæ volumus conſequamur, & pro dignitate reip. noſtræ conficiamus. Si vero voto fruſtrari contigerit, illi ſemet accuſent, ſi quid nunc deliquerint; nos vero nihil turpe aut humile egiſſe videamur.

2. Aliud proponere, aliud dicere.

X. Aliud vero proponere atq; aliud dicere, oſtendit & idem Demoſthenes in orationibus ſuaſoriis, præſertim in ea quæ *de Claſſibus* inſcribitur: quæ oratio recte & convenienter inſcriberetur *de Regio negotio*, quod primus & ſolus ei reſtiterit. In hac oratione Athenienſium ſententiæ adverſatur, qui ad bellum Perſarum regi inferendum toto animi impetu ferebantur: idque unum aſſequi ſtudet, ut iis ſuadeat, ne bellum moveant Regi. Sententiam autem ſuam occultat, ſuadendo, cum Rege bellum nondum gerendum eſſe: atque hoc artificium eſt, quo decenter ea dicimus quæ volumus. Id autem ita præſtat: "Ego quidem communem Græcorum hoſtem regem Perſarum eſſe exiſtimo: non ideo tamen ſuaſerim, ut ſoli inter omnes vos in eum bellum ſuſcipiatis. Artificium adhuc ſubtilius apparet, quod bellum indici vetet iis qui regnum invadere tentant. Eſt enim hoc belli contrarietatem tegentis. Atque hic quidem imitatur Thucydidis Archidamum. Nam

a Il. β. v. 207. *b* Ὡς κοιρανέων in Codd. MSS. & Ed. Ald. *c* Πεζὰ παραδείγματα Reg. 1. *d* Χρῆσθαι MSS. *e* Pro κελεύωσιν in *Ed. Steph.* καὶ λέγωσιν. *f* In *Ed. Steph.* ἄμεινον ἢ ἐκείνων τὸ μέλλον εἶναι, ἂν μὴ δεχ. nec aliter in *MSS.* niſi quod ἐκεῖνοι habeant pro ἐκείνων. *g* Supra (p. 80. v. 27.) convenientius legitur διῳκημένοι. *h* Ἑαυτῶν κἄν τι ἐξαμαρτάνωσιν in Codd. MSS. *i* Rectius ὀφθῶμεν. Sunt etiam aliæ diverſitates in vulgatis Demoſthenis exemplaribus. quare vulgatam lectionem, ut eam *Steph.* adnotavit, hic adſcribere lubuit: ἐπειδὰν δ᾽ ἔλθωσιν οἱ πρέσβεις εἰς Θήβας, πῶς χρήσεσθε τῷ πράγματι τούτῳ, παραινῶ· πάνυ μοι προσέχετε τὸν νοῦν. μὴ δεῖσθε Θηβαίων μηδὲν· αἰσχρὸς γὰρ ὁ καιρός. ἀλλ᾽ ἐπαγγείλασθε βοηθήσειν, ἐὰν κελεύωσιν· ὡς ἐκείνων ὄντων ἐν τοῖς ἐσχάτοις κινδύνοις, ἡμῶν δὲ ἄμεινον ἢ ἐκεῖνοι τὸ μέλλον προορωμένων· ἵν᾽ ἐὰν μὲν δέξωνται ταῦτα, καὶ πεισθῶσιν ἡμῖν καὶ ἃ βουλόμεθα ὦμεν διῳκημένοι, καὶ μετὰ προσχήματος ἀξίου τῆς πόλεως ταῦτα πράξωμεν· ἐὰν δ᾽ ἄρα μὴ συμβῇ κατατυχεῖν, ἐκεῖνοι μὲν ἑαυτοῖς ἐγκαλῶσιν, ἄν τι νῦν ἐξαμάρτωσιν, ἡμῖν δὲ μηδὲν αἰσχρὸν μηδὲ ταπεινὸν ᾖ πεπραγμένον. Inter alia vero nota in vulgatis exemplaribus hic legi μετὰ προσχήματος, pro eo quod apud *Dionyſium* ſine præpoſitione habent editiones, μετὰ σχήματος ac fortaſſe *Dionyſius* ipſe ita ſcripſit; librarii vero, quod περὶ σχημάτων καὶ ἐσχηματισμένων λόγων hic tractaretur, σχήματος nomen ſubſtituerunt. *Sylb.* *k* Ipſe quoque *Demoſthenes*, in oratione proxima περὶ τῆς τῶν Ῥοδίων ἐλευθερίας, ait eo tempore περὶ βασιλικῶν deliberatum eſſe. *Schottus* in *Parallelis.* *l* Putarit forſan aliquis dandi caſu legendum τῷ συμβουλεύειν. Sed mutatione opus non eſſe, ſatis eſt manifeſtum ex p. 82. v. 48. ubi idem hic locus tractatur. *Sylb.* *m* In *Ed. Steph.* μόνοις τοῖς ἄλλοις ὑμῶν, ſtructura parum congruente. *n* Pro συνάγειν ſupra (p. 83. v. 2.) eſt ἄρασθαι. *o* Malim ἐπαγγέλλεσθαι, ut v. 19. *Sylb.* *p* Illa de Archidamo ſupra etiam tractata p. 83. v. 4.

79848

Nam & ille, cùm viderat Lacedæmonios & Peloponneſios ad bellum inflammatos, voluit quidem impetum eorum reprimere, non tamen auſus eſt dicere, non bellandum eſſe: (non enim paruiſſent) ſuadens itaq; bellum nondum movendum eſſe, non omnino gerendum eſſe voluit. Atq; hoc primum in oratione artificium: alterum vero, cui ipſi bellum parant, inferre vetat Demoſthenes; cui vero ipſi bellum moveri nolunt, eidem movendum eſſe cenſet. Eſtque hæc oratio bifariam figurata. Ipſe enim Regi bellum noluit inferri, cui ipſi tamen volunt; Philippo vero inferendum judicat, cui omnino nolunt ipſi. Quali vero artificio utitur? Ex altera propoſitione, de bello non gerendo cum quo illi volunt, & è contra, ſuadet cum Rege quidem concertandum eſſe, ſed nondum: copias vero contra ipſum parandas. Illud igitur *nondum* impetum ipſorum in Regem cohibet: & conſilium de apparatu faciendo ad Philippum bello invadendum idoneum eſt. Quod vero hujuſmodi ſit artificium, confitentem habemus Demoſthenem. "Quod ſi alia ratio copiarum eſſet, quibus barbari propulſarentur, alia quibus Græci, deprehenſum iri fortaſſe conſentaneum eſſet, nos contra illum inſtrui. Cum autem omnis inſtructionis ratio ſit eadem, & eadem oporteat eſſe copiarum capita, ut hoſtes repelli poſſint, ut ſocii defendantur, ut opes noſtræ conſerventur. Quid, cum habeamus, qui ſe hoſtes fatentur, alios quærimus? ac non potius adverſus hos inſtruimur, & illum quoque ulciſcimur, ſi vobis perſuaſero. In alia quoque oratione occultum mentis conſilium aperit: "Video vos Philippum contemnere, Regem vero ut validum hoſtem pertimeſcere. Si vero illum bello provocare nolumus, huic vero nequaquam inferendum cenſeamus, adverſus quos tandem præliabimur?

XI. Quin & Euripides per integros ſermones & totam fabulam hoc artificio utitur. In *Æolo* Macareus clam cum ſorore rem habuit; at ut ſibi conſulat patri ſuadet, ut ſorores fratribus in conjuges dari velit. Atque ita communi conſilio & ſententia figurata eſt oratio. *Melanippe Sapiens* fabula eſt Euripidis, *Sapiens* quidem inſcripta, quod philoſophetur, & propterea matris ipſius ſermo dicitur, ne abſurda videatur ipſa philoſophia. Habet autem duplicem figuram; unam quidem in poëtæ verbis; alteram vero in ſententia Menalippes, quæ dramatis perſona eſt. Tale quidem poëtæ, tale vero perſonæ. Verſatus eſt cum Anaxagora Euripides. hujus vero dogma fuit, "Simul omnia exſiſtere, poſtea vero ſecreta eſſe." Deinde vero cum Socratem conveniſſet, ma-

καὶ γὰρ καὶ ἐκεῖνος, ἐπειδὴ ἑώρα τοὺς Λακεδαιμονίους καὶ Πελοποννησίους ὡρμηκότας πρὸς τὸν πόλεμον, ἐβούλετο δὲ αὐτοὺς κωλῦσαι πολεμεῖν, τὸ μὲν μὴ πολεμεῖν [a] λέγειν οὐ τολμᾷ· οὐ γὰρ πείσονται· συμβουλεύων δὲ τὸ μήπω πολεμεῖν, τὸ μὴ πολεμεῖν λέγει· μία μὲν αὕτη διοίκησις ἐν τῷ λόγῳ. δευτέρα δὲ ἐκείνη, ᾧ μὲν βούλονται πολεμεῖν, οὐ βούλεται αὐτοὺς πολεμεῖν ὁ Δημοσθένης· ᾧ δὲ οὐκ ἐθέλουσι πολεμεῖν, τούτῳ κελεύει πολεμεῖν. καὶ γίνεται διπλοῦς λόγος ἐσχηματισμένος. βασιλεῖ μὲν γὰρ αὐτοὺς οὐ βούλεται πολεμεῖν, ᾧ πάνυ βούλονται· Φιλίππῳ δὲ ἀξιοῖ πολεμεῖν, ᾧ οὐ βούλονται. [b] τίνα δὲ διοίκησιν ἐποιήσατο; ἐξ ἑτέρας ὑποθέσεως τοῦ πεῖσαι μὴ πολεμεῖν ᾧ βούλονται, καὶ πολεμεῖν ᾧ μὴ βούλονται, συμβουλεύει πολεμεῖν βασιλεῖ, ἀλλὰ μήπω, παρασκευάζεσθαι δὲ πρὸς αὐτόν. 5 τὸ μὲν οὖν "Μηδέπω" τὴν ὁρμὴν τὴν ἐπὶ βασιλέα κωλύει· συμβουλὴ δὲ τῆς παρασκευῆς εὐπρεπῆ τὸν πόλεμον τὸν πρὸς Φίλιππον ἐργάζεται. καὶ ὅτι αὕτη ἡ τέχνη ἐστὶ, λάβε αὐτὸν Δημοσθένην ὁμολογοῦντα· "Εἰ μὲν τοίνυν ἕτερός τις ἦν τρόπος δυνάμεως, [c] ᾧ τοὺς βαρβάρους οἷόν τε ἦν ἀμύνασθαι, ἕτερος δέ τις, ᾧ τοὺς Ἕλληνας, [d] εἰκότως ἂν φανεροὶ πᾶσιν ἐπιγινώμεθα πρὸς ἐκεῖνον ἀντιταττόμενοι· εἰ δὲ πάσης παρασκευῆς ἐστι τρόπος ὁ αὐτὸς οὗτος, τοὺς ἐχθροὺς ἀμύνασθαι δύνασθαι, τοῖς οὖσι συμμάχοις βοηθεῖν, καὶ [e] τὰ ὑπάρχοντα ἀγαθὰ σώζειν, τί τοὺς ὡμολογημένους ἐχθροὺς ἔχοντες, ἄλλους ζητοῦμεν; ἀλλὰ παρασκευαζώμεθα μὲν πρὸς τούτους, ἀμυνώμεθα δὲ κἀκεῖνον, ἂν ἡμᾶς πείσῃ. καὶ ἀληθῶς τὸ ἀπόρρητον τοῦτο τῆς γνώμης μηνύει ἐν ἄλλῳ λόγῳ· "Ὁρῶ δ' [f] ἡμᾶς Φιλίππου μὲν καταφρονοῦντας, βασιλέα δὲ ὡς ἰσχυρὸν ἐχθρὸν φοβουμένους. εἰ δὲ τῷ μὲν πολεμεῖν οὐ θελήσομεν, τῷ δὲ οὐκ ἀξιώσομεν, πρὸς τίνας [g] παραταξόμεθα;

ια'. Ἀλλὰ καὶ Εὐριπίδης δι' ὅλων λόγων διοικήσεως σχῆμα περαίνει ἐν ὅλῳ δράματι, [h] ἐν μέρει τινὶ σχῆμα [i] διοικούμενον. ἐν ΤΩ ΑΙΟΛΩ ὁ Μακαρεύς ἐστιν ὁμιλήσας τῇ ἀδελφῇ καὶ λανθάνων, καὶ συμβουλεύων τῷ πατρὶ τὰς ἀδελφὰς τοῖς ἀδελφοῖς [k] συνοικῆσαι, ἵνα τὸ οἰκεῖον διοικήσηται. καὶ οὕτως ἐσχημάτισται ὁ λόγος κοινῇ γνώμῃ καὶ συμβουλῇ. [l] ἡ ΜΕΛΑΝΙΠΠΗ ΣΟΦΗ, τὸ δρᾶμα Εὐριπίδου, ἐπιγέγραπται μὲν Σοφὴ, ὅτι φιλοσοφεῖ, καὶ διὰ τοῦτο τοιαύτης μητρός ἐστιν, ἵνα μὴ ἀπίθανος ᾖ ἡ φιλοσοφία. ἔχει δὲ διπλοῦν σχῆμα, τὸ μὲν, τοῦ ποιητοῦ· τὸ δὲ, τοῦ προσώπου τοῦ ἐν τῷ δράματι, τῆς Μελανίππης. τὸ μὲν οὖν ποιητοῦ, τοιόνδε· τὸ δὲ τοῦ προσώπου, τοιόνδε· Ἀναξαγόρᾳ προσεφοίτησεν Εὐριπίδης· Ἀναξαγόρου δὲ λόγος ἐστὶν, ὅτι "Πάντα ἐν πᾶσιν· εἶτα ὕστερον διεκρίθη". μετὰ ταῦτα ὡμίλησε καὶ Σωκράτει,

καὶ

a Οὐ τολμᾷ λέγειν Reg. 1. b Τίνα οὖν διοίκησιν Reg. 1. c In *Codd. MSS.* ἢ τοὺς βαρβάρους, & mox ἢ τοὺς Ἕλληνας. d Εἰκότως φανεροὶ πᾶσιν ἐπιγενόμεθα in *MSS.* Verum (inquit *Sylb.*) cum hic locus in vulgatis *Demoſthenis* aliter quam hîc legitur. ideo illum inde huc tranſcribere lubet: εἰ μὲν οὖν ἕτερος ἦν τις τρόπος δυνάμεως, ᾧ τοὺς βαρβάρους οἷόν τε ἦν ἀμύνασθαι, ἕτερος δέ τις ᾧ τοὺς Ἕλληνας, εἰκότως ἂν ἴσως φανεροὶ πρὸς ἐκεῖνον ἐγινόμεθα ἀντιταττόμενοι. ἐπεὶ δὲ πάσης παρασκευῆς ἐστιν ὁ αὐτὸς τρόπος, καὶ δεῖ τὰ αὐτὰ εἶναι κεφάλαια τῆς δυνάμεως, τοὺς ἐχθροὺς ἀμύνασθαι δύνασθαι, τοῖς οὖσι συμμάχοις βοηθεῖν, τὰ ὑπάρχοντ' ἀγαθὰ σώζειν· τί τοὺς ὁμολογοῦντας (rectius τοὺς ὡμολογημένους) ἐχθροὺς ἔχοντες, ἑτέρους ζητοῦμεν, ἀλλ' οὐ παρασκευαζόμεθα μὲν πρὸς τούτους, ἀμυνούμεθα δὲ κἀκεῖνον, ἐὰν ἀδικεῖν ἡμᾶς ἐπιχειρῇ. Extat in oratione *de Claſſibus*; non procul ab initio. Noſtra lectio emendatior erit ſi v. 21. legas ἐγινόμεθα: & v. 29. ἂν ἀδικεῖν ἡμᾶς ἐπιχειρῇ: aut minori mutatione, ἂν ὑμᾶς πείσω, *ſi vobis perſuaſero; ſi mea vobis perſuaſerit oratio.* e Ταῦτα παρέχοντα *Colb. & Cant.* Τά θ' ὑπάρχοντα legit *Wolfius.* f Ὑμᾶς *Colb.* g Ita in *Codd. MSS.* παραταξώμεθα habet *Ed. Steph.* h Πρότερον δὲ δείξωμεν ἐν ὅλῳ δράματι, ἐν μέρει &c. in *Codd. MSS.* i Forſan rectius διοικούμενος. *Sylb.* k Συνοικίσαι *Colb. & Cant.* quo modo legi poſſe conjecerant *Wolfius* & *Sylb.* l Tractatus eſt etiam hic locus ſupra p. 85. v. 12.

a Εὐπορώτερον

ἐπὶ δ᾽ [a] εὐπορώτερον [b] ἤγαγε τὸν λόγον. ὁμολογεῖ οὖν τὴν διδασκαλίαν τὴν ἀρχαίαν παρὰ τῆς Μελανίππης·

[c] Κοὐκ ἐμὸς ὁ μῦθος, ἀλλ᾽ ἐμῆς μητρὸς πάρα,
Ὡς οὐρανός τε γαῖά τ᾽ ἦν μορφὴ μία.

οὕτω μὲν ὁ ποιητὴς σχηματίζει τὸ αὐτοῦ· ἡ δὲ Μελανίππη [d] ἐπαιδεύθη μὲν ὑπὸ τοῦ Ποσειδῶνος, γέγονε δὲ ταύτῃ παιδία· ἐξέθηκε δὲ αὐτὰ εἰς τὰ τοῦ πατρὸς βουφόρβια. ὁ δὲ πατὴρ ἡγεῖται ἐκ βοὸς εἶναι, καὶ ὡς τέρας βούλεται κατακαῦσαι. βοηθοῦσα αὐτῇ ἡ Μελανίππη ἀποφαίνεσθαι πειρᾶται ὅτι τέρας οὐδέν ἐστιν. [e] οὕτω τὸ δρᾶμα ὅλον ἐσχημάτισται· καὶ ἅμα διδάσκει ἡμᾶς Εὐριπίδης ὅτι τῶν σχηματιζόντων ἐγγυτάτω δεῖ εἶναι τοῦ λῦσαι τὸ σχῆμα μετὰ τῆς ἀσφαλείας τοῦ σχήματος. περιερχομένη γὰρ πάσας αἰτίας τοῦ σῶσαι τὰ παιδία, λέγει·

——— [f] εἰ δὲ παρθένος
Φθαρεῖσα ἐξέθηκε τὰ παιδία,
Καὶ φοβουμένη τὸν πατέρα, σὺ φόνον δράσεις;

ὥστε καὶ τὸ αὐτῆς πρᾶγμα λέγει ἐν σχήματι συμβουλῆς.

ιβ΄. Ἀλλὰ καὶ πάλιν ὁ ΠΑΝΗΓΥΡΙΚΟΣ Ἰσοκράτους τοιοῦτόν τι βιβλίον ἐστὶ, καὶ ὁ ΦΙΛΙΠΠΟΣ Ἰσοκράτους, καὶ ὁ ΠΕΡΙ ΤΗΣ ΑΝΤΙΔΟΣΕΩΣ. ἐν γὰρ τοῖς τρισὶ τούτοις βιβλίοις ἐγκώμια διέρχεται· τὸ μὲν, Ἀθηναίων· τὸ δὲ, Φιλίππου· τὸ δὲ, [g] ἐξ αὐτοῦ. ἀλλὰ τοῖς μὲν Ἀθηναίων ἐγκωμίοις καὶ τοῖς Φιλίππου, συμβουλὴν ὑποθέμενος, τὸ εὐπρεπὲς τοῦ ἐγκωμίου ἐπραγματεύσατο, καὶ πεποίηται ὥσπερ πάρεργον συμβουλῆς τὸ ἐγκώμιον· [h] τὸ δ᾽ ἐστὶν ἔργον τῶν ἐγκωμίων· πάρεργον δὲ ἡ συμβουλή· αὑτῷ δὲ ἔδωκεν ἐπαίνου ἀφορμὴν, [i] ἐν ἀνάγκῃ ἀπολογίας πρὸς τὰ κατηγορημένα. τοῦτο καὶ Δημοσθένης ἐν τῷ ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ ἐπραγματεύσατο. ἐγκώμιον [k] αὐτοῦ ἠθέλησε γράψαι, καὶ τὴν ἀπολογίαν προετάξατο. τοῦτο καὶ Πλάτων πεποίηκεν ἐν ΤΗ ΑΠΟΛΟΓΙΑ [l] τοῦ Σωκράτους, ἐγκώμιον βουλόμενος γράψαι ἐν ἀπολογίας σχήματι. τοῦτο καὶ Ξενοφῶν ἐν ΤΟΙΣ ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΣΙΝ· ὡς γὰρ ἀπολογούμενος ὑπὲρ Σωκράτους, ἐγκώμιον Σωκράτους [m] περαίνει· ἔργον δὲ αὐτοῖς ἐστὶ, καὶ πολλὰς ὑποθέσεις ὁμοῦ συμπλέκειν. ἥ γέ τοι ἀπολογία Σωκράτους, καὶ Πλάτωνος ἀπολογία ἐστὶ, καὶ Ξενοφῶντος ἀπολογία ἐστί· καὶ ὁ ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ τέσσαρας ὑποθέσεις ἔχει, καὶ ἀπολογία ἐστὶ, καὶ κατηγορία, καὶ ἐγκώμιον Δημοσθένους, καὶ ὁποῖον εἶναι δεῖ τὸν πολιτικὸν ἄνδρα. καὶ Ξενοφῶν δὲ, ὁμολογῶν ἐγκώμιον Ἀγησιλάου [n] εὑρεῖν λέγει [o] ΕΝ ΙΣΤΟΡΙΑΣ ΛΟΓΩ τὸ σχῆμα ποιούμενος. καὶ παρὰ τῷ Ξενοφῶντι πάλιν ἔν τε ΤΗ ΠΑΙΔΕΙΑ καὶ ΤΗ ΑΝΑΒΑΣΕΙ [p] εὑρήσεται ἐσχηματισμένους

gis ambiguam amplexus eſt ſententiam. Veterem igitur inſtitutionem per Melanippen agnoſcit:

Non hic meus, ſed matris eſt ſermo meæ,
Figura ut una fuerit & cœli & ſoli.

Verborum poëtæ figuratio talis eſt: Melanippe, gravida facta à Neptuno, ſuſcepit ex eo infantes, eoſque expoſuit juxta patris armenta. Pater autem ſuſpicans ex bove conceptos, voluit eos ut monſtra cremare: quibus opitulata Melanippe demonſtrare conata eſt, monſtroſum in rerum natura nihil eſſe. Sicque tota fabula figurata explicatur: ſimulque nos docet Euripides, ſemper eſſe debere in propinquo ut figuram ipſam ſolvamus, cum ipſius figuræ ſecuritate. Omnes enim rationes liberorum ſervandorum iniens, dicit:

——— *ſi qua ergo ſua*
Corrupta virgo pignora expoſuit, patrem
Reverita, tune cæde maculabis manum?

Adeo ut ſui ipſius negotium indicet ſub figura conſilii.

XII. Immo & Iſocratis oratio *Panegyrica*, eaque quæ *ad Philippum* inſcribitur, denique quæ *de Permutatione* inſtituitur, ejuſmodi omnino eſſe videntur. Nam in hiſce tribus orationibus fuſe tum Athenienſium, tum Philippi, tum ſuas laudes proſequitur. Verum Athenienſium quidem & Philippi laudationi concilium ſubjiciens, laudationi decorum conſiliat, atque encomium quaſi parergon conſiliis intermiſcet: cum in illo tanquam in ſcopum intendat, conſilium vero obiter tantum adferat: ſibimet etiam laudis materiam quæſivit ex neceſſaria ſui defenſione contra inimicorum calumnias. Idem quoque præſtitit Demoſthenes in oratione *de Corona*. nam quum ſemet laudare voluit, ſui defenſionem præmiſit. Idemque egit Plato in *Socratis apologia*, ſub ſpecie defenſionis ſui encomium faciens. Idem & Xenophon in *Memorabilibus*, qui Socratem defenſurus laudes ejus celebrat. Illud enim omnibus propoſitum, plures actiones in una eademque oratione complecti. Nam quæ Socratis eſt apologia, eadem & Platonis & Xenophontis: & oratio *de Corona* quatuor hypotheſes conjunxit, cum ſit & defenſio, & accuſatio, & Demoſthenis laudatio, doceatque qualis eſſe debet qui remp. gerendam ſuſcipit. Et Xenophon qui ſe Ageſilai laudationem dicere fatetur, *in Oratione hiſtorica* hujuſmodi quidem figura utitur. Apud eundem quoque Xenophontem in *Inſtitutione* atque etiam in *Expeditione Cyri* figuratum dicendi genus

Complexus plurium propoſitionum in eadem oratione.

a Εὐπορώτερον in Reg. 1. quod verius eſſe exiſtimo, cum ſupra (p. 85. v. 18.) dixerit καὶ κρεῖττον λόγου κατηχῶν. b Εἰσήγαγεν Cant. c In *Ed. Steph.* ὡς οὐρανὸς γαλατημορφία corrupte. Emendatio loci petita eſt ex *Diod. Sic.* l. 1. p. 5. ut prolixius docet *Theod. Canterus*, Var. Lect. 2. c. 15. *Sylb.* In *Codd. MSS.* γαιατημορφία. quod virorum doctorum conjecturam firmat probatque. d Ἐπαιδεύθη poſitum pro διεπαρθενεύθη ſeu διεκορεύθη, ut ſatis perſpicuum eſt ex participio φθαρεῖσα v. 16. *Sylb.* e Οὕτως Cant. f Rectius cum *Cl. Barneſio* ad *Euripidis* Fragmenta, ——— " εἰ δὲ παρθένος " Φθαρεῖσά γ᾽ ἐξέθηκε τὰ παιδία. " Φοβουμένη τὸν πατέρα, σὺ φόνον δράσεις; g Ἐπῆς δὲ αὐτοῦ Reg. 1. quod indubiam facit conjecturam *Sylburgii*, legentis τῆς δ᾽ ἑαυτοῦ ut v. 31. cujuſmodi erratum ſupra quoque notatum p. 75. p. 41. h In *Ed. Steph.* τόδ᾽ conjunctim: errore manifeſto, ut ſupra p. 87. v. 10. *Sylb.* i Fortaſſe legendum ἡ ἀνάγκη τῆς ἀπολογίας, aut inſerendum aliquod aliud nom. caſus vocabulum. k Αὐτοῦ Reg. 1. & Colb. l Non agnoſcunt *Codd. MSS.* m Perperam in *Ed. Steph.* παραινεῖ. noſtrum περαίνει cum alibi ſic uſurpatum eſt, tum p. 83. v. 12. & p. 86. v. 28. & 87. v. 25. atque paullo ſupra (v. 25. & v. 30.) pro eodem uſurpatum πραγματεύεσθαι. *Sylb.* n Ἐρεῖν Cant. o Sc. ἐν ΤΩ ΕΙΣ ΑΓΗΣΙΛΑΟΝ ΤΟΝ ΒΑΣΙΛΕΑ ΛΟΓΩ. p Εὑρήσεις legendum, vel potius εὑρήσετε. ut hæ τέχνης præceptiones in frequenti auditorum cœtu expoſitæ intelligantur, (ſicut infra quoque in poſtremo capite ait, ὡς ἂν ἐμοὶ δοκεῖ, φράσω πρὸς ὑμᾶς) uni autem præ cæteris dilecto Echecrati ſint inſcriptæ. *Sylb.*

Supple

nus invenietis. Vult enim [in *Inſtitutione*] plebejos eiſdem cum nobilitate uti armis. Ad utroſque decenter loquitur: ad hos quidem, ut honorans ipſos; ad illos vero, quaſi cum commilitonibus & condiſcipulis decertans atque utraque oratio figurata eſt. In *Expeditione*, militibus ſuſpicantibus adverſus Regem expeditionem eſſe, ire recuſant, rei difficultatem obtendentes, Clearchus *fauſta omnia promittit*. Et [Demoſthenes] in oratione *de Legatione falſa*, aliud prætendit atque aliud molitur. In eo enim maxime figuratæ orationis conſiſtit artificium, argumentis propriis aliena commiſcere & intexere: quod fecit etiam Thucydides in *Laudatione funebri*. Cum enim pro concione Athenienſes ad bellum cohortaretur, Funebris orationis capita adhortationi immiſcuit. Laudationem complectitur hortatio à genere & à majorum virtutibus: laudes item continet adhortatio à comparatione deſumpta, à ſuorum & adverſariorum & utriuſque urbis copiarum collatione.

XIII. Ex hiſce videtur (quod in ſermonis inſtituti exordio poſuimus) tantum à veró abeſſe, nullam dari figuratam orationem, ut è contra nulla oratio ſine figura eſſe poſſit. Rurſus itaque ad illud ſermonis principium, quod ſub initium propoſuimus, revertamur. Cum enim rhetorum concertatio omnis in duobus conſiſtat, in rebus ſcilicet & moribus: quæ ad mores ſpectant nunquam non figuras admiſtas habent. Multa hujuſmodi exempla apud Homerum, ubi alia propoſita, alia concluſa reperias. Neque Briſeidis oratio ſine figura eſt, quum diſcedens ab Agamemnone, jacentis Patrocli cadaver ſpectatura, corpori ſuperincidens mortuum luget. Exiſtimat quidem auditor, quod Patroclum lugeat: exhibet autem poëta in hoc mulieris ſapientiam, quæ in ipſo articulo temporis promiſſa ſibi facta à mortuo poſtulat, atque inde lugendi occaſionem narrat Achilli:

O dilecta mihi ac anima mihi carior ipſa,
Heu qualis Patrocle jaces! vivum ipſa reliqui
Hinc abiens, caſſum invenio cum luce reverſa.
Sic mala fata malis miſeræ mihi Jupiter addit.

Hæc ſunt lugentis initia. poſtea dolere pergit, ſpeciem juſti doloris præ ſe ferens:

Me miſeram! cui me nuptam tribuere parentes
Mors tulit atra viru͂,patriæ pro mœnibus auſu͂
Decertare manu: treſque iſto tempore fratres
Hauſit acerba dies genitos ab utroq; parente.

Hæc Achillem perſtringunt, qui marito occiſo eam ſibi in uxorem aſſumpſerat; multaque illi opus eſt conſolatione. Sequitur dein fœderum commemoratio:

λόγοις. [a] βούλεται γὰρ τοὺς δημοτικοὺς τὰ ἴσα ὅπλα [b] λαμβάνειν, καὶ τοῖς ὁμοτίμοις ἑκατέροις διαλέγεται εὐπρεπῶς· τοῖς μὲν, ὡς τιμῶν αὐτούς· τοῖς δὲ, ὡς [c] συναγωνισταῖς καὶ συσχολασταῖς, καὶ ἀγωνιζόμενος· καὶ ὁ ἑκάτερος οὕτω διοικεῖται. καὶ ἐν ΤΗ ΑΝΑΒΑΣΕΙ ὁ Κλέαρχος [d] ἐπὶ τῶν στρατιωτῶν ὑποπτευόντων τὴν ἀνάβασιν τοῦ Κύρου, καὶ μὴ [e] βουλομένων, 58 ἀλλὰ [f] δεικνύντων τὰ ἄπορα. καὶ ἐν τῷ ΠΕΡΙ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ ἄλλα προτείνει, καὶ ἄλλα κατασκευάζει. ἔστι γὰρ ἡ τέχνη τῶν ἐσχηματισμένων λόγων μάλιστα αὕτη, τὸ, ἄλλαις κατασκευαῖς συμπλέκειν τὰ οἰκεῖα· ὅπερ πεποίηκε καὶ Θουκυδίδης ἐν ΤΩ ΕΠΙΤΑΦΙΩ. δημηγορῶν γὰρ καὶ παρακαλῶν Ἀθηναίους ἐπὶ τὸν πόλεμον, συνέταξε τοῦ ἐπιταφίου [g] κεφάλαια τῇ παραινέσει. ἐγκώμιόν ἐστιν ἡ παράκλησις ἀπὸ τοῦ γένους, ἀπὸ τῆς τῶν προγόνων ἀρετῆς. ἐγκώμιον ἐστὶν ἐκ παραβολῆς ἡ παράκλησις, ἐκ τοῦ παραβαλεῖν τὰ τῶν ἐναντίων, καὶ τὰς δυνάμεις ἑκατέρας τῆς πόλεως.

ιγʹ. Οὕτω κινδυνεύει, ὅπερ ὑπεστησάμεθα ἐν ἀρχῇ τῶν λόγων, τοσοῦτον [h] ἀποδεῖξαι ἀληθὲς εἶναι τὸ μὴ εἶναί τι ἐσχηματισμένον, ὥστε τὸ ἐναντίον αὐτῷ οὐδεὶς λόγος ἀσχημάτιστος. καὶ πάλιν ἐπανέλθωμεν ἐπὶ τὴν ἀρχὴν τοῦ λόγου ἣν ἐξ ἀρχῆς ὑπεθέμεθα, ὅτι τοῦ ἀγῶνος ὄντος τῷ ῥήτορι διπλοῦ, περὶ τοῦ πράγματος, καὶ τοῦ ἤθους τοῦ κρατοῦντος, ἡ περὶ τῶν ἠθῶν διοίκησις ἀεὶ ἐσχηματισμένους τοὺς λόγους ἔχει. πολλὰ σχήματα παρ᾽ Ὁμήρῳ, πάμπολλα καὶ ἐν ἄλλαις ὑποθέσεσιν, ἄλλα διοικούμενα· ἐπεὶ καὶ ὁ τῆς Βρισηΐδος λόγος οὐκ ἀσχημάτιστος, ὅτι ἥκουσα παρὰ τοῦ Ἀγαμέμνονος [i] θεασαμένη τὸν Πάτροκλον κείμενον, ἐπιπίπτει τῷ σώματι, καὶ θρηνεῖ Πάτροκλον. καὶ οἴεται ὁ ἀκροατὴς ὅτι Πάτροκλον θρηνεῖ· ἐνδείκνυται δὲ ὁ ποιητὴς σοφίαν γυναικὸς ἐν ἀκμῇ καιροῦ ἐπαιτούσης [k] … τῆς γυναικὸς ὑποσχέσεις, καὶ διὰ τοῦτο θρήνου δίκην λεγούσης πρὸς Ἀχιλλέα·

[l] Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ,
Ζωὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα·
Νῦν δέ τεθνειῶτα κιχάνομαι, ὄρχαμε λαῶν,
Ἂψ ἀνιοῦσ᾽. ὥς μοι [m] δέχεται κακὸν ἐκ κακοῦ αἰεί.

ταῦτα προοίμια θρηνούσης. εἶτα τὸ προοίμιον περαίνει [n] ἐπιδεικνυμένῳ τὸν θρῆνον, ὡς ἀπόδειξιν τοῦ δικαίου θρήνου·

Ἄνδρα μὲν ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ,
Εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέϊ χαλκῷ.
Τρεῖς τε κασιγνήτους, οὕς μοι μία γείνατο μήτηρ
Κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον.

ταῦτα ἤδη Ἀχιλλέως καθάπτεται, ὅτι τὸν ἄνδρα αὐτῆς ἀποκτείνας, ἔχει αὐτὴν συνοικοῦσαν, καὶ δεῖ αὐτῇ πολλῆς παραμυθίας. εἶτα συνθηκῶν ἀνάμνησις·

Οὐδὲ

a Supple ἐν ΤΗ ΠΑΙΔΕΙΑ poſt βούλεται γάρ. *b* Sic diſtinguendum cenſeo, λαμβάνειν καὶ τοῖς ὁμοτίμοις. ἑκατέροις &c. Confer cum p. 85. v. 45. ubi idem tractatur locus. *c* Συναγωνιζόμενος legit *Wolfius*. In *Codd. MSS.* ἀγωνιζόμενος ſine conjunctione καί. *d* Υποχόμενος poſt ἐπί, aut ſimile quodpiam participium deſiderari exiſtimat *Sylb.* Verba alia nonnulla excidiſſe ſuſpicor, ut licet conjicere ex p. 85. v. 46. *e* Vocem ἀναβαίνειν poſt βουλομένων adjicit *Reg.* 1. *f* Participium δεικνύντων aſteriſco notavit *Wolfius*. Neſcio igitur an maluerit δεδιότων. *Sylb.* g Vide p. 84. v. 12. *h* Pro ἀποδεῖξαι omnino legendum ἀποδεῖν *abeſſe*; ex p. 92. v. 10. ubi ἀπέχειν dicit. *Sylb.* *i* Forſan rectius θεασομένη *ſpectatura*. *Sylb.* *k* Pro τῆς γυναικὸς ſubſtituendum videtur τοῦ θανόντος *mortui*: ut colligitur paullo poſt ex p. 105. ubi Briſeïs exponit quæ ſibi recens capt. promiſſa fecerit Patroclus. *Sylb.* *l* *Il.* τ. v. 287. *m* Ita etiam in vulgatis *Homeri* editionibus: cum aptius eſſe videatur πλέκεται *nectitur*, fatali ſcilicet *filo*. *Sylb.* *n* Forſan legendum ἐπιδεικνυμένη. *Sylb.*

[a] Οὐδὲ μὲν οὐδέ μ᾽ ἔασκες, ὅτ᾽ ἄνδρ᾽ ἐμὸν ὠκὺς Ἀχιλλεὺς
Ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
Κλαίειν, [b] ἀλλ᾽ ἐμ᾽ ἔφασκες Ἀχιλλῆος θείοιο
Κουριδίην ἄλοχον θήσειν, ἄξειν τ᾽ ἐν νηυσὶν
Ἐς Φθίην, δαίσειν δὲ [c] γάμον μετὰ Μυρμιδόνεσσι.

καὶ τὸ τέλος τοῦ ἐπιλόγου τὸ κέντρον τῆς ἐπαιτήσεως ἐπαγωγή·

Τῷ σ᾽ ἄμοτον κλαίω [d] τεθνηκότα μείλιχον αἰεί.

ὡς ἂν ἀκούων ταῦτα Ἀχιλλεὺς δικαιολογουμένης, εἶπεν· "Ἀλλὰ μὴ κλαῖε γύναι, ἐκεῖνα βέβαια γενήσεται.

ιδ΄. Κατὰ ταύτας τὰς [e] ὑφηγήσεις ἐστὶν ἐπιόντα πολλὰ καὶ τῶν ποιητῶν, καὶ τῶν συγγραμμάτων, καὶ τῶν δικανικῶν καὶ τῶν συμβουλευτικῶν λόγων, καὶ τῶν ἐν ταῖς ἱστορίαις, εὑρεῖν πλείους τὰς πλάσεις τῶν σχημάτων, ἢ τὰς ἁπλότητας τῶν κοινῶν λόγων. λέγω δὲ καὶ προστίθημι, ὅτι καὶ ὅταν τις ἁπλῶς λέγῃ, καὶ τοῦτο τέχνῃ σχήματος γίνεται, ἵνα ἡ τῆς ἁπλότητος προσποίησις τὸ πιθανὸν ἔχῃ τῷ ἀκούοντι. καὶ τεκμήριον τούτου ἐστὶν ὁ λόγος ὁ τοῦ Αἴαντος πρὸς Ἀχιλλέα ἐν ταῖς λιταῖς. ὁ μὲν γὰρ Φοῖνιξ τέχνῃ χρῆται πρὸς αὐτὸν, καὶ προτείνας αὐτῷ ἡδίστην ὑπόθεσιν, ἐναντιωτάτην ἀγωνίζεται·

[f] Εἰ μὲν δὴ νόστον γε μετὰ φρεσί, φαίδιμ᾽ Ἀχιλλεῦ,
Βάλλεαι, οὐδέ τι πάμπαν ἀμύνειν νηυσὶ θοῇσι
Πῦρ ἐθέλεις ἀΐδηλον, ἐπεὶ χόλος ἔμπεσε θυμῷ,
Πῶς ἂν ἔπειτ᾽ ἀπὸ σεῖο, φίλον τέκος, αὖθι λιποίμην;

ἡδίστη γὰρ ὑπόθεσις Ἀχιλλεῖ, τὸ λέγειν τὸν Φοίνικα ὅτι οὐκ ἀπολειφθήσεται· εἶτα ἡ αἰτία τοῦ μὴ ἀπολειφθῆναι, ἡ τροφὴ, ἡ ἀγωγὴ [g] τοῦ ἐξ ἀρχῆς συντετράφθαι. ταῦτα δὲ πάντα εἰς τὴν ἐναντίαν ὑπόθεσιν· "Πίθου "μοι· τέτροφα γάρ σε, καὶ χάριτας ὀφείλεις. καὶ ὅτι τοῦτό ἐστιν ἐπὶ τέλει [h] ὁμολογίας·

[i] Ἀλλ᾽, Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν· οὐδέ τί σε χρὴ
Νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί.

τοῦτο τὸ σχῆμα συνιδὼν καὶ ὁ Ἀχιλλεὺς, ἀντισχηματίζει ἑξῆς, μιμούμενος τὴν τέχνην τοῦ διδασκάλου. ἐξηγεῖται γὰρ οὕτω·

[k] Μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων,
Ἀτρείδῃ ἥρωϊ φέρων χάριν. ----------

[l] αὕτη μὲν ἐξήγησις τῆς τοῦ Φοίνικος τέχνης· εἶτα ὁ ἀντισχηματισμὸς,

[m] Ἶσον ἐμοὶ βασίλευε, καὶ ἥμισυ μείρεο τιμῆς.

τί γὰρ ἐκεῖνος τὸ τοιοῦτον [n] τι εἶπεν, ἢ τίνα χάριν ᾔτησεν; ἀλλ᾽ ἐπειδὴ [o] ἀνέμνησεν εἰπών,

[p] Πολλάκι μοι κατέδευσας ἐπὶ στήθεσσι χιτῶνα
Οἴνου ἀποβλύζων, ἐν νηπιέῃ ἀλεγεινῇ·

τὰς ἐν τῇ νεότητι πάθας προέτεινεν αὐτῷ ὡς [q] ὀφείλαντος χάριτας, καὶ αὐτὸς ἐσχημάτισεν εἰπών, "Ἄλλην χάριν λάμβανε μείζω, μὴ ταύτην αἴτει". ταῦτα μὲν ὁ Φοῖνιξ σχηματίζει.

Tum tu me flentem ſolatus es optime Grajûm,
Pollicitus dare velle operā, quo magnus Achilles
Duceret uxorē me & patriæ deferret ad oras,
Conficiens Phthiæ juga connubilia, mecum
Magna Myrmidonum turba celebrante Hymenæum.

Denique epilogi ſtimulus eſt, quod expoſtulare ſuſtineat:

Ergo querar merito, lachrymas fundamque perempto.

Quaſi Achilles juſtam hanc querelam excipiens, dixiſſet; "Deſine lacrymas, mulier; "illa tibi firma erunt.

XIV. Si quis hujuſmodi enarrationes perſequatur, in poëtarum paſſim, & oratorum ſcriptis, tam in judiciali quam deliberativo dicendi genere, atque etiam in hiſtoriis occurrentes, figuratæ orationis plura inveniet exempla quam ſimplicis. Dico autem, atque inſuper adjicio; quod cum quis ſimplici utitur oratione figurata dictione egeat, ut ſimplicitatis artificio rem probabilem faciat auditoribus. Hujus documentum præbet ſupplex Ajacis ad Achillem oratio. Phœnix quidem artificio utitur adverſus Achillem, & gratum illi prætendens ſermonem, contrarium plane molitur:

Ergo tui quoniam reditus es certus, Achilles,
Nec vis à noſtris depellere navibus ignem;
Poſtquam non molli tibi fervet pectus ab ira;
Care mihi, quanam hîc ſolus ratione relinquar?

Gratiſſimum hoc Achilli Phœnicem audire dicentem, ſe non relinquendum eſſe: ratio deinde additur cur ab eo divelli non debeat, quod nempe ab illo educatus & à prima ætate inſtitutus fuerit. Hæc autem omnia in contrarium tendunt; "Obtempera mihi, nutrivi "enim te, & gratias debes. atque rem ita ſe habere ſub finem fatetur,

Ergo age vince animū, nā te implacabile pectus
Non decet. En ſuperûm mutabilis ira Deorū!

Achilles, cognito hoc artificio, figuram deinceps figuræ opponit, artem magiſtri imitatus: ita enim explicat;

Noli me lacrymis turbare, ut fautor Atridæ
Gratificere tuo. ——————

Hiſce verbis Phœnicis artificium detegit: dein figuram figuræ opponit;

Tu mecum regnes parilem ſortitus honorem.

Quorſum enim ille ita reſponderit, aut qualem gratiam rependerit? quod beneficia exprobrans dixerat;

Sæpe ſinu medio pectus veſtemque rigaſti
Vina vomens, tenera nutans ætate puellus:

pueriles mores Achilli, tanquam ſibi obſtricto, in memoriam revocat: atque ille figurate reſpondit; "Ne ſimile quid poſcas, aliud "majus tibi rependam. Hactenus de Phœnicis artificio. XV. Ajax

a *Il.* τ. v. 299. b Ἀλλά μ᾽ ἔφασκες *Cant.* c Γάμου in *Cod. Colb.* & *Ed. Ald.* Verum γάμον agnoſcunt vulgata *Homeri* exemplaria. d Τεθνηότα *Cant.* e Διηγήσεις *Cant.* f *Il.* ι. v. 434. g Illa τοῦ ἐξ ἀρχῆς συντετράφθαι &c. uſque ad τέτροφα deſiderantur in *Cod. Cant.* h Legendum videtur ὁμολογεῖ, *confitetur*, ſc. *Phœnix*: ut ſupra quoque (ſc. p. 86. v. 10. & p. 101. v. 4.) *Dionyſius* tradit *Homerum*, quæ in præcedentibus dixit tectius, in ſequentibus, ſublato obſcuritatis velo, eloqui explicatius. Poteſt etiam legi, καὶ ὅτι τοῦτό ἐστιν ἐπὶ τέλει ὁμολογία, ſubaudito verbo ſubſtantivo aut paſſivo. *Sylb.* In *Codd. MSS.* ὁμολογία τῆς ἀληθινῆς ὁμολογίας. i *Il.* ι. v. 492. k *Il.* ι. v. 608. l Αὕτη μὲν ἡ ἐξήγησις *Cant.* m *Il.* ι. v. 612. n Illud τι ſuperfluum videtur. *Sylb.* o Αὐτὸν poſt ἀνέμνησεν adjiciunt *Codd. MSS.* p *Il.* ι. v. 486. q Ὀφείλοντος *MSS.*

XV. Ajax vero, licet ſimpliciſſimus, omnium tamen maxime figurato ſermone utitur. Surgit quaſi iratus & plura loqui dedignatus, atque ait;

—— nullum eſt habitura oratio finem

Hac ratione: ——————

Acriter quidem & fervide Achillem reprehendens. Liberior autem oratio, qua maxime ſupplicat, illumque rogat, & quaſi precibus cogit, mox ſequitur:

—— populus tibi genſque domeſtica, Achilles,

Nos ſumus ex Danais. ——————

Talis quidem ſermo ſimplex videtur, atque apertus & liber. Dein [Achilles] artificio utitur, magis perſuaſus. quomodo igitur?

Caſtrorum ductor, Telamonie, nobilis Ajax,
Quæ deceant loqueris, & non niſi juſta profaris.
Sed mihi conſurgit fervens in pectore bilis,
In mentem quoties revoco mecumq; recordor,
Qua me ignominia complerit filius Atrei.

Hæc igitur oratio oſtendit, quod ſimplicitatis ſimulatio figuratum ſermonem efficiat: cum & gratiarum pro beneficiis poſtulatio ſine figura non fiat. Qui enim gratias repoſcunt ab iis quibus benefecerint, à probris tunc abſtinentes, decenter eas repetunt. Docetque nos poëta, quinam cum arte beneficia repoſcant, quinam vero ſine arte. Achilles matrem alloquitur:

Sæpe tui audivi te patris in ædibus ipſe
Jactantē, auxilium è ſuperis quod ſola tuliſſes
Cœlicolum regi, cum numina cætera captum
Injectis voluere illum conſtringere vinclis.

Deinde narrationis perficit ſeriem; matremque hortando, infert:

Hæc illi in mentē memorans revocabis, & ambo
Supplicibus genua aſſiſtens contingito palmis.

Thetis his auditis filio morem gerit; eumque bono animo eſſe jubens, promittit ſe non modo dicturam, ſed & illis ipſis verbis dicit:

Hæcce Jovi dicam rutilo qui fulmine gaudet,
Conſcenſura polum per nubila denſa nivoſum:
Et ſua forte meis flectentur pectora dictis.

His promiſſis, ubi ad Jovem accedit, abſque ulla exprobratione memoriam illi refricat:

Summe pater, ſi te in cœtu venerata Deorum
Seu re ſeu verbis fuerim. ——————

Quo modo honorem exhibuerit, omittit dicere; verum decenter Jovem commonefacit. Similiter & ſacerdos, majori cum ſimplicitate quam Thetis, decenter tamen. nam Deo ſupplicans dicit:

Si tua rite meis veneratus templa ſacerdos
Muneribus fuerim, atq; adolevi viſcera flammis
Pinguia, da hoc potiar conceſſo, maxime, voto.

Ipſe Homerus figuratæ orationis præcepta tradit, ex eo quod non decoro, ſed uſu careat brevitatis. Rerum enim omnium uſus: quan-

ιε. Ὁ δὲ γε Αἴας, ἁπλούςατος ὤν, βαθύτατος ἐν τοῖς λόγοις πάντων ἐςίν. ἀνίςαται γὰρ ὡς ὀργιζόμενος, καὶ ἀξιῶν μηκέτι μηδὲ διαλέγεσθαι, καὶ λέγει[a]

—— [b]οὐ γάρ μοι δοκέει μύθοιο τελευτὴ
Τῇδέ γ' ὁδῷ κρανέεσθαι· ——

καὶ ἐπιτιμᾷ Ἀχιλλεῖ χαλεπώτατα καὶ πικρότατα. ὁ δὲ μάλιςα ἐν τῇ παῤῥησίᾳ ἱκετεύων καὶ δεόμενος καὶ βιαζόμενος Ἀχιλλέα, οὗτός ἐςιν

—— [c]ὑπωρόφιοι δέ τοι εἰμὲν
Πληθύος ἐκ Δαναῶν. ——

καὶ φαίνεταί γε τοιοῦτος ἁπλοῦς δὴ καὶ ἀφελὴς, καὶ παῤῥησίᾳ χρώμενος. εἶτα τῇ τέχνῃ προσχρώμενος φαίνεται μᾶλλον πεπεικώς. πῶς δή;

[d]Αἶαν διογενὲς, Τελαμώνιε, κοίρανε λαῶν,
Πάντα τί μοι κατὰ θυμὸν [e]εἴσω μυθήσασθαι.
Ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότε κείνων
Μνήσομαι ὥς μ' ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν.

οὗτος οὖν ὁ λόγος δείκνυσιν ὅτι καὶ ἡ τῆς ἁπλότητος προσποίησις σχήματος ἔργον ἐπιτελεῖ· ἐπεὶ καὶ αἱ τῶν χαρίτων ἀπαιτήσεις οὐκ ἄνευ τοῦ σχηματίζειν γίνονται. οἱ γὰρ αἰτοῦντες τὰς χάριτας παρὰ τῶν εὖ πεπονθότων, ἐν χωρῷ φυλαττόμενοι τὸ ὀνειδίζειν, εὐπρεπῶς ἀπαιτοῦσι. καὶ δείκνυσιν ἡμῖν ὁ ποιητὴς, τίς μὲν ἂν ἡ ἄτεχνος ἀπαιτήσεως τρόπος, τίς δὲ ἔντεχνος. ὁ Ἀχιλλεὺς τῇ μητρὶ λέγει·

[f]Πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα
Εὐχομένης, ὅτ' ἔφησθα κελαινεφεῖ Κρονίωνι
Οἴη ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,
Ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι.

καὶ περαίνει τὴν διήγησιν πᾶσαν, καὶ ἐπάγει παραινῶν αὐτῇ·

[g]Τῶν νῦν μοι μνήσασα παρέζεο, καὶ λάβε γούνων.

ταῦτα ὑπακούει τῷ παιδὶ Θέτις, καὶ πείθουσα αὐτὸν θαῤῥεῖν, ἐπαγγέλλεται οὐ μόνον ἐρεῖν αὐτὰ, [h]ἀλλὰ αὐτῇ λέξει λέγει·

[i]Τοῦτο δέ τοι ἐρέουσα ἔπος Διῒ τερπικεραύνῳ,
Εἶμ' αὐτὴ πρὸς Ὄλυμπον ἀγάννιφον, αἴ κε πίθηται.

καὶ ταῦτα ὑποσχομένη, ἐπειδὴ ἀφίκετο πρὸς τὸν Δία, τὸ μὲν ὀνειδίζειν ἀφίησι, τὸ δὲ ὑπομιμνήσκειν ἐπιμελῶς πραγματεύεται·

[k]Ζεῦ πάτερ, εἴ ποτε δή σε μετ' ἀθανάτοισιν ὄνησα,
Ἢ ἔπει ἢ ἔργῳ. ——

τὸ μὲν ἔργον οὐκ εἶπε, τὴν δὲ ἀνάμνησιν εὐπρεπῶς ἐποιήσατο. τοιοῦτός πως καὶ ὁ ἱερεύς ἐςι, γυμνότερος μὲν ἢ κατὰ τὴν [l]Θέτιν, εὐπρεπῶς δέ. ἐπικαλεσάμενος γὰρ τὸν θεὸν λέγει·

—— [m]εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα,
Ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα
Ταύρων ἠδ' αἰγῶν, τόδε μοι κρήηνον ἐέλδωρ.

καὶ τὰ μέτρα τῶν ἐσχηματισμένων λόγων παιδεύει ἡμᾶς ὁ Ὅμηρος, ὅτι οὐ τῆς εὐπρεπείας δεῖται, ἀλλὰ καὶ τῆς ἐν χρείᾳ συντομίας.

a Deſunt *Cant.* b *Il.* ι. v. 621. c *Il.* ι. v. 636. Ὑπορρόφιοι *Reg.* 1. & *Colb.* d *Il.* ι. v. 640. e In editione *Romana*, quam vulgatæ ſequuntur, incontracte ἐείσαο, *i. e.* ἔδοξας *viſus es.* atque ita apud *Euſtathium*. *Sylb.* Atque v. 17. in *Homeri* libris Μνήσομαι, ὅς μ'. f *Il.* α. v. 396. Verum v. 27. in libris *Homeri* vulgatis ἀθανάτοισιν. g *Il.* α. v. 407. Sed in vulgatis μιν pro μοι. h Ἀλλὰ καὶ αὐτῇ *Cant.* i *Il.* α. v. 419. In vulgatis tamen τοῦτο δή τοι &c. k *Il.* α. v. 503. l Θεῖον *Cant.* & *Colb.* quo modo legendum eſſe monuit *Sylb.* m *Il.* α. v. 39.

Ita

συντομίας. τῆς γὰρ πάντων χρεία ἐστίν· ὅσων μὴ ἡ χρεία παραδίδωσι, ταῦτα ὁ καιρὸς παραιτεῖται. διδάσκει δὲ τοῦτο ἐν τοῖς Ερμοῦ λόγοις πρὸς Πρίαμον Ομηρος. τοῦτον γὰρ Ερμῆς, ὥσπερ διδάσκαλος ὤν, παιδεύει πῶς χρὴ [a] ἐντυχεῖν Αχιλλεῖ, καὶ παραδίδωσι τὰς μεθόδους τῆς ἱκετείας·

[b] Τύνη δ' εἰσελθὼν λάβε γούνατα Πηλείωνος,
Καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος ἠϋκόμοιο
Λίσσεο, καὶ τέκεος, ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς·

καὶ πάντας τοὺς ἀριθμοὺς τῆς ἱκετείας παραλαμβάνει, τὸ γένος τοῦ Αχιλλέως, πατρὸς, μητρὸς, υἱοῦ. ταῦτα μαθὼν ὁ γέρων, οἶδε τέχνην κατὰ τέχνας· προσελθὼν γὰρ τῷ Αχιλλεῖ, τοῦ [c] γενείου ἐπιλαμβάνεται, καὶ λέγει·

[d] Μνῆσαι πατρὸς σεῖο, θεοῖς ἐπιείκελ' Αχιλλεῦ.

καὶ οὔτε τοῦ παιδὸς μέμνηται, οὔτε τῆς μητρὸς, ἀλλὰ τῶν προγόνων. τὴν πολλὴν γὰρ χορηγίαν παρέλιπε τῇ χρείᾳ τοῦ παιδός.

ιϛ'. Οὐκοῦν ὑπολείπεται ἡμῖν ἐκεῖνος ὁ λόγος, ὅτι ὁ Ομηρος ἐπενόησεν ἐσχηματισμένον λόγον δι' εἰκόνος, ἵνα μηνύσῃ μὲν ὃ βούλεται, τὸ δὲ εὐπρεπὲς πρὸς τὴν ἐπιτίμησιν, ἀλλ' εἰκόνι τὸν λόγον διαπεράνας. καὶ οἱ πολλοὶ ἀγνοοῦσιν τὴν εἰκόνα. ἔτι δὲ ἡ εἰκὼν ἐν Οδυσσέως λόγῳ. ἐξάγει τοὺς Ελληνας ὁ Αχιλλεὺς, ὡρμημένους σφόδρα ἐπὶ τῷ Πατρόκλου θανάτῳ. Οδυσσεὺς ἐξιοῦσι αὐτοὺς πρότερον φαγεῖν, καὶ οὕτως ἐξελθεῖν· καὶ ἐπιτιμᾷ τῷ Αχιλλεῖ, ὅτι προπετῶς ταῦτα βούλεται· καὶ λέγει τὴν ἀρχὴν τῆς παραινέσεως τὴν αἰτίαν, εἶτα τὴν παραίνεσιν διαφανοήτως. ἢ εἰπάτω τὶς τί βούλεται τὸ,

[e] Κρείσσων εἶς ἐμέθεν, καὶ φέρτερος οὐκ ὀλίγον περ
Εγχει· ἐγὼ δέ κε [f] σεῖο νοήματί γε προβαλοίμην·
Πολλὸν ἐπεὶ πρότερος γενόμην, καὶ πλείονα οἶδα.

ἤδη τὰ προοίμια τῆς ἐπιτιμήσεως, ὥσπερ καὶ τὸ,

[g] Μηδ' οὕτως, ἀγαθός περ ἐὼν, θεοείκελ' Αχιλλεῦ,
Κλέπτε νόῳ, ἐπεὶ οὐ παρελεύσεαι, οὐδέ με πείσῃς.

εἶτα εἰπὼν τῆς γνώμης τὴν ἀρχὴν, ἐπάγει,

[h] Τῷ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν.
Αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν,
Ης τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν,
Αμητος δ' ὀλίγιστος, ἐπὴν κλίνῃσι τάλαντα
Ζεὺς, ὅστ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.

καὶ ἡ εἰκὼν πέρας τῆς συμβουλῆς. εἰδέναι οὖν χρὴ ὅτι αὕτη ἡ εἰκὼν σοφία ἐστὶ τοῦ Οδυσσέως τοῦ [i] Ομήρου. ἐπιτίμησις γάρ ἐστι πικρὰ πρὸς τὸν Αχιλλέα, καὶ δι' ἀπορρήτων λυπηρὰ παραίνεσις. διὰ τοῦτο καὶ προοίμιον αὐτῷ μακρόν ἐστι·

Κρείσσων εἶς ἐμέθεν, καὶ φέρτερος οὐκ ὀλίγον περ
Εγχει· ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην·

tum autem quandoque concedit uſus, tantum tempeſtivitas recuſat. quod Homerus oſtendit in oratione Mercurii ad Priamum. Hunc enim inſtar magiſtri inſtruit, quomodo Achillem aggredi deceat, exponitque ſupplicandi methodum:

Tu vero ingreſſus, genua amplexare ſuperbi
Æacidæ, atque per æquævi tibi fata parentis,
Per matrem, natique decus perdulce precare,
Pectora dura, truces animos, faſtumq; remittat.

omnemque obteſtandi modum ſervat, dum genus Achillis recenſet, patris quoque & matris, imo & filii mentionem facit. Senex, hiſce perceptis, artem ex arte cognovit Achillemque aggreſſus, genua amplectitur, dicitque:

Eſto memor Patris, oro, tui, fortiſſime Achilles.

Is neque patris quidem, neque matris, ſed majorum meminit: quo multum omnino filii attribuit neceſſitudini.

XVI. Illud igitur nobis dicendum reſtat, quod Homerus excogitavit figuratum dicendi genus per ſimilitudinem: qua oratio ita exprimitur, ut omnibus quidem patefiat, ſed decorum in reprehenſione ſervatur, & ſimilitudine concluditur oratio. Multi vero ſunt, qui hoc orationis genus, quo rerum vel perſonarum imago exprimitur, ignorant. Habet locum in Ulyſſis verbis: Græcos quidem inducit Achilles, valde turbatos ob Patrocli mortem. Ulyſſes vult eos prius cibum capere, atque ita exire; Achillem reprehendens, quod adeo feſtinet: cauſamque ſubjicit ut hortationis principium, hortaturque deinde ſubobſcure. Vel dicat aliquis, quorſum hæc,

De icone, qua temperatur reprehenſionis offenſio.

Artibus armorum præſtas, & viribus haſtæ:
Verum ego te ingenio ſupero prudente, ferendis
Conſiliis, multo qui ſum provectior annis.

Ecce increpationis initia, ut illud [alterius:]

Mene, Deo forma ſimilis, fortiſſime Achilles,
Poſſe latere putas, quas nectis fraudibus artes?
Nulla unquam ratione mihi perſuaſeris iſtud.

Deinde mentis ſuæ ſententiam adjungens, infert:

Dicta hæc conde animo, queis poſſis vera doceri.
Temporis exigui ſpatio ſatiantur amari
Martis amore homines, cũ ferro et falce manipli
In terram plures recidunt, nec plurima meſſis
Conſequitur, poſtquam plus juſta parte bilancẽ
Jupiter inclinat, vitæ pincerna hominumque.

Atque ſimilitudo conſultationis finis eſt. Scire igitur oportet quod ſimilitudo Homerici Ulyſſis ſapientia eſt. Amare admodũ Achillem increpat, occulteque ſed acriter commovet: quare & proœmium longius extenditur;

Artibus armorum præſtas, & viribus haſtæ:
Verum ego te ingenio ſupero prudente, ferendis
Conſiliis,

a Ita in Reg. 1. & Colb. Εὐτυχεῖν in Ed. Steph. & Ald. & Cod. Cant. b *Il.* ω. v. 465. c Pro γενείου *Stephano* legendum videtur γόνατος ſeu γονάτων: ſicut ſcilicet Mercurius (v. 6.) Priamum jubet εἰσελθόντα λαβεῖν γούνατα Πηλείωνος. *Sylb.* d *Il.* ω. v. 486. e *Il.* τ. v. 217. f In Ed. *Rom.* legitur σοῖο, & mox κεν pro γε. quorum neutrum noſtro præferri jure poteſt. ac repetitur eadem lectio etiam v. 47. *Sylb.* In vulgatis etiam libris diſtinctionis nota non poſt προβαλοίμην ſed poſt πολλὸν ponitur. g *Il.* α. v. 131. h *Il.* τ. v. 220. i Forſan adjective legendum τοῦ Ομηρείου vel τοῦ Ομηρικοῦ. *Sylb.*

Conſiliis, multo qui ſum provectior annis.

Illud procemium eſt figuræ initium: “Vide “ne nimium viribus tuis fidas; alias argues “illas nullas eſſe: verum audi virum re- “rum non imperitum, atque agendarum ex- “perientia præſtantem. Porro quid nunc in eo carpat, obſerva:

Si fame quis pereat non eſt lugendus Achivis:
Quovis nempe die ſpectantur multa cadentum
Funera: qui duri cum ceſſavere labores
Condendi ſub humum ſunt: his quoque qui meliores
Ingenio exiguo concludunt tempore luctum:
Qui vero è duri ſuperant certamine Martis
Hos adhibere decet curam potuſque cibique:
Viribus ut validi venienti audacius hoſti
Occurrant: nec quiſquā alia eſt ratione ciendus
Ad pugnam è populo, nec alta miles Achivûm
Claſſe relinquendus quiſquam, ſed fortibus omnes
In Troas delati animis pugnemus in hoſtem.

Sic ille: quaſi dicat: “Multi quidem ob i- “ram tuam fato occumbunt; nunc igitur, illa “ſublata, dignam animo tuo victoriæ ſpem “concipe [ô Achilles.] Addo, ſi Græci je- “juno ventre ad prælium ſe conferant, ne- “que ſi ipſe Jupiter in tui gratiam illis ſuc- “currat, poterunt famelici ad victoriam re- “portandam perdurare. Vide igitur, ne Jo- “vis auxilio nimium efferaris, neque temere “certamen ineas; ſerius enim militum ar- “gueris imbecillitate:

Nam cito mens hominū bello ſatiatur, & armis
Exigua eſt meſſis, plus juſta parte bilancem
Jupiter inclinat, vitæ pincerna hominumque.

At quid hæc Jovis commemoratio? “Ita fiet “ut non multum capias emolumenti ex tua “ad Jovem petitione, ſi jejuni manus confera- “mus, atque non parum fortitudini tuæ admi- “randæ hæc temeritas derogabit. Cum hæc igitur acrem quandam reprehenſionem contineant, increpandi aſperitatem ſimilitudinis collatio mitigavit.

Πολλὸν ἐπεὶ πρότερος γενόμην, καὶ πλείονα οἶδα.

αὐτὸ τὸ προοίμιον τοῦ σχήματός ἐστιν ἀρχή, “Μὴ πάνυ “θάῤῥει τῇ ἀνδρείᾳ τῇ σαυτοῦ· εἰ δὲ μή, [a] ἐλέγξεις αὐτὴν “τὸ μηδὲν εἶναι· ἀλλ᾽ ἄκουε παρ᾽ ἀνδρὸς ἐμπείρου καὶ ἐπιστήμο- “νος ἐκ πείρας πραγμάτων. τίς οὖν ἐστιν ἡ ἐπιτίμη- σις ἐκείνῳ;

[b] Γαστέρι δ᾽ οὔπως ἐστὶ νέκυν πενθῆσαι Ἀχαιούς.
Λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα
Πίπτουσιν· πότε κέν τις ἀναπνεύσειε πόνοιο;
Ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν ὅς κε θάνησιν,
Νηλέα θυμὸν ἔχοντας, ἐπ᾽ ἤματι [c] δακρυχέοντας.
Ὅσσοι δ᾽ ἂν πολέμοιο περὶ στυγεροῖο λίπωνται,
Μεμνῆσθαι πόσιος καὶ ἐδητύος, ὄφρ᾽ ἔτι μᾶλλον
Ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεί,
Ἑσσάμενοι χροῒ χαλκὸν ἀτειρέα· μηδέ τις ἄλλην
Λαῶν ὀτρυντὺν ποτιδέγμενος ἰσχαναάσθω.
Ἥδε γὰρ ὀτρυντὺς κακὸν ἔσσεται, ὅς κε λίπηται
Νηυσὶν ἐπ᾽ Ἀργείων· ἀλλ᾽ ἀθρόοι ὁρμηθέντες,
Τρωσὶν ἐφ᾽ ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν ἄρηα.

[d] ὡσεὶ ἔλεγεν· “Πολλοὶ τεθνᾶσιν ἤδη διὰ σὲ μηνιῶντα· νῦν “ἀποῤῥίψας τὴν μῆνιν, ἀξιοῖς τῇ σαυτοῦ προσθήκῃ ἐλπί- “δας τῆς νίκης ἔχειν. ἐὰν οὖν ἐξέλθωσι νήστεις, οὐδ᾽ ἂν ὁ Ζεὺς “χαριζόμενός σοι βοηθῇ τοῖς Ἕλλησι, δυνήσονται διαρκέ- “σαι νήστεις ὄντες πρὸς τὸ κρατῆσαι. ὥστε μὴ φρόνει “μέγα ἐπὶ τῇ προσθήκῃ τοῦ Διός, καὶ προπετῶς στρα- “τεύου· ἐλεγχθήσῃ γὰρ τῇ ἀσθενείᾳ τῶν στρατιω- “τῶν.

Αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν,
Ἀμητὸς δ᾽ ὀλίγιστος, ἐπὴν κλίνησι τάλαντα
Ζεύς, ὅστ᾽ ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.

τί γὰρ τοῦ Διὸς ἡ μνήμη ἐνταῦθα; “Συμβήσεται οὖν οὐ πολ- “λὴν γενέσθαι ἡμῖν ὠφέλειαν ἐκ τῆς παρά σου προτροπῆς “διὰ τὸν Δία, ἂν ἀσθενεῖς ὄντες στρατευσώμεθα· ὥστε ἐλεγχθή- “σεταί σου ἡ ἀνδρεία ἡ θαυμαστὴ ὑπὸ τῆς προπετείας. ἐ- πειδὴ τοίνυν ταῦτα πικρά ἐστι καὶ ἐπιτίμησιν ἔχει, εἰκόνος παραβολὴ τὸ πικρὸν τῆς ἐπιτιμήσεως ἀσφαλὲς ἐποίησεν.

CAP. X.

De Meditatæ orationis Vitiis.

Circa mores & affectus quot & quibus modis peccetur.

INter exercitationem vitia alii orationes [*] mitiorum affectuum expertes requirunt, exiſtimantes omnem de rebus diſceptationem eſſe, moreſque obiter proponentes: alii eorundem qualitatibus non accurate ſatis attendunt; verum ſi ſimplex ſit affectus, & cuivis ad intelligendum expoſitus, illi qui in eum incidunt & intuentur, utuntur; ſi vero duplex ſit & triplex affectio, & variæ ſint paſſiones, neque in differentias earundem inquirunt, neque de qualitate pertractanda magnopere laborant. Unde illis cum paſſionibus dimicare non contingit; ſed in ipſum affectuum

ΚΕΦ. ι΄.

Περὶ τῶν ἐν μελέταις πλημμελουμένων.

ΤΑ δὲ πλημμελούμενα [e] ἐν ταῖς μελέταις. οἱ μέν, ἠθῶν ἀμοίρους τοὺς λόγους ποιοῦνται, οἰόμενοι τοῦ πράγματος εἶναι τὸν ἀγῶνα, τὸ δὲ ἦθος ἐν παρέργῳ τιθέμενοι· οἱ δέ, περὶ τὴν χρῆσιν τῶν ἠθῶν οὐ σπουδαίως ἔχουσιν, ἀλλ᾽ ἐὰν μὲν ἁπλοῦν ᾖ τὸ ἦθος καὶ [f] παντὶ τῷ ἰδεῖν ἐκκείμενον, ἰδόντες καὶ περιπεσόντες χρῶνται τῷ ἤθει· ἂν δὲ διπλοῦν ᾖ, ἢ τριπλοῦν, καὶ ποικιλώτερον, οὔτε τὰς διαιρέσεις τῶν ἠθῶν ζητοῦσιν, οὔτε περὶ τὴν χρῆσιν αὐτῶν πραγματεύονται. ὅθεν αὐτοῖς οὐδὲ ἀγωνίζεσθαι τοῖς ἤθεσιν [g] ὑπάρχειν συμβαίνει. ἀλλ᾽ ὁ τοῦ ἤθους

[a] In *Ed. Steph.* ἐλέγχεις, minus congruenter. *Sylb.* [b] *Il.* τ. v. 225. [c] Vulgatæ *Homeri* editiones habent δακρύσαντας, eodem ſenſu. *Sylb.* [d] Si diviſe ὡς εἰ malis, per me licet. *Sylb.* [e] Poſt ἐν ταῖς μελέταις ſubaudiendum τά δ᾽ ἐστί. cujuſmodi ellipſes infra etiam occurrunt p. 110. v. 17. & alibi. *Sylb.* [f] Male in *Ed. Steph.* παντὶ τῷ. *Sylb.* [g] Ὑπάρχειν etſi videatur ſupervacuum, poteſt tamen & ipſum retineri. *Sylb.* [*] Ἤθη alii reddunt *mores, indolem, naturam.*

ἤθους ἀγών, τὰ καλούμενα ἐπιφωνήματα, περιτυχοῦσαί τινες αὐτόματοι φωναὶ ἠθικαὶ, καὶ παρ᾽ οὗ καὶ τὸν ἔπαινον καρποῦνται γυμνὰ τὰ ἤθη φθεγγόμενοι· δέον καθόλου τούτοις διαγωνίζεσθαι, ὥσπερ σώματι ψυχὴν, πλέκοντας τὰ ἤθη τοῖς πράγμασιν. ἔτι τε οὐχ ὑποτείνουσι τὸ ἓν μέγα ἦθος. ἔστι δὲ τοῦτο ἐκ φιλοσοφίας, οὗ τὰ ἄλλα πάντα κατὰ μέρος ἐξήρτηται, πρόσφορα τοῖς ἑκάστοτε ὑποκειμένοις προσώποις· παρ᾽ ὃ καὶ μικροπρεπεῖς ἐν ταῖς τῶν ἠθῶν χρείαις εἰσὶν, ὁπόταν καὶ τὰ ἤθη μεταχειρίζωνται, οὐδαμοῦ τὸ μεγαλοπρεπὲς διασώζοντες, δέον τοῦτο φυλάττειν πανταχοῦ. ὥσπερ γὰρ ἐν ψυχῇ δεῖ τὸν λογισμὸν κρατεῖν, θυμὸν δὲ καὶ ἐπιθυμίαν τούτῳ ὑπακούειν, καὶ ὅσα γε θυμῷ πράττομεν, μετὰ λογισμοῦ θυμοῦσθαι, ὅσα δὲ ἐπιθυμίαις χαριζόμεθα, μὴ ἄγαν ἀλογίστως χαρίζεσθαι· οὕτω δὲ δεῖ κἀν τῷ λόγῳ ἓν μὲν ἦθος ἐκεῖνο τὸ μέγιστον, [a] ὃ ἐκ φιλοσοφίας, ὥσπερ λογισμὸν ὑποκεῖσθαι τῷ λόγῳ· τὰ δὲ ἄλλα ἐπάγειν, τὰ θυμικὰ λέγω, καὶ τὰ [b] οἰκτρὰ, καὶ τὰ ἀστεῖα, καὶ τὰ πικρὰ, καὶ τὰ ἐπίφθονα, πάντα ταῦτα ἐκείνου ἐξηρτημένα, καὶ ἀλλήλοις συγκεκραμένα κατὰ τὸν τῆς χρείας λόγον.

β΄. Τοῦτο τὸ ἦθος Πλάτων ὑποθέμενος, καὶ τὰ τῶν [c] σοφιστῶν, καὶ τὰ τῶν πολιτικῶν, καὶ τὰ τῶν δημιουργῶν, καὶ τὰ τῶν μειρακίων, καὶ τὰ τῶν ἀνδρῶν, καὶ τὰ τῶν πρεσβυτέρων, καὶ τὰ τῶν γυναικῶν, καὶ τὰ τῶν δούλων, καὶ [d] τὰ ἐλευθέρων ἤθη, κατὰ λόγον τούτῳ συνέπλεξε. τοῦτο καὶ Δημοσθένης ὑποθέμενος, δι᾽ ὅλου μεγαλοπρεπής ἐστιν ἐν τοῖς λόγοις, ὁμοίως ἔν τε τοῖς συμβουλευτικοῖς τὸ τοῦ πολιτικοῦ ἦθος ὑποθέμενος, καὶ τὸ τοῦ κολακεύοντος τούτῳ συμπλέκων, καὶ διαφέρων τὴν δόξαν τοῦ συναγορεύοντος· ἐν οἷς πραχθῆναι συναγωνίζεται κατὰ μίμησιν τοῦ Πλάτωνος. καὶ γὰρ ἐκεῖνος τὰ δόγματα οὐκ αὐτὸς ἀποφαίνεται, εἶτα περὶ αὐτῶν διαγωνίζεται· ἀλλὰ ἐν μέσῳ τὴν ζήτησιν ποιούμενος πρὸς τοὺς διαλεγομένους, εὑρίσκων μᾶλλον τὸ δέον δόγμα, ἢ φιλονεικῶν ὑπὲρ αὐτοῦ φαίνεται, πλὴν ὅσα περὶ τῶν κρειττόνων ἢ καθ᾽ ἡμᾶς λέγεται. τοῦτο καὶ Ὅμηρος πανταχῆ, παρ᾽ ᾧ καὶ πάντα ἤθη, καὶ πάσας φαντασίας [e] ἀπὸ τοῦ ἰσουμένου· καὶ [f] ταύτῃ τέχνῃ μεταχειριζόμενος, πρὸς τὰς διαφορὰς τῶν ὑποκειμένων προσώπων ποιεῖται τὴν διάκρισιν.

γ΄. Ταῦτα μὲν ἐν ἤθει πλημμελοῦμεν, [g] τὸ, μηδὲ ὅλως ζητεῖν· τὸ δὲ, τὸ μὴ πάντα εὑρίσκειν· τὸ δὲ, τὸ μὴ περὶ τὴν κρᾶσιν πραγματεύεσθαι· οἱ δὲ πλεῖστοι, καὶ σχεδὸν ἅπαντες, καὶ τὸ μὴ πρῶτον καὶ μέγιστον ἦθος ὑφίστασθαι, καὶ τὰ ἄλλα ἀκολούθως τούτῳ ἐπάγειν.

δ΄. Περὶ δὲ γνώμην πρῶτον τὰ μέτρα οὐχ ὁρῶμεν· ἀλλ᾽ τὸ μὲν, πάντα διὰ βραχέων ἐπιτρέχουσι, δείξαντες ἕκαστα τῶν ζητουμένων, καὶ παρελθόντες, συντομίαν τινὰ τοῦτο νομίζοντες, τὴν ἀπόλειψιν τῆς τῶν πραγμάτων θεωρίας· οἱ δὲ, ὅπως πλεῖστα εἰς ἕκαστον τῶν ὑποκειμένων ζητημάτων ἐροῦσι σκοποῦντες, οὐκ εἰδότες ὅτι τὰ μὲν φύσει ὁμολογούμενα,

certamen, quæ exclamationes vocantur, ultro incidunt quædam voces moratæ, adeo ut laudentur hi, qui nudos interdum affectus proferunt: cum de his univerſe differere, &, velut anima per corpus diffuſa eſt, ita rebus mores intertexere oporteat. Deinde non unum aliquem magnum ſpondent affectum. Eſt autem id philoſophiæ proprium, ex qua omnia ſingulatim dependent, quæ paſſim ſubjectis perſonis ſunt accommoda. Hinc & in affectuum uſu parciores ſunt, & in iis pertractandis majeſtatem nullam ſervant, cum ubique ſervare conveniat. Quemadmodum enim in animo rationem regere decet, illi vero iram & concupiſcentiam parere neceſſe eſt, ut quandocunque ex animi vehementia quid agimus, cum ratione indignamur, quæ vero amore nobis attrahimus non ſine ratione conciliemus: ita quoque & in oratione maximus & unus affectus, qui ex philoſophia provenit, eſſe debet, & inſtar ratiocinationis rationi ſubjici: tum inducenda cætera, quæ ad iram, quæ ad commiſerationem, quæ ad urbanitatem, quæ ad ſimultatem & invidiam pertinent, quæ ſingula ex illo pendent, & ſibi invicem neceſſitate quadam commiſta ſunt.

II. Ejuſmodi affectus præcepta cum Plato præſcripſit, & rhetorum & politicorum, & artificum, & juvenum, & virorum, nec non ſeniorum ac mulierum, ſervorum denique & liberorum affectus hoc uno comprehendit. Idem & Demoſthenes tradens, nuſquam non majeſtatem ſervat, æqualiter in deliberativis civiles mores conſtituens; hiſque & adulantium ſpeciem, ac denique patronorum laudem admiſcens, quod & ad Platonis imitationem factum eſſe defendit. Ille enim dogmata non ipſa prius recenſet, in diſceptationem deinde adducens: verum coram differentibus quæſtionem in medium proferens, invenire magis quid tenendum quam de eo contendere vel differere videtur; niſi quæ de optimis, & quæ in noſtra ſint poteſtate dicantur. Idem & Homerus paſſim præſtitit, apud quem & omnes perturbationum & phantaſiarum ab æquo & juſto recedentium ſpecies. Is in hujus artis pertractatione, ſecundum perſonarum ſubjectarum differentiam, affectuum declarat diſtinctionem.

III. In affectuum materia peccant alii quidem, nullos omnino quærendo; alii non omnes inveniendo; alii denique eorundem temperiem & qualitatem non ſervando. Plurimi vero, imo vero omnes, delinquunt, id in quo maxima perturbationum vis conſiſtit non ſuſcipiendo, neque cætera omnia quæ conſectanea ſunt adducendo.

In ſententia quot & quibus modis delinquat orator.

IV. Circa ſententiã primum menſura non obſervatur: alii enim omnia breviter percurrunt, indicantes quidẽ ſingula in dubium vocata, ſed prætereuntes, & rerum obſervandarum defectũ compendiũ eſſe exiſtimantes: alii vero dum attendunt, quomodo plurima ad propoſitas quæſtiones dicant, quæ natura ſunt perſpicua,

a Pro relativo articulo ὃ, rectius ſubſtituas demonſtrativum τό. vel poſt ἐκ φιλοσοφίας ſubaudiendum προσγίνεται, aut aliud verbum ſimile. *Sylb.* In *Cod. Cant.* ἐκ φιλοσοφίας τὸ μέγιστον. b Τὰ οἰκτρὰ *Cant.* c Σοφιστικῶν *in Codd. MSS.* d Rectius τὰ τῶν ἐλευθέρων ut in præcedentibus. *Sylb.* In *Cod. Cant.* καὶ τὰ ἐλευθέρων καὶ τὰ τῶν δούλων ἤθη. e Suſpecta ſunt iſta ἀπὸ τοῦ ἰσουμένου, atque deeſt εὑρεῖν ἐστι, vel tale quodpiam commation: niſi forte pro iſto ſubſtituendum ἀποσημειώσασθαί ἐστι. *Sylb.* Ad oram *Cod. Caſ.* ἀπὸ τοῦ ἤθους τοῦ μεγάλου. f Ταύτῃ τῇ τέχνῃ *Cant.* g Lege οἱ μέν.

a Sequen-

perſpicua, & affectibus diſtincta, inſtituto deniq́ue ſeu conſuetudine diſcrepantia, brevi ſententia robur continere non vident: ſi vero quis ea longius producat, frigidiora & imbecilliora reddit. Jam vero in legum inquiſitionibus, earundemque demonſtrationibus multum operæ rhetori neceſſario ponendum eſt: quando non raro occulta brevius dicuntur, aliaque longius producenda ſunt. Et vero de his brevis ſermo ſtatuitur, ſicut & validiſſima argumenta breviſſimo [verborum ambitu] proferenda ſunt; infirmiſſima vero ſunt, quæ majori quam par eſt dicendi indigent artificio. In univerſum vero, neque pauca nimis, neque multa quæ dicantur inquirenda ſunt, verum ubique apta & accomodata, quibus & ſemper confirmatio adjicienda. Nimia vero inveniendi & dicendi cupiditate fit, ut ſæpe orationis ſtructuram corrumpamus. Atque hæc quidem de erratis quæ in ſententia committuntur.

Meditationis artificium quibus rebus violetur.

V. Artis imperitia in meditando prima eſt, nuda capitum propoſitio: cum orator ignorat quid prius laudare aut vituperare debeat ex modo propoſitionum, quæ tribus potiſſimum figuris tractandæ. Vel cum orator multo ante cognoſcit, quæ ab adverſario dicenda ſunt: "Novi quæ dicturus eſt, certe alia per Jovem dicturus eſt. Vel cum ex aliis audivit, ut ſi dicat: "Audio ipſum dicturum: eſt qui mihi rem omnem nunciavit. Vel quaſi conjicientis eſt, quodnam argumentum primo loco collocandum ſit. Quod artificium ſic ſe habet: ut ſi confidimus nos argumentum ſoluturos, dicemus "Nos adverſarium id dicturũ noviſſe; cum de aliquo dubitabimus, "Id nos ſuſpicari ſimulabimus. Quæ vero adverſario fortiſſima & robuſtiſſima eſſe ſciemus, "Illa nos pridem inaudiviſſe dicemus; ne illi nobis ea certo eſſe cognita conſtet.

VI. Illud igitur tenendum primum eſſe vitium, nudam (ut dixi) capitum propoſitionem, quam diviſionis artem quidam exiſtimant. Altera artis imperitia eſt multis apparens ordinis conſequentia, ornamentum eſt quæſtionis, ordinem & modum rerum capitibus præſcribere: ſed non ex uſu certaminis fidem exornare, & appoſita adhibere quædam, ordinem quoque utilem indicare: neque capitibus tanquam elementis uti ſecundum ordinem alphabeticum ab ᾱ. ad ω̄. verum Grammatici inſtar in exercitationum uſu, velut nomina literis, ita res quoq; capitibus coagmentare decet. Alterum vitium eſt, infirma argumentationis capita nuſquam validis inſerere ut horum virtute priora occultentur, deinde nuſquam omnino ab inſtituto ſermone divertere, ac poſt digreſſionem iterum ad propoſitum redire; ut mos eſt antiquis quibuſdam ſcriptoribus, qui in aliarum tempeſtivitatum diſceptationibus aliarum mentionem faciunt, ſolerter admodum iis quæ dicenda ſunt fidem præſtruentes, præſentia ſi-

καὶ τὰ τοῖς ἤθεσι διεγνωσμένα, καὶ τὰ ἔθεσι κεκριμένα, βραχείᾳ ἀποφάσει τὴν ἰσχὺν ἔχει· ἐὰν δέ τις μηκύνῃ, ψυχρότερα καὶ ἀσθενέστερα αὐτὰ ἐξεργάζεται. περὶ δὲ τὰς τῶν νόμων ἐξετάσεις καὶ τὰς τούτων ἀποδείξεις, ἡ πολλὴ πραγματεία ἀναγκαία τῷ ῥήτορι, ὅτε πολλάκις ἀγνοούμενά τε βραχέως δεῖ λέγειν, καὶ οἷς δεῖ μῆκος περιτιθέναι· καίτοι βραχὺς ὁ περὶ τούτων λόγος· ὡς τὰ ἰσχυρότατα βραχύτατα λεκτέον· τὰ δὲ ἀσθενέστατά ἐστι, καὶ τὰ ἀγχώμαλα τὰ τῆς βοηθείας τοῦ ῥήτορος εἰς ῥοπὴν δεόμενα. ὅλως δὲ οὔτε βραχέα οὔτε πολλὰ δεῖ ζητεῖν λέγειν, ἀλλὰ σύμμετρα πανταχοῦ, ζητοῦντας πρὸς τῇ συμμετρίᾳ πανταχοῦ καὶ τὴν ἀσφάλειαν· ἐπιθυμίᾳ δὲ τοῦ πολλὰ δοκεῖν εὑρίσκειν καὶ λέγειν, πολλὰ ἐν τοῖς λόγοις λυμαινόμεθα. ταῦτα μὲν καὶ περὶ τὴν γνώμην ἁμαρτήματα.

ε'. [a] Ἀτεχνία δὲ ἐν μελέταις αὕτη. πρώτη μέν, γυμνὴ τῶν κεφαλαίων πρότασις πανταχοῦ, [b] τὸ μὴ ἐπίστασθαι μηδὲ προδιοικεῖσθαι, ὅπερ ἐστὶ προσυστῆσαι ἢ προδιαβαλεῖν, [c] μὴ τὰς τῶν προτάσεων μεθόδους· αἳ ἐπὶ τριῶν σχημάτων ἀγωνίζονται· ἢ ὡς εἰδότος τοῦ λέγοντος τὰ μέλλοντα λεχθήσεσθαι ὑπὸ τοῦ ἀντιδίκου· "Οἶδα τοίνυν ὅτι ἐρεῖ, καὶ ἄλλα νὴ Δία ἐρεῖ· ἢ ὡς πυθομένου· "[d] Πέπυσμαι τοίνυν αὐτὸν ἐρεῖν. Ἀπήγγειλε τοίνυν τίς μοι· ἢ ὡς στοχαζομένου ὧν ἑκάστη τῶν προτάσεων κατὰ λόγον τέχνης [e] προτείνεται. ὁ δὲ λόγος τῆς τέχνης οὕτω· περὶ ὧν θαρροῦμεν [f] λύσιν, ἐροῦμεν, "Εἰδέναι ἐροῦντα τὸν ἀντίδικον· περὶ ὧν ἀμφιβόλως ἔχομεν καὶ μέσως, "Εἰκάζειν προσποιησόμεθα· ἃ δὲ ἰσχυρὰ ὄντα τῷ ἀντιδίκῳ ἴσμεν, "Ταῦτα ἀκηκοέναι φήσομεν· ἵνα μὴ δοκῶμεν συνειδέναι τὰ ἰσχυρὰ τοῖς ἐναντίοις.

ϛ'. Μία τοίνυν αὕτη ἀτεχνία, [g] ὅπερ ἔφην, ἡ τῶν προτάσεων γυμνότης· ἣν καὶ τέχνην τινὲς διαιρέσεως νομίζουσιν. ἑτέρα δέ, ἡ δοκοῦσα παρὰ τοῖς πολλοῖς τῆς τάξεως ἀκολουθία, τὸ καλὸν τοῦ προβλήματος, τὴν τάξιν διδόναι τοῖς καλουμένοις κεφαλαίοις· ἀλλὰ μὴ κατὰ τὴν χρείαν τοῦ ἀγῶνος διακοσμεῖν τὰς πίστεις, ἔνια καὶ μετατιθέντα, καὶ [h] τάξιν τὸ συμφέρον ἡγούμενον· ἀλλὰ μὴ ὥσπερ στοιχείοις χρῆσθαι τοῖς κεφαλαίοις κατὰ τὴν τάξιν ἀπὸ τοῦ ᾱ ἕως ω̄, ἀλλὰ καθάπερ γραμματικὸν ἄνδρα πρὸς τὴν χρείαν τῶν ἀγώνων, ὥσπερ γράμματα [i] πρὸς τὸ ᾱ πρὸς τὰ ὀνόματα, οὕτω καὶ τὰ κεφάλαια πρὸς τὰ πράγματα διακοσμεῖν. ἕτερον ἐκεῖνο, τὸ μηδαμοῦ συμπλέκειν τοῖς ἀσθενέσι τὰ ἰσχυρά, ἵνα τῇ τούτων ἰσχύϊ ἐκεῖνα ἐπικρύπτηται· ἔτι κἀκεῖνο, τὸ μηδαμοῦ τῶν λόγων ἐκβολὴν ποιεῖσθαι μηδεμίαν καιροὺς ὑπερβαίνοντα, εἶτα πάλιν ἐπανιόντα· ὅπερ ποιοῦσιν οἱ παλαιοί, ἐν ἑτέρων καιρῶν ἀγῶσιν, ἑτέρων μνήμας ποιοῦνται, τεχνικῶς προδιοικούμενοι τὴν τῶν μελλόντων λεχθήσεσθαι πίστιν, καὶ παρόντα

a Sequentibus aſſignatum erat peculiare caput in libris vulgatis, necnon in *MSS.* quibuſdam. Malui tamen (ut placuit etiam *Sylburgio*) cum præcedentibus conjungere. Nec aliter (ut mihi videtur) in *Reg.* 1. & *Colb.* cum in margine habeant titulum, περὶ τῆς ἐν μελέταις ἀτεχνίας; quem novo capiti alii præfigendum eſſe voluerunt. *b* Τῷ μὴ ἐπίστασθαι dandi caſu legit *Wolfius.* *c* Pro μὴ reponendum videtur κατὰ, ut v. 37. *Sylb.* *d* In *Ed. Steph.* [& *Codd. MS.*] πέπεισμαι: quod ad præcedens πυθομένου & ſequens ἀπήγγειλε minus quadrat. *Sylb.* *e* Προτείνεται in *Codd. MSS.* *f* Pro λύσιν opinor legendum potius λύσειν. *Sylb.* *g* Ὥσπερ præferendum cenſet *Sylb.* *h* Τάξιν *Reg.* 1. & *Colb.* *i* Πρὸς τὸ ᾱ &c. in *MSS.* Verum commation illud πρὸς τὸ ᾱ *Wolfius* in ſuo libro linea ſubterducta notarat; forſan ut expungendum. *Sylb.*

a Συμ-

παρόντα ὁμοῦ ταῖς ἐκείνων [a] συμπλέκονται πίστεσιν. ἔτι κἀκεῖνο ἁμάρτημα, τὸ μηδὲν προδιοικεῖσθαι μηδὲ πρότερον ἀποδεικνύναι, εἶτα ἐπιφέρειν· ὅπερ ποιοῦσιν οἱ παλαιοὶ [b] πολλά, καὶ μάλιστα Δημοσθένης [c] κατὰ μίμησιν τὴν Πλάτωνος, εἰδὼς ὅτι πανταχοῦ [d] προστιθέμενα τὰς κατασκευὰς ἀσθενεῖς ἔχει· προκατασκευασθέντα δὲ πιστὰ ἐπενεχθέντα φαίνεται. τί δεῖ λέγειν ὅτι τὴν ἀναγκαίαν ἀκολουθίαν οὐχ ὁρῶμεν, ἥν φησι δεῖν Πλάτων προσθεῖναι τοῖς λόγοις; οὐ χύδην [e] ὡς ἔτυχον βεβλῆσθαι τὰ ἐνθυμήματα, ἀλλ᾽ εἶναι τὸν λόγον ἐοικότα σώματι ἐκ κεφαλῆς ἐπὶ πόδας ἔχοντα τὰ μέρη καὶ τὰ μέλη ἀλλήλοις τε πρέποντα καὶ τῷ ὅλῳ συστήματι τοῦ σώματος. τοῦτο μὲν παρίημι εὐθύνειν, ὅτι ἔοικε σπάνιον εἶναι. ὁπότε γὰρ καὶ Λυσίαν ἐπὶ τούτῳ ἐλέγχει, πᾶσαν τὴν ἡμετέραν ῥητορικὴν ἔοικεν ἐλέγχειν. [f] τοῦτο δὲ, τὸν ἔλεγχον τὸν τοῦ μὴ ἐπίστασθαι τὴν ἀναγκαίαν ἀκολουθίαν, μόνος Δημοσθένης ἐξέφυγε κατὰ μίμησιν τὴν Πλάτωνος· πῶς, καὶ τίνα τρόπον, ἐν τῷ ΠΕΡΙ ΜΙΜΗΣΕΩΣ πειρασόμεθα. τοιαῦτα μὲν καὶ τοσαῦτα, καὶ ἔτι πλείω τούτων, τὰ τῆς ἀτεχνίας πλημμελήματα.

ζ. Περὶ δὲ τὴν λέξιν συχνὰ τὰ ἁμαρτήματα. οἱ μὲν γὰρ πάνυ εὐτελῶς φθέγγονται, καί φασι τὸ κατὰ φύσιν δὴ καὶ γνώριμον μεταδιώκειν, οὐκ εἰδότες τί ἐν τῷ καλῷ μάλιστα γνώριμόν ἐστιν. ἐν δὲ τῷ ἀγοραίῳ τῆς λέξεως οὐδὲ τὸ σαφὲς, μήτιγε γνώριμον φαίνεται. τὸ γὰρ ἀγοραῖον οὔτε τὴν δήλωσιν ἀκριβῆ, οὔτε τὴν φαντασίαν ἐναργῆ παρέχεται. [g] οὔτε τὸ παράσημον τῆς λέξεως ἀναγκάζονται, εἴ πού τι ἀνακεχωρηκὸς ὄνομα ἢ ῥῆμα εἴρηται, τοῦτο θηρῶντες, καὶ πανταχοῦ [h] φθειρόμενοι, ἐπ᾽ ἀρχαιότητι δή τινι σεμνυνόμενοι· γελοῖον πεπονθότες, εἴ γε μὴ λογίζονται ὅτι τὰ βιβλία διὰ τῶν γνωριμωτάτων ἀγωνίζεται, τὰ δὲ ἀνακεχωρηκότα ταῦτα σπάνιά ἐστιν. οὔκουν ἀρχαΐζειν δοκοίη ὁ τὰ ὀλιγάκις εἰρημένα ἀρχαίοις λέγων, ἀλλ᾽ ὁ τοῖς ἀεὶ λεγομένοις καὶ πανταχοῦ χρώμενος. ἀγνοοῦσι δὲ καὶ τὴν χρῆσιν τῶν σπανίων ὀνομάτων, καθ᾽ ἃς αἰτίας [i] ἐστὶ τοῖς βιβλίοις· εἰσὶ δὲ [k] αἱ αἰτίαι αὗται.

η. Πρώτη μὲν ἐκείνη· ἔνια τῶν ὀνομάτων τοῖς τότε καιροῖς συνήθη ἦν καὶ γνώριμα, ὧν νῦν ἡ χρῆσις ἐξερρύηκεν. ἐκεῖνοι μὲν οὖν ὡς γνωρίμοις ἐχρῶντο· ἡμεῖς δ᾽ ἂν αὐτὰ εἰκότως ἐκκλίνοιμεν.

θ. Δευτέρα αἰτία· ἔνια τῶν πραγμάτων τῷ μὴ πολλάκις συνήθη τοῖς ἀνθρώποις εἶναι, ἀήθη [l] πάντα ἔσχεν καὶ τὰ ὀνόματα, οἷον τὸ περὶ τοὺς ὀδόντας πάθος, ὅταν ὑπό τινος δριμέος ἢ στρυφνοῦ μὴ οἷοί τε ὦσι τέμνειν οἱ ὀδόντες, ὥσπερ φρίττοντες. τοῦτο γὰρ σπανίως συμβαίνει· σπανία δὲ [m] καὶ ἡ χρῆσις τοῦ ὀνόματος. ἡμεῖς δὲ [n] ἐγκυκλοῦμεν ἀεὶ τὰ τοιαῦτα ὀνόματα.

ι. Τρίτη δὲ αἰτία ἐκείνη· ἐνίοτε λέγουσι τὰ σπάνια

mul priorum temporum confirmationibus innectentes. Id etiam inter errata cenſendum eſt, ſi quid inferas ex eo quod neque præmunieris, neque ante demonſtraveris; quod antiqui ſæpe factitarunt, maxime vero Demoſthenes ad imitationem Platonis, non ignorans frequentes prætenſiones debilem ſtructuram orationis conficere: quæ vero firmiter præmunita ſunt credibilia magis apparere. Quid vero attinet dicere, quod neceſſariam conſequentiam nequaquam videamus, quam Plato appoſite ait inſerendam, non fuſe & fortuito enthymemata in orationem conjicienda, quæ inſtar corporis eſſe debet, quod à capite ad pedes uſque ſuis conſtet partibus membriſque concinne inter ſe diſpoſitis, ac totius corporis conſtitutioni convenientibus. Illud quidem corrigere omitto, quod rarum eſſe videatur. Cum enim ob hoc Lyſias reprehenditur, omnis dicendi facultas noſtra argui videbitur. Eum vero errorem, qui in neceſſariæ conſequentiæ evidentia committitur, ſolus Demoſthenes Platonem imitatus declinavit. Qua vero id ratione præſtiterit, in Tractatu de *Imitatione* planum faciemus. Talibus igitur & tot, imo pluribus aliis modis orationis artificium ſolet violari.

In verborum delectu quot & quibus modis peccetur.

VII. Circa dictionem vero non pauci etiam defectus exſiſtunt. Quidam enim omnino ſimplici in eloquendo dictione utuntur, qua ſe cognitionem rei ejuſque naturam perſequi profitentur, neſcientes, quod in honeſto maxime cognitum eſt, id in forenſi dictione non ſatis clarum, nedum notum apparere. Nam protritum iſtud dicendi genus neq; declarationem accuratam, neq; vel ſpeciem ſatis manifeſtam exhibere valet. Alii vero ſignum elocutionis neceſſariæ eſſe putant, ſi uſpiam obſoletum aliquod vocabulum prolatum ſit, illud aucupantes, & paſſim abutentes, quaſi de re antiqua inventa glorianturr. Ridiculi omnino evadunt iſti, niſi conſiderent libros è maxime notis componi; hæc autem quæ à communi uſu receſſerunt, inuſitata admodum eſſe. Non igitur is priſco more loquitur, qui ab antiquis rarius uſurpata profert, ſed qui ſæpius decantatis paſſim in oratione utitur. Uſum autem rariorum vocabulorum ignorant, quas ob cauſas inſeruntur libris: ſunt autem ejuſmodi fere.

Raris vocabulis uti cur & quomodo concedatur.

VIII. Primo, quædam ſunt nomina priſcis temporibus familiaria & cognita, quorum nunc uſus periit; quibus illi quidem ut notis utebantur, nos vero merito declinare conſentaneum eſt.

IX. Secundo, res quædam non ita hominibus uſitatæ inſolita quoque obtinent nomina: ſuntque inſtar & dentium doloris, qui præ ſaporis oblati acrimonia & guſtus acerbitate obſtupefacti cibum comminuere nequeunt. Illud vero, ut raro uſu venit, ita rarior verbi uſus. Ejuſmodi ſunt nomina nobis devitanda.

X. Tertio autem, quando quæ ad aliorum

a Συμπλέκοντα Colb. & Cant. b Rectius τὰ πολλὰ, vel πολλάκις. *Wolfius* legit πολλοί. *Sylb.* c Etſi excuſari poteſt κατὰ μίμησιν τῶν Πλάτωνος: verius tamen videri poteſt κατὰ μίμησιν τὴν Πλάτωνος ut mox v. 18. & p. 109. v. 30. *Sylb.* d *Wolfius* cum articulo legit τὰ προσ. e Concinnius ὡς ἔτυχε, ſingulari fine. *Sylb.* f Rectius fortaſſe τοῦτον δὲ τὸν ἔλεγχον, eodem genere. *Sylb.* atque ita in *Codd. MSS.* g Pro οὔτε fortaſſe legendum οἱ δὲ, ut reſpondeat antecedenti οἱ μὲν v. 23. *Sylb.* h Φθεγγόμενος Reg. 1. i Lego ἐνεισι. k Deeſt *Cant.* l Convenientius legeris πάντως. *Sylb.* m Abeſt *Cant.* n Legendum potius ἐκκλίνομεν *declinabimus*, ut v. 43. *Sylb.*

a Pro

rum imitationem rariora efferunt vocabula, ſicuti in forma aliqua comœdiæ. Nos vero, neque elegantiæ vel joci cauſa neque neceſſitate coacti, ejuſmodi nomina quærimus, agreſtes ruſticaſque diſciplinas, quod abſurdiſſimum eſt, conſectantes. Illud præterea in dicendo vitium occurrit: laudis nimia cupiditate dictas voces velle importune uſurpare. Exempli cauſa verbum hiſtoricum, dialecticum, vel poëticum in Tragœdia vel Comœdia proferre. Eſt ea fortaſſe ſcientiæ alicujus oſtentatio, ſed uſus imperitia. Convenit enim diſcernere inter judiciales & dialecticas voces; & quæ hiſtorica, quæ poëtica, vel his propria, demum quæ politica ſint vocabula recenſere, niſi omnium riſui & invidiæ exponi velimus: non quod dialecticæ, hiſtoricæ aut politicæ dictiones in poëticis ſermonibus non reperiantur; verum oratori, & uſus opportunitas ſpectanda, nec ſtructuræ ratio minus obſervanda. Ad opportunitatem quidem pertinet, ubi dictio aliqua ſive poëtica, ſive dialectica, ſive hiſtorica evidentior apparet, tunc ea uti, quod ad majorem efficaciam rhetor præſtare poteſt. Ad ſtructuram vero, prævia narratione rem mitigare, & præmiſſis notioribus nominis novitatem occulere, & prius aperte fateri, vocem ejuſmodi ex alio dicendi genere eſſe deſumptam, quod ad novitatem molliendam ſufficiens eſt. His igitur & pluribus aliis modis in dictione delinquitur.

Opportunitas & modus in uſu.

Figuris quomodo utendum.

XI. Locutionem ſequitur oratio figurata. Quidam ſimplicibus, & ſine figuris, ac plane protritis verbis utuntur; nonnulli vero ſine ordine figurarum adducunt congeriem, ſicuti prius nominum ita nunc figurarum opportunitatem ignorantes. Et hæc quidem univerſim ſunt quæ circa mitiores affectus & ſententias, & circa artificium & dictionem dicenda habuimus.

XII. Nunc igitur quæ in omnibus oratoriæ orationis partibus errata committi ſoleant, ſingulatim conſideremus. Sunt autem orationis oratoriæ partes quatuor: exordium, narratio, confirmatio, peroratio.

Exordii vitia.

XIII. Quæ in exordio committi ſolent vitia hæc ſunt. primum coram judicibus tanquam cauſam perſpectam habentibus, quod perquam ridiculum eſt, orationem exordiri; cum prius ipſi ante meditatam orationem rem nobiſcum expendimus, exiſtimantes materiam ad diſceptandum propoſitam, ut auditoribus, ita judicibus eſſe cognitam. In procemio quidem rei ſumma aperienda eſt; & id de quo diſceptatio inſtituenda ſit, prius dilucide explicandum. Quidam præterea legem ſeu conſuetudinem procemiorum in exordia conjiciunt, quibus nec ſæpius unum ſolum ſufficiens eſſe, alias vero pluribus orationem indigere ſatis cognitum eſt. Vulgaris rhetorum multitudo rerum capita prius in exordio conſumit, cum procemium tantum ſit rei dicendæ commendatio, neque capita ea appellanda ſunt. unde

τῶν ὀνομάτων κατὰ μίμησιν τῶν πρὸς ἑτέρους, καθάπερ [a] ἐν ἰδίῳ τινὶ κωμῳδίας. ἡμεῖς δὲ οὔτε παίζοντες, οὔτε ἀνάγκῃ κατακλειόμενοι, θηρῶμεν τὰ ὀλίγα ταῦτα ὀνόματα, ὀψιμαθίᾳ καὶ ἀπειροκαλίᾳ τοῖς αἰσχίστοις τῶν παθῶν περιπεπτωκότες. ἔτι κἀκεῖνο πλημμέλημα ἐν τῇ λέξει, τὸ ὑπὸ φιλοτιμίας πᾶσι χρῆσθαι τοῖς εἰρημένοις ὀνόμασι πανταχοῦ, τὸν καιρὸν μὴ προστιθέντα· οἷον λέγω ἱστορικόν τι ὄνομα, διαλεκτικὸν, ποιητικὸν, ἐκ τραγῳδίας ἢ κωμῳδίας φθέγγεσθαι ὄνομα. ἔστι δὲ τοῦτο παιδείας μὲν ἴσως ἔνδειξις, χρήσεως δὲ ἀπειρία. δεῖ γὰρ διακρίνειν τίνα δικανικά τε τῶν ὀνομάτων, τίνα διαλεκτικὰ, καὶ τίνα ἱστορικὰ, καὶ τίνα ποιητικὰ, ἑκάτερα τῆς ποιήσεως, καὶ ἐπιλέγεσθαι τὰ πολιτικὰ πανταχόθεν· εἰ δὲ μὴ, καὶ γελοῖοι καὶ ἐπίφθονοι φανούμεθα· οὐχ ὡς οὐκ ἔστι που καὶ διαλεκτικὸν ὄνομα καὶ ἱστορικὸν καὶ πολιτικὸν ἐν τοῖς ποιητικοῖς βιβλίοις, ἀλλ' ἐπίστασθαι δεῖ καὶ τὸν καιρὸν τῆς χρήσεως, καὶ τὴν διοίκησιν. ἔστι δὲ ὁ μὲν καιρὸς ἐκεῖνος, ὅταν ἐναργέστερόν τι ὄνομα ἢ ἀπὸ ποιήσεως, ἢ διαλεκτικῆς, ἢ ἱστορικῆς, [b] χρῆσθαι, ὡς ὁ ῥήτωρ πρὸς τὴν ἐνέργειαν. ἡ δὲ διοίκησις ἐκείνη, τὸ προεξηγήσασθαι [c] καὶ τοῖς προσταχθεῖσιν ἢ ἐπιφερομένοις οὖσι γνωρίμοις ἀφανίσαι τὴν καινότητα τοῦ ὀνόματος, καὶ ὁμολογίᾳ χρῆσθαι, τοῦτο ῥῆμα ἐξ ἄλλης ἰδέας [d] λόγων εἰ[ναι]. ἱκανὴ γὰρ ὁμολογία καὶ παραμυθία τῆς κενότητος. ταῦτα καὶ ἔτι πλείω τούτων κατὰ λέξιν ἁμαρτάνομεν.

ια'. Ἀκόλουθος δὲ τῇ λέξει καὶ ὁ περὶ τῶν σχημάτων λόγος, ὅτι καὶ ἁπλάστως καὶ ἀσχηματίστως λέγουσιν, ὥσπερ καὶ ἀγοραίως, τοῖς ὀνόμασιν. οἱ δὲ καὶ πανταχόθεν σχήματα συνάγουσιν, ἀγνοοῦντες τὸν καιρὸν αὐτῶν, ὥσπερ καὶ τῶν ὀνομάτων. τοιαῦτα μέν τινα καθόλου λέγειν ἔχομεν, ἐν ἤθει, ἐν γνώμῃ, ἐν τέχνῃ, ἐν λέξει.

ιβ'. Φέρε δὴ κατὰ μέρος σκεψώμεθα ἀπὸ τῶν τῆς ὑποθέσεως στοιχείων τὰ ἐν ἑκάστῳ στοιχείῳ πλημμελήματα· ἔστι δὲ τὰ τῆς ὑποθέσεως στοιχεῖα τέσσαρα, προοίμιον, διήγησις, 63
πίστεις, ἐπίλογοι.

ιγ'. Ἃ τοίνυν πλημμελοῦμεν ἐν προοιμίῳ μελετῶντες, ταῦτά ἐστι. [f] πρῶτον μὲν, ὡς εἰδόσι τοῖς δικασταῖς διαλεγόμεθα προοιμιαζόμενοι, γελοιότατον πάσχοντες· ἐπειδὴ προβάλλομεν περὶ τῆς μελέτης τὴν ὑπόθεσιν, ἡγούμενοι καὶ τὸν δικαστὴν, ὥσπερ τὸν ἀκροατὴν, ἐπίστασθαι τὸ πρόβλημα. δεῖ δὲ ἐν τῷ προοιμίῳ καὶ παρανοίγειν τὸ πρᾶγμα ἐπὶ κεφαλαίων, προδηλοῦντα περὶ ὧν ὁ ἀγὼν γενήσεται. ἔπειτα δὲ νόμον τινὰ προοιμίων ἐποιήσαντο τὰ προοίμια, οὐκ εἰδότες ὅτι ἓν ἐξαρκεῖ· πολλάκις δὲ καὶ πλειόνων δεῖ. [g] εἰ τοίνυν πολλοὶ προκαταχρῶνται τοῖς κεφαλαίοις ἐν τοῖς προοιμίοις, [h] οὐδὲ νοοῦντες ὅτι τὰ προοίμια δεῖ σύστασιν μὲν εἶναι τῶν κεφαλαίων, οὐκ [i] ἔστι δὲ αὐτὰ κεφάλαια. ὅθεν καὶ τῶν ἀντιδί-

χων

a Ἐν ἰδίᾳ τινι legit *Caſ.* atque mox (v. 11.) ἢ ἐγγύτερα, (*vel propiora*) malit *Sylb.* b Ante χρῆσθαι ſubaudienda τότε & αὐτῷ. ſenſus enim eſt *tunc eo uti.* Nota ibidem τὴν ἐνέργειαν & verſu 17. ἐναργέστερον. recte fortaſſe utrobique: ut in priore loco *evidentia*, in poſteriore ſignificetur *efficacitas.* c Rectius τοῖς προλεχθεῖσι *præmiſſis. Sylb.* d Τοῦ τὸ . . . λόγων εἶναι *Reg.* 1 & *Colb.* e Καινότητος in *Codd. MSS.* quo modo legendum eſſe monuit *Sylb.* f Fortaſſe legendum, πρῶτον μὲν, ἂν ὡς εἰδόσι τοῖς δικασταῖς διαλεγώμεθα. *Sylb.* g Pro conjunctione εἰ reponendus videtur articulus οἱ, ut ſignificentur *plerique, major pars, vulgaris rhetorum multitudo. Sylb.* Ἐπ pro εἰ in *Cod. Cant.* h Οὐδὲν *Colb.* & *Cant.* i Ἐπ *Reg.* 1.

a Ἀντι-

καὶ ἐν τοῖς ἐπιχειρήμασι τῶν ἀγώνων ἐστὶ φαντασία ἐκείνη ἱκανή, καὶ οὐ δεῖ ἔξωθεν λόγους φαντασίας [a] ἐπικυκλεῖσθαι.

ιή. [b] Περὶ δὲ ἐπιλόγων· ἡγοῦνται τοὺς ἐπιλόγους ὥσπερ ἐν δείπνῳ, τραγήματα εἶναι τῶν λόγων, καὶ ὥσπερ ἐπιφυλλίδας καὶ στωμύλματα· παρ' ὃ καὶ ἐπιφωνήματα καλοῦσι τὰ ἐν ἐπιλόγοις λεγόμενα· οὐκ εἰδότες ὅτι ὥσπερ τὸ προοίμιον διοίκησις τοῦ παντὸς ἀγῶνος, οὕτω καὶ ὁ ἐπίλογος βεβαίωσις, ἢ ἐπανάμνησις τῶν προαποδεδειγμένων πραγμάτων, ἢ ἐν ἠθῶν συστάσει παροξυνόντων ἡμῶν, ἢ οἰκτιζομένων, ἢ καὶ ἄλλα ὅσα ἤθη λόγων διάφορα τῷ ὑποκειμένῳ ἑκάστοτε ἀγῶνι.

ιθ'. Ταῦτα καὶ ὅσα ἐκ τούτων ἤρτηται τηρώμεν ἐν ταῖς μελέταις πλημμελήματα. ἔτι δὲ καὶ τὴν παλαιότητα μὴ ἐν τῇ θέσει τῶν βιβλίων νομίζωμεν εἶναι, ἀλλ' ἐν τῇ χρήσει τῆς ὁμοιότητος. μίμησις γάρ, οὐ χρῆσίς ἐστι τῶν διανοημάτων, ἀλλ' ἡ ὁμολογία τῶν καιρῶν, ἔντεχνος [c] μεταχείρησις. καὶ μιμεῖται τὸν Δημοσθένην, οὐχ ὅτι Δημοσθενικῶς· καὶ τὸν Πλάτωνα ὁμοίως, καὶ τὸν Ὅμηρον. καὶ πᾶσα ἡ μίμησις ὧδε ἔχει, τέχνης ζῆλος, καταμαθὼν ἐνθυμημάτων ὁμοιότητα. μακρότερος ὁ περὶ μιμήσεως λόγος, ὃν ἀλλαχῇ μεταχειριούμεθα. τὸ δὲ νῦν ἔχον, τηρητέον τὰ ~~ἐν μελέτῃ~~ πλημμελήματα, ἐν ἤθει, ἐν γνώμῃ, ἐν τέχνῃ, ἐν λέξει, κατὰ πάντα μέρη τῆς ὑποθέσεως, κατὰ προοίμιον, διηγήσεις, πίστεις, ἐπιλόγους. ταῦτα περὶ τὰ φανερώτατα· πλείω δὲ τὰ ὑπολειπόμενα δείξουσιν αἱ συνουσίαι.

vos rerum caſus deſcribendos ſufficientes eſſe orationum ſpecies, nec aliunde ad rei repræſentationem eſſe accerſendas.

Perorationis vitia. XVIII. Reſtat de peroratione dicendum, quam quidam exiſtimant quaſi orationis bellaria, atque poſt vindemiam racemos & nugamenta quædam; qua propter & rerum narratarum exclamationes vocant: neſcientes quod ut exordium eſt totius orationis ſtructuræ fundamentum, ita peroratio quidem confirmatio eſt, & rerum omnium in medium allatarum commemoratio, ſive in mitiorum affectuum commendatione accendatur orator, ſive commiſeratione afficiatur, ſive quamvis aliam paſſionem induat propoſitæ materiæ convenientem.

Imitatio quid ſit & quomodo fiat. XIX. Hæc ſunt, & quæcunque ex his dependent à nobis in meditandis orationibus obſervata. Antiquitatem autem non in argumento orationum, ſed in uſu ſimilitudinis conſiſtere arbitramur. Imitatio enim non eſt uſus cogitationum, ſed opportunitatum concors & artificioſa aggreſſio. Et imitatur quis Demoſthenem, non ſolum ut Demoſthenem in ſtylo referat; ſimiliter & Platonem, & Homerum. Omnis igitur imitatio artis eſt æmulatio, enthymematum perdiſcens ſimilitudinem. Verum de hac longior nobis erit ſermo, quem alibi pertractabimus. Quod nunc reſtat, obſervanda denuo monemus vitia in affectibus, in ſententiis, in arte, in dictione, in omnibus denique orationis partibus, nempe exordio, narratione, confirmatione, & epilogo. Et hæc quidem circa maxime evidentia: plura vero adhuc relicta familiares congreſſus docebunt.

ΚΕΦ. ιά.

Περὶ λόγων ἐξετάσεως.

Ὁ Μέγιστος κίνδυνός ἐστι καὶ νέῳ καὶ μὴ νέῳ περὶ τὴν τῶν λόγων κρίσιν. ταῖς γὰρ ἡμετέραις δόξαις δίχα ἐπιστήμης εἰκῇ καὶ ἐπαινοῦμεν ἃ ἔτυχεν ἑκάστοτε, καὶ ψέγομεν. καὶ διὰ τοῦτο συμβαίνει [d] ταῦτα καὶ ἐπαινεῖσθαι καὶ ψέγεσθαι· οὐ μόνον ἄλλοτε ὑπ' ἄλλων, ἀλλὰ καὶ ταὐτὰ ὑπὸ τῶν αὐτῶν ποτὲ μὲν ἐπαινεῖσθαι, ποτὲ δὲ ψέγεσθαι. ὥσπερ γὰρ οἱ ἄπειροι τοῦ ἀριθμοῦ οὐδέποτε τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγουσιν, οὔτε πρὸς ἀλλήλους, οὔτε πρὸς ἄλλους· ἀλλ' ἡ ἀπειρία παρέχει τεκμήριον, τὴν ἀσυμφωνίαν· οὕτως ἀμέλει καὶ περὶ λόγους ἔχομεν οἱ πλεῖστοι. οὐδέποτε γὰρ τὰ αὐτὰ ἡμῖν δοκεῖ, ἀλλὰ ποτὲ μὲν ἐπαινοῦμεν ταῦτα ἃ ποτὲ ἐψέγομεν, καὶ ἃ ἐψέξαμεν, ἐπαινοῦμεν. ψυχαγωγούμεθα γὰρ τῇ δόξῃ τῶν ἀποφαινομένων, ἢ πρὸς [e] τὸ ἀξίωμα τῶν ἐκείνων ἀποβλέποντες, οὐκ
65 οἰκείᾳ κρίσει χρώμενοι. δεῖ δὲ ὥσπερ κανόνα εἶναι καὶ στάθμην τινὰ καὶ δοκίμιον ὡρισμένον, πρὸς ὅ τις ἀποβλέπων δυνήσεται τὴν κρίσιν ποιεῖσθαι, ἢ ἐπὶ τάδ', ἢ ἐπ'

CAP. XI.

De Orationum examine.

Examinatio ſcriptorum qualis ſit & quomodo fiat. INgens ſane eſt, non juvenibus modo ſed & ſenibus, in dijudicandis aliorum ſcriptis periculum. * Parandæ enim opinionis ſcientiæ gratia varie & temere laudamus quæ in manus noſtras venerunt, & vituperamus. Quo fit eadem interdum laudari & vituperari, non ſolum alia ab aliis, verum eadem à nobis ipſis, alias probata, nunc damnata. Sicuti enim numerorum imperiti nunquam eadem numerando conficiunt; neque ſecum ipſi neque cum aliis conſentiunt: ſed hoc inſcientiæ argumentum eſt ſibi non conſtare. ſic & plerique in orationibus examinandis negligentiores ſumus. Nunquam enim eadem nobis apparent; ſed interdum laudamus quæ alias reprehendimus; & quæ damnavimus, viciſſim laudamus. Rapimur enim viſorum phantaſia, vel ad rei cujuſque dignitatem reſpectum habentes, non proprio utimur judicio. Oportet enim regulam eſſe atq; amuſſim & probationis normam, ad quam quis reſpiciens recte poſſit judicare, vel in hanc, vel in illam ſententiam.

a Illud ἐπικυκλεῖσθαι accipi poteſt pro *agglomerari*. Sed alicui fortaſſe convenientius videatur ἐπικαλεῖσθαι *accerſiri. Sylb.*
b Iterum in *Ed. Steph.* [& *Cod. Cant.*] peculiare incipit caput, cum hoc titulo Περὶ ἐπιλόγων: parum convenienter. qui enim conſentaneum eſſe poteſt, ut cum exordii, narrationis, & confirmationis vitia ſuperioribus attexuerit, epilogi vitia ſeorſim explicare voluerit? Porro in iſto loquendi genere, Περὶ δὲ ἐπιλόγων, ſtructura eſt elliptica, ut ſupra initio capitis, p. 108. v. 37. Senſus eſt, περὶ δὲ ἐπιλόγων ἵνα λέγωμεν, ſeu περὶ δὲ ἐπιλόγων ἵνα τὰ πλημμελήματα ἐκθῶμεν. *c* Nota hîc rurſum μεταχείρησις & mox (v. 23.) μεταχειριούμεθα. qua de re ſupra quoque p. 68. v. 17. *Sylb.* *d* Fortaſſe convenientius ταὐτὰ *eadem*, ut v. ſeq. *Sylb.* *e* Τὸ ἐκείνων *Colb.* quod maluit etiam *Sylb.* * *Al.* Noſtris enim opinionibus nixi ſine ſcientia varie &c.

tentiam. Dicam itaque quod dicendum videatur. Quatuor itaque ſunt ad quæ potiſſimum rectum de orationibus judicium dirigendum exiſtimem: indoles ſeu natura, ſententia, ars, ac dictio. Decet igitur quæ legimus, quæ audimus, & quæ occurrunt conſiderare, an ad naturam, ſententiam, artem, aut dictionem proſint vel obſint. Extra hos nulli fines exiſtunt.

Morum cenſura. II. Igitur quid hic ſervandum? Indolem ſeu naturam duplicem eſſe, communem & propriam. Hæ quid differant nunc exponam. *Mores communes.* Communem eam appello, quæ à philoſophia pendet. Qualis ea demum eſt? ad virtutem nimirum invitans, avertenſque à vitiis. Privatam vero eam dico, quæ ab oratoria dependet. Quæ tandem ea eſt? decentes, puta, aptoſq; de re quaq; propoſita ſermones habere, cum dicentibus tum audientibus, de quibus & ad quos verba facere ſolemus: qua in re libri antiquorum omnes verſantur. Quid igitur dicam? plenos eſſe libros omnes hiſce Etheſi in æquis aut iniquis, in continentibus aut frugi hominibus & nequam, in fortibus aut meticuloſis, doctis vel indoctis, mitibus aut iracundis. Licet itaque, nominibus relictis, mores ſeu naturas capientibus, de vitæ negotiis philoſophari; quorum quædam expetenda, quædam contra fugienda ſunt. Ut ſi quis in Homeri Rhapſodia intueatur Paridis mores, hoſpitis ſui domum violantis, & alienam conjugem [Helenam] rapturi, factum quidem oderit, animum vero cuſtodierit, ratus patriam eo ſcelere familiamque everſurum; pœnam denique Diis hominibuſque exemplo in ſe edito daturum. Pandari præterea noxia eſt indoles juramenta conturbantis: & peccato dignum tandem obvenire ſupplicium. Neſtoris etiam prudentia eluceſcit, quæ virtutem perficit. De Hectore vero Jupiter pietatem ejus prædicans ita loquitur:

Hinc mihi namq; calent ſacris & odoribus aræ:
Qui ſuperis debetur honos, ſemperque manebit.

Et nomina omittens indolis differentias quæras, ut in ſpeculando ad vitæ mores per libros pervenias. Hoc & Plato ſignificat, poëſin, ornando veterum res innumerabiles, poſteros informare. Igitur doctrina eſt morum collectio. Hoc etiam Thucydides aſſerere viſus eſt, hiſtoriam ſic deſcribens, quaſi ſit per exempla philoſophia: "Cæterum, qui res præ-"teritas accurata noſſe & in iis, quæ iterum "eodem conſimilique modo (ut res ſunt hu-"manæ) uſu venient, hæc ad ſuum commo-"dum adhibere voluerit, non deſiderabit plu-"ra. Hiſtoriis ergo utendum ad vitam moreſque formandos. Et hæc quidem, de communi indole, quæ malum fugit, virtutemque amplectitur.

Mores privati. III. De privata vero, quam rhetoricam ap-

ἐκεῖνα. ὡς οὖν ἐμοὶ δοκεῖ, [a] φράσω πρὸς ὑμᾶς. τέτταρα εἶναί φημι, ἀφ᾽ ὧν τὴν δοκιμασίαν καὶ τὴν κρίσιν χρῆναι ποιεῖσθαι τῶν λόγων ἀξιῶ. ἔστι δὲ τὰ τέσσαρα ταῦτα, ἦθος, γνώμη, τέχνη, λέξις. σκεπτέον οὖν ἀεὶ ἡμῖν περὶ ὧν ἢ ἀνέγνωμεν, ἢ ἠκούσαμεν, ἢ ὁπωσοῦν ἐτύχομεν, τί ὠφελεῖ ἢ βλάπτει εἰς ἦθος, τί εἰς γνώμην, τί εἰς τέχνην, τί εἰς λέξιν. ἔξω τούτων οὐκ εἰσὶν ὅροι.

β΄. Τί ποτε ἐστὶν ὃ λέγω, μαθεῖν χρή. τὸ ἦθός φημι διπλοῦν εἶναι, κοινόν τε καὶ ἴδιον. πῇ διορίζω τὸ κοινὸν καὶ τὸ ἴδιον ἀπ᾽ ἀλλήλων, φράσω. κοινὸν λέγω, τὸ φιλοσοφίας ἐχόμενον. ἔστι δὲ τοῦτο τί; τὸ εἰς ἀρετὴν προτρέπον, καὶ κακίας ἀπαλλάττον. ἴδιον δὲ λέγω, τὸ ῥητορικόν. ἔστι δὲ τοῦτο [b] τί"; τὸ πρέποντας καὶ προσήκοντας τοὺς λόγους ποιεῖσθαι περὶ τῶν ὑποκειμένων πραγμάτων τῷ λέγοντι αὐτῷ, καὶ τῷ ἀκούοντι, καὶ περὶ ὧν ὁ λόγος, καὶ πρὸς οὓς ὁ λόγος· ὅ,τι ποτὲ ἐστὶν ὁ ἀγὼν τοῖς βιβλίοις πᾶσι καὶ τοῖς παλαιοῖς. τί οὖν περὶ τούτων λέγω; τὰ βιβλία μεστά ἐστι δικαίων ἠθῶν, ἀδίκων, σωφρόνων, ἀκολάστων, ἀνδρείων, δειλῶν, σοφῶν, ἀμαθῶν, πρᾴων, ὀργίλων. ἔξεστιν οὖν καταλιπόντας τὰ ὀνόματα, ἐκλαβόντας ἤθη, φιλοσοφῆσαι τὰ τοῦ βίου πράγματα· καὶ τὰ μὲν [c] ἐστὶ" μιμήσασθαι, τὰ δὲ φυγεῖν δεῖ, εἴ τις λαβὼν παρὰ Ὁμήρου τὸ ἦθος τοῦ Ἀλεξάνδρου λυμηναμένου ξένου οἰκίαν, καὶ ἁρπαγὴν ποιησαμένου ἀλλοτρίας γυναικός, μισοῖ μὲν τὸ ἦθος, φυλάττοι δὲ καὶ τὴν ψυχὴν, ὡς καὶ τὴν πατρίδα [d] τούτῳ κατασκάψασαν, καὶ τὸν οἶκον ἀνατραπέντα, καὶ μεγίστην τιμωρίαν καὶ παρὰ ἀνθρώπων καὶ [e] θεῶν γενομένην. πάλιν αὖ ἐστὶ πονηρὸν ἦθος τοῦ Πανδάρου συγχέοντος τοὺς ὅρκους· ἡ τιμωρία φαίνεται ἐπαξία τοῦ ἁμαρτήματος. Νέστορός που σωφροσύνη φαίνεται· τοῦτο εἰς ἀρετὴν συντελεῖ. λέγει που ὁ Ζεὺς περὶ τοῦ Ἕκτορος, εὐσέβειαν αὐτῷ μαρτυρῶν·

[f] Οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
Λοιβῆς τε κνίσσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.

καὶ ἂν καταλιπὼν τὰ ὀνόματα, [g] ἐξετάσῃς τῶν ἠθῶν τὰς διακρίσεις, ὥσπερ ἐν θεάτρῳ, τῷ βίῳ διὰ τῶν βιβλίων πορεύσῃ. τοῦτο καὶ [h] Πλάτων εἶπεν, ὅτι ἡ ποιητικὴ, μυρία τῶν παλαιῶν ἔργα κοσμοῦσα, τοὺς ἐπιγινομένους παιδεύει. παιδεία ἄρα ἐστὶν ἡ ἔντευξις τῶν ἠθῶν. τοῦτο καὶ Θουκυδίδης ἔοικε λέγειν, περὶ ἱστορίας λέγων· ὅτι καὶ ἱστορία φιλοσοφία ἐστὶν ἐκ παραδειγμάτων· "[i] Ὅσοι δὲ βουλήσονται τῶν τε γενομένων τὸ σαφὲς "σκοπεῖν, καὶ τῶν μελλόντων ποτὲ αὖθις, κατὰ τὸ ἀνθρώπειον, "τοιούτων καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα, χρῆσθαι ταῖς παλαιαῖς ἱστορίαις, καὶ τοῖς παραδείγμασι τῶν ἐθῶν· ὡς ἱστορία τοῦ βίου. ταῦτα μὲν περὶ τοῦ κοινοῦ ἤθους, κακίας φυγὴ, καὶ ἀρετῆς κτῆσις.

γ΄. Περὶ δὲ τοῦ ἰδίου ἤθους, ὃ ῥητορικὸν καλοῦμεν,

INgentes ætati noſtræ agendæ ſunt gratiæ, optime Ammæe, tum propter alias artes, quæ jam multo quam antea melius excoluntur, tum ſane propter civilis eloquentiæ exercitationem,*qua vehementer homines ad magiſtratum ineundum promoventur. Nam ſuperioribus temporibus antiqua illa ac docta oratoria facultas deſpecta & multis adfecta injuriis interiit; jam inde à morte Alexandri magni ſenſim deficiens paulatimque contabeſcens, noſtra tempeſtate eo pervenit,ut penitus propemodum exſtincta ſit. Alia autem, theatrali quadam impudentia infamis & contumax, in ejus locum ſucceſſit, quæ nec philoſophiam, nec alias humaniores artes amplexa eſt; at imperitam hominum multitudinem decepit: nec ſolum majorem abundantiam, majores delicias,ſplendoremque illuſtriorem ſectata eſt; verum ipſas etiam dignitates, urbiumque magiſtratus,quos doctam illam eloquentiam habere par erat,ad ſe rapuit, & intolerabili ſe faſtu jactans, eo Græciam redegit, ut prodigis, depravatis, & infortunatis familiis eam ſimilem effecerit. Nam ſicuti in illis ingenua & prudens uxor ſedet ingloria, cui omni ſupellectilis uſu interdictum eſt; vecors vero aliqua pellex, quæ alterius necem machinatur,omnem ſupellectilem invadit, ſibique illius uſum arrogat, veram dominam vili pendens & perterrens: ita jam in omni rep. quin & in bene inſtitutis (quod profecto omnium malorum ſummum eſt) antiqua illa & innata Attica Muſa, propriis bonis privata, infamis facta eſt; nova autem hæc è ſpeluncis nonnullis heri & nuperrime exorta, vel Phrygia Muſa, vel Caricum aliquod malum, aut potius barbarum, aliam è civitatibus eliminans,indocta ſcilicet doctam, ſapientem inſipiens, ipſas Græciæ civitates voluit adminiſtrare.

II. Verum tamen tempus non juſtos tantum viros, teſte Pindaro, ſed ipſas etiam artes & ſtudia conſervat. Atq; noſtrum hocce tempus egregie oſtendit, quod, vel Deo quopiam ita dirigente, vel circulo naturæ in antiquum

[b] ΠΟλλὴν χάριν ἦν εἰδέναι τῷ καθ' ἡμᾶς χρόνῳ δίκαιον, ὦ κράτιστε Ἀμμαῖε, καὶ ἄλλων μὲν τινῶν ἐπιτηδευμάτων ἕνεκα νῦν κάλλιον ἀσκουμένων ἢ πρότερον, οὐχ ἥκιστα δὲ τῆς περὶ τοὺς πολιτικοὺς λόγους ἐπιμελείας, οὐ μικρὰν ἐπίδοσιν [c] πεποιημένης ἐπὶ τὰ κρείττω. ἐν γὰρ δὴ τοῖς πρὸ ἡμῶν χρόνοις ἡ μὲν ἀρχαία καὶ φιλόσοφος ῥητορικὴ, προπηλακιζομένη καὶ δεινὰς ὕβρεις ὑπομένουσα κατελύετο, ἀρξαμένη μὲν ἀπὸ τῆς Ἀλεξάνδρου τοῦ Μακεδόνος τελευτῆς ἐκπνεῖν καὶ μαραίνεσθαι κατ' ὀλίγον, ἐπὶ δὲ τῆς καθ' ἡμᾶς ἡλικίας μικροῦ δεήσασα εἰς τέλος ἠφανίσθαι. ἑτέρα δέ τις ἐπὶ τὴν ἐκείνης παρελθοῦσα τάξιν, ἀφόρητος [d] ἀναίδεια θεατρικὴ καὶ ἀνάγωγος, καὶ οὔτε φιλοσοφίας, οὔτε ἄλλου παιδεύματος οὐδενὸς μετειληφυῖα ἐλευθερίου, λαθοῦσα καὶ παρακρουσαμένη τὴν τῶν ὄχλων ἄγνοιαν, οὐ μόνον ἐν εὐπορίᾳ καὶ τρυφῇ καὶ μορφῇ πλείονι τῆς ἑτέρας [e] διῆγεν, ἀλλὰ καὶ τὰς τιμὰς καὶ τὰς προστασίας τῶν πόλεων, ἃς ἔδει τὴν φιλόσοφον ἔχειν, [f] εἰς ἑαυτὴν ἀνηρτήσατο· καὶ ἦν φορτική τις πάνυ καὶ ὀχληρά· καὶ τελευτῶσα παραπλησίαν ἐποίησε γενέσθαι τὴν Ἑλλάδα ταῖς τῶν ἀσώτων καὶ κακοδαιμόνων οἰκίαις. ὥσπερ γὰρ ἐν ἐκείναις ἡ μὲν ἐλευθέρα καὶ σώφρων γαμετὴ κάθηται, μηδενὸς οὖσα τῶν αὐτῆς κυρία· ἑταίρα δέ τις ἄφρων, ἐπ' ὀλέθρῳ τοῦ βίου παροῦσα, πάσης ἀξιοῖ τῆς οὐσίας ἄρχειν, σκυβαλίζουσα καὶ δεδιττομένη τὴν ἑτέραν· τὸν αὐτὸν τρόπον ἐν πάσῃ πόλει, καὶ οὐδεμιᾶς ἧττον ἐν ταῖς εὐπαιδεύτοις· τουτὶ γὰρ ἁπάντων τῶν κακῶν ἔσχατον· ἡ μὲν Ἀττικὴ μοῦσα καὶ ἀρχαία καὶ αὐτόχθων, [g] ἄτομον εἰλήφει σχῆμα, τῶν ἑαυτῆς ἐκπεσοῦσα ἀγαθῶν· ἡ δὲ ἔκ τινων βαράθρων τῆς Ἀσίας [h] ἐχθὲς καὶ πρώην ἀφικομένη μοῦσα, ἢ Φρυγία τις, ἢ Καρικόν τι κακὸν, ἢ βάρβαρον, 81 Ἑλληνίδας ἠξίου διοικεῖν πόλεις, ἀπελάσασα τῶν κοινῶν τὴν ἑτέραν, ἡ ἀμαθὴς τὴν φιλόσοφον, καὶ ἡ μαινομένη τὴν σώφρονα.

β'. Ἀλλὰ γὰρ οὐ μόνον ἀνδρῶν δικαίων χρόνος σωτὴρ ἄριστος, κατὰ Πίνδαρον, ἀλλὰ καὶ τεχνῶν νὴ Δία καὶ ἐπιτηδευμάτων γε, καὶ παντὸς ἄλλου σπουδαίου χρήματος. ἔδειξε δὲ ὁ καθ' ἡμᾶς χρόνος, εἴτε θεῶν τινος ἄρξαντος, εἴτε φυσικῆς

περιόδου

80

a In *Ed. Sylb.* Ἐκ τῶν Διονυσίου τοῦ Ἁλικαρνασσέως περὶ τῶν ἀρχαίων ῥητόρων πρὸς Ἀμμαῖον ὑπομνηματισμῶν ταῦτα εὑρίσκεται.
b Proœmium hoc, in prima editione omiſſum, *Stephanus* in ſecunda editione adjecit ex *Italicis* bibliothecis. *Sylb.* c Πεποιημένοις in *Cod. Reg.* n. 3461. *d* Rectius opinor ἀναιδείᾳ θεατρικῇ, i. e. δι' ἀναίδειαν θεατρικήν. *Sylb.* *e* Forſan rectius διήγαγεν, eodem ſcilicet tempore, quo in ſequentibus ἀνηρτήσατο. *f* Εἰς ἑαυτὴν *Reg.* *g* Convenientius legemus ἄτοπον. *Sylb.* *h* χθὲς *Reg.* * *Al.* quæ non mediocria fecerit incrementa.

q Παραλα[illegible]

περιόδου τὴν ἀρχαίαν τάξιν ἀνακυκλούσης, εἴτε ἀνθρωπίνης ὁρμῆς ἐπὶ τὰ ὅμοια πολλοὺς ἀγούσης· καὶ ἀπέδωκε τῇ μὲν ἀρχαίᾳ καὶ σώφρονι ῥητορικῇ τὴν δικαίαν τιμήν, ἣν καὶ πρότερον εἶχε, καλῶς [a] ἀπολαβεῖν· τῇ δὲ νέᾳ καὶ ἀνοήτῳ παύσασθαι δόξαν οὐ προσήκουσαν καρπουμένῃ, καὶ ἐν ἀλλοτρίοις ἀγαθοῖς τρυφώσῃ. καὶ οὐ καθ' ἓν ἴσως τοῦτο μόνον ἐπαινεῖν τὸν παρόντα χρόνον καὶ τοὺς συμφιλοσοφοῦντας ἀνθρώπους ἄξιον, ὅτι τὰ κρείττω τιμιώτερα ποιεῖν τῶν χειρόνων ἤρξαντο· καίτοι μέρος γε τοῦ παντὸς ἥμισυ ἀρχὴ λέγεταί τε καὶ ἔστιν· ἀλλ' ὅτι καὶ ταχεῖαν τὴν μεταβολὴν καὶ μεγάλην τὴν ἐπίδοσιν αὐτοῦ παρεσκεύασε γενέσθαι. ἔξω γὰρ ὀλίγων τινῶν Ἀσιανῶν πόλεων, αἷς [b] δι' ἀμαθίαν βραδεῖά ἐστιν ἡ τῶν καλῶν μάθησις, αἱ λοιπαὶ πέπαυνται τοὺς φορτικοὺς καὶ ψυχροὺς καὶ ἀναισθήτους ἀγαπῶσαι λόγους· τῶν μὲν πρότερον μέγα ἐπ' αὐτοῖς φρονούντων, αἰδουμένων ἤδη καὶ κατὰ μικρὸν ἀπαυτομολούντων πρὸς τοὺς ἑτέρους, εἰ μή τινες παντάπασιν ἀνιάτως ἔχουσι· τῶν δὲ νεωστὶ τοῦ μαθήματος ἁπτομένων εἰς καταφρόνησιν ἀγόντων τοὺς λόγους, καὶ γέλωτα ποιουμένων [c] τὴν ἐπ' αὐτοῖς σπουδήν.

γ'. Αἰτία δ' οἶμαι καὶ ἀρχὴ τῆς τοσαύτης μεταβολῆς ἐγένετο ἡ πάντων κρατοῦσα Ῥώμη, πρὸς ἑαυτὴν ἀναγκάζουσα τὰς ὅλας πόλεις ἀποβλέπειν· καὶ ταύτης τε αὐτῆς οἱ δυναστεύοντες, κατ' ἀρετὴν καὶ ἀπὸ τοῦ κρατίστου τὰ κοινὰ διοικοῦντες, εὐπαίδευτοι πάνυ καὶ γενναῖοι τὰς κρίσεις γενόμενοι· ὑφ' ὧν [d] κοσμούμενον τό τε φρόνιμον τῆς πόλεως μέρος ἔτι μᾶλλον ἐπιδέδωκε, καὶ τὸ ἀνόητον ἠνάγκασαι νοῦν ἔχειν. τοιγάρτοι πολλαὶ μὲν ἱστορίαι σπουδῆς ἄξιαι γράφονται τοῖς νῦν, πολλοὶ δὲ λόγοι πολιτικοὶ χαρίεντες ἐκφέρονται, φιλόσοφοί τε συντάξεις, οὐ μὰ Δία εὐκαταφρόνητοι· ἄλλαι τε πολλαὶ καὶ καλαὶ πραγματεῖαι καὶ Ῥωμαίοις καὶ Ἕλλησιν εὖ μάλα διεσπουδασμέναι προεληλύθασί τε καὶ προελεύσονται, κατὰ τὸ εἰκός. καὶ οὐκ ἂν θαυμάσαιμι, τηλικαύτης μεταβολῆς ἐν τούτῳ τῷ βραχεῖ χρόνῳ γεγενημένης, εἰ μηκέτι χωρήσει προσωτέρω μιᾶς γενεᾶς ὁ ζῆλος ἐκεῖνος τῶν ἀνοήτων λόγων. τὸ γὰρ ἐκ παντὸς εἰς ἐλάχιστον συναχθέν, ῥᾴδιον ἐξ ὀλίγου μηδὲν εἶναι.

δ'. Ἀλλὰ γὰρ τὸ μὲν εὐχαριστεῖν τῷ μεταβαλόντι τὰ πράγματα χρόνῳ, καὶ τὸ τοὺς τὰ κράτιστα προαιρουμένους ἐπαινεῖν, καὶ τὸ τὰ μέλλοντα ἐκ τῶν γεγονότων εἰκάζειν, καὶ πάντα τὰ παραπλήσια τούτοις, ἃ κἂν ὁ τυχὼν εἰπεῖν δύναιτο, ἀφήσω. ἐξ ὧν δ' ἂν ἔτι μείζω λάβοι τὰ κρείττονα ἰσχύν, ταῦτα πειράσομαι λέγειν, ὑπόθεσιν τοῦ λόγου κοινὴν καὶ φιλάνθρωπον καὶ πλεῖστα δυναμένην ὠφελῆσαι λαβών. ἔστι δὲ [e] ἤδη, τίνες εἰσὶν ἀξιολογώτατοι τῶν ἀρχαίων ῥητόρων τε καὶ συγγραφέων, καὶ τίνες αὐτῶν ἐγένοντο προαιρέσεις τοῦ τε βίου καὶ τοῦ λόγου, καὶ τί παρ' ἑκάστου δεῖ λαμβάνειν ἢ φυλάττεσθαι· [f] καὶ θεωρήματα καὶ ἀναγκαῖα τοῖς ἀσκοῦσι τὴν πολιτικὴν φιλοσοφίαν, καὶ [g] οὐδέ που μὰ Δία κοινά, οὐδὲ καθημαξευμένα τοῖς πρότερον. ἐγὼ γοῦν οὐδεμιᾷ τοιαύτῃ περιτυχὼν οἶδα γραφῇ, πολλὴν ζήτησιν αὐτῶν ποιησάμενος. οὐ μὴν δὴ διαβεβαιοῦμαί γε, ὡς δὴ καὶ σαφῶς εἰδώς· τάχα γὰρ ἂν εἶεν τινες αἱ ἐμὲ διαλανθάνουσαι τοιαῦ-

ſuum ſtatum denuo revoluto, vel humana inclinatione multos in idem ſtudium impellente, antiquæ & doctæ eloquentiæ meritam, quam prius habuerat, dignitatem cum honore reddit; novæ autem & imperitæ, & in alienis bonis enutritæ, honorem, quem immerito poſſidebat, ademit. Nec ob unam hanc fortaſſe rem, ætatem noſtram hominesque, qui etiam philoſophiam ſequuntur, laudare par eſt, quod meliori parti majorem quam deteriori honorem tribuere inceperint; (& ſane initium dimidium totius dici operis ſolet) verum etiam quod tam cita mutatio & incrementum per eos factum ſit. Omnes enim civitates, demptis nonnullis Aſiaticis, quæ, quod non doceantur, difficulter rectam eloquentiam queunt addiſcere, intolerabilem illam, frigidam, ſtupidamque amare deſierunt. Qui enim prius docti in iis erant urbibus, pudore jam ducti, ad alios ſe (niſi incurabiles omnino ſint) accommodant: qui vero jam recenter ad diſcendum ſeſe applicant, hanc eloquentiam derident, & omne quod ei impenditur ſtudium exſibilant.

III. Hujus ſubitæ mutationis unicam cauſam & originem arbitror omnium gentium dominam Romam, quæ omnes gentes oculos in ſe juſſit convertere: hujus quidem rectores, virtute & optime ratione rempublicam adminiſtrantes, & doctrinæ ſe applicant, & optime & prudenter de artibus dijudicant; ſub quibus ipſa civitatis ſapientia & prudentia exculta incrementi multum accepit; ipſaque qui mente carerent, mente intellectuque uti coëgit. Proinde jam multæ & doctæ per homines hujus ætatis prodeunt hiſtoriæ, multæ quoque orationes civiles venuſtæ eduntur, philoſophicique tractatus non ſane contemnendi, aliaque multa tum Romani tum Græci præclara ſumma cum laude ediderunt opera, & adhuc, ut par eſt, edunt. Nec mirarer, cum tanta tam exiguo temporis ſpatio facta ſit mutatio, ſi intra unum ſæculum ſtudium illud erga indoctam eloquentiam penitus intercideret. Nam quod è ſummo in minimum deſcendit, facillime ex tenui in nihil devenit.

IV. Sed omittam hæc, nec gratias ætati & tempeſtati noſtræ agam, quod rem immutarit; nec eos qui optima ſecuti ſunt prædicabo, nec è prioribus de futuris conjecturam faciam; nec his ſimilia tractabo, quæ unuſquiſque etiam imperitus diceret. Sed arrepto vulgari, tum placituro tum hominibus multum profuturo, argumento, hæc dicere aggrediar, unde meliora queant corroborari. Dicam igitur, quinam ſint inter oratores & hiſtoricos maxime inſignes, quæ uniuſcujuſque vivendi dicendique fuerit ratio, quæ in ipſis imitanda, quæ vero cavenda; quæ præcepta ſervanda iis qui civilem philoſophiam addiſcunt, nec ea unquam ſcripta, aut ab aliis dicta. Ego ſaltem hujuſmodi ſcripta non vidi, cum tamen multum inquiſierim. nec etiam aſſero, veluti certo id ſciens: eſſent enim fortaſſe quædam ſcripta,

a Παραλαβεῖν Reg. b Δι' ἀμαθίας Reg. c Τὴν ἀπ' αὐτῶν Reg. d Κοσμούμενοι Reg. in margine κοσμούμενον. e Pro ἤδη legendum puto ἰδεῖν. *Sylb.* f Aptius opinor ἃ θεωρήματα. *Sylb.* g Cum *Haſchelio* non abſurde legemus οὐδέπω nondum. *Sylb.*

pta, quæ ipſe neſciam exſtare. Seipſum autem, certam hiſtoriæ omnium regulam facere, & dicere facta non eſſe quæ fieri potuerunt, temerarium eſt, nec inſaniæ crimen effugit. Hæc igitur, uti prius dixi, certo non aſſeram. Sed cum oratores rerumque geſtarum ſcriptores, de quibus dicimus, multi ſint, iique boni; & de ſingulis quidquam dicere magni temporis foret, de omnibus non loquar. Sed, ex toto numero ſeligens optimos, per ætates ſingulas de ſingulis ſcribam: in præſenti quidem tractatu de oratoribus; ſi vero tempus & vita concedatur, etiam de hiſtoricis. Ex oratoribus tres erunt ex antiquioribus, Lyſias, Iſocrates, & Iſæus; tres è poſterioribus, Demoſthenes, Hyperides, Æſchines, quos ego cæteris cenſeo præſtare. inque duo capita tractatus dividetur: primo quidem de antiquioribus, dein de poſterioribus erit ſermo.

ται γραφαί. τὸ δὲ τῆς ἁπάντων ἱστορίας ὅρον ἑαυτὸν ποιεῖν, καὶ περὶ τοῦ μὴ γεγονέναι τι τῶν δυνατῶν γενέσθαι, λέγειν, αὐθάδες πάνυ καὶ οὐ πόῤῥω μανίας. περὶ μὲν οὖν τούτων οὐδὲν ἔχω, καθάπερ ἔφην, διαβεβαιοῦσθαι. τῶν δὲ ῥητόρων τε καὶ συγγραφέων, ὑπὲρ ὧν ὁ λόγος, πολλῶν πάνυ ὄντων καὶ ἀγαθῶν, τὸ μὲν ὑπὲρ ἁπάντων γράφειν, μακροῦ λόγου δεόμενον ὁρῶν, ἐάσω· τοὺς δὲ χαριεστάτους ἐξ αὐτῶν προχειρισάμενος κατὰ τὰς ἡλικίας, ἐρῶ περὶ ἑκάστου· νῦν μὲν, περὶ τῶν ῥητόρων· ἐὰν δὲ ἐγχωρῇ, καὶ περὶ τῶν ἱστορικῶν. ἔσονται δὲ οἱ μὲν παραλαμβανόμενοι ῥήτορες, τρεῖς μὲν ἐκ τῶν πρεσβυτέρων, Λυσίας, Ἰσοκράτης, Ἰσαῖος· τρεῖς δὲ ἐκ τῶν ἐπακμασάντων τούτοις, Δημοσθένης, Ὑπερείδης, Αἰσχίνης· οὓς ἐγὼ τῶν ἄλλων ἡγοῦμαι κρατίστους. καὶ διαιρεθήσεται μὲν εἰς δύο συντάξεις ἡ πραγματεία· τὴν δὲ ἀρχὴν ἀπὸ ταύτης λήψεται τῆς ὑπὲρ τῶν πρεσβυτέρων γραφείσης. προειρημένων δὴ τούτων, ἐπανάγειν καιρὸς ἐπὶ τὰ προκείμενα.

DE LYSIA JUDICIUM.

[a] ΛΥΣΙΑΣ. 82

Lyſiæ genus, vita, inſtitutum, & ſcripta.

Lyſias Cephali F. parentes habuit Syracuſanos: natus eſt Athenis cum pater eo commigraſſet, & cum nobiliſſimis Athenienſium literis operam dedit. Quindecimum jam annum agens, cum colonia, quam Athenienſes totaque Græcia, duodecimo ante bellum Peloponneſiacum anno, miſerant, cum duobus fratribus in Thurios trajecit, vixitque illic feliciter admodum, uſque ad caſum illum, qui Athenienſes omnes in Sicilia commorantes invaſit. Nam populo paulo poſt hic tumultuante, cum aliis trecentis, quod rebus Athenienſium ſtuderent, accuſatis, in exſilium pulſus eſt. Venit itaque continuo Athenas, anno ætatis, quantum conjectura aſſequi licet, quadrageſimo ſeptimo, Prætore Callia; & ex eo tempore ſe in dicendo Athenis exercuit. Multis autem ſcriptis orationibus judicialibus & deliberativis inſignibus, etiam panegyricis, amatoriis, epiſtolicis, omnium, qui prius floruiſſent aut tum etiam florebant, oratorum gloriam obſcuravit; & admodum paucis eorum qui poſt ſecuti ſunt, in omnibus dicendi generibus, & iis etiam præclaris excellens ceſſit. Nunc autem dicere incipiam, quem dicendi characterem adhibuerit, quas virtutes in dicendo invexerit, qua in re poſt-ſequentes ſuperarit, & qua ab iis viciſſim ſuperatus ſit, quid denique in eo in oratoria imitandum.

ΛΥσίας [b] ὁ Κεφάλου, Συρακουσίων μὲν ἦν γονέων· ἐγεννήθη δὲ Ἀθήνησι μετοικοῦντι τῷ πατρὶ, καὶ [c] συνεπαιδεύθη τοῖς ἐπιφανεστάτοις Ἀθηναίων. ἔτη δὲ πεντεκαίδεκα γεγονὼς, εἰς Θουρίους ᾤχετο πλέων [d] σὺν ἀδελφοῖς δυσὶ, κοινωνήσων τῆς ἀποικίας, ἣν ἔστελλον Ἀθηναῖοί τε καὶ ἡ ἄλλη Ἑλλὰς δωδεκάτῳ πρότερον ἔτει τοῦ Πελοποννησιακοῦ πολέμου· καὶ διετέλεσεν αὐτόθι πολιτευόμενος ἐν εὐπορίᾳ πολλῇ μέχρι τῆς συμφορᾶς τῆς κατασχούσης Ἀθηναίους ἐν Σικελίᾳ. μετ᾽ ἐκεῖνο δὲ τὸ πάθος στασιάσαντος τοῦ δήμου, ἐκπίπτει σὺν ἄλλοις τριακοσίοις ἀττικισμὸν [e] ἐγκληθεῖσι· καὶ παραγενόμενος αὖθις εἰς Ἀθήνας κατὰ ἄρχοντα Καλλίαν, ἕβδομον καὶ τεσσαρακοστὸν ἔτος ἔχων, ὡς ἄν τις εἰκάσειεν, ἐξ ἐκείνου τοῦ χρόνου διετέλεσε [f] διατριβὰς ποιούμενος [g] Ἀθήνησι. πλείστους δὲ γράψας λόγους εἰς δικαστήριά τε καὶ βουλὰς, καὶ πρὸς ἐκκλησίας εὐθέτους, πρὸς δὲ τούτοις πανηγυρικοὺς, ἐρωτικοὺς, ἐπιστολικοὺς, τῶν μὲν ἔμπροσθεν [h] γεγενημένων ῥητόρων, ἢ κατὰ τὸν αὐτὸν χρόνον ἀκμασάντων, ἠφάνισε τὰς δόξας· τῶν δὲ ἐπιγενομένων οὐ πολλοῖς τισι κατέλιπεν ὑπερβολὴν, ἅτ᾽ ἐν ἁπάσαις ταῖς ἰδέαις τῶν λόγων, καὶ μὰ Δί᾽ οὔτοι γε ταῖς φαυλοτάταις εὐδοκιμῶν. τίνι δὲ κέχρηται χαρακτῆρι λόγων, καὶ τίνας ἀρετὰς εἰσενήνεκται, τίνι τε κρείττων ἐστὶ τῶν μετ᾽ αὐτὸν ἀκμασάντων, καὶ ποῖ καταδεέστερος, καὶ τί δεῖ λαμβάνειν παρ᾽ αὐτοῦ, νῦν ἤδη πειράσομαι λέγειν.

Lyſias in elocutione purus.

II. In elocutione purus admodum eſt, & optima Attici ſermonis norma: non antiqui illius, quo uſus eſt Plato cum Thucydide, ſed ejus qui tum temporis vigebat; uti ex orationibus Andocidis, & Critiæ, aliorumque multorum colligitur. Hac eum in parte, quæ in eloquentia prima eſt, & plurimum dominatur in dictione, ſcilicet purum eſſe & nitidum, nemo è poſteris ſuperavit; imo & pauci, uno dempto Iſocrate, qui ſolus poſt Lyſiam, meo quidem judicio, magnam in verbis

β΄. Καθαρός ἐστι τὴν ἑρμηνείαν πάνυ, καὶ τῆς Ἀττικῆς γλώττης ἄριστος κανὼν, οὐ τῆς ἀρχαίας, ᾗ κέχρηται Πλάτων καὶ Θουκυδίδης, ἀλλὰ τῆς κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐπιχωριαζούσης· ὡς ἔστι [i] τεκμήριον τοῖς τε Ἀνδοκίδου λόγοις, καὶ τοῖς Κριτίου, καὶ ἄλλοις συχνοῖς. κατὰ τοῦτο μὲν δὴ τὸ μέρος, ὅπερ ἐστὶ [k] πρῶτον καὶ κυριώτερον ἐν λόγοις, λέγω δὲ τὸ καθαρεύειν τὴν διάλεκτον, οὐδεὶς τῶν μεταγενεστέρων αὐτὸν ὑπερεβάλετο, ἀλλ᾽ οὐδὲ μιμήσασθαι πολλοὶ δύναμιν ἔσχον, ὅτι μὴ μόνος Ἰσοκράτης· καθαρώτατος δὴ τῶν ἄλλων μετά γε Λυσίαν ἐν τοῖς ὀνόμασιν

οὗτος

a In Cod. Reg. 1. Λυσίου βίος παρὰ Πλουτάρχου. ἕτεροι δὲ λέγουσιν, ὅτι παρὰ Διονυσίου τοῦ Ἀλικαρνασέως. atque in Cod. Reg. 2. Λυσίου βίος γραφεὶς παρὰ Πλουτάρχου. ἕτεροι δὲ ἀντιλέγουσιν ὅτι ἐγράφη παρὰ Διονυσίου τοῦ Ἀλικαρνασέως. Verum hoc de *Lyſia judicium* non *Plutarcho* (cujus etiam *vita Lyſiæ* exſtat in *X. ORATORUM VITIS*) ſed *Dionyſio Halicarn.* adſcribi debere conſtat ex v. 10. *b* Apud *Plutarchum* & *Photium*, ὁ Κεφάλου τοῦ Λυσανίου τοῦ Κεφάλου. *c* Συνεπαιδεύθη *Reg.* 2. *d* Ita etiam apud *Suidam* v. Λυσίας. Σὺν τῷ πρεσβυτάτῳ ἀδελφῷ Πολεμάρχῳ apud *Plutarchum* & *Photium*. *e* Ἐγκληθεῖσι pro vulgo ἐκλυθεῖσι repoſuerat etiam *Xylander* in ſuo *Cod.* & *Wolf.* nec aliter in *Reg.* 2. *f* Τὰς διατριβὰς *Reg.* 1. & 2. *g* Ἐν Ἀθήναις *Reg.* 1. & 2. *h* Γενομένων in *iiſdem*. *i* Τεκμήρασθαι *Reg.* 1. & 2. *k* Rectius πρῶτον καὶ κυριώτατον. *Sylb.*

a Ζήλου

ὗτος ἔμοιγε δοκεῖ γίνεσθαι ὁ ἀνήρ. μίαν μὲν δὴ ταύτην ἀρετὴν ἀξίαν [a] ζήλου μιμήσεως εὑρίσκω παρὰ τῷ ῥήτορι, καὶ παρακελευσαίμην ἂν τοῖς βουλομένοις καθαρῶς γράφειν ἢ [b] καὶ λέγειν, ἐκεῖνον τὸν ἄνδρα ποιεῖσθαι παράδειγμα ταύτης τῆς ἀρετῆς.

γʹ. Ἑτέραν δὲ οὐδὲν [c] ἐλάττω ταύτης, ἣν πολλοὶ μὲν ἐζήλωσαν τῶν κατὰ τὸν αὐτὸν χρόνον ἀκμασάντων, οὐδεὶς δὲ βεβαιότερον ἐπεδείξατο. τίς δ᾽ ἐστὶν αὕτη; ἡ διὰ τῶν κυρίων τε καὶ κοινῶν καὶ ἐν μέσῳ κειμένων ὀνομάτων ἐκφέρουσα τὰ νοούμενα. ἥκιστα γὰρ ἄν τις εὕροι Λυσίαν τροπικῇ φράσει χρησάμενον. καὶ οὐκ ἐπὶ τούτῳ μόνον ἐπαινεῖν ἄξιον, ἀλλ᾽ ὅτι καὶ περίττὰ καὶ σεμνὰ καὶ μεγάλα φαίνεσθαι τὰ πράγματα ποιεῖ τοῖς κοινοτάτοις χρώμενος ὀνόμασι, καὶ ποιητικῆς οὐχ ἁπτόμενος κατασκευῆς. τοῖς δὲ προτέροις οὐχ αὕτη ἡ δόξα ἦν· ἀλλ᾽ οἱ βουλόμενοι κόσμον τινὰ προσεῖναι [d] τοῖς ὅλοις, ἐξήλλαττον [e] ἰδιώτην, καὶ κατέφευγον εἰς τὴν ποιητικὴν φράσιν, [f] μεταβολαῖς τε πολλαῖς χρώμενοι, καὶ ὑπερβολαῖς, καὶ ταῖς ἄλλαις τροπικαῖς ἰδέαις, ὀνομάτων τε γλωττηματικῶν καὶ ξένων χρήσει, καὶ τῶν οὐκ εἰωθότων σχηματισμῶν τῇ διαλλαγῇ, καὶ τῇ ἄλλῃ καινολογίᾳ καταπληττόμενοι τὸν ἰδιώτην. δηλοῖ δὲ τοῦτο Γοργίας τε ὁ Λεοντῖνος, ἐν πολλοῖς πάνυ φορτικήν τε καὶ ὑπέρογκον ποιῶν τὴν κατασκευήν, καὶ οὐ πόρρω διθυράμβων ἔνια φθεγγόμενος· καὶ τῶν ἐκείνου [g] συνουσιαστικῶν οἱ περὶ [h] Λικύμνιόν τε καὶ [i] Πῶλον. ἥψατο δὲ καὶ τῶν Ἀθήνησι ῥητόρων ἡ ποιητική τε καὶ τροπικὴ φράσις, ὡς μὲν Τίμαιός φησι, Γοργίου ἄρξαντος, ἡνίκα Ἀθήναζε πρεσβεύων κατεπλήξατο τοὺς ἀκούοντας ἐν τῇ δημηγορίᾳ. ὡς δὲ τἀληθὲς ἔχει, ὁ καὶ [k] παλαιότερον ἀεὶ θαυμαζόμενος, Θουκυδίδης τοὔνομα, δαιμονιώτατος τῶν συγγραφέων, ἔν τε ΤΩ ΕΠΙΤΑΦΙΩ καὶ ἐν ταῖς δημηγορίαις, ποιητικῇ κατασκευῇ χρησάμενος, ἐν πολλοῖς ἐξήλλαξε τὴν ἑρμηνείαν εἰς ὄγκον ἅμα καὶ κόσμον ὀνομάτων ἀηθέστερον. Λυσίας δὲ τοιοῦτον οὐδὲν ἤσκησεν (ἐν γοῦν τοῖς σπουδῇ γραφομένοις δικανικοῖς καὶ συμβουλευτικοῖς λόγοις) ποιῆσαι, πλὴν εἴ τι μικρὸν ἐν τοῖς πανηγυρικοῖς· περὶ γὰρ [l] δὲ τῶν ἐπιστολικῶν αὐτοῦ καὶ [m] ἑταιρικῶν, καὶ τῶν ἄλλων οὓς μετὰ [n] παιδιᾶς ἔγραψεν, οὐδὲν δέομαι λέγειν. ὁμοίως δὲ τοῖς ἰδιώταις διαλέγεσθαι δοκῶν, πλεῖστον ὅσον ἰδιώτου διαφέρει· καὶ ἐπεὶ ποιητὴς κράτιστος λόγων, λελυμένης ἐκ μέτρου λέξεως, ἰδίαν τινὰ λόγων [o] εὑρηκὼς ἁρμονίαν, ἣ τὰ ὀνόματα κοσμεῖ τε καὶ ἡδύνει, μηδὲν ἔχοντα ὀγκῶδες μηδὲ φορτικόν. ταύτην δευτέραν τὴν ἀρετὴν κελεύω παρὰ τοῦ ῥήτορος τούτου λαμβάνειν, εἴ τινες ἀξιοῦσι τὸν αὐτὸν ἐκείνῳ διαλέγεσθαι τρόπον. ἐγένοντο μὲν οὖν πολλοὶ τῆς προαιρέσεως ταύτης ζηλωταί, συγγραφεῖς τε καὶ ῥήτορες· ἔγγιστα δὲ αὐτῆς μετὰ Λυσίαν ἥψατο τῶν πρεσβυτέρων νέος ἐπασκήσας Ἰσοκράτης. καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν προσωτέρω τούτων, σκοπῶν ἑτέρους ῥήτορας, ἰσχὺν καὶ δύναμιν τοσαύτην ἐν ὀνόμασι κυρίοις καὶ κοινοῖς ἀποδειξαμένους.

puritatem adhibet, potuerit imitari. Atque hanc unam in hoc oratore imitatione dignam virtutem reperio; & omnes, quotquot vel ſcribere vel dicere pure cupiant, hunc ſibi virum imitandum velim proponant.

Verbis uſitatis & propriis utitur.

III. Quin & aliam virtutem priori non inferiorem in eo video, quam multi quidem ejus æquales imitari conati ſunt; at nullus eo magis expreſſit. Quænam illa? propriis ſcilicet verbis, & iis communibus & vulgaribus, ſenſa animi efferre. nemo enim tropicis & tralatitiis verbis Lyſiam uſum fuiſſe inveniet. Nec tamen hoc tantum nomine laudare dignus, verum etiam quod verbis maxime communibus, nec poëtico contextu diſpoſitis, efficiat, ut res ipſæ magnæ, grandes, excellenteſque videantur. Eandem profecto priores gloriam non ſunt conſecuti: cum enim illi orationes ſuas inſignes reddere cuperent, vulgarem dicendi formam immutantes, poëticam ſectati ſunt, plurimis metaphoris, hyperbolis, aliiſque tropis utentes, & verborum * ſonantium & peregrinorum uſu, communiumque figurarum immutatione, aliaque novitate populum perterrentes. Oſtendet aperte id Gorgias Leontinus, qui ſæpe moleſtam & intolerabilem compoſitionem ſectatur, ut non raro Dithyrambica eloquatur; ejus item ſocii Licymnus & Polus. Nam, ut Timæus loquitur, poëtica & tropica dicendi forma inter Atticos oratores auctore Gorgia irrepſit; qui ad Athenienſes legatus, auditores in concione perculit. Sed ut verum fateamur, ipſe quoque Thucydides, antiquitatem ſemper ſectatus, hiſtoricus alioqui feliciſſimus, poëtico in *Funebri oratione* & concionibus adhibito contextu, in earum plurimis elocutionem in faſtum ſimul ornatumque inſolentem commutavit. Lyſias autem nihil hujuſmodi in orationibus, tum judicialibus tum deliberativis, quas certe accurate ſcripſit, adhibuit, niſi fortaſſe nonnihil in panegyricis. De epiſtolicis enim, & amatoriis, & aliis orationum generibus, quas nulla adhibita cura conſcripſit, non eſt opus dicere. Adhæc, cum vulgariter loqui videtur, multum ab ipſo vulgi ſermone recedit; cum vero compoſite, ſolutis è verſu dictionibus, peculiarem quandam ſtructuram reperit, qua verba ipſa exornat & dulcia facit, nullam tamen tumorem vel ſuperbiam oſtentantem. Secundam hanc in eo virtutem illos, qui ejus dicendi rationem volunt effingere, velim imitari. Multos quidem hoc in genere æmulatores habuit, tum rerum geſtarum ſcriptores, tum etiam dicendi magiſtros & oratores: ex antiquioribus autem Iſocrates, adhuc juvenis, proxime ad illud poſt Lyſiam acceſſit. Nemo vero præter hos alios oratores inveniet, qui ita in communibus & propriis verbis excelluerint. IV. Ter-

a Ζήλου καὶ μιμήσεως *Reg.* 1. & 2. *b* Omittunt *Codd. MSS.* *c* Poſt ἐλάττω ταύτης deſideratur ἀποφαίνομαι, vel ſimile quidpiam, ut p. 132. v. 1. *Sylb.* *d* Pro τοῖς ὅλοις aptius legemus τοῖς λόγοις. *Sylb.* *e* *Wolfius* malit τὴν ἰδιωτικὴν, ut in ſequ. comm. τὴν ποιητικήν. poteſt tamen & ἰδιώτην retineri, ſubaudito ſubſt. λόγον. *Sylb.* Τὸν ἰδιώτην *Reg.* 1, & 2. *f* Convenientius legemus μεταφοραῖς, quia ſcilicet mox ſubjungit ταῖς ἄλλαις τροπικαῖς ἰδέαις. *g* Συνουσιαστῶν *Reg.* 1. & 2. quo modo legendum eſſe monuerat *Sylb.* *h* Λικύμνιόν τε *Reg.* 1. & 2. quod placuit etiam *Syburgio.* *i* Vide *Meurſii* Comment. in *Apollonium Dyſcolon*, cap. 1. *k* Legendum puto παλαιότερον ἔτι. quod loquendi genus in *Antiqq. Rom.* obſervatum aliquoties. *Sylb.* *l* Pro δὲ malim δή. *Stephanus* in *Oratorum* volumine hanc particulam ſuſtulit, veluti otioſam. *Sylb.* *m* Pro ἑταιρικῶν legendum opinor ἐρωτικῶν, ut paulo ante p. 130. v. 33. *Sylb.* *n* Quoſdam παιδείας legere annotat *Steph.* quæ lectio parum videtur conſentanea. *Sylb.* *o* Cum εὑρηκὼς ſubaudiendum verbum ſubſtantivum ἐστί, vel legendum εὕρηκεν. *Sylb.*

* Vide p. 57. v. 44.

In dicendo perſpicuus.

IV. Tertiam in illo virtutem cenſeo, perſpicuitatem, non in nudis modo verbis, verum & in rebus. eſt enim & perſpicuitas quædam in rerum tractatione, quam multi tamen ignorant. teſtimonium eſt, quod in Thucydidis & Demoſthenis dictione, qui elegantiſſime tamen ſua elocuti ſunt, multa nobis obſcura & vix intelligibilia videntur, quæque interprete indigeant. Tota autem Lyſiæ dictio perſpicua eſt & aperta, * & multum à civili eloquentia remota. Si vero hæc ipſa perſpicuitas oriatur, quod quis nec aliter nec elegantius queat dicere, imitationem illa non meretur: jam vero tantus propriorum verborum theſaurus, ex multa, quæ in eo eſt, copia, hanc ejus virtutem indicat. Quamobrem merito perſpicuitas ejus imitanda eſt. Quin etiam cum perſpicuitate breviter ſententias efferre (cum tamen id perdifficile ſit, hæc duo conjungere, & cum modo ac ratione apte inter ſe miſcere) Lyſias non minus quam cæteri oratores potuit: quare non eſt quod qui hunc oratorem terunt, improprie & obſcure eum locutum dicant. Hujus autem elegantiæ hæc in eo cauſa eſt, quod ipſæ apud illum res verbis non ſubſerviant, ſed rem ipſa ultro ſequantur verba. orationum autem illius ornatus non in vulgarem characterem immutando, ſed imitando potius conſiſtit.

In perorando brevis.

V. At in elocutione non eſt talis, in ipſis vero rebus ineptus, inopportunus, & prolixus: nam præ cæteris ſententias conglobat & convolvit. Atque tantum abeſt, ut quid non dicendum dicat, ut multa etiam, quæ bona alioquin ſunt, relinquere videatur: neque hoc, quod materia illi inventioque defuerit, ſed propter ipſam temporum, ad quam accommodanda oratio, dimenſionem. Ita quidem brevis eſt, ut pro imperito, cupiente rem ipſam tantum indicare, ſufficiat; pro oratore vero, facultatis oratoriæ præſtantiam patefacere cupiente, nequaquam. Imitanda etiam eſt igitur illius brevitas: neque enim apud alium quempiam oratorem temperatior ulla invenietur.

Contorta & rotunda dictione uſus.

VI. Poſt hanc & aliam in Lyſia virtutem reperio admodum egregiam, cujus quidem auctorem Thraſymachum ponit Theophraſtus, ego vero Lyſiam: nam illo hunc antiquiorem puto. (loquor autem de utroque in flore ætatis conſtituto) quod ſi nec hoc mihi concedatur, dico hunc ſaltem in veris cauſis magis quam Thraſymachum hancce virtutem adhibuiſſe. Quamvis non certo, uter hujus auctor exſtiterit, aſſeram; Lyſiam tamen in ea magis excelluiſſe, audacter poſſum aſſerere. Quænam autem eſt, de qua loquor, virtus? ſententias in compendium ſcilicet contrahere, & rotunde efferre; quæ profecto virtus in judiciis omnique vera cauſa propria eſt & admodum neceſſaria. Hanc quidem pauci imitati ſunt, unus autem Demoſthenes etiam ſuperavit; niſi quod non adeo moderate & ſimpliciter, ut Lyſias, ſed ſuperflue

δ'. Τρίτην ἀρετὴν ἀποφαίνομαι περὶ τὸν ἄνδρα, τὴν σαφήνειαν, οὐ μόνον τὴν ἐν τοῖς ὀνόμασιν, ἀλλὰ καὶ τὴν ἐν τοῖς πράγμασιν. ἔστι γάρ τις καὶ πραγματικὴ σαφήνεια, οὐ πολλοῖς γνώριμος. τεκμαίρομαι δὲ, ὅτι τῆς μὲν Θουκυδίδου λέξεως καὶ Δημοσθένους, οἳ δεινότατοι πράγματα ἐξειπεῖν ἐγένοντο, πολλὰ δυσείκαστά ἐστιν ἡμῖν καὶ ἀσαφῆ, καὶ δεόμενα ἐξηγητοῦ· ἡ δὲ Λυσίου λέξις ἅπασά ἐστι φανερὰ καὶ σαφὴς καὶ τῷ πάνυ πόῤῥω δοκοῦντι πολιτικῶν ἀφεστάναι λόγων. καὶ εἰ μὲν δι' ἀσθένειαν δυνάμεως ἐγίνετο τὸ σαφὲς, οὐκ ἄξιον ἦν αὐτὸ ἀγαπᾷν· νῦν δὲ πλοῦτος τῶν κυρίων ὀνομάτων ἐκ πολλῆς αὐτῷ περιουσίας ἀποδείκνυται ταύτην τὴν ἀρετήν. ὥστε τὴν σαφήνειαν αὐτοῦ ζηλοῦν ἄξιον· καὶ μὴν τό γε βραχέως ἐκφέρειν τὰ νοήματα μετὰ τοῦ σαφοῦς, χαλεποῦ τοῦ πράγματος ὄντος φύσει, τοῦ συναγαγεῖν ἄμφω ταῦτα, καὶ κεράσαι μετρίως· [a] ἢ μάλιστα οὐδενὸς ἧττον τῶν ἄλλων ἀποδείκνυται Λυσίας χρώμενος· ὥστε οὐδὲν τοῖς διὰ χειρὸς ἔχουσι τὸν ἄνδρα, οὔτε ἀκυρολογίας, οὔτε ἀσαφείας δόξαν λαβεῖν. τούτου δὲ αἴτιον, ὅτι οὐ τοῖς ὀνόμασι δουλεύει τὰ πράγματα παρ' αὐτῷ, τοῖς δὲ πράγμασιν ἀκολουθεῖ τὰ ὀνόματα. τὸν δὲ κόσμον οὐκ ἐν τῷ διαλλάττειν τὸν ἰδιώτην, ἀλλ' ἐν τῷ μιμεῖσθαι λαμβάνει.

ε'. Καὶ οὐκ ἐπὶ μὲν τῆς ἑρμηνείας τοιοῦτός ἐστιν, ἐν δὲ τοῖς πράγμασιν ἄχαιρός τις καὶ μακρός· συνέστραπται δὲ, εἴ τις καὶ ἄλλος, καὶ πεπύκνωται τοῖς νοήμασι. καὶ τοσούτου δεῖ τῶν οὐκ ἀναγκαίων τὶ λέγειν, ὥστε καὶ πολλὰ τῶν χρησίμων ἂν δόξειε παραλιπεῖν· οὐ μὰ Δί' ἀσθενείᾳ εὑρέσεως αὐτὸ [b] ποιῶν, ἀλλὰ συμμετρήσει τοῦ χρόνου, πρὸς ὃν ἔδει γενέσθαι τοὺς λόγους. βραχύς γε μὴν [c] οὗτος, ὡς μὲν ἰδιώτῃ, δηλῶσαι βουλομένῳ τὰ πράγματα, ἀποχρῶν· ὡς δὲ ῥήτορι, περιουσίαν δυνάμεως ἐνδείξασθαι ζητοῦντι, [d] οὐχ ἱκανός. μιμητέον δὲ καὶ τὴν βραχύτητα τὴν Λυσίου· μετριωτέρα γὰρ οὐκ ἂν εὑρεθείη παρ' ἑτέρῳ ῥήτορι.

ς'. Μετὰ ταύτας ἀρετὴν εὑρίσκω παρὰ Λυσίᾳ πάνυ θαυμαστὴν, ἧς Θεόφραστος μέν φησιν ἄρξαι Θρασύμαχον, ἐγὼ δ' ἡγοῦμαι Λυσίαν· καὶ γὰρ τοῖς χρόνοις οὗτος ἐκείνου προέχειν ἔμοιγε δοκεῖ· λέγω δ' ὡς ἐν ἀκμῇ κοινῇ βίου γενομένων ἀμφοῖν· καὶ εἰ μὴ τοῦτο δοθείη, τῷ γέ τοι περὶ τοὺς ἀληθινοὺς ἀγῶνας ἐκείνου μᾶλλον τετρίφθαι. οὐ μέντοι διαβεβαιοῦμαί γε ὁπότερος ἦρξε τῆς ἀρετῆς ταύτης κατὰ τὸ παρόν· ἀλλ' ὅτι Λυσίας μᾶλλον ἐν αὐτῇ διήνεγκε, τοῦτο θαῤῥῶν ἂν ἀποφηναίμην. τίς δ' ἐστὶν ἣν φημι ἀρετήν; ἡ συστρέφουσα τὰ νοήματα καὶ στρογγύλως ἐκφέρουσα λέξις, οἰκεία πάνυ καὶ ἀναγκαία τοῖς δικανικοῖς λόγοις, καὶ παντὶ ἀληθεῖ ἀγῶνι. ταύτην ὀλίγοι μὲν ἐμιμήσαντο· Δημοσθένης δὲ καὶ [e] ὑπερεβάλετο· πλὴν οὐχ οὕτως εὐτελῶς οὐδὲ ἀφελῶς ὥσπερ Λυσίας χρησάμενος αὐτῇ, ἀλλὰ περιέργως καὶ πικρῶς·

a In Codd. quibuſdam ἢ μάλιστα οὐδενὸς ἧττον, ut Stephanus annotavit. *Sylb.* b Ποιεῖν *Reg.* 2. c Οὕτως *Reg.* 2. quod maluit etiam *Sylb.* d Οὐχ ἱκανῶς *Reg.* 1. e Ὑπερεβάλλετο *Reg.* 2. * *Al.* etiam ipſi qui in forenſi dicendi ratione ne minimum quidem verſatus eſſe videtur.

α Ὡς

πικρῶς· λεγέσθω γὰρ [a] ὡς ἐμοὶ φαίνεται· ὑπὲρ ὧν κατὰ τὸν οἰκεῖον διαλέξομαι καιρόν.

ζʹ. Ἔχει δὲ καὶ τὴν [b] ἐνέργειαν πολλὴν ἡ Λυσίου λέξις· αὕτη δ᾽ ἐστὶ δύναμίς τις ὑπὸ τὰς αἰσθήσεις ἄγουσα τὰ λεγόμενα, γίνεται δὲ ἐκ τῆς τῶν παρακολουθούντων λήψεως. [c] ὁ δὲ προσέχων τὴν διάνοιαν τοῖς Λυσίου λόγοις, οὐχ οὕτως ἔσται σκαιὸς ἢ δυσάρεστος, ἢ βραδὺς τὸν νοῦν, ὃς οὐχ [d] ὑπολήψεται τὰ δηλούμενα ὡς γινόμενα ὁρᾷν, καὶ ὥσπερ παροῦσιν οἷς ἂν ὁ ῥήτωρ εἰσάγῃ προσώποις ὁμιλεῖν· ἐπιζητήσει τε οὐθὲν εἰκὸς, τοὺς μὲν ἄνδρας [e] αἰτοῦσα εἰ παθεῖν, τοὺς δὲ διανοηθῆναι, τοὺς δὲ εἰπεῖν. κράτιστος δὴ πάντων ἐγένετο ῥητόρων φύσιν ἀνθρώπων κατοπτεῦσαι, καὶ τὰ προσήκοντα ἑκάστοις ἀποδοῦναι, πάθη τε, καὶ ἤθη, καὶ ἔργα.

ηʹ. Ἀποδίδωμί τε οὖν αὐτῷ καὶ τὴν εὐπρεπεστάτην ἀρετὴν, καλουμένην δὲ ὑπὸ [f] τῶν [l] πολλῶν ἠθοποιΐαν. ἁπλῶς γὰρ [g] οὐδὲ εὑρεῖν δύναμαι παρὰ τῷ ῥήτορι τούτῳ πρόσωπον, οὔτε ἀνηθοποίητον, οὔτε ἄψυχον. τριῶν τε ὄντων, ἐν οἷς καὶ περὶ ἃ τὴν ἀρετὴν ταύτην συμβέβηκεν εἶναι, διανοίας τε καὶ λέξεως, καὶ [h] τρίτης τῆς συνθέσεως, ἐν
84 ἅπασι τούτοις αὐτὸν ἀποφαίνομαι κατορθοῦν. οὐ γὰρ διανοουμένους μόνον ὑποτίθεται χρηστὰ καὶ ἐπιεικῆ καὶ μέτρια τοὺς λέγοντας, ὥστε εἰκόνας εἶναι δοκεῖν τῶν ἠθῶν τοὺς λόγους· ἀλλὰ καὶ τὴν λέξιν ἀποδίδωσι τοῖς ἤθεσιν οἰκείαν, ᾗ πέφυκεν αὐτὰ ἑαυτῶν κράτιστα δηλοῦσθαι, τὴν σαφῆ, καὶ κυρίαν, καὶ κοινὴν, καὶ πᾶσιν ἀνθρώποις συνηθεστάτην· ὁ γὰρ ὄγκος, [i] καὶ τὸ ἐξ ἐπιτηδεύσεως ἅπαν, ἀνηθοποίητον· καὶ συντίθησί γε αὐτὴν ἁπλῶς πάνυ καὶ ἀφελῶς, ὁρῶν ὅτι οὐκ ἐν τῇ περιόδῳ καὶ τοῖς ῥυθμοῖς, ἀλλ᾽ ἐν τῇ διαλελυμένῃ λέξει γίνεται τὸ ἦθος. καθόλου δὲ, ἵνα καὶ περὶ ταύτης εἴπω τῆς ἀρετῆς, οὐκ οἶδ᾽ εἴ τις ἄλλος ῥητόρων, τῶν γε τῇ ὁμοίᾳ κατασκευῇ χρησαμένων τοῦ λόγου, εἴτε ἥδιον συνέθηκεν, εἴτε πιθανώτερον. [k] δοκεῖ μὲν γὰρ ἀποίητός τις εἶναι καὶ ἀτεχνίτευτος ὁ τῆς ἁρμονίας αὐτοῦ χαρακτήρ. καὶ οὐ θαυμάσαιμ᾽ ἂν εἰ πᾶσι [l] μὲν τοῖς ἰδιώταις, οὐκ ὀλίγοις δὲ καὶ τῶν φιλολόγων, ὅσοι μὴ μεγάλας ἔχουσι τριβὰς περὶ λόγους, τοιαύτην τινὰ παρέχοι δόξαν, ὅτι ἀνεπιτηδεύτως, καὶ οὐ κατὰ τέχνην, αὐτομάτως δέ πως καὶ ὡς ἔτυχε σύγκειται. ἔστι δὲ παντὸς μᾶλλον ἔργου τεχνικοῦ κατεσκευασμένος. πεποίηται γὰρ αὐτῷ τοῦτο τὸ ἀποίητον, καὶ δέδεται τὸ λελυμένον, καὶ ἐν αὐτῷ τῷ μὴ δοκεῖν δεινῶς [m] κατεσκευάσθαι τὸ δεινὸν ἔχει. τὴν ἀλήθειαν οὖν τις ἐπιτηδεύων καὶ φύσεως μιμητὴς γίνεσθαι βουλόμενος, οὐκ ἂν ἁμαρτάνοι τῇ Λυσίου συνθέσει χρώμενος· ἑτέραν γὰρ οὐκ ἂν εὕροι ταύτης ἀληθεστέραν.

θʹ. Οἴομαι δὲ καὶ τὸ πρέπον ἔχειν τὴν Λυσίου λέξιν, οὐθενὸς ἧττον τῶν ἀρχαίων ῥητόρων, κρατίστην ἁπασῶν ἀρετὴν καὶ

nimis & frequenter uſurpet. Hæc enim, meo judicio, hîc dicenda ſunt: de quibus tamen ſuo loco uberius dicam.

Evidentia præ cæteris inſignis.

VII. Habet etiam multam evidentiam dictio Lyſiana: atque hæc ipſa eſt facultas, quæ ea quæ dicuntur ſenſibus quodammodo repræſentat; quod ex ſequentium acceptione provenit. Qui vero attente ipſas Lyſiæ orationes conſideraverit, non adeo ſtupidus, moroſus, aut etiam adeo hebes futurus eſt, quin ea, quæ dicuntur, tanquam ante oculos videre, & cum iis, quas orator inducit, perſonis colloqui ſe putet: probabilitatem quoque nullam requiret, eos quidem ponit * ut expoſtulantes, illos ut cogitantes, alios ut loquentes. Nemo profecto oratorum in hominum vita deſcribenda, & ſingulis proprios affectus, mores, opera attribuendo, illum ſuperavit.

Morum expreſſor optimus.

VIII. Addo & hanc virtutem illi maxime propriam, quæ à multis ethopœia vocatur. Nulla enim omnino apud hunc oratorem perſona invenienda eſt, cujus mores non egregie deſcribat, imo nec inanima. Cum autem tria ſint, in quibus & circa quæ virtus hæc cernatur, mens ſcilicet, dictio, & ipſa denique compoſitio; in ſingulis his eum cenſeo excellere. non enim mente præditos eos tantum putat, qui bona, utilia, & convenientia loquuntur, ut imagines quædam morum verba eſſe videantur: ſed moribus etiam dictionem propriam, claram, omnibuſque hominibus uſitatam accommodat, qua fit ut optimi videantur. (tumor enim & omne quod ſtudio fit indecorum eſt) ille vero ſimplicem tenuemque dictionem adhibet, cum ſciret mores non in ambitu verborum & numeris, ſed in ſoluta dictione apparere. Ut autem in univerſum de hac virtute loquar, neſcio an alius ullus orator, qui ſimili orationis ſtructura uſus eſt, aut ſuavius aut magis ad perſuadendum appoſite dixerit. Videtur enim compoſitionis ejus ſtylus eſſe incompoſitus, ſimplex, nec affectatus. Unde non miror, ſi omnibus quidem imperitis, non paucis etiam doctis, qui in dicendo etiam exercitati fuere, incompoſite, nec artificioſe, ſed non præmeditate quodammodo, & prout in buccam venit dixiſſe videatur. Magis tamen ornatus eſt, quam ſi artificium omne adhibuiſſet. nam in eo quod incompoſite dicere videtur, compoſitus; & quod ſolute, vinctus; & in eo quod gravitatem repudiarit, gravis habetur. Qui vero ſimplicitatem amat, & naturaliter ac ſimpliciter cupit dicere, haud peccabit, ſi Lyſiana compoſitione utatur: nec enim facile aliam magis ſimplicem & ſinceram reperiet.

Simplicitatis artifex egregius.

Decorum religioſe ſervat.

IX. Quin etiam, non minus quam cæteri oratores, Lyſias dictione decorum includit; quæ profecto virtus, ipſius etiam judicio, omnium

a Ὡς ἔμοιγε *Reg.* 2. *b* Opinor veriorem lectionem eſſe ἐνάργειαν, *evidentiam*: ut ſupra p. 111. v. 28. τὸ γὰρ ἀγοραῖον, οὔτε τὴν δήλωσιν ἀκριβῆ, οὔτε τὴν φαντασίαν ἐναργῆ παρέχεται. Sic p. 37. v. 35. *Homerus* ſcribit, ἐν τοῖς ῥυθμοῖς οὕτω φιλοτεχνῆσαι, ὥστε μηδὲν ἡμῖν διαφέρειν γιγνόμενα τὰ πράγματα, ἢ λεγόμενα ὁρᾷν. Infra certe p. 94. [juxta *Ed. Sylb.*] *Iſocrateam* elocutionem τὸ σαφὲς καὶ ἐναργὲς τῇ Λυσιακῇ παραπλήσιον ἔχειν tradit: (ubi vide quæ ex *Wolf.* adnotabuntur) & rurſum p. 98. [juxta *Ed. Sylb.*] τῆς σαφηνείας καὶ τῆς ἐναργείας ἀμφοτέρους κρατεῖν pronunciat. *Iſæo* quoque perinde ac *Lyſiæ* ab eodem tribuitur λέξις σαφὴς, καὶ ἐναργὴς, καὶ σύντομος, p. 104. [juxta *Ed. Sylb.*] itidemque *Herod.* & *Thucydidi*, p. 130. [juxta *Ed. Sylb.*] *Wolfium* quoque ἐνάργειαν legiſſe monuit *Hæſchelius. Sylb.* *c* Ὁ δὴ *Reg.* 1. & 2. *d* Ὑπολήψεως & mox ὁρᾷν *Reg.* 1. & 2. *e* *Aldus* & *Stephanus* in *Oratorum* volumine conjunctim habent εἰπαθεῖν. Sed id quoque corruptum ac depravatum eſt. nec ſatis conveniens lectio eſſe videtur αἰτῆσαι εἰς ἀθρεῖν. *Sylb.* Αὐτοὺς ἀεὶ παθεῖν in margine *Cod. Bod.* *f* Non agnoſcunt *Codd. MSS.* *g* Rectius forſan οὐδὲν. *Sylb.* *h* Τρίτον *Reg.* 1. & 2. *i* Καὶ ξένον καὶ τὸ ἐξ in *Codd. MSS.* *k* Δοκεῖ μὲν γάρ πού τις *Reg.* 2. *l* Omittunt *MSS.* *m* Καλασκευάσασθαι *Reg.* 1.

a Deeſt

mnium eſt præſtantiſſima; & tum dicenti & audienti, tum etiam rebus ipſis utiliſſima. In his enim & circa hæc ſatis ſuperque decorum ſervat; namque ætati, genti, ſtudio, exercitationi, vitæ rationi, aliiſque rebus, quibus inter ſe homines differunt, proprios loquendi modos attribuit: apud auditores etiam egregie orationem temperat, nec eodem modo apud judicem, eodem ad populi conventum, vel in panegyri congregatos dicens; ſed pro ratione rei, de qua loquitur, diverſa eſt dicendi ratio. Incipienti dictio eſt modeſta & morata; narranti perſuaſibilis, nec affectata; demonſtranti rotunda, ſuccincta, & frequens; amplificanti & monenti ſevera & verax; repetenti docta, ſoluta, & brevis. Imitandum etiam eſt decorum, quod in ordine & conſtructione ſervat.

Gratia & venuſtate pollet.

X. At non eſt fortaſſe opus dicere iis qui ſciunt, quod ordo ipſe perſuaſibilis ſit & fidem faciat, multumque naturalis ſit, & alia ejus generis: (hoc enim jam & populo notum eſt) quin & nemo eſt, quæ non fama & reipſa cognoverit & fatebitur, hunc inter oratores cæteros optime perſuadere. Quare & hæc in eo imitanda eſt virtus. Plurima quidem nec contemnendæ de ejus dictione dicenda forent; ſcilicet, quod ſi quis eam imitaretur, in elocutione magis magiſque excelleret, aliaque plurima: ſed tempori & brevitati conſulendo, jam præteribo. Unam tamen adhuc de eo virtutem deprædicabo, quam & eſſe pulcerrimam & notiſſimam puto, ac per quam ſolam ſtylus Lyſianus maxime confirmari poterit, quamque poſteriorum nullus ſuperavit; multi tamen, quod imitati ſint, propter hanc ſolam, cæteris præſtare viſi ſunt, cum tamen in nullo alio excellerent; ex quibus, ſi tantum otii nactus fuero, ſuo loco dicam. Quænam illa eſt virtus, quæ in omnibus effloreſcit? & quænam illa gratia & venuſtas? res eſt prorſus admiranda, & quamvis diſertæ orationis vim exſuperans. Maxime quidem idonea eſt conſpici, & quam indocti juxta & docti facillime judicabunt, cum tamen oratione id explicare longe ſit difficillimum, etiam iis qui in dicendo valent.

XI. Quare ſi quis cupiat quænam illa ſit verbis edoceri, non poterit, quin ſimul multarum rerum pulcrarum & perdifficilium rationem petat; ſcilicet quid ſit in corporis pulchritudine, quod vocamus ὥραν, in * motu vero membrorum & vocis quid dicatur εὐάρμοστον, in dimenſione temporis quid ſit τάξις, & quid εὔρυθμον, & quid in omne demum opere & facto dicatur καιρὸς, & ubi μέτρον. Hæc enim ſenſibus non oratione comprehenduntur. Quare quemadmodum muſici facere jubent eos, qui accurate harmoniam cupiunt attendere, ut ſcilicet ita aures ſuas aſſueſcant, ut in

τελειοτάτην ὁρῶν αὐτὴν πρός τε τὸν λέγοντα, καὶ πρὸς τοὺς ἀκούοντας, καὶ περὶ τὸ πρᾶγμα. ἐν τούτοις γὰρ δὴ καὶ πρὸς [a] ταῦτα" τὸ πρέπον ἀρκούντως [b] ἡρμοσμένη· καὶ γὰρ ἡλικίᾳ, καὶ γένει, καὶ παιδείᾳ, καὶ ἐπιτηδεύματι, καὶ βίῳ, καὶ τοῖς ἄλλοις ἐν οἷς διαφέρει προσώπων τὰ πρόσωπα, τὰς οἰκείας ἀποδίδωσι φωνάς· πρός τε τὸν ἀκροατὴν συμμετρεῖται τὰ λεγόμενα οἰκείως, οὐ τὸν αὐτὸν τρόπον δικαστῇ τε καὶ ἐκκλησιαστῇ, καὶ πανηγυρίζοντι διαλεγόμενος ὄχλῳ· διαφορὰς τε αὐτοῦ λαμβάνει κατὰ τὰς ἰδέας τῶν πραγμάτων ἡ λέξις. ἀρχομένῳ μὲν γάρ ἐστι καθεστηκυῖα καὶ ἠθική· διηγουμένῳ δὲ, πιθανὴ καὶ ἀπερίεργος· ἀποδεικνύντι δὲ, στρογγύλη καὶ πυκνή· αὔξοντι δὲ καὶ παθαινομένῳ, σεμνὴ καὶ ἀληθινή· ἀνακεφαλαιουμένῳ δὲ, διαλελυμένη καὶ σύντομος. [c] ληπτέον δὲ καὶ τὸ πρέπον τῆς τάξεως παρὰ Λυσίου.

ί. Ὅτι μὲν γὰρ πιθανὴ [d] καὶ πειστικὴ" καὶ πολὺ τὸ φυσικὸν [e] ὑποφαίνουσα, καὶ πάνθ' ὅσα τῆς τοιαύτης ἰδέας ἔχεται, πρὸς εἰδότας οὐδὲν ἴσως δεῖ λέγειν· δι' ὄχλου γὰρ ἤδη τοῦτό γε· καὶ οὐδείς ἐστιν ὅστις οὐχὶ καὶ πείρᾳ καὶ ἀκοῇ μαθὼν, ὁμολογεῖ πάντων ῥητόρων αὐτὸν εἶναι πιθανώτατον. ὥστε καὶ ταύτην τὴν ἀρετὴν ληπτέον παρὰ τοῦ ῥήτορος. πολλὰ καὶ καλὰ λέγειν ἔχων περὶ τῆς Λυσίου λέξεως, ἣν λαμβάνων καὶ μιμούμενος ἄν τις ἀμείνων γένοιτο τὴν ἑρμηνείαν, τὰ μὲν ἄλλα, τοῦ χρόνου στοχαζόμενος, ἐάσω· μίαν δὲ ἀρετὴν ἔτι τοῦ ῥήτορος ἐπιδείξομαι, κείνας καλλίστην τε καὶ [f] κοινοτάτην, καὶ μόνην τὴν μάλιστα τῶν ἄλλων τὸν Λυσίου χαρακτῆρα δυναμένην βεβαιῶσαι· ἣν ὑπερεβάλετο μὲν οὐδεὶς τῶν ὕστερον, ἐμιμήσαντο δὲ πολλοὶ, καὶ παρ' αὐτὸ τοῦτο κρείσσους ἑτέρων ἔδοξαν εἶναι, τὴν ἄλλην δύναμιν οὐδὲν διαφέροντες· ὑπὲρ ὧν, ἂν ἐγχωρῇ, κατὰ τὸν οἰκεῖον διαλέξομαι τόπον. τίς δέ ἐστιν ἥδε ἀρετή, [g] ἥτις πᾶσιν ἐπανθοῦσα τοῖς ὀνόμασι; καὶ τίς ἡ χάρις; πρᾶγμα παντὸς κρεῖττον λόγου καὶ θαυμασιώτερον. ῥᾷστον μὲν γὰρ [h] ἐστιν" ὀφθῆναι, καὶ παντὶ ὁμοίως [i] ἰδιώτῃ τε ἢ τεχνίτῃ φανερόν· χαλεπώτατον δὲ [k] λόγῳ δηλωθῆναι, καὶ οὐδὲ τοῖς κράτιστα εἰπεῖν δυναμένοις εὔπορον.

ιά. Ὥστε εἴ τις [l] ἀξιοίη λόγῳ διδαχθῆναι ταύτην τὴν δύναμιν, ἥτις ποτέ ἐστιν, οὐκ ἂν [m] φθάνοι καὶ ἄλλων πολλῶν καὶ καλῶν πραγμάτων δυσεκλαλήτων ἀπαιτῶν λόγον· λέγω δὲ, ἐπὶ κάλλους μὲν σωμάτων τί δή ποτ' ἐστὶν ὃ καλοῦμεν ὥραν· ἐπὶ κινήσεως δὲ [n] μελισμοῦ καὶ πλοκῆς φθόγγων τί λέγεται τὸ εὐάρμοστον· ἐπὶ συμμετρίας δὲ χρόνων τίς ἡ τάξις, καὶ τί τὸ εὔρυθμον· καὶ ἐπὶ παντὸς δὲ συλλήβδην ἔργου τε καὶ πράγματος, τίς ὁ λεγόμενος καιρὸς, καὶ ποῦ τὸ [o] μέτριον. αἰσθήσει γὰρ τούτων ἕκαστον καταλαμβάνεται, καὶ οὐ λόγῳ. ὥσθ' ὅπερ [p] μουσικοὶ παραγγέλλουσι ποιεῖν τοῖς βουλομένοις ἀκούειν ἀκριβῶς ἁρμονίας, ὥστε μηδὲ τὴν ἐλαχίστην

ἐν

a Deeſt Reg. 1. & 2. b Forſan rectius ἡρμοσμένον vel ἥρμοσται. Sylb. c Ληπτέον οὖν καὶ τὸ πρ. Wolf. Ληπτέον δὴ καὶ τὸ πρ. in Codd. MSS. d Deſunt Reg. 1. & 2. e Ἐπιφαίνουσα in iiſd. f Suſpectum eſt κοινοτάτην: nec an verum ſit δεινοτάτην aſſeverare auſim. Mox etiam legendum potius καὶ μόνην καὶ μάλιστα: vel τὴν μόνην καὶ μάλιστα. Sylb. g Exiſtimabit fortaſſe aliquis pro ἥτις reponendum ἡδύτης. ſed verior eſſe videtur hæc lectio, ἥδε ἡ ἀρετὴ, ἡ πᾶσιν ἐπανθοῦσα. Sylb. h Omittunt Codd. MSS. i Rectius copulative in quibuſdam Codd. ἰδιώτῃ τε καὶ τεχνίτῃ. Sylb. k Λόγον habent libri vulgati. Sed verum eſſe λόγῳ, ſatis declarant ſequentia, atque ſic legit etiam Wolfius. Sylb. l Ἀξιοῖ οὖν in Codd. MSS. m Φθάνη in iiſd. n Vide P. Victorium in Demetr. Phalereum, p. 71. & Galeum in eundem, p. 336. o Rectius, opinor, μέτρον, menſura, modus. Sylb. p Malim cum articulo οἱ μουσικοί. Sylb. * In mobili illa modulatione ac flexu vocum quid &c. Junius de Pict. Vet. lib. 1. cap. 5.

a Opinor

ἐν τοῖς [a] διηχήμασι δίεσιν ἀγνοεῖν τὴν ἀκοὴν ἐθίζειν, καὶ μηδὲν ἄλλο ταύτης ἀκριβέστερον ζητεῖν κριτήριον· τοῦτο κἀγὼ τοῖς ἀναγινώσκουσι τὸν Λυσίαν, καὶ τίς [b] ὑπ' αὐτῷ χάρις ἐστὶ βουλομένοις μαθεῖν, ὑποθείμην ἂν ἐπιτηδεύειν χρόνῳ πολλῷ καὶ μακρᾷ τριβῇ, καὶ ἀλόγῳ πάθει τὴν [c] ἄλογον συνασκεῖν αἴσθησιν.
85 ταύτην μέντοι κρατίστην τε ἀρετὴν καὶ [d] χαρακτηριστικωτάτην τῆς Λυσίου λέξεως ἔγωγε πείθομαι, εἴτε φύσεως αὐτὴν δεῖ καλεῖν εὐτυχίαν, εἴτε πόνου καὶ τέχνης ἐργασίαν, εἴτε μικτὴν ἐξ ἀμφοῖν ἕξιν ἢ δύναμιν, ᾗ πάντας ὑπερέχει τοὺς λοιποὺς ῥήτορας. καὶ ὅταν διαπορῶ περί τινος τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων, καὶ μὴ ῥᾴδιον ᾖ μοι διὰ τῶν ἄλλων σημείων τἀληθὲς εὑρεῖν, ἐπὶ ταύτην καταφεύγω τὴν ἀρετὴν, ὡς ἐπὶ [e] ψῆφον ἐσχάτην. ἔπειτα ἂν μὲν αἱ χάριτες αἱ τῆς λέξεως ἐπικοσμεῖν δοκῶσί μοι τὴν γραφὴν, τῆς Λυσίου ψυχῆς αὐτὴν τίθεμαι, καὶ οὐδὲν ἔτι πορρωτέρω ταύτης σκοπεῖν ἀξιῶ. ἐὰν δὲ μηδεμίαν ἡδονὴν μηδὲ ἀφροδίτην ὁ τῆς λέξεως χαρακτὴρ ἔχῃ, δυσωπῶ καὶ ὑποπτεύω μήποτ' οὐ Λυσίου ἦν ὁ λόγος, καὶ οὐκ ἔτι βιάζομαι τὴν ἄλογον αἴσθησιν, οὐδὲ ἂν πάνυ δεινὸς εἶναι τἆλλα μοι δοκῇ καὶ περιττῶς ἐξειργασμένος ὁ λόγος· τὸ μὲν εὖ γράφειν πολλοῖς οἰόμενος ὑπάρχειν κατά τινας καὶ ἄλλους ἰδίους ἕξεως χαρακτῆρας· πολυειδὲς γὰρ τοῦτο· τὸ δ' ἡδέως καὶ κεχαρισμένως καὶ ἐπαφροδίτως, Λυσίᾳ· τεκμηρίῳ γοῦν οὐκ ἄλλῳ τινὶ κρείττονι χρώμενος, ἢ τῷ καθ' ἡδονὴν ἑρμηνεύεσθαι τὰ ὑπὸ τούτου λεγόμενα.

ιβ'. Ὠ πολλοὺς ἤδη τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων, καὶ πεπιστευμένων ὑπὸ τοῦ πλήθους ὡς εἰσὶν ἐν τοῖς πάνυ γνησίοις Λυσίου, καὶ τά γε ἄλλα οὐκ ἀτόπως ἔχοντας· ὅτι τὴν χάριν οὐ προσβάλλουσι τὴν Λυσιακὴν, οὐδὲ τὴν εὐστομίαν ἔχουσιν [f] ἐκείνης τῆς λέξεως, ὑποπτεύσας τε καὶ βασανίσας, εὗρον οὐκ ὄντας Λυσίου. ὧν ἐστὶ καὶ ὁ ΠΕΡΙ ΤΗΣ ΙΦΙΚΡΑΤΟΥΣ ΕΙΚΟΝΟΣ· ὃν οἶδ' ὅτι πολλοὶ καὶ χαρακτῆρα ἡγήσαιντο ἂν καὶ κανόνα τῆς ἐκείνου δυνάμεως. οὗτος μέντοι ὁ λόγος ὁ καὶ τοῖς ὀνόμασιν ἡρμηνεῦσθαι δοκῶν ἰσχυρῶς, καὶ τοῖς ἐνθυμήμασιν εἰρῆσθαι περιττῶς, καὶ ἄλλας πολλὰς ἀρετὰς ἔχων, ἀχαρίς ἐστι, καὶ πολλοῦ δεῖ τὸ Λυσιακὸν [g] ἐπιφαίνειν στόμα· μάλιστα δ' ἐγένετο [h] μοι καταφανὴς, ὅτι οὐχ ὑπ' ἐκείνου τοῦ ῥήτορος ἐγράφη, τοὺς χρόνους ἀναλογισαμένῳ· εἰ γὰρ ὀγδοηκονταετῆ γενόμενον θήσει τις τελευτῆσαι Λυσίαν ἐπὶ Νίκωνος ἢ ἐπὶ Ναυσινίκου ἄρχοντος, ἑπτὰ ἔτεσιν ὅλοις ἂν εἴη προτεροῦσα τῆς γραφῆς τοῦ ψηφίσματος ἡ τελευτὴ τοῦ ῥήτορος. μετὰ γὰρ Ἀλκισθένην ἄρχοντα, ἐφ' οὗ τὴν εἰρήνην Ἀθηναῖοί τε καὶ Λακεδαιμόνιοι καὶ βασιλεὺς ὤμοσε, ἀπολύσας τὰ στρατεύματα Ἰφικράτης, ἰδιώτης γίνεται, καὶ τὸ περὶ τῆς εἰκόνος ἦν τότε ἔτεσιν ἑπτὰ πρότερον τῆς γραφῆς τετελευτηκότος Λυσίου, πρὸ τοῦ συντάξαι τοῦτον τὸν ἀγῶνα Ἰφικράτει. ὁμοίως δὲ καὶ τὴν ἀπολογίαν τοῦ ἀνδρὸς, καὶ αὐτὴν εἰς Λυσίαν ἀναφερομένην, οὔτε τοῖς πράγμασιν ἀτόπως ἔχουσαν, οὔτε τοῖς ὀνόμασιν ἀσθενῶς, δι' ὑποψίας ἔλαβον, οὐκ ἐπανθούσης τῇ λέξει τῆς Λυσιακῆς χάριτος· καὶ παραθεὶς τοὺς χρόνους, οὐκ ὀλίγοις ἔτεσιν εὗρον ὑστε-

diſſonantiis ne minimum quidem ſonum ignorent, nullumque aliud judicium, quo harmonia dignoſcatur, requirant: hoc etiam facere velim eos, qui Lyſiam legunt, & quænam in eo ſit elegantia volunt cognoſcere, nimirum longo tempore longaque exercitatione id diſcant, & cum tacito affectu ſimul tacitum ſenſum exerceant. Hanc ego optimam, & quæ dictionem Lyſiæ potiſſimum oſtendat, virtutem puto, (ſive ea ingenii felicitas, ſive tum laboris tum artis opus, vel mixtus ex ambobus habitus vel facultas dicenda eſt) qua cæteros ipſe oratores antecellit: adeo ut cum de aliqua orationum, quæ ei vulgo tribuuntur, dubito, nec veritatem aliis ſignis valeo inveſtigare, ad unicam hanc virtutem tanquam ad ultimum indicium confugiam. Quare cum à dictionis elegantia exornari orationem video, inter Lyſianas eam numero, nec quidquam ulterius ſpecto; cum vero nullam ſuavitatem venuſtatemque character dictionis præfert, indignor, & quaſi ſpuriam ſuſpicor, nec diutius tacitum ſenſum violenter conſulo, etiamſi alioquin egregia beneque compoſita oratio videatur. nam credo bene quidem ſcribere multis juxta varia dicendi genera ineſſe: (nam hoc multiplex eſt) ſed ſuaviter & eleganter ſoli Lyſiæ. non alia ſane meliori uſus conjectura, quam quod ipſe quæ dicit venuſte eloqui ſoleat.

Venuſtas Lyſianæ dictionis character certiſſimus.

XII. Qua conjectura ductus, multas orationes etiam Lyſiæ attributas, ut vulgo creditas eſſe genuinas, non ineptas alioqui, quia venuſtatem Lyſianam minime oſtendunt, nec eloquentiam ejus dictionis præferunt, dubitans & examinans, inveni non eſſe à Lyſia ſcriptas. inter quas imprimis eſt oratio illa *de ſtatua Iphicratis*, quam multos ejus ſtylo eloquentiæ ſcio adſcripſiſſe. Ipſa quidem oratio quamvis verbis valde excellere, & argumentis præclaris uti, aliaſque virtutes eminentiores habere videatur, invenuſta eſt, multumque quidem à Lyſiana eloquentia diſcrepare reperitur. Maxime autem ſpuriam illam eſſe patet, quia tempus non recte quadrat. Si quis enim Lyſiam octuogeſimo ætatis anno dicat obiiſſe, Archonte Athenis Nicone vel Nauſinico, ſeptem ante annis, quam hoc decretum de ſtatua fieret, mortuus erat Lyſias. Nam poſt Alciſthenem Archontem, cujus quidem tempore Athenienſes & Lacedæmonii & rex pacem inierant, dimiſſo exercitu Iphicrates privatus vixit, & tum de ſtatua oratio habita fuit, ſeptem annis jam mortuo Lyſia, qui prius hanc movere Iphicrati litem non potuit. ſimiliter nec defenſionem quamdam pro Iphicrate, Lyſiæ vulgo attributam, ſatis rebus inſtructam, verbis quoque ornatam, quia in dictione Lyſiæ venuſtas non elucet, ejus eſſe crediderim: nam tempus diligentius attendens, invenio, non paucis, ſed viginti integris

Quomodo orationes adulterinæ à genuinis diſtinguendæ.

a Opinabar legendum eſſe διαστήμασι. ſed facile aſſentior *Petro Victorio*, qui, *Var. lect.* lib. 13. c. 6. locum hunc citans, unius literæ mutatione legit *διηχήμασι, diſſonantiis. Sylb.* b Pro ὑπ' αὐτῷ putabam legendum *ἐπ' αὐτῷ in eo. Victorius* (loco jam citato) legit ἡ παρ' αὐτῷ. *Sylb.* c Vide quæ diximus ad p. 24. v. 24. d *Aldus & Stephanus* in *Oratorum* volumine habent χαρακτηρικωτάτην: itidemque p. 136. v. 17. Noſtra vero lectio firmatur ex p. 46. v. 25. *Sylb.* e Forſan ψῆφον. f Ἐκείνας ferri poteſt, ut p. 137. v. 19. Si quis tamen malit ἐκείνου, ſc. τοῦ Λυσίου, per me licet. *Sylb.* g *Stephanus* in *Oratorum* volumine legit ἐπιφαίνειν, & quidam *Codd.* ὑποφαίνει. paulo infra p. 136. v. 13. legitur ἐμφαίνει. noſtrum ἐπιφαίνειν reperitur p. 136. v. 34. *Sylb.* Malim ὑποφαίνειν. h Illud μὲν omittit *Reg.* 1. Verum μοι pro μὲν habet *Reg.* 2. quo modo legendum eſſe annotarunt *Steph.* & *Sylb.*

a Malet

tegris poſt mortem ejus annis illam eſſe conſcriptam. In bello enim ſociali Iphicrates, de proditione & de rebus perperam in bello factis accuſatus, in judicium vocatus eſt, ut ex ipſa oratione colligitur: hoc autem bellum geſtum Archontibus Agathocle & Elpinice. Certo autem aſſerere non auſim, orationes tum *de ſtatua* tum *de proditione* eſſe Lyſiæ: ſed ambas ab uno dictas multis conjecturis adducor ut credam. Idem enim in utriſque character & facultas, de quibus jam non eſt locus. Crediderim autem ambas eſſe Iphicratis: nam in rebus bellicis & dicendi facultate pariter excelluit; & dictio in utraque admodum auſtera eſt & militaris, & non tam oratoriam prudentiam, quam militarem ſuperbiam, & arrogantiam præ ſe fert. Sed his de rebus alio loco latius.

Lyſianæ dictionis virtutes præcipuæ.

XIII. Revertamur igitur unde digreſſi ſumus. Optima itaque inter Lyſiæ virtutes, & quæ maxime eloquentiam ejus & facultatem declarat, ipſa eſt dictionis venuſtas; quam nec ullus poſterorum ſuperavit, imo nec imitatus eſt. Hæc itaque, ut repetam quæ prius dicta ſunt, quibus in elocutione potiſſimum excellit: puritas in verbis, ſimplicitas in ſermone, ſententias proprio nec tranſlatitio contextu efferre, perſpicuitas, brevitas, compendioſe & rotunde ſententias componere, ſenſibus ea quæ dicuntur ad vivum repræſentare, nullam perſonam non ſuo loco & decoro inducere, compoſitionis venuſtas verbis vulgatis, perſonis ipſis & rebus convenientem ſermonem accommodare, mira vis perſuadendi, elegantia, &, quæ omnia moderatur, ipſa rerum opportunitas. Hæc omnia ſi quis à Lyſia mutuetur, mirum in modum juvabitur. Porro dictio ejus non eſt adeo ſublimis, nec magnifica, non eminens, nec excellens, nullam acrimoniam aut gravitatem præ ſe ferens, nec valida junctura nec virili ſono utitur, neque iracundia aut ſpiritu plena eſt; & ſicut in minoribus affectibus non perſuadet, ita nec in minoribus robuſta eſt; nec uti poteſt demulcere & perſuadere & elegantiam ſectari, ita viciſſim poteſt vi rapere & quodammodo cogere. Simplex adhæc eſſe mavult, quam cum aliquo periculo ſublimis; nec tam artificium oſtendit, quam naturalem veritatem.

Theophraſti de Lyſia judicium.

XIV. Mirum autem eſt quid de eo Theophraſtus ſentiat, qui faſtuoſum & affectatum eum orationis genus, & factitium magis artificium, quam naturalem ſimplicitatem ſectari ait. In iis vero quæ *de dictione* ſcribit, inter illos quos reprehendit, quod in antitheſibus, comparibus, & ſimiliter deſinentibus, aliiſque ſchematibus adhibendis diligentes fuerint, numerat & Lyſiam, & orationem *pro Nicia* Athenienſium duce, quam apud Syracuſios captivus dixit, tanquam ab hoc oratore compoſitam exempli loco pro-

ρῦσι τῆς τελευτῆς τοῦ ῥήτορος, ἀλλὰ καὶ εἴκοσιν ὅλοις. ἣν γὰρ τοῦ συμμαχικοῦ πολέμου τὴν εἰσαγγελίαν Ἰφικράτης ἠγώνισαι, καὶ τὰς εὐθύνας ὑπέσχηκε τῆς στρατηγίας, ὡς ἐξ αὐτοῦ γίνεται τοῦ λόγου καταφανές· οὗτος δὲ ὁ πόλεμος πίπτει κατὰ Ἀγαθοκλέα καὶ Ἐλπινίκην ἄρχοντας. [a] ὅτι μὲν οὖν εἰσι λόγοι τοῦ ῥήτορος περί τι ΤΗΣ ΕΙΚΟΝΟΣ καὶ ΤΗΣ ΠΡΟΔΟΣΙΑΣ, οὐκ ἔχω βεβαίως εἰπεῖν· ὅτι δ' ἑνὸς ἀμφότεροι, πολλοῖς τεκμηρίοις ἔχοιμ' ἂν εἰπεῖν. ἡ γὰρ αὐτὴ προαίρεσίς τε καὶ δύναμις ἐν ἀμφοτέροις· ὑπὲρ ὧν οὐ καιρὸς ἐν τῷ παρόντι σκοπεῖν. εἰκάζω δὲ Ἰφικράτους εἶναι αὐτούς· καὶ γὰρ τὰ πολέμια δεινὸς ὁ ἀνὴρ, καὶ ἐν λόγοις οὐκ εὐκαταφρόνητος· ἥ τε λέξις ἐν ἀμφοῖν πολὺ τὸ φορτικὸν καὶ στρατιωτικὸν ἔχει, καὶ οὐχ οὕτως ἐμφαίνει ῥητορικὴν ἀγχίνοιαν, ὡς στρατιωτικὴν αὐθάδειαν καὶ ἀλαζονείαν. ἀλλ' ὑπὲρ μὲν τούτων ἑτέρωθι δηλωθήσεται διὰ πλειόνων.

ιγ΄. Ἀνιτέον δὲ ὅθεν ἐξέβημεν εἰς ταῦτα. τὸ κράτιστόν ἐστι τῶν Λυσίου ἔργων καὶ τὸ χαρακτηριστικώτατον τῆς δυνάμεως, ἡ κοσμοῦσά τε καὶ ἀνθίζουσα τὴν λέξιν αὐτοῦ χάρις, ἣν οὐθ' ὑπερεβάλετο τῶν [b] ἐπιγινομένων οὐθεὶς, οὔτε εἰς ἄκρον ἐμιμήσατο. καὶ τὰ μὲν περὶ τὴν ἑρμηνείαν ἀγαθὰ τοῦ ῥήτορος, ταῦτα· συγκεφαλαιώσομαι γὰρ τὰ ῥηθέντα· τὸ καθαρὸν τῶν ὀνομάτων, ἡ ἀκρίβεια τῆς διαλέκτου, τὸ διὰ τῶν κυρίων καὶ μὴ τροπικῶν κατασκευῶν ἐκφέρειν τὰ νοήματα, ἡ σαφήνεια, ἡ συντομία, τὸ συστρέφειν τε καὶ στρογγυλίζειν τὰ νοήματα, τὸ ὑπὸ τὰς αἰσθήσεις ἄγειν τὰ δηλούμενα, τὸ μηδὲν [c] ἄτοπον ὑποτίθεσθαι πρόσωπον μηδὲ ἀνηθοποίητον, ἡ τῆς συνθέσεως τῶν ὀνομάτων ἡδονὴ μιμουμένη τὸν ἰδιώτην, τὸ τοῖς ὑποκειμένοις προσώποις καὶ πράγμασι τοὺς πρέποντας ἐφαρμόττειν λόγους, ἡ πιθανότης, καὶ ἡ χάρις, [d] καὶ ὁ πάντα μετρῶν καιρός. ταῦτα παρὰ Λυσίου λαμβάνων ἄν τις ὠφεληθείη. ὑψηλὴ δὲ καὶ μεγαλοπρεπὴς οὐκ ἔστιν ἡ Λυσίου λέξις, οὐδὲ καταπληκτικὴ μὰ Δία καὶ θαυμαστὴ, οὐδὲ τὸ πικρὸν ἢ τὸ δεινὸν ἢ τὸ φοβερὸν ἐπιφαίνουσα, οὐδὲ ἁφὰς ἔχει καὶ τόνους ἰσχυροὺς, οὐδὲ θυμοῦ καὶ πνεύματός ἐστι μεστή· οὐθ' ὥσπερ ἐν τοῖς ἤθεσίν ἐστι πιθανὴ, οὕτως ἐν τοῖς πάθεσιν ἰσχυρά· οὐδ' ὡς ἡδῦναι καὶ πεῖσαι καὶ χαριεντίσασθαι [e] δύναται, οὕτω βιάσασθαί τε καὶ προσαναγκάσαι· ἀσφαλής τε μᾶλλόν ἐστιν, ἢ παρακεκινδυνευμένη, καὶ οὐκ ἐπὶ τοσοῦτον ἰσχύν ἱκανὴ δηλῶσαι τέχνης, ἐφ' ὅσον ἀλήθειαν εἰκάσαι φύσεως.

86

ιδ΄. Καὶ θαυμάζειν ἄξιον τί δή ποτε παθὼν ὁ Θεόφραστος, τῶν φορτικῶν καὶ περιέργων αὐτὸν οἴεται ζηλωτὴν γενέσθαι λόγων, καὶ τὸ ποιητικὸν διώκειν μᾶλλον ἢ τὸ ἀληθινόν. ἐν γοῦν τοῖς ΠΕΡΙ ΛΕΞΕΩΣ γραφεῖσι τῶν τε ἄλλων καταμέμφεται τῶν περὶ τὰς ἀντιθέσεις καὶ παρισώσεις καὶ παρομοιώσεις, καὶ τὰ παραπλήσια τούτοις σχήματα διεσπουδακότων, καὶ δὴ καὶ τὸν Λυσίαν ἐν τούτοις καταριθμεῖ, καὶ τὸν ΠΕΡΙ ΝΙΚΙΟΥ τοῦ στρατηγοῦ τῶν Ἀθηναίων λόγον, ὃν εἶπεν [f] ἐπὶ Συρακουσίων αἰχμάλωτος ὢν, ὡς ὑπὸ τούτου γεγραμμένον τοῦ ῥήτορος προφα-

[a] Malet fortaſſe quiſpiam ὅτι μὲν οὖν εἰσιν οἱ λόγοι ῥήτορος, id eſt, τινος cujus. Sed retineri etiam vulgata lectio poteſt. *Sylb.* [b] Ἐπιγινομένων legitur etiam in *Aldina* editione. *Stephanus* mavult ἐπιγενομένων. *Sylb.* [c] Ἄψυχον *Reg.* 1. & 2. quo modo legitur p. 133. v. 18. [d] *Καὶ ὁ μὲν πάντων* in *Codd. MSS.* [e] Pro δύναται non abſurde repoſueris δυνατὴ, ut præcedit πιθανὴ & ſequitur ἰσχυρά. *Sylb.* [f] Illud ἐπὶ accipiendum pro *coram*, ut infra p. 111. [juxta *Ed. Sylb*] alioqui exiſtimarit aliquis legendum ὑπὸ. *Sylb.*

a Fortaſſe

περιττῆς. κωλύσει δ' οὐδὲν ἴσως καὶ τὴν λέξιν αὐτὴν θεῖναι τοῦ Θεοφράστου. ἔστι δὲ ἥδε· "Ἀντίθεσις δ' ἐστὶ τριττῶς, ὅταν τῷ αὐτῷ τὰ ἐναντία, ἢ τῷ ἐναντίῳ ταὐτὰ, ἢ τοῖς ἐναντίοις ἐναντία [a] προσκατηγορηθείη. τοσαυταχῶς γὰρ ἐνδέχεται συζυγῆναι. τούτων δὲ τὸ μὲν ἴσον καὶ τὸ ὅμοιον, παιδιῶδες καθάπερεὶ ποίημα· διὸ καὶ ἧττον ἁρμόττει τῇ σπουδῇ. φαίνεται γὰρ ἀπρεπὲς, σπουδάζοντα τοῖς πράγμασι τοῖς ὀνόμασι παίζειν, καὶ τὸ πάθος τῇ λέξει περιαιρεῖν. ἐκλύει γὰρ τὴν ἀκρόασιν· [b] οἷον ὡς ὁ Λυσίας ἐν ΤΗ ΤΟΥ ΝΙΚΙΟΥ ΑΠΟΛΟΓΙΑ βουλόμενος ἔλεον ποιεῖν· "Κλαίω τὸν ἀμάχητον καὶ [c] ἀναμάχητον ὄλεθρον. ἱκέται μὲν αὐτοὶ τῶν θεῶν [d] καθίζοντες, προδότας δὲ τῶν ὅρκων ἡμᾶς ἀποφαίνοντες, ἀνακαλοῦντες συγγένειαν, εὐμένειαν. ταῦτα γὰρ εἰ μὲν τῷ ὄντι Λυσίας ἔγραψε, δικαίως ἂν ἐπιτιμήσεως ἀξιοῖτο, χαριεντιζόμενος ἐν οὐ χαρίεντι χωρίῳ. εἰ δὲ ἑτέρου τινός ἐστι λόγος, ὥσπερ ἐστὶν, ὁ κατηγορῶν ἃ μὴ προσῆκε [e] τοῦ ἀνδρὸς, μεμπτότερος. ὅτι δὲ οὐκ ἔγραψε Λυσίας τὸν ΥΠΕΡ ΝΙΚΙΟΥ λόγον, οὐδ' ἔστιν οὔτε τῆς ψυχῆς οὔτε τῆς λέξεως ἐκείνης τὸ γράμμα, πολλοῖς πάνυ τεκμηρίοις ἀποδεῖξαι δυνάμενος, οὐκ ἔχω καιρὸν ἐν τῷ [f] παρόντι λέγειν. ἰδίαν δὲ περὶ τοῦ ῥήτορος πραγματείαν συντάττομενος, ἐν ᾗ τά τε ἄλλα δηλωθήσεταί μοι, καὶ τίνες εἰσὶν αὐτοῦ λόγοι γνήσιοι, τὴν ἀκρίβειαν ἐν ἐκείνοις καὶ περὶ τούτου ἀποδοῦναι πειράσομαι τοῦ λόγου.

ιε'. Νυνὶ δὲ περὶ τῶν ἑξῆς διαλέξομαι, τίς ὁ πραγματικός ἐστι Λυσίου χαρακτὴρ, ἐπειδὴ τὸν ὑπὲρ τῆς λέξεως ἀποδέδωκα· τοῦτο γὰρ ἔτι λείπεται τὸ μέρος. εὑρετικὸς γάρ ἐστι τῶν ἐν τοῖς πράγμασιν ἐνόντων λόγων ὁ ἀνὴρ, οὐ μόνον ὧν ἅπαντες εὕροιμεν, ἀλλὰ καὶ ὧν μηδείς. οὐδὲν γὰρ ἁπλῶς Λυσίας παραλείπει τῶν στοιχείων ἐξ ὧν ὁμολογεῖ, οὐ τὰ πρόσωπα, οὐ τὰ πράγματα, οὐκ αὐτὰς τὰς πράξεις, οὐ τρόπους καὶ αἰτίας αὐτῶν, οὐ καιροὺς, οὐ χρόνους, οὐ τόπους, οὐ τὰς ἑκάστου τούτων διαφορὰς, ἄχρι τῆς εἰς ἐλάχιστον τομῆς· ἀλλ' ἐξ ἁπάσης θεωρίας, καὶ παντὸς μερισμοῦ, τὰς οἰκείας ἀφορμὰς ἐκλέγει. δηλοῦσι δὲ μάλιστα τὴν δεινότητα τῆς εὑρέσεως αὐτοῦ οἵ τε ἀμάρτυροι τῶν λόγων, καὶ οἱ περὶ τὰς παραδόξους συνταχθέντες ὑποθέσεις· ἐν οἷς πλεῖστα καὶ κάλλιστα ἐνθυμήματα λέγει, καὶ τὰ πάντα δοκοῦντα τοῖς ἄλλοις ἄπορα εἶναι καὶ ἀδύνατα, εὔπορα καὶ δυνατὰ φαίνεσθαι ποιεῖ· κριτικὸς ὢν δεῖ λέγειν καὶ ὅτε μὴ πᾶσιν ἐξῆν χρῆσθαι τοῖς εὑρεθεῖσι, τῶν κρατίστων [g] τε καὶ κυριωτάτων ἐκλεκτικὸς, εἰ μὴ καὶ μάλιστα, τῶν ἄλλων ῥητόρων οὐδενὸς [h] ἧττον. τάξει δὲ ἁπλῇ τινι κέχρηται τῶν πραγμάτων, καὶ τὰ πολλὰ ὁμοειδεῖ· [i] περὶ δὲ τὰς ἐξεργασίας τῶν ἐπιχειρημάτων ἀφελής τις καὶ ἀπερίεργος ἐστιν· οὔτε γὰρ προκατασκευαῖς, οὔτ' ἐφόδοις, οὔτε μερισμοῖς, οὔτε ποικιλίαις σχημάτων, οὔτε ταῖς ἄλλαις τοιαύταις πανουργίαις εὑρίσκεται χρώμενος, ἀλλ' ἔστιν ἀπέριττός τις καὶ ἐλεύθε-

fert. Quid autem ſuis loquentem verbis Theophraſtum vetat introducere? quæ ſunt: "Antitheſis fit tripliciter, cum vel eidem contraria, vel contrario idem, vel contraria contrariis tribuuntur; nam tot diverſis modis fiunt conjugata. quod vero his ſimile & affine eſt, puerile eſt; ideo & minus accuratum eſt. Eſt enim indecorum, eum qui rebus ſtudet, in verbis pueriliter nugari, & dictione affectum tollere: auditorem enim languidum reddit, uti Lyſias in *defenſione Niciæ* ad commiſerationem auditores movere cupiens ait: "κλαίω τὸν ἀμάχητον καὶ ἀναμάχητον ὄλεθρον. ἱκέται μὲν αὐτοὶ τῶν θεῶν καθίζοντες, προδότας δὲ τῶν ὅρκων ἡμᾶς ἀποφαίνοντες, ἀνακαλοῦντες συγγένειαν, εὐμένειαν. Hæc quidem reipſa ſi Lyſias ſcripſerit, merito culpandus eſt, quod venuſtatem importune & non ſuo loco & tempore alieno adhibuerit. Si vero alterius, uti revera eſt, & ipſe etiam arbitror, eſt oratio, ipſe Theophraſtus potius, qui hunc ſine crimine reprehendit, reprehendendus eſt. Et ſane multis poſſem conjecturis oſtendere Lyſiam *pro Nicia* non ſcripſiſſe, nec ejus ſpiritus aut dictionis orationem eſſe; ſed jam mihi tempus non ſuppetit: aliud enim de hoc oratore commentarium conſcribam, in quo inter cætera ecquænam orationes ejus propriæ ſint declarabo; ubi & de hac oratione accurate diſputabo.

Qualis in rerum tractatione.

XV. Nunc igitur abſoluto de Lyſiana dictione ſermone, dicam in ſequentibus, qualis in ipſa rerum tractatione ejus ſit ſtylus: hoc enim exponendum reſtabat. Rationes enim rebus ipſis inhærentes appoſite invenit; non ſolum quas cuivis invenire continget, ſed etiam quas nemo inveniret. Nullam enim omnino partem omiſit, è qua argumenta educi queant; non perſonas, non res, nec ipſa facta, non modos & cauſas illorum, non occaſiones aut tempora, non ſingulorum horum diſcrimina, uſque ad minimum etiam punctum: ſed ex univerſo opere & ſingulis partibus argumenta propria ſeligit. Inventionis ejus gravitatem teſtantur imprimis orationes ejus, in quibus nulli producuntur teſtes, & illæ quæ de rebus raris, & quæ præter communem opinionem ſunt, compoſitæ ſunt; in quibus & plurima & optima argumenta profert, & quæ aliis difficilia & fieri vix poſſibilia videntur, ipſe efficit ut facilia & fieri poſſibilia videantur. Ea quæ dicenda ſunt, optime diſcernit & diſtinguit; cumque non omnibus inventis uti licebat, optima & convenientiſſima, ſi non aliis oratoribus melius, ſaltem non minus noc invenuſtius ſeligebat. Ordine rerum ſimplici, & pene ſemper eodem uſus eſt. In Epichirematum artificio ſimplex eſt, nec affectatus: nec enim præparativis, inſinuationibus, partitionibus, nec ſchematum varietate, aliiſve ſimilibus affectatis artificiis uſus eſſe deprehenditur; ſed ſimplex, ſincerus, nec de

[a] Fortaſſe rectius προσκατηγορηθεῖν, ſeu προσκατηγορηθῇ *tribuantur. Sylb.* [b] Illud οἷον ὡς infra quoque ſic uſurpatum, & apud *Ariſtot.* in Rhetoricis. *Sylb.* [c] Ἀναυμάχητοι *Reg.* 2. atque ita in editis *Aldi & Steph.* recte (inquit *Sylb.*) ut ſignificetur clades nec terreſtri nec navali prælio accepta, ſicut infra p. 173. juxta *Ed. Sylb.* [d] Καθίζοντας *Reg.* 2. [e] *Wolfius* ante τοῦ ἀνδρὸς diſtinguit, non poſt. *Sylb.* [f] Παρόντι λόγῳ *Reg.* 1. & 2. [g] Pro τι poſſis etiam legere γε. *Sylb.* Δὲ in *Codd. MSS.* [h] Quidam *Codex* habet adverbialiter ἧττον. *Sylb.* [i] Κἂν τὰς ἐπεξεργασίας ἀφελής τις &c. *Reg.* 1. & 2.

* S a Ex

de inventorum diſpoſitione magnopere ſolicitus. Quapropter velim omnes qui Lyſiam volvunt, ejus in argumentis inveniendis diſtinguendiſque artem imitari, eorundem vero diſpoſitionem & collocationem, non à Lyſia, ut qui hîc nonnihil repat, ſed ab aliis oratoribus, qui melius argumenta diſponunt (de quibus poſtea dicam) mutuari.

Qualis in generibus controverſiarum. XVI. Finito jam tractatu de ejus virtutibus & argumentorum initiis, dicam nunc de generibus controverſiarum, in quibus eloquentia civilis conſiſtat. Cum vero eloquentia rhetorica triplex ſit, & tria genera complectatur, judiciale, ſuaſorium, & id quod vocamus demonſtrativum vel laudativum: in his omnibus Lyſias excellit, maxime autem in judiciali; & in hoc genere melius parva, paradoxa, & difficilia dicit, quam gravia, magna, & facilia. Qui autem Lyſiæ facultatem accurate cupit cognoſcere, è judicialibus illum orationibus potius, quam è laudativis ſuaſoriiſque, attendat. Ut autem de generibus, quod convenit, dicam, hæc prætereo, deque procemio, narrationibus, aliiſque orationis partibus diſſeram, & oſtendam *Qualis in omnibus orationis partibus.* quid in unaquaque Lyſias conſecutus fuerit: & dividam eas, ut Iſocrates ejuſque æquales eas diviſerunt, à procemiis ducto initio.

Exordiorum artifex ſingularis. XVII. Maxime autem in exordiis orationis hunc dico eminere, & ſingularem eſſe; cum probe ſciret bene exordiri perdifficile eſſe, niſi quis propinquo exordio uti velit, & non obvia quæque dicere. non enim quod primo loco dictum eſt, exordium eſt & initium; ſed id quod propoſita oratione nuſquam alibi magis profuerit, quam ubi collocatur. Video autem hunc omnia artis præcepta obſervaſſe, quodque res ſervari ipſa poſtulat. Interdum enim exordiendo ſuas laudes commemorat, interdum adverſarium traducit. Si vero prius calumnia illi irrogata eſt, accuſationes in ſe prolatas primum diluit ac refellit. Interdum judices laudando, & ſe inſinuando ſibiipſi cauſæque reddit benevolos; interdum propriam imbecillitatem & adverſarii potentiam, nec de paribus rebus ſe contendere declarat. interdum rem ait eſſe publicam, omnibuſque neceſſariam, nec auditoribus negligendam; interdum aliud quid ponit, quod ſibi proſit, adverſario noceat. Hæc breviter ſimpliciterq; bonis ſententiis & opportunis atque argumentis convenientibus complectens, ad propoſitionem deſcendit: ubi in argumentis dein dicenda proponit, & auditorem ad futuram orationem docilem reddens, ad narrandum ſe accingit: ipſa autem propoſitio, ut plurimum, vinculum eſt & intermedium harum duarum partium. Interdum ab hac ſola, & ſine exordio incipit, à rei narratione initio ducto: nec tamen hic languet aut friget. Sed in exordiis præſertim ejus facultas pateſcit, cum ap-

ρος καὶ ἀπόνηρος οἰκονομῆσαι τὰ εὑρεθέντα. [a] ἐκ δὲ τούτων παρακελεύομαι τοῖς ἀναγινώσκουσιν αὐτὸν, τὴν μὲν εὕρεσιν τῶν ἐνθυμημάτων καὶ τὴν σύγκρισιν ζηλοῦν· τὴν δὲ τάξιν καὶ τὴν ἐργασίαν αὐτῶν, ἐνδεεστέραν οὖσαν τοῦ προσήκοντος, μὴ ἀπὸ τοῦδε τοῦ ἀνδρὸς, ἀλλὰ παρ' ἑτέρων, οἳ κρείττους οἰκονομῆσαι τὰ εὑρεθέντα ἐγένοντο, [b] περὶ ὧν ὕστερον ἐρῶ, τοῦτο τὸ στοιχεῖον λαμβάνειν.

ιϛ'. Ἀποδεδωκὼς δὲ τὸν ὑπὲρ τῶν ἀρετῶν τε καὶ στοιχείων λόγον, ἐρῶ νῦν καὶ περὶ τοῦ γένους τῶν ἀμφισβητημάτων, ἐν οἷς ἐστι θεωρήμασιν ἡ πολιτικὴ τέχνη. τριχῇ δὲ νενεμημένου τοῦ ῥητορικοῦ λόγου, καὶ τρία περιειληφότος γένη, τό,τε δικανικὸν, καὶ τὸ συμβουλευτικὸν, καὶ τὸ καλούμενον ἐπιδεικτικὸν ἢ πανηγυρικόν, 87 ἐν ἅπασι μὲν τούτοις ἐστὶν ὁ ἀνὴρ λόγου ἄξιος, μάλιστα δὲ ἐν τοῖς δικανικοῖς ἀγῶσι· κἂν τούτοις [c] τε αὐτοῖς ἀμείνων ἐστὶ τὰ [d] μικρὰ καὶ παράδοξα καὶ ἄπορα εἰπεῖν καλῶς, ἢ τὰ σεμνὰ καὶ μεγάλα καὶ εὔπορα δυνατῶς. ὁ βουλόμενος [e] δὴ τὴν Λυσίου δύναμιν ἀκριβῶς καταμαθεῖν, ἐκ τῶν δικανικῶν αὐτὴν μᾶλλον λόγων, ἢ ἐκ τῶν πανηγυρικῶν τε καὶ συμβουλευτικῶν σκοπείτω. ἵνα δὲ καὶ περὶ τῶν ἰδεῶν ἐγγένηταί μοι τὰ προσήκοντα εἰπεῖν, ἐάσω τε ταῦτα· περὶ δὲ προοιμίου καὶ διηγήσεων καὶ τῶν ἄλλων μερῶν τοῦ λόγου διαλέξομαι, καὶ δηλώσω ποῖός ἐστιν ἐν ἑκάστῃ τῶν ἰδεῶν ὁ ἀνήρ· διαιρήσομαί τε αὐτὰς ὡς Ἰσοκράτει τε καὶ τοῖς κατ' ἐκεῖνον τὸν ἄνδρα κοσμουμένοις ἤρεσεν, ἀρξάμενος ἀπὸ τῶν προοιμίων.

ιζ'. Φημὶ δὴ πάντων δεξιώτατον εἶναι τὸν ῥήτορα κατὰ τὰς εἰσβολὰς τῶν λόγων, καὶ χαριέστατον· ἐννοούμενος ὅτι ἄρξασθαι μὲν καλῶς οὐ ῥᾴδιόν ἐστιν, εἰ μή τις τῇ προσηκούσῃ χρῆσθαι βούλοιτο ἀρχῇ, καὶ μὴ τὸν ἐπιτυχόντα λόγον εἰπεῖν. οὐ γὰρ τὸ πρῶτον ῥηθὲν, ἀλλ' ὃ τοῦ προτεθέντος λόγου μηδαμοῦ μᾶλλον ἢ ἐπ' αὐτοῦ ὠφελήσειε, τοῦτο ἀρχή τε καὶ προοίμιον. ὁρῶ δὲ τὸν ῥήτορα πᾶσι κεχρημένον οἷς [f] τέχναι τε παραγγέλλουσι, καὶ τὰ πράγματα βούλεται. τοτὲ μὲν γὰρ ἀπὸ τοῦ ἰδίου ἐπαίνου λέγων [g] αὐτὸς ἄρχεται· τοτὲ δὲ ἀπὸ τῆς διαβολῆς τοῦ ἀντιδίκου· εἰ δὲ τύχοι αὐτὸς προδιαβληθεὶς, τὰς αἰτίας πρῶτον ἀπολύεται τὰς καθ' ἑαυτοῦ. τοτὲ δὲ τοὺς δικαστὰς ἐπαινῶν καὶ θεραπεύων, οἰκείους ἑαυτῷ τε καὶ τῷ πράγματι καθίστησι· τοτὲ δὲ τὴν ἀσθένειαν τὴν ἰδίαν, καὶ τὴν πλεονεξίαν τὴν τοῦ ἀντιδίκου, καὶ τὸ μὴ περὶ τῶν ἴσων ἀμφοτέροις εἶναι τὸν ἀγῶνα, [h] ἀποδείκνυσι. τοτὲ δὲ, ὡς κοινὰ τὰ πράγματα, καὶ ἀναγκαῖα πᾶσι, καὶ οὐκ ἄξια ὑπὸ τῶν ἀκουόντων ἀμελεῖσθαι, λέγει· τοτὲ δὲ ἄλλό τι κατασκευάζεται τῶν [i] δυναμένων αὐτὸν μὲν ὠφελῆσαι, τὸν δὲ ἀντίδικον ἐλαττῶσαι. ταῦτα δὲ συντόμως καὶ ἀφελῶς διανοίαις τε χρησταῖς καὶ γνώμαις εὐκαίροις καὶ ἐνθυμήμασι μετρίοις περιλαβὼν, ἐπὶ τὴν πρόθεσιν ἐπείγεται· δι' ἧς τὰ μέλλοντα ἐν ταῖς ἀποδείξεσι λέγεσθαι προειπὼν, καὶ τὸν ἀκροατὴν παρασκευάσας εὐμαθῆ [k] πρὸς τὸν μέλλοντα λόγον, ἐπὶ τὴν διήγησιν καθίσταται· καί ἐστι μεθόριον αὐτῷ ἑκατέρας τῶν ἰδεῶν ὡς τὰ πολλὰ, ἡ πρόθεσις. ἤδη δέ ποτε ἀπὸ μόνης ταύτης ἤρξατο, καὶ ἀπροοιμίαστός ποτε εἰσέβαλε, τὴν διήγησιν ἀρχὴν λαβών· καὶ οὐκ ἄψυχος οὐδ' ἀκίνητός ἐστι περὶ ταύτην τὴν ἰδέαν. μάλιστα δ'

a Ex δὴ Reg. 1. & 2. b Quod promittit, fortaſſe in ſecunda hujus tractatus parte, aut in libro *de Imitatione* præſtitit; ſed meminit etiam infra in *Dinarcho*. *Sylb.* c Pro τε non male legeris δέ. *Sylb.* d Μακρὰ καὶ ἄπορα εἰπεῖν Reg. 1. & 2. e Δὲ Reg. 2. ut & mox v. 25. f Forſan rectius cum articulo αἱ τέχναι, ut mox τὰ πράγματα. *Sylb.* g Αὐτὰ Reg. 2. quo modo *Aldus* & *Stephanus* in *Oratorum* volumine. *Sylb.* h Ἐπιδείκνυσι Reg. 1. & 2. i Δυναμένων μὲν αὐτὸν Reg. 2. k Εἰς τὸν μέλλοντα Reg. 1. & 2.

a Plutarchus

δ' ἄν τις αὐτοῦ θαυμάσειε τὴν ἐν τοῖς προοιμίοις αὐτοῦ δύναμιν, ἐνθυμηθεὶς ὅτι [a] διακοσίων οὐκ ἐλάττους δικανικοὺς γράψας λόγους, ἐν οὐδενὶ πέφηνεν οὔτε ἀπιθάνως προοιμιαζόμενος, οὔτε ἀπηρτημένῃ τῶν πραγμάτων ἀρχῇ χρώμενος· ἀλλ' οὐδὲ τοῖς ἐνθυμήμασιν ἐπιβέβληκε τοῖς αὐτοῖς, οὐδ' ἐπὶ τὰς αὐτὰς κατενήνεκται διανοίας· καίτοιγε τοῦτο καὶ οἱ τοὺς ὀλίγους γράψαντες εὑρίσκονται πεπονθότες· λέγω [b] δὲ τὸ τοῖς αὐτοῖς ἐπιβάλλειν τόποις· ἐῶ γὰρ ὅτι καὶ τὰ παρ' ἑτέροις εἰρημένα λαμβάνοντες ὀλίγου δεῖν πάντες, οὐκ ἐν αἰσχύνῃ τίθενται τὸ ἔργον. οὑτοσὶ δὲ καινὸς ὁ ῥήτωρ ἐστὶ καθ' ἕκαστον τῶν λόγων, κατά γε οὖν τὰς εἰσβολὰς καὶ τὰ προοίμια· καὶ δυνατὸς ὃ βούλοιτο διαπράξασθαι. οὔτε γὰρ εὔνοιαν κινῆσαι βουλόμενος, οὔτε προσοχὴν, οὔτε εὐμάθειαν, ἀτυχήσειέ ποτε τοῦ σκοποῦ· κατὰ μὲν δὴ ταύτην τὴν ἰδέαν, ἢ πρῶτον, ἢ οὐδενὸς δεύτερον αὐτὸν ἀποφαίνομαι.

ιή. Ἐν δὲ τῷ διηγεῖσθαι τὰ πράγματα, ὅπερ, οἶμαι, μέρος πλείστης δεῖται φροντίδος καὶ φυλακῆς, ἀναμφιβόλως ἡγοῦμαι κράτιστον αὐτὸν εἶναι πάντων ῥητόρων, ὅρον τε καὶ κανόνα τῆς ἰδέας ταύτης αὐτὸν ἀποφαίνομαι. οἴομαί τε καὶ τὰς τέχνας τῶν λόγων ἐν οἷς εἴρηται περὶ διηγήσεως ἀξιολόγου, οὐκ ἐξ ἄλλων τινῶν μᾶλλον, ἢ τῶν ὑπὸ Λυσίου γραφεισῶν εἰληφέναι τὰ παραγγέλματα καὶ τὰς ἀφορμάς. καὶ γὰρ τὸ σύντομον μάλιστα αὗται ἔχουσιν αἱ διηγήσεις, καὶ τὸ σαφές· ἡδεῖαί τέ εἰσιν ὡς οὐχ ἕτεραι, καὶ πιθαναὶ, καὶ τὴν πίστιν ἅμα λεληθότως συνεπιφέρουσιν· ὥστε μὴ ῥᾴδιον εἶναι μήθ' ὅλην διήγησιν μηδεμίαν, μήτε μέρος αὐτῆς ψευδὲς ἢ ἀπίθανον εὑρεθῆναι. τοσαύτην ἔχει πειθὼ καὶ ἀφροδίτην τὰ λεγόμενα, καὶ οὕτω λανθάνει τοὺς ἀκούοντας, εἴτ' ἀληθῆ ὄντα, εἴτε [c] πεπλασμένα. καὶ ὅπερ Ὅμηρος ἐπαινῶν τὸν Ὀδυσσέα, ὡς πιθανὸν εἰπεῖν καὶ πλάσασθαι τὰ μὴ γενόμενα, εἴρηκε, τοῦτό μοι δοκεῖ κἂν [d] ἐπὶ Λυσίου εἰπεῖν·

Ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.

πᾶσί τε καὶ παντὸς μάλιστα τοῦτο [e] παρακελευσαίμην ἀσκεῖν τὸ μέρος, [f] αὐτοῦ Λυσίου παραδείγματα ποιούμενος τὰς γυμνασίας. κράτιστα γὰρ ἀπεδείξατο ταύτην τὴν ἰδέαν ὁ μάλιστα τοῦτον τὸν ἄνδρα μιμησάμενος. [g] ἔν γε τῷ πιστοῦσθαι τὸν
88 ἄνδρα τὰ πράγματα, τοιοῦτός τις ὁ ἀνήρ ἐστιν.

ιθ'. Ἄρξομαι δὲ ἀπὸ τῶν καλουμένων ἐντέχνων πίστεων, καὶ χωρὶς ὑπὲρ ἑκάστου μέρους διαλέξομαι. τριχῇ δὲ νενεμημένων τούτων, εἴς τε τὸ πρᾶγμα καὶ τὸ πάθος καὶ τὸ ἦθος, τὰς μὲν ἐκ τοῦ πράγματος, οὐδενὸς χεῖρον εὑρεῖν τε καὶ ἐξειπεῖν δύναται Λυσίας. καὶ γὰρ τοῦ εἰκότος [h] ἀνὴρ δικαστής· καὶ τοῦ παραδείγματος, πῇ τε ὅμοιον εἶναι πέφυκε, καὶ πῇ διαφέρον, ἀκριβέστατος κριτής· τά τε σημεῖα διελεῖν τὰ παρεπόμενα τοῖς πράγμασι, καὶ εἰς τεκμήριον δόξαν ἀγαγεῖν δυνατώτατος, καὶ τὰς ἐκ τῶν ἠθῶν γε πίστεις ἀξιολόγως πάνυ κατασκευάζειν ἔμοιγε δοκεῖ. πολλάκις μὲν γὰρ ἐκ τοῦ βίου καὶ τῆς φύσεως, πολλάκις δ' ἐκ τῶν [i] προτέρων

pareat in judicialibus eum orationibus, quas non minus ducentis ſcripſit, nunquam non veriſimiliter inchoaſſe, nec violentum turbulentumque exordium adhibuiſſe; neve etiam eiſdem argumentis, iiſdemque ſententiis uſum fuiſſe: quod tamen & ii qui paucas conſcripſere declamationes feciſſe deprehenduntur; dico ſcilicet iiſdem locis inſiſtere: ut taceam interea pene omnes ab aliis dicta libere mutuari, nec ob id tamen erubeſcere aut pudefieri. Hic vero rhetor in ſingularum orationum exordiis proœmiiſque ſemper variat, & quod ſpectat egregie quidem perficit. Neque enim unquam benevolentiam, aut attentionem, aut docilitatem movere deſiderans, à ſcopo aberravit. quare hoc in genere eum vel facile primum, vel ſaltem nemine inferiorem arbitror.

Orationes judiciales quot ſcripſerit, & qualia ſingulis exordia præmiſerit.

XVIII. In rerum vero enarratione, quæ, meo judicio, pars majorem curam accurationemq; deſiderat; omnium illum oratorum ſine dubio principem, & hujus partis normam & regulam eſſe aſſero. Putem autem præcepta quæ de rerum narratione ſunt, non ex ullo oratore magis, quam è Lyſiæ ſcriptis, petita & hauſta eſſe. breves etenim ſunt ejus narrationes & perſpicuæ, præ cæteris ſuaves & veriſimiles, ſimulque occulte fidem faciunt; ut difficile admodum ſit aliquam ejus narrationem vel totam falſam dicere vel aliquam ejus partem. Tantum quæ dicit in perſuadendo valent, adeoque venuſta ſunt, & ita auditores circumveniunt, ſive vera ſive falſa ſint. & quod Homerus in laudibus Ulyſſis, eum tanquam veriſimilia referre & fingere ea quæ facta non ſunt; hæc & ipſe dicere poſſe de Lyſia videar:

Narrationum exemplar & norma optima.

Plurima falſa loquens dicendo ſimillima veris.

omnibuſque qui ſe ad Lyſiæ imitationem componunt, hanc ſe imitari imprimis partem ſuaderem. optime enim hanc virtutem, Ulyſſem imitatus, declaravit. In fide autem argumentis facienda talis eſt.

XIX. Incipiam autem ab argumentis artificioſis, & de eorum generibus diſſeram. Cum vero triplicia argumenta ſint, & in rem, & in affectus, cum majores tum minores, dividantur; argumenta, quæ ex re ipſa petuntur, omnium optime Lyſias & invenire & proferre potuit. Etenim & optimus decori eſt cenſor & arbiter; & quo potiſſimum loco quæque neceſſaria ſint aut dedeceant, accuratiſſime dijudicat: ſigna quoque, quæ rem ultro ſequuntur, & certiſſimas faciunt conjecturas, optime diſtinguit: quin & argumenta ex affectibus ducta minoribus, accurate admodum, mea quidem ſententia, diſponit: ſæpe enim è vitæ ratione naturæque, ſæpe etiam è prioribus actionibus & ſtudiis

Argumentorum diſtinctio & tractatio qualis apud Lyſiam.

a *Plutarchus* quoque hunc numerum memorat, & quidem ex hoc ipſo *Dionyſio* noſtro. quare verba ejus hic adſcribam; φέρονται δ' αὐτοῦ (inquit) λόγοι τετρακόσιοι εἴκοσι πέντε. τούτων γνησίους φασὶν οἱ περὶ Διονύσιον καὶ Καικίλιον εἶναι διακοσίους τριάκοντα· ἐν οἷς δὶς μόνον ἡττῆσθαι λέγεται. *Sylb.* b Δὴ *Reg.* 1. & 2. c Πεπλασμένα, ὥσπερ Ὅμηρος *Reg.* 1. & 2. d Ἐπὶ Λυσίου τις εἰπεῖν *MSS.* Verſus ſequens deſumitur ex *Odyſſ.* τ. v. 203. e Παρακελευσαίμην *Reg.* 1. f Forſan rectius, diſtinctione poſt αὐτοῦ poſita, legendum ποιουμένοις. *Sylb.* g Rectius fortaſſis ἐν δὲ, ut v. 16. atque mox τὸν ἄνδρα videtur expungendum. *Sylb.* h Legendum videtur ἄριστος δικαστής, ut v. 44. ἀκριβέστατος κριτής. *Sylb.* Ἄριστος ἀνὴρ δικαστής *Reg.* 1. Ἄριστος δικαστὴς ἀνὴρ *Reg.* 2. i Προτέρων λέξεων καὶ πρ. *Reg.* 1. & 2.

ſtudiis probando efficit, ut mores fide digni credantur. Cum vero nihil tale ex factis prioribus poteſt elicere, ipſe perſonis mores affingit, & verbis efficit, ut fide dignæ & probæ habeantur; civiles eis agendi rationes accommodans, & affectus convenientes, & verba quæ eas deceant, & pro ſtatu & fortuna ſua ſapientes inducens, & ob injuſta tam dicta quam facta indignantes; juſta vero eos elegiſſe fingens, & alia his ſimilia: atque ita facit ut convenientes & probabiles affectus illi minores eſſe videantur. In affectibus autem gravioribus mollior & effœminatior eſt, nec amplificationes ullas, * aut intenſiones, nullas commiſerationes, aut alia hujuſmodi novo plane modo & valide quidem novit inducere. Hæc enim apud Lyſiam quærenda non ſunt. In epilogis quoque quoad anacephalæoſim moderate & venuſte dicta repetit; quoad affectus concitandos, in quibus adhortatio, miſeratio, obſecratio, & alia hujuſmodi occurrere ſolent, infra decorum ſerpit.

Quibus virtutibus caret.

Lyſianarum virtutum exploratio.

XX. Hic ergo, meo quidem judicio, Lyſiæ ſtylus eſt. Si quis autem plura de eo cognoverit, libere dicat: quæ ſi noſtris veriſimiliora ſint, magnam ei gratiam habebo. Ut autem melius quis ſcire id volens cognoſcat, utrum hæc recte convenienterque ſcripſerimus, num vero in judicando aberraverimus, ſcripta ejus ad examen, aliquam proferendo orationem, (non enim multis uti exemplis tempus patitur) revocabimus, & ex illa facultatem eloquentiamque viri oſtendemus; ingeniis non indoctis & mediocribus ſufficere rati, ſi magnorum parva, plurimorum aliquot exempla protulerimus. Exſtat quædam ejus oratio, inter eas quas de Tutelis compoſuit, *contra Diogitonem*; cujus hocce argumentum.

XXI. Diodotus unus de numero in bellum Peloponneſiacum ſub Thraſyllo duce adlectorum, in Aſiam prætore Glaucippo navigaturus, cum filios impuberes haberet, teſtamentum condidit, iiſdemque Diogitonem fratrem ſuum germanum, filiorum à paterna parte patruum, à materna avum, tutorem aſſignavit. Cum igitur Diodotus Epheſi in pugna occubuiſſet, Diogiton omnem filiorum ſubſtantiam adminiſtrare cœpit, itaque rem ſuam egit, nihil ut de pecuniis admodum copioſis ſuperfuerit: quare ſuperſtes adhuc ab uno filiorum, extra tutelam conſtituto, male adminiſtratæ tutelæ accuſatur. Accuſat eum ipſius è filia nepos, maritus ſororis horum pupillorum.

XXII. Ipſum igitur argumentum præmiſi; ut eo appareret evidentius, utrum convenienti aptoque exordio orator uſus fuerit:

Exordii laudabilis exemplum ex Lyſia.

XXIII. "Niſi profecto magni momenti "res eſſent, Judices, de quibus controvertitur, "haudquaquam permiſiſſem hoſce apud vos "contendere; turpe eſſe ratus affines & con"ſanguineos inter ſe in judicio diſceptare.

πράξεων καὶ προαιρέσεων, ἀξιόπιστα ποιεῖ τὰ ἤθη. ὅταν δὲ μηδεμίαν ἀφορμὴν παρὰ τῶν πραγμάτων τοιαύτην λάβῃ, αὐτὸς ἠθοποιεῖ καὶ κατασκευάζει τὰ πρόσωπα τῷ λόγῳ πιστὰ καὶ χρηστά, προαιρέσεις τε αὐτοῖς ἀστείας ὑποτιθεὶς, καὶ πάθη μέτρια προσώπων, καὶ λόγους ἐπιεικεῖς ἀποδιδοὺς, καὶ ταῖς τύχαις ἀκόλουθα φρονοῦντας εἰσάγων, καὶ ἐπὶ μὲν τοῖς ἀδίκοις ἀχθομένους καὶ λόγοις καὶ ἔργοις, τὰ δὲ δίκαια προαιρουμένους ποιῶν, καὶ πάντα παραπλήσια τούτοις· ἐξ ὧν ἐπιεικὲς ἂν καὶ μέτριον ἦθος φανείη κατασκευάζων. περὶ δὲ τὰ πάθη μαλακώτερός ἐστι, καὶ οὔτε αὐξήσεις, οὔτε δεινώσεις, οὔτε οἴκτους, οὐθ' ὅσα τούτοις ἐστὶ παραπλήσια, νεανικῶς πάνυ καὶ ἐρρωμένως κατασκευάσαι δυνατός. οὐ δεῖ δὴ ταῦτα ἐπιζητεῖν παρὰ Λυσίου. καὶ ἐν τοῖς ἐπιλόγοις δὲ τὸ μὲν ἀνακεφαλαιωτικὸν τῶν ῥηθέντων μέρος, μετρίως τε καὶ χαριέντως ἀπαριθμεῖ· τὸ δὲ παθητικὸν ἐκεῖνο, ἐν ᾧ παράκλησίς τε καὶ ἔλεος καὶ δέησις καὶ τὰ τούτοις ἀδελφὰ ἔνεστιν, τοῦ προσήκοντος ἐνδεεστέρως ἀποδίδωσι.

κ'. Τοιοῦτος μὲν δή ἐστιν ὁ Λυσίου χαρακτήρ, ὡς ἐγὼ δόξης ἔχω περὶ αὐτοῦ. εἰ δέ τις ἄλλα [a] παρὰ ταῦτα ἔγνωκε, λεγέτω· κἂν ᾖ πιθανώτερα, πολλὴν αὐτῷ χάριν εἴσομαι. ἵνα δὲ βέλτιον τῷ βουλομένῳ γένηται μαθεῖν, εἴτε ὀρθῶς ἡμεῖς ταῦτα καὶ προσηκόντως πεπείσμεθα, εἴτε καὶ διημαρτήκαμεν τῆς κρίσεως, τὴν ἐξέτασιν ἀπὸ τῶν ὑπ' ἐκείνου γραφέντων ποιήσομαι, προχειρισάμενός τινα λόγον· οὐ γὰρ ἐγχωρεῖ πολλοῖς χρῆσθαι παραδείγμασιν· ἐξ ἐκείνου δὲ τήν τε προαίρεσιν καὶ τὴν δύναμιν τοῦ ἀνδρὸς ἐπιδείξομεν, ἀποχρῆν οἰόμενοι ψυχαῖς [b] ἀπαιδεύτοις καὶ μετρίαις, μικρά τε μεγάλων καὶ ὀλίγα πολλῶν γενέσθαι δείγματα. ἔστι δὲ ὁ λόγος ἐκ τῶν ἐπιτροπικῶν, ἐπιγραφόμενος [c] ΚΑΤΑ ΔΙΟΓΕΙΤΟΝΟΣ, ὑπόθεσιν δὲ ἔχων τοιάνδε·

κα'. "Διόδοτος, εἷς τῶν μετὰ Θρασύλλου [d] καταλεγέντων ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, μέλλων ἐκπλεῖν εἰς τὴν Ἀσίαν ἐπὶ [e] Γλαυκίππου ἄρχοντος, ἔχων νήπια παιδία, διαθήκας ἐποιήσατο, καταλιπὼν αὐτοῖς ἐπίτροπον τὸν ἑαυτοῦ μὲν ἀδελφὸν Διογείτονα, τῶν δὲ παιδίων θεῖόν τε καὶ πάππον ἀπὸ μητρός. αὐτὸς μὲν οὖν ἐν Ἐφέσῳ μαχόμενος, ἀποθνήσκει· Διογείτων δὲ πᾶσαν τὴν οὐσίαν τῶν ὀρφανῶν διαχειρισάμενος, καὶ ἐκ πολλῶν πάνυ χρημάτων οὐδὲν ἀποδείξας, αὐτὸς ἔτι περιὼν κατηγορεῖται πρὸς ἑνὸς τῶν μειρακίων δοκιμασθέντος, κακῆς ἐπιτροπῆς. λέγει δὲ [f] κατ' αὐτοῦ τὴν δίκην ὁ τῆς ἐκείνου μὲν θυγατρὸς, τῶν δὲ μειρακίων ἀδελφῆς, ἀνήρ.

κβ'. [g] Προὔλαβον δὲ τὴν ὑπόθεσιν, ἵνα μᾶλλον γένηται καταφανὲς, εἰ μετρίᾳ καὶ προσηκούσῃ ἀρχῇ κέχρηται·

κγ'. "Εἰ μὲν μὴ μεγάλα ἦν τὰ διαφέροντα, ὦ ἄνδρες δικασταί, οὐκ ἄν ποτε εἰς ὑμᾶς εἰσελθεῖν τούτους εἴασα, νομίζων αἴσχιστον εἶναι πρὸς τοὺς οἰκείους διαφέρεσθαι· εἰδὼς ὅτι οὐ μόνον [h] οἱ ἀδικοῦντες

χείρους

a Περὶ ταῦτα *Reg.* 2. b Forſan ψυχαῖς οὐκ ἀπαιδεύτοις, *ingeniis non indoctis*, ut ſupra alicubi. *Sylb.* c Τοῦ πρὸς Διογείτονα περὶ ἐπιτροπῆς meminit *Photius* in *Bibliotheca*, Vol. CCLXI. Vide *P. Victorium*, lib. 24. *Var. Lect.* c. 5. d Καταλλαγέντων *Reg.* 2. e *Aldinum* exemplar habet Γλαυσίππου. Ego cum *Stephano* malui Γλαυκίππου. *Sylb.* f Cum *Stephano* malim κατ' αὐτοῦ. *Sylb.* g Προὔβαλον *Reg.* 1. h Ita *Stephanus*, cui conſentiunt *Codd. MSS.* In aliis perperam συναδικοῦντες. * Vide *Fabri* notas in *Longinum*, p. 252. *Ed. Salm.*

a Τοὺς

89 "χείρους ὑμῖν εἶναι δοκοῦσιν, ἀλλὰ καὶ οἵτινες ἂν ἔλαττον ὑπὸ τῶν προσηκόντων ἔχοντες ἀνέχεσθαι μὴ δύνωνται. ἐπειδὴ μέντοι, ὦ ἄνδρες δικασταί, πολλῶν χρημάτων ἀπεστέρηνται, καὶ πολλὰ δεινὰ πεπονθότες ὑφ' ὧν ἥκιστα ἐχρῆν, ἐπ' ἐμὲ κηδεστὴν ὄντα κατέφυγον, ἀνάγκη μοι γεγένηται εἰπεῖν ὑπὲρ αὐτῶν. ἔχω δὲ τούτων μὲν ἀδελφήν, Διογείτονος δὲ ἀδελφιδῆν· καὶ πολλὰ ἀμφοτέρων δεηθεὶς, τὸ μὲν πρῶτον ἔπεισα [a] τοὺς φίλους ἐπιτρέψαι διαιτᾶν, περὶ πολλοῦ ποιούμενος τὰ τούτων πράγματα μηδένα τῶν ἄλλων εἰδέναι. ἐπεὶ δὲ Διογείτων ἃ φανερῶς ἔχων ἐξήλεγκτο, περὶ τούτων οὐδενὶ τῶν αὐτοῦ φίλων ἐτόλμα πείθεσθαι, ἀλλ' ἐβουλήθη καὶ φεύγειν δίκας, καὶ μὴ οὔσας διώκειν, καὶ ὑπομεῖναι τοὺς ἐσχάτους κινδύνους μᾶλλον, ἢ τὰ δίκαια ποιήσας ἀπηλλάχθαι τῶν πρὸς τούτους ἐγκλημάτων, ὑμῶν δέομαι, ἐὰν μὲν ἀποδείξω οὕτως αἰσχρῶς αὐτοὺς ἐπιτετροπευμένους ὑπὸ τοῦ πάππου, ὡς οὐδεὶς πώποτε ὑπὸ τῶν οὐδὲν προσηκόντων ἐν τῇ πόλει, βοηθεῖν αὐτοῖς τὰ δίκαια· εἰ δὲ μή, τούτῳ μὲν ἅπαντα πιστεύειν, ἡμᾶς δὲ εἰς τὸν λοιπὸν χρόνον ἡγεῖσθαι χείρους εἶναι. ἐξ ἀρχῆς δ' ὑμᾶς περὶ αὐτῶν διδάξαι πειράσομαι.

κδ'. Τοῦτο τὸ προοίμιον ἁπάσας ἔχει τὰς ἀρετάς, ὅσας δεῖ τὸ προοίμιον ἔχειν. δηλώσουσι δὲ οἱ κανόνες αὐτοῦ παρατεθέντες οἱ τῶν τεχνῶν. ἅπαντες γὰρ δή που παραγγέλλουσιν οἱ συνταξάμενοι τὰς τέχνας, ὅταν ᾖ πρὸς οἰκείους ὁ ἀγών, σκοπεῖν ὅπως μὴ πονηροί, μηδὲ φιλοπράγμονες οἱ κατήγοροι φανήσονται. κελεύουσί τε πρῶτον μὲν τὴν αἰτίαν εἰς τοὺς ἀντιδίκους περιϊστάναι καὶ τοῦ ἐγκλήματος καὶ τοῦ ἀγῶνος, καὶ λέγειν ὅτι μεγάλα ἀδικήματα, καὶ οὐκ ἐνῆν αὐτὰ μετρίως ἐνεγκεῖν, καὶ ὅτι ὑπὲρ ἀναγκαιοτέρων προσώπων ὁ ἀγών, καὶ ἐρήμων, καὶ ἧττον ὑπεροφθῆναι ἀξίων, οἷς μὴ βοηθοῦντες κακίους ἂν ἐφάνησαν· καὶ ὅτι προκαλούμενοι τοὺς ἀντιδίκους εἰς διαλλαγάς, καὶ φίλοις τὰ πράγματα ἐπιτρέποντες, καὶ τὰ δυνατὰ ἐλαττοῦσθαι ὑπομένοντες, οὐδενὸς ἠδυνήθησαν τυχεῖν τῶν μετρίων. ταῦτα μὲν δὴ παραγγέλλουσι ποιεῖν οἱ τεχνογράφοι, ἵνα τὸ ἦθος τοῦ λέγοντος ἐπιεικέστερον εἶναι δόξῃ. δύναται δὲ αὐτοῖς εὔνοιαν τοῦτο ποιεῖν· καὶ ἔστι κράτιστον τῆς κατασκευῆς μέρος. ταῦθ' ὁρῶ πάντα διὰ τοῦ προοιμίου τοῦδε γεγονότα. καὶ μὴν εἴς γε τὸ εὐμαθεῖς τοὺς ἀκροατὰς ποιῆσαι, κελεύουσι συστρέψαντας εἰπεῖν τὸ πρᾶγμα, ἵνα μὴ ἀγνοῶσι τὴν ὑπόθεσιν οἱ δικασταί, καὶ οἷά περ ἂν ᾖ τὰ μέλλοντα λέγεσθαι, τοιοῦτο καὶ τὸ προοίμιον ὑποτίθεσθαι ἀπ' ἀρχῆς, καὶ δεῖγμα τοῦ πράγματος ποιουμένους, [b] καὶ εὐθὺς ἀπ' ἐνθυμημάτων πειρᾶσθαι ἄρχεσθαι. ἔχει [c] δὴ καὶ ταῦτα τὸ προοίμιον. ἔτι περὶ τῆς προσοχῆς ὧδέ πως τεχνολογοῦσιν· ὅτι δεῖ τὸν [d] προσεκτικοὺς μέλλοντα ποιεῖν τοὺς ἀκροατάς, καὶ λέγειν θαυμαστὰ καὶ παράδοξα, καὶ δεῖσθαι τῶν δικαστῶν ἀκοῦσαι. φαίνεται [e] δὲ καὶ ταῦτα πεποιηκώς

"Scio enim vobis non ſolum deteriores videri eos, qui injuriam irrogant; ſed & illos qui, minus auxilii ab affinibus habentes, illam moderate ferre nequeant. Quare cum hi ingenti pecuniarum vi fraudati ſint, Judices, & graviſſimum, à quibus minime profecto oportuit, damnum paſſi, ad me affinem ſuum confugerint; neceſſe fuit illorum patrocinium dicendo ſuſcipere. Ego autem horum ſororem, Diogitonis vero è filia neptem, in uxorem duxi: cumque plurimis rogatus eſſem ab utriſque, primum ſuaſi, ut arbitris rem committerent: permagni quippe intereſſe exiſtimabam, horum negotia & cauſas palam non divulgari. Cum vero Diogiton, aperte convictus hæc habere, nihil horum amicis ſuis & arbitris concredere auſus fuerit; ſed cum & judicium ſubterfugeret, cumque nullum jus haberet, ipſum proſequi, & ultimum potius diſcrimen ſubire voluerit, quam juſtum ſe gerendo hanc à ſe accuſationem propulſare: peto à vobis, ut, ſi vobis clare oſtendero, neminem hactenus tam maligne ab ignotis habitum, quam hos ab avo ſuo pupillos, juſtitiam illis adminiſtretis; ſin minus, huic ut in omnibus credatis, nos vero ut nefarios in poſterum habeatis. Porro ab initio rem vobis, ut ſe habet, explicare contendam.

Ejus ad regulas artis examen.

XXIV. Exordium hoc omnes virtutes habet, quod exordium habere par eſt. Oſtendent hoc manifeſte præcepta artis hîc appoſita. Quotquot enim de arte præcepta conſcripſere, præcipiunt; ut quando cum conſanguineis cauſa controvertitur, videant actores, ne ipſi maligni & malitioſi & aliis negotium ultro faceſſere voluiſſe videantur. Primo itaque jubent, cauſam tum criminis tum actionis in adverſarios retorquere: dicere quoque injurias enormes eſſe, & nefas has æquo animo pati; defenſionem eſſe pro neceſſariis ac proximis & orphanis, quoſque deſpici non oporteat, quibus qui non opitulentur, deteriores injuriam inferentibus videntur: addere etiam, quod adverſarios vocantes in judicium, & amicis ſua credendo, & facultates minui ſuſtinendo, nullam æquitatem conſequi potuerint. Hæc facere præcipiunt, qui de arte ſcripſere, quo dicentis ratio & occaſio videatur modeſtior. Hoc nempe judicum illis animos ac benevolentiam conciliare poteſt, & ad confirmationem probationem & plurimum confert. Quæ omnia hoc in exordio obſervata video. Jubent etiam ut auditores dociles reddantur, re compendioſe propoſita, ut nempe judices ipſum orationis ſubjectum perſpectum habeant: & qualia deinde dicenda ſint, tale & exordium fieri; reique ſpecimen oculis ſubjiciendo, ſtatim ab argumentis inchoari volunt. Hæc autem in hoc exordio ſervari certum eſt. Inſuper de attentione paranda artis magiſtri hæc tradidere: quicunque auditores attentos reddere voluerit, dicat & mira & inaudita, judiceſque ut attendant, obſecret. Quod etiam hîc Lyſias feciſſe

a Τὺς φίλυς retinere nihil vetat: poteſt tamen & dandi caſu legi τοῖς φίλοις. *Sylb.* atque ita *Reg.* 1. & 2. b Illud καὶ otioſum videtur. *Sylb.* c Δὲ *Reg.* 1. & 2. d Προτρεπτικὺς in *Codd. MSS.* e Δὴ *MSS.*

feciſſe viſus eſt. quin & expeditam elocutionem & politam, & ſimplicem compoſitionem adhibuiſſe; quæ in primis neceſſaria ſunt iis qui ab his exordiuntur. Par eſt etiam ſcire quomodo narrationem ſuam inſtituerit. quæ ſic ſe habet:

Narrationis Lyſianæ exemplum.

XXV. "Diodotus & Diogiton, Judices, fratres germani erant, iiſdem nati parentibus: ac ſupellectilem quidem & res mobiles diviſerunt; iis vero, quæ erant fundi, communiter utebantur. Ditato vero Diodoto, haud multo poſt rogat eum Diogiton, ſuam ut filiam, quam unicam habebat, in matrimonium capiat. ex qua dein Diodotus duos filios, & filiam procreavit. Poſt vero cum Diodotus ſub Thraſyllo duce ad militiam adlectus eſſet, & uxorem ſuam, quæ fratris erat filia, ſimul & uxoris fratrem, fratrem ſuum germanum & ſocerum, filiorum avum & patruum ad ſe vocaſſet, ratus ob arctum hoc neceſſitudinis vinculum & affinitatem, nemini ſe melius filiorum tutelam poſſe committere, teſtamentum illi in manus conſignat, & quinque argenti talenta apud eum deponit. Oſtendit adhæc ſeptem talenta ad fœnus expoſita, & minas quadraginta; mille vero ſibi in Cherſoneſo deberi. Juſſit quoque, ſi quid ſibi accideret humanitus, unum uxori talentum dari, ſimul & domeſticam ſupellectilem: filiæ quoque talentum relinquit, & viginti minas [uxori,] & triginta ſtateres Cyzicenos. His peractis, & domi horum antigrapho relicto, cum Thraſyllo in militiam profectus eſt. Cum autem Epheſi mortuus Diodotus eſſet, Diogiton filiæ ſuæ mariti mortem non indicavit; & teſtamenti tabellas, quas ille domi obſignatas reliquerat, accepit, dicens ſe hiſce è tabellis nauticas quaſdam merces emere debere. Cum vero tandem Diodoti iis mortem indicaſſet, & juſta perſolviſſent, annum unum principio Pyræei commorabantur: omnis enim ejus ſupellex hîc erat. Qua deficiente pueros quidem in urbem remittit, matrem vero eorum elocat in matrimonium; quinis in dotem aſſignatis drachmarum millibus, detractis mille drachmis quas maritus ipſi dotis nomine reliquerat. Filio autem majori natu octavo poſt anno jam ſui juris facto, vocavit eos ad ſe Diogiton, dicens, patrem illis viginti minas argenti & triginta ſtateres reliquiſſe. ego, *inquit*, multa è facultatibus meis in veſtrum alimentum impendi; & quamdiu quidem res lauta fuit, nihil hoc curavi: jam vero & ipſe miſer ſum & inops. Tu igitur cum jam tui juris factus ſis, & ad virilem ætatem perveneris, proſpice qua ratione tibi victum compares. Hiſce auditis, perculſi & lacrymantes ad matrem venerunt, & ſimul cum illa ad me, hocce malo miſerandum in modum commoti, & miſere ſpe fruſtrati, flentes, meque adhortantes, ne ſe paternis bonis fruſtratos, & pauperes jam factos, &

ὁ Λυσίας. καὶ προσέτι τούτοις τὸ λεῖον τῆς ἑρμηνείας, καὶ τὸ ἀφελὲς τῆς κατασκευῆς· ὧν μάλιστα δεῖ τοῖς [a] ὑπ' ἐκείνων προοιμιαζομένοις. ἄξιον δὲ καὶ τὴν διήγησιν ὡς ᾠκονόμηται καταμαθεῖν. ἔχει δὲ οὕτως·

κε΄. "Ἀδελφοὶ ἦσαν, ὦ ἄνδρες δικασταί, Διόδοτος καὶ Διογείτων, ὁμοπάτριοι καὶ ὁμομήτριοι. καὶ τὴν μὲν ἀφανῆ οὐσίαν ἐνείμαντο, τῆς δὲ φανερᾶς ἐκοινώνουν. ἐργασαμένου δὲ Διοδότου κατ' ἐμπορείαν πολλὰ χρήματα, πείθει αὐτὸν Διογείτων λαβεῖν τὴν ἑαυτοῦ θυγατέρα, ἥπερ ἦν αὐτῷ μόνη. καὶ γίνονται αὐτῷ δύο υἱοὶ καὶ θυγάτηρ. χρόνῳ δὲ ὕστερον καταλεγεὶς Διόδοτος μετὰ Θρασύλλου τοῦ ἐπὶ τῶν ὁπλιτῶν, καλέσας τὴν ἑαυτοῦ γυναῖκα ἀδελφιδῆν οὖσαν, καὶ [b] τὸν ἐκείνης μὲν πατέρα, αὐτοῦ δὲ κηδεστὴν καὶ ἀδελφὸν ὁμοπάτριον, πάππον δὲ τῶν παιδίων καὶ θεῖον, ἡγούμενος διὰ ταύτας τὰς [c] ἀναγκαιότητας οὐδενὶ μᾶλλον προσήκειν ἑτέρῳ εἰς τοὺς παῖδας ἐπιτρόπῳ γενέσθαι, διαθήκην αὐτῷ δίδωσι, καὶ πέντε τάλαντα ἀργυρίου παρακαταθήκην. αὐτίκα δὲ ἐπέδειξεν ἐκδεδομένα ἑπτὰ τάλαντα καὶ τετταράκοντα μνᾶς, χιλίας δὲ ὀφειλομένας ἐν Χερρονήσῳ. ἐπέσκηψε δέ, ἐάν τι πάθῃ, τάλαντον μὲν ἐπιδοῦναι τῇ γυναικί, καὶ τὰ ἐν τῷ δωματίῳ δοῦναι· τάλαντον δὲ τῇ θυγατρὶ κατέλιπε, καὶ εἴκοσι μνᾶς [τῇ γυναικί,] καὶ τριάκοντα στατῆρας Κυζικηνούς. ταῦτα δὲ πράξας, καὶ οἴκοι ἀντίγραφα καταλιπών, ᾤχετο, [d] στρατευσόμενος μετὰ Θρασύλλου. ἀποθανόντος δὲ ἐκείνου ἐν Ἐφέσῳ, Διογείτων τὴν μὲν θυγατέρα ἔκρυπτε τὸν θάνατον τοῦ ἀνδρός, καὶ τὰ γράμματα λαμβάνει ἃ κατέλιπε σεσημασμένα, φάσκων τὰ ναυτικὰ χρήματα δεῖν ἐκ τούτων τῶν γραμματείων κομίσασθαι. ἐπεὶ δὲ τῷ χρόνῳ ἐδήλωσε τὸν θάνατον αὐτοῖς, καὶ ἐποίησαν τὰ νομιζόμενα, [e] τὸν μὲν πρῶτον ἐνιαυτὸν ἐν Πειραιεῖ διητῶντο· ἅπαντα γὰρ αὐτοῦ κατελέλειπτο τὰ ἐπιτήδεια. ἐκείνων δ' [f] ὑπολιπόντων, τοὺς μὲν παῖδας εἰς ἄστυ ἀναπέμπει· τὴν δὲ μητέρα αὐτῶν ἐκδίδωσιν, ἐπιδοὺς πεντακισχιλίας δραχμάς, χιλίαις ἔλαττον ὧν ὁ ἀνὴρ [g] αὐτῆς ἔδωκεν. ὀγδόῳ δ' ἔτει δοκιμασθέντος μετὰ ταῦτα τοῦ πρεσβυτέρου τοῖν μειρακίοιν, καλέσας αὐτοὺς εἶπε Διογείτων, ὅτι [h] καταλίποι αὐτοῖς ὁ πατὴρ εἴκοσι μνᾶς ἀργυρίου, καὶ τριάκοντα στατῆρας. ἐγὼ οὖν πολλὰ τῶν ἐμαυτοῦ δεδαπάνηκα εἰς τὴν ὑμετέραν τροφήν· καὶ ἕως μὲν εἶχον, οὐδέν μοι [i] διέφερε· νῦν δὲ καὶ αὐτὸς ἀπόρως διάκειμαι. σὺ οὖν ἐπειδὴ δεδοκίμασαι καὶ ἀνὴρ γεγένησαι, σκόπει αὐτὸς ἤδη, πόθεν ἕξεις τὰ ἐπιτήδεια. ταῦτ' ἀκούσαντες, ἐκπεπληγμένοι καὶ δακρύοντες, ᾤχοντο πρὸς τὴν μητέρα, καὶ παραλαβόντες ἐκείνην, ἧκον πρὸς ἐμέ, οἰκτρῶς ὑπὸ τοῦ πάθους διακείμενοι, καὶ ἀθλίως ἐκπεπτωκότες, κλαίοντες, καὶ παρακαλοῦντές με μὴ περιιδεῖν αὐτοὺς ἀποστερηθέντας τῶν πατρῴων, μηδ' εἰς πτωχείαν καταστάν-

a Fortaſſe rectius ἀπ' ἐκείνων. *Sylb.* b Omittunt *Reg.* 1. & 2. c Ἀνάγκας & mox τοὺς αὐτοῦ παῖδας in *Codd. MSS.* d Pro vulg. στρατευσάμενος malui cum *Stephano* στρατευσόμενος. *Sylb.* e *Aldus* & *Stephanus* habent adverbialiter τὸ μὲν πρῶτον. *Sylb.* f Et ὑπολιπόντων retineri poteſt & ἐπιλιπόντων ſubſtitui. *Sylb.* g Ita etiam *Ald.* & *Steph.* ſed rectius fortaſſe αὐτῇ. *Sylb.* h Καταλίποι cum *Stephano* malui pro vulgato καταλείποι, nam præteriti temporis hîc ſignificatio eſt. *Sylb.* i Διάφορον *Reg.* 1. & 2.

“καταστάντας, ὑβρισμένους ὑφ' ὧν ἥκιστα ἐχρῆν, ἀλλὰ βοηθῆσαι καὶ τῆς ἀδελφῆς ἕνεκα καὶ [a] σφῶν. πολλὰ ἂν εἴη λέγειν ὅσον πένθος ἐν τῇ ἐμῇ οἰκίᾳ ἦν ἐν ἐκεί-
90 νῳ τῷ χρόνῳ. τελευτῶσα δὲ ἡ μήτηρ αὐτῶν ἠντιβόλει με καὶ ἱκέτευε συναγαγεῖν αὐτῆς τὸν πατέρα καὶ τοὺς φίλους, εἰποῦσα ὅτι εἰ καὶ πρότερον μὴ εἴθισται λέγειν ἐν ἀνδράσι, τὸ μέγεθος αὐτὴν [b] ἀναγκάσει τῶν συμφορῶν, περὶ τῶν σφετέρων κακῶν δηλῶσαι πάντα πρὸς ὑμᾶς. ἐλθὼν δ' ἐγὼ, ἠγανάκτουν μὲν πρὸς Ἡγήμονα τὸν ἔχοντα τὴν τούτου θυγατέρα· λόγους δ' ἐποιούμην πρὸς τοὺς ἄλλους ἐπιτηδείους· ἠξίουν δὲ τοῦτον εἰς ἔλεγχον ἰέναι περὶ τῶν πραγμάτων. Διογείτων δὲ τὸ μὲν πρῶτον οὐκ ἤθελε· τελευτῶν δὲ ὑπὸ τῶν φίλων ἠναγκάσθη. ἐπειδὴ δὲ συνήλθομεν, ἤρετο αὐτὸν ἡ γυνὴ, τίνα ποτὲ ψυχὴν ἔχων, ἀξιοῖ περὶ τῶν παίδων τοιαύτῃ γνώμῃ χρῆσθαι, ἀδελφὸς μὲν ὢν τοῦ πατρὸς αὐτῶν, πατὴρ δ' ἐμὸς, θεῖος δὲ αὐτοῖς καὶ πάππος· καὶ εἰ μηδένα ἀνθρώπων ᾐσχύνου, τοὺς θεοὺς ἐχρῆν σε, φησὶ, δεδιέναι· ὃς ἔλαβες μὲν, ὅτ' ἐκεῖνος ἐξέλιπε, πέντε τάλαντα παρ' αὐτοῦ παρακαταθήκην, καὶ περὶ τούτων ἐγὼ θέλω τοὺς παῖδας παραστησαμένη, καὶ τούτους καὶ τοὺς καὶ ὕστερον ἐμαυτῇ γενομένους, ὀμόσαι ὅπου ἂν αὐτὸς λέγῃς. καίτοι οὐχ οὕτως ἐγώ εἰμι ἀθλία, οὐδ' οὕτω περὶ πολλοῦ ποιοῦμαι χρήματα, ὥστ' ἐπιορκήσασα κατὰ τῶν παίδων τῶν ἐμαυτῆς τὸν βίον καταλιπεῖν, ἀδίκως δὲ ἀφελέσθαι τὴν τοῦ πατρὸς οὐσίαν. ἔτι τοίνυν ἐξήλεγχεν αὐτὸν ἑπτὰ τάλαντα κεκομισμένον αὐτίκα, καὶ τετρακισχιλίας δραχμὰς, καὶ τούτων τὰ γράμματα [c] ἐπέδειξεν. ἐν γὰρ τῇ διοικήσει, ὅτ' ἐκ Κολυττοῦ διῳκίζετο εἰς τὴν Φαίδρου οἰκίαν, τοὺς παῖδας ἐπιτυχόντας ἐκβεβλημένῳ βιβλίῳ, ἐνεγκεῖν πρὸς ταύτην. ἀπέφηνε δ' αὐτὸν ἑκατὸν μνᾶς κεκομισμένον ἐγγύους ἐπὶ τόκῳ δεδανεισμένας, καὶ ἑτέρας δισχιλίας δραχμὰς, καὶ ἔπιπλα πολλοῦ ἄξια· φοιτᾶν δὲ καὶ σῖτον αὐτοῖς ἐκ Χερρονήσου καθ' ἕκαστον ἐνιαυτόν. ἔπειτα σὺ ἐτόλμησας, ἔφη, εἰπεῖν, ἔχων τοσαῦτα χρήματα, ὡς δισχιλίας δραχμὰς ὁ τούτων πατὴρ κατέλιπε, καὶ τριάκοντα στατῆρας; [d] ἅπερ ἐμοὶ καταλειφθέντα ἐκείνου τελευτήσαντος· ἐξέωκας θυγατριδοῦς ὄντας ἐκ τῆς οἰκίας τῆς αὐτῶν ἐν τριβωνίοις, [e] ἀνυποδέτους, [f] οὐ μετὰ ἀκολούθου", οὐ μετὰ στρωμάτων, οὐ μετὰ ἱματίων, [g] οὐ μετὰ τῶν ἐπίπλων, ἃ ὁ πατὴρ αὐτοῖς κατέλιπεν, οὐδὲ μετὰ τῶν παρακαταθηκῶν, ἃς ἐκεῖνος παρὰ σοὶ κατέθετο. καὶ νῦν τοὺς [h] μὲν" ἐκ τῆς μητρυιᾶς τῆς ἐμῆς παιδεύεις ἐν πολλοῖς χρήμασιν εὐδαίμονας ὄντας· καὶ ταῦτα μὲν καλῶς ποιεῖς· τοὺς δ' ἐμοὺς ἀδικεῖς, οὓς ἀτίμως ἐκ τῆς οἰκίας ἐκβαλὼν, ἀντὶ πλουσίων πτωχοὺς ἀποδεῖξαι προθυμῇ. καὶ ἐπὶ τοιούτοις ἔργοις οὔτε τοὺς θεοὺς φοβῇ, [i] οὔτε ἐμὲ τὴν σὴν θυγατέρα αἰσχύνῃ, οὔτε τοῦ ἀδελφοῦ μέμνησαι, ἀλλὰ πάντας ἡμᾶς περὶ ἐλάττονος ποιῇ χρημάτων. τότε μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, πολλῶν καὶ δεινῶν ὑπὸ τῆς γυναικὸς

“gravi, à quibus non oportuit, injuria affectos deſeram, ſed ſororis ſuaque cauſa eos defenderem. Multa ſane de luctu, quem tunc temporis domi meæ vidi, forent dicenda. Mater tandem oravit, & obteſtata eſt, patrem ut ſuum cæteroſque amicos convocarem, dicens, ſe, etſi inter viros prius loqui non aſſueverit, calamitatum magnitudine coactam de ſuis apud illos injuriis jam conqueri. Ego vero adiens Hegemonem, qui hujus Diogitonis filiam in matrimonio habebat, apud illum conqueſtus ſum; & aliis conſanguineis & amicis hac de re verba feci: * hunc vero orabam ut ad depellenda crimina ſeſe accingeret. Quod quidem Diogiton initio detrectavit, ſed tandem huc ab amicis adactus eſt. Cum igitur conveniſſemus, interrogabat ipſum mater, quid ipſi animi eſſet, qui erga pueros talem ſe præberet; cum (inquit) frater ſis patris eorum, pater meus, & eorum patruus & avus: & ſi hominum nullum verearis, Deos tamen te timere oportebat; qui quidem accepiſti illo diſcedente quinque talentorum depoſitum; quod & ego, & filii, tam hi quam & alii qui poſtea mihi nati ſunt, juramento confirmare parati ſumus, quocunque tandem loco juſſeris. Et profecto non adeo miſera ſum, nec tanti pecuniam facio, ut pro liberis pejerans eos diris devoveam, aut per nefas patri facultates auferre velim. Accuſavit etiam illum, quod ſeptem illa talenta quamprimum receperit, & quatuor drachmarum millia; atque horum rationes & computum protulit. Nam in migratione, quando è Colytti ædibus in Phœdri commigravit, filios ajebat caſu in hunc rationum libellum ejectum incidentes, ad ſe detuliſſe. Oſtendit vero illum & centum minas fœnore auctas, & alia duo drachmarum millia, ac magni precii ſupellectilem accepiſſe. Quin & ſingulis annis frumentum in illorum uſum è Cherſoneſo accepiſſe. Deinde (ajebat) cum tantum penes te haberes pecuniarum, dicere auſum, bis mille drachmas & triginta ſtateres horum patrem tantum reliquiſſe, quæ illo mortuo mihi relicta . . ? Ejeciſti nepotes ex filia tua natos è propriis eorum ædibus, attritis indutos veſtibus, diſcalceatos, ſine famulo, ſine ſtragulis, ſine veſtibus, & ſupellectile, quam eis pater reliquerat; ſine pecunia, quam apud te depoſuerat. Natos vero ex noverca ditare conaris, & opibus abundantes reddere: & hoc quidem honeſte & bene faceres, niſi eos propriis bonis exueres, quos infames domo ejectos è divitibus, ut erant, inopes reddere fatagis. Atque hîc neque Deos times, neque me tuam gnatam revereris, nec fratris tui recordaris; ſed omnes nos pecuniis & commodo proprio poſtponis. Cum itaque tunc, Judices, multa & acerba à muliere dicta eſſent,

a Σφῶν αὐτῶν in *Codd. MSS.* b Si quis malit ἀναγκάζει, per me licet. *Sylb.* c Ἀπέδειξεν *Reg.* 1. & 2. d In *Cod. Reg.* 1. & 2. ἅπερ ἐμοὶ καταλειφθέντα ἐκείνου τελευτήσαντος ἐγώ σοι ἔδωκα, καὶ ἐκβαλεῖν τούτους ἠξίωκας θυγατριδοῦς. e Hanc ſcripturam (inquit *Sylb.*) firmant ὑποδήματα p. 144. v. 37. Verum ἀνυποδύτους in *Ed. Ald.* & *Codd. MSS.* f Non agnoſcunt *MSS.* g Οὐ μετ' ἐπίπλων *Reg.* 2. h Deeſt *Reg.* 1. i Οὔτ' ἐμὲ *Reg.* 1. * *Al.* exiſtimabamque hunc ad hujus negotii crimina depellenda venturum.

a Malet

"ſent, omnes quotquot aderamus, ita rei quam ille geſſit indignitate, & mulieris verbis permoti ſumus, (videntes ſcilicet pupillos hæc omnia paſſos, ſimul vero mortui Diodoti memores, quam nimirum rerum ſuarum indignum tutorem reliquiſſet, atque animo volventes, quam difficile ſit reperire, cui quis ſua tuto credere queat;) [hæc, inquam, omnes ita effecerunt] ut nemo verbum loqui præ commiſeratione potuerit; ſed lacrymantes omnes, non minus quam qui rem ipſam patiebantur, cum ſilentio diſceſſerunt.

Qualis in confirmatione & argumentorum demonſtratione.

XXVI. Ut autem & qualis in confirmatione & argumentorum demonſtratione fuerit, evidens fiat, dicam etiam ſequentia. Propria igitur argumenta, quæ non multis verbis indigent, teſtibus confirmat; aliud nihil dicens quam, "Primo quidem aſcendant teſtes." Adverſarii defenſionem & argumenta dupliciter dividit: nonnulla quidem illum fateri ſe accepiſſe, ſed oſtendere ſe illa in pupillorum educationem inſumpſiſſe: alia autem illum negare ſe accepiſſe, deinde vero hoc refutato de utriſque orationem inſtituit: dicens non illos eſſe factos ſumptus, quos ille refert; in dubiis vero certiſſima profert argumenta:

Iſtius rei exemplum ex Lyſia.

XXVII. "Velim itaque vos, Judices, rationibus meis animum applicare, & diligenter advertere, ut nimirum & pupillorum tam gravia & acerba paſſorum vos capiat miſeratio; illum vero veſtro calculo dignum judicetis, qui ab omnibus civibus rejiciatur. Talem ſiquidem Diogiton omnibus hominibus ſuſpicionem impreſſit, ut neque vivis neque mortuis, nec amicis nec domeſticis, magis quam inimiciſſimis, fidem habendam cenſeant: quæ omnia initio quidem negare auſus fuit, tandem vero confeſſus eſt, in duorum puerorum & puellæ res neceſſarias, octo annorum ſpatio, ſeptem argenti talenta & ſeptem drachmarum millia inſumpta eſſe & expenſa. Quin & eo devenit impudentiæ, ut cum oſtendere non valeat, in quas res pecuniam impenderit, ut in victum duorum puerorum & unius puellæ quinos in diem obolos impenſos numeret; in calceos vero & veſtium tincturam, inque tonſtrinam quæ impenderit, ſibi nec per menſem, nec per annum ſcriptum eſſe, ſed toto illo tempore, ſummatim complectendo, ultra talentum argenti ſe impendiſſe. In patris eorum monumentum cum vix viginti quinque minas inſumpſerit, quinque drachmarum millium partem mediam ..... ſe numerat impendiſſe. In Dionyſia quoque, Judices, (nefas enim hoc foret præterire) ſe decem drachmis ſibi ait agnum emptum, & horum octo puerorum rationibus adſcripſit: quo nomine non parum indignati ſumus. Ita in magnis damnis non minus interdum parva movent injuria affectos, Judices, quam ma-

"ῥηθέντων, οὕτω διετέθημεν οἱ παρόντες ὑπὸ τῶν τούτῳ πεπραγμένων, καὶ τῶν λόγων τῶν ἐκείνης, ὁρῶντες μὲν τοὺς παῖδας οἷα ἦσαν πεπονθότες, ἀναμιμνησκόμενοι δὲ τοῦ ἀποθανόντος, ὡς ἀνάξιον τῆς οὐσίας τὸν ἐπίτροπον κατέλιπεν, ἐνθυμούμενοι δὲ ὡς χαλεπὸν ἐξευρεῖν ὅτῳ χρὴ περὶ τῶν ἑαυτοῦ πιστεῦσαί τινα· ὥστε, ὦ ἄνδρες δικασταί, μηδένα τῶν παρόντων δύνασθαι φθέγξασθαι, ἀλλὰ καὶ δακρύοντας μηδὲν ἧττον τῶν πεπονθότων, ἀπιόντας οἴχεσθαι σιωπῇ.

κϛʹ. Ἵνα δὲ καὶ ὁ τῶν ἀποδείξεων χαρακτὴρ καταφανὴς γένηται, θήσω καὶ τὰ ἐπὶ τούτοις λεγόμενα. τὰς μὲν οὖν ἰδίας πίστεις, ὡς οὐ πολλῶν ἔτι λόγων δεομένας, δι' αὐτῶν βεβαιοῦται τῶν μαρτύρων, οὐδὲν ἕτερον ἢ τοῦτο εἰπών· "Πρῶτον μὲν οὖν τούτων ἀνάβητέ μοι μάρτυρες". τὰ δὲ ἀντιδίκου ἐπιχειρήματα διχῇ νείμας, ὡς τὰ μὲν ὁμολογήσαντος αὐτοῦ λαβεῖν, καὶ εἰς τὰς τροφὰς τῶν ὀρφανῶν ἀνηλωκέναι σκηψαμένου, τὰ δὲ ἐξάρνου γενηθέντος εἰληφέναι, κἄπειτα ἐλεγχθέντος, ὑπὲρ ἀμφοτέρων ποιεῖται τὸν λόγον· [a] τὰς δὲ δαπάνας οὐχ ἃς ἐκεῖνος ἀπέφηνε γενέσθαι λέγων, καὶ περὶ τῶν ἀμφιβόλων τὰς πίστεις ἀποδιδούς·

κζʹ. "Ἀξιῶ τοίνυν, ὦ ἄνδρες δικασταί, τῷ λογισμῷ προσέχειν τὸν νοῦν, ἵνα τοὺς μὲν νεανίσκους διὰ τὸ μέγεθος τῶν συμφορῶν ἐλεήσητε, τοῦτον δ' ἅπασι τοῖς πολίταις ἄξιον ὀργῆς ἡγήσησθε. εἰς τοσαύτην δ' ὑποψίαν Διογείτων πάντας ἀνθρώπους [b] εἰς ἀλλήλους" καθίστησιν, ὥστε μηδὲ ζῶντας, μηδὲ ἀποθνήσκοντας, μηδὲν μᾶλλον τοῖς οἰκειοτάτοις ἢ τοῖς ἐχθίστοις πιστεύειν· ὃς ἐτόλμησε τὰ μὲν ἔξαρνος γενέσθαι, τὰ δὲ τελευτῶν ὁμολογήσας, [c] ἐλθεῖν εἰς δύο παῖδας καὶ ἀδελφήν, λῆμμα καὶ ἀνάλωμα ἐν ὀκτὼ ἔτεσιν, ἑπτὰ τάλαντα ἀργυρείου, καὶ ἑπτακισχιλίας δραχμὰς ἀποδεῖξαι· καὶ εἰς τοῦτο ἦλθεν ἀναισχυντίας, ὥστε οὐκ ἔχων ὅπου στρέψειε τὰ χρήματα, εἰς ὄψον μὲν δυοῖν παιδίοιν καὶ ἀδελφῇ πέντε ὀβολοὺς τῆς ἡμέρας ἐλογίζετο· εἰς ὑποδήματα δέ, καὶ [d] εἰς γναφεῖον ἱμάτια, καὶ εἰς κουρεῖον, οὐκ ἦν αὐτῷ κατὰ μῆνα οὐδὲ κατ' ἐνιαυτὸν γεγραμ- 91
μένα, συλλήβδην δὲ παντὸς τοῦ χρόνου, πλεῖον ἢ τάλαντον ἀργυρείου. εἰς δὲ τὸ μνῆμα τοῦ πατρὸς οὐκ ἀναλώσας πέντε καὶ εἴκοσι μνᾶς, ἐκ πεντακισχιλίων δραχμῶν, τὸ μὲν ἥμισυ [e] αὐτῶν τίθησι τούτοις λελογίσθαι. εἰς Διονύσια τοίνυν, ὦ ἄνδρες δικασταί, οὐκ ἄτοπον γάρ μοι δοκεῖ καὶ περὶ τούτου μνησθῆναι· ἑκκαίδεκα δραχμῶν ἀπέφαινεν ἐωνημένον ἀρνίον· καὶ τούτων τὰς ὀκτὼ δραχμὰς ἐλογίζετο τοῖς παισίν· [f] ἐφ' ὧν ἡμεῖς οὐχ ἥκιστα ὠργίσθημεν. οὕτως, ὦ ἄνδρες, ἐν ταῖς μεγάλαις ζημίαις ἐνίοτε οὐχ ἧττον τὰ μικρὰ λυπεῖ τοὺς ἀδικουμένους. λίαν γὰρ

[a] Malit forſan aliquis πᾶς τι. Fit autem impenſarum iſtarum computatio, p. 146. v. 5. *Sylb.* [b] Εἰς ἀλλήλυς omittunt *Codd. MSS.* [c] Ἑλεῖν *Reg.* 2. ex alicujus emendatione. [d] Forſan εἰς γναφεῖον ἱματίων. *Sylb.* In margine *Cod. Bodl.* εἰς γναφεῖον, καὶ εἰς ἱμάτια. [e] Forſan αὐτοῖς legendum. *Schottus.* [f] Ἐφ' ὧν etiam in *Aldi* & *Stephani* exemplaribus. Sed rectius forſan ἐφ' ᾧ: eodem ſcilicet numero, quo præcedit καὶ περὶ τούτου. *Sylb.* * *Al.* rationem [dati & accepti] diligenter animo perpendatis.

a Ἀπαλλα-

"γὰρ φανερὰν τὴν πονηρίαν τῶν ἀδικούντων ἐπιδείκνυσιν. εἰς τοίνυν τὰς ἄλλας ἑορτὰς καὶ θυσίας ἐλογίσατο αὐτοῖς πλέον ἢ τετρακισχιλίας δραχμὰς ἀνηλωμένας, ἕτερά τε παμπληθῆ, ἃ πρὸς τὸ κεφάλαιον συνελογίζετο· ὥσπερ διὰ τοῦτο ἐπίτροπος τῶν παίδων καταλειφθεὶς, ἵνα γράμματα αὐτοῖς ἀντὶ τῶν χρημάτων ἀποδείξειε, καὶ πενεστάτους ἀντὶ πλουσίων ἀποφήνειε, καὶ ἵνα εἰ μέν τις αὐτοῖς πατρικὸς ἐχθρὸς ἦν, ἐκείνου μὲν ἐπιλάθωνται, τῷ δ', ἐπεὶ τῶν πατρῴων εἰσὶν ἀπεστερημένοι, πολεμῶσι. καίτοι εἰ ἐβούλετο δίκαιος εἶναι περὶ τοὺς παῖδας, ἐξῆν αὐτῷ κατὰ τοὺς νόμους οἳ κεῖνται περὶ τῶν ὀρφανῶν, καὶ τοῖς ἀδυνάτοις τῶν ἐπιτρόπων, καὶ τοῖς δυναμένοις μισθῶσαι τὸν οἶκον, [a] ἀπηλλαγμένοις πολλῶν πραγμάτων, ἢ γῆν πριαμένοις, ἐκ τῶν προσιόντων τοὺς παῖδας τρέφειν· καὶ ὁπότερον τούτων ἐποίησεν, οὐδενὸς ἂν ἧττον Ἀθηναίων πλούσιοι ἦσαν. νῦν δέ μοι δοκεῖ οὐδὲ πώποτε διανοηθῆναι ὡς φανερὰν καταστήσων τὴν οὐσίαν, ἀλλ' ὡς αὐτὸς ἕξων τὰ τούτων· ἡγούμενος δεῖν τὴν αὐτοῦ πονηρίαν κληρονόμον εἶναι τῶν τοῦ τεθνεῶτος χρημάτων. ὃ δὲ πάντων δεινότατον, ὦ δικασταί· οὗτος γὰρ, συντριηραρχῶν Ἀλέξιδι τῷ Ἀριστοδίκου, φάσκων [b] δυεῖν δεούσας πεντήκοντα μνᾶς ἐκείνῳ συμβαλέσθαι, τὸ ἥμισυ τούτων τοῖς ὀρφανοῖς οὖσι λελόγισται, οὓς ἡ πόλις οὐ μόνον παῖδας ὄντας, ἀτελεῖς ἐποίησεν, ἀλλὰ καὶ ἐπειδὰν δοκιμασθῶσιν, ἐνιαυτὸν ἀφῆκεν ἁπασῶν τῶν λειτουργιῶν. οὗτος δὲ, πάππος ὢν, παρὰ τοὺς νόμους, τῆς ἑαυτοῦ τριηραρχίας [c] παρὰ τῶν θυγατριδῶν τὸ ἥμισυ πράττεται. καὶ ἀποπέμψας εἰς τὸν Ἀδρίαν ὁλκάδα δυοῖν ταλάντοιν, ὅτε μὲν ἀπέστειλεν, ἔλεγε πρὸς τὴν μητέρα αὐτῶν, ὅτι τῶν παίδων ὁ κίνδυνος εἴη· ἐπεὶ δὲ ἐσώθη καὶ ἐδιπλασίασεν, αὐτοῦ τὴν ἐμπορίαν ἔφασκεν εἶναι. [d] καὶ μέντοι εἰ μὲν τὰς ζημίας τούτων ἀποδείξει, τὰ δὲ σωθέντα τῶν χρημάτων αὐτὸς ἕξει, ὅπῃ [e] μὲν ἀνήλωται τὰ χρήματα, οὐ χαλεπῶς εἰς τὸν λόγον ἐγγράψει, ῥᾳδίως δὲ ἐκ τῶν ἀλλοτρίων αὐτὸς πλουτήσει. καθ' ἕκαστον μὲν οὖν, ὦ δικασταὶ, πολὺ ἂν εἴη ἔργον πρὸς ὑμᾶς λογίζεσθαι· ἐπειδὴ δὲ μόλις παρ' αὐτοῦ παρέλαβον τὰ γράμματα, μάρτυρας ἔχων, ἠρώτων Ἀριστόδικον τὸν ἀδελφὸν τοῦ Ἀλέξιδος· αὐτὸς γὰρ ἐτύγχανε τετελευτηκώς· εἰ ὁ λόγος αὐτῷ εἴη τῆς τριηραρχίας· ὁ δὲ, ἔφασκεν εἶναι. καὶ ἐλθόντες οἴκαδε, εὕρομεν Διογείτονα [f] τετταράκοντα καὶ εἴκοσι μνᾶς ἐκείνῳ συμβεβλημένον εἰς τὴν τριηραρχίαν· οὗτος δὲ ἐπέδειξε δυεῖν δεούσας πεντήκοντα μνᾶς ἀνηλωκέναι· [g] ὥστε τούτοις λελογίσθαι, ὅσον [h] ὅπερ ὅλου τὸ ἀνάλωμα αὐτῷ γεγένηται. καίτοι τί αὐτὸν οἴεσθε πεποιηκέναι περὶ ὧν αὐτῷ οὐδεὶς συνῄδει, ἀλλ' αὐτὸς μόνος διεχείριζεν, ὃς ἃ

"xima: in quo aperte injurioſorum & improborum hominum perverſitatem oſtendit. Igitur in alias feſtivitates ſacrificiaque numeravit eis haud dubio plus quam quatuor drachmarum millia, aliaque plurima his ſimilia, quæ in ſumma generali recenſuit: ut ideo profecto pupillorum tutor relictus videatur, uti pecuniarum loco ipſas rationes & pro nummis literas oſtenderet, ac pauperrimos loco divitũ, quales erant, declararet; & ut ſi quis illis patris inimicus reſtaret, illius obliviſcerentur, & cum hoc, à quo paternis omnibus bonis privati ſunt, potius inimicitias gererent. * Etenim ſi ſe juſtum erga pueros declarare voluiſſet, licuiſſet ipſi, ſecundum leges latas tam tenuioris fortunæ tutoribus quam potentioribus, aut domum locare exſtruendam, aut agrum emere, ita ex multis moleſtiis laborato ex annis provenientibus pueros alere. Et alterutrum horum ſi feciſſet, non minus hi aliis Athenienſibus divites eſſent. Nunc vero ne ſemel quidem mihi videtur cogitaſſe, quomodo opes eorum adaugeret, ſed potius qua ipſe ratione res eorum invaderet: ratus ſuam ipſius nequitiam in defuncti hæreditatem debere ſuccedere. Quod vero eſt omnium graviſſimum, Judices, hoc eſt: ipſe triremium præfectus cum eſſet una cum Alexide Ariſtodici filio, diceretque quadraginta octo minas in id munus ſe dediſſe, harum mediam partem in pupillorum rationes retulit: quos tamen reſpub. quod pueri eſſent, non ſolum ad quodvis munus ineptos cenſuit; ſed etiam poſtquam jam viri facti eſſent, anno integro ab officiis publicis immunes præſtitit. Ipſe vero avus cum eſſet, contra omnes leges mediam partem ſumptuum, in triremium præfectura factorum, rationibus ſuorum è filia nepotum adſcribit. Cumque navem oneratam, duobus talentis conſtantem, in Adriam emiſiſſet; nave proficiſcente, matri eorum ajebat ſe periculo & damno pupillorum miſiſſe. nave autem incolumi reverſa, & duplicato lucro, ſuum eſſe lucrum dicebat. Et ſane ſi horum dixerit eſſe damna; ſibi vero lucra & pecuniam retinuerit, haud difficulter in rationes referre poterit, ubi pecuniæ conſumptæ ſunt, & facile ex alienis divitiis diteſcet. Magni negotii foret, Judices, ſingulorum vobis rationem reddere: & cum vix ab ipſo literas acceperim, teſtibus adductis interrogabam Ariſtodicum Alexidis fratrem, (ipſe enim jam mortuus erat) num ipſe trierarchiæ rationes haberet. Qui ſe eas habere dixit. Quare domum concedentes invenimus Diogitonem ſexaginta tantum minas illi in trierarchiam contribuiſſe: ipſe vero oſtendit quadraginta octo minas impendiſſe: adeo ut in pupillorum rationes illatum ſit, quidquid pro toto illo negotio inſumpſiſſet. Et profecto quid eum putatis feciſſe in eis quorum nemo conſcius eſt, ſed quæ ipſe ſolus

a Ἀπηλλαγμένος & mox πριάμενος in *Reg.* 1. & 2. b Δυοῖν in *Ed. Ald.* & *Steph.* & *Codd. MSS.* itidemque v. 46. c Παρὰ τῶν αὐτοῦ θυγατριδῶν *Reg.* 1. & 2. d Καίτοι in *Codd. MSS.* e Μὴ pro μὲν in *Reg.* 2. f Puto τέτταρα reponendum pro τετταράκοντα. *Schott.* g Ὡς γε in *Ed. Ald.* minus recte. h Pro ὅπερ ὅλου legendum puto ὑπὲρ ὅλων *pro toto illo negotio*, ſeu *in totam iſtam negotiationem, in univerſum. Sylb.* * Alter interpres reddit: *quamvis ſi æquum erga pupillos gerere ſe vellet, potuiſſet juxta ſtatuta, quæ ſunt de pupillis, tum per ea quæ tutores facere nequeunt, tum per ea quæ poſſunt, domum locare. Cum vero negotiis defuncti eſſent, vel terram emiſſent, è proventibus pueros alere.*

“ius nemine præſente geſſit? Quippe qui & ea, quæ per alios geſſit, & de quibus facile inquirere poteramus, negare auſus fuerit, viginti quatuor minas, ultra quam expenderat, pupillorum rationibus adſcribendo. Hujus autem rei teſtes mihi prodeant. Testes. Teſtes igitur audiviſtis, Judices. ego vero, ex ea, quam ipſe faſſus eſt recepiſſe, pecunia, ſeptem nimirum talentis & quadraginta minis, nulla quæſtus facta mentione, ut ſorti omnia detrahamus, rationem ſubducam, & ſtatuam (quantum nullus unquam in urbe duobus filiis ac filiæ, pædagogo & ancillæ impendit) mille drachmas in ſingulos annos, [quæ efficiunt] paulo minus tribus drachmis in ſingulos dies. Fiunt autem hinc octo annis octo drachmarum millia: & colliguntur ſupereſſe, ex ſeptem talentis & quadraginta minis, ſex talenta & viginti minæ. Neq; enim probare poteſt aut à latronibus furibuſque pecunias ablatas, aut fortunæ iniquitate damnoque amiſſas, aut creditoribus numeratas. . . .

Qualis in orationibus demonſtrativis.

XXVIII. In orationibus autem demonſtrativis, uti dixi, mollior eſt Lyſias & effœminatior. Vult enim æquo ſublimior eſſe & magnificentior; nullique oratorum, vel qui tunc florebant, vel ante ejus ætatem floruerant, inferior: non tamen auditores, more Iſocratis & Demoſthenis, excitat. Cujus etiam rei exemplum proponam.

Oſtenditur exemplo.

XXIX. Scripſit Panegyricum quendam; in quo Græcos in Olympicis congregatos hortatur, Dionyſium tyrannum ut regno exuant, Siciliam ab ejus tyrannide liberent; inimicos ſe ejus & hoſtes quamprimum oſtenderent, ejus tentorium auro & purpura atque aliis ornamentis inſigne diripiendo. Miſerat enim Dionyſius ad panegyrim, ludorum & certaminum ſpectatores, qui victimas Deo immolarent. Horum ſplendidus & magnificus in fanum ingreſſus fuit, ut ita pluris ab univerſa Græcia tyrannus æſtimaretur. Hac occaſione arrepta, ita orationem ſuam orator exorſus eſt:

XXX. “Æquiſſimum eſt, Judices, ob multa quidem præclare geſta Herculis memoriam celebrare; tum præſertim, quod primus ipſe hoc certamen, ad Græciam univerſam conciliandam, inſtituerit. Ad illud enim uſque tempus mutuis inter ſe diſſenſionibus urbes ardebant: poſtquam vero ille tyrannos domuiſſet, & ſibi infeſtos coërcuiſſet, corporum quidem certamen, ſed ſimul contentionem propter divitias, & ſententiæ declarationem in pulcerrimo totius Græciæ loco inſtituit; ut nimirum propter hæc omnia eundem in locum conveniremus, illud quidem videremus, hæc vero audiremus. Credidit enim illum conventum mutuæ Græcis amicitiæ & concordiæ initium quoddam futurum. Hæc igitur ipſius mens fuit & propoſitum. Ego vero hæc non reprehenſurus aut ſugillaturus, vel de verbis certaturus huc veni. Puto namque hæc ſpectare ad homines lucro admodum in-

“δι’ ἑτέρων ἐπεράχθη, καὶ οὐ χαλεπὸν ἦν [a] περὶ τούτων πυθέσθαι, ἐτόλμησε ψευσάμενος, τέτταρσι καὶ εἴκοσι μναῖς τοὺς αὑτοῦ θυγατριδοῦς ζημιῶσαι. Καί μοι ἀνάβητε τούτων μάρτυρες. ΜΑΡΤΥΡΕΣ. Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ δικασταί. ἐγὼ δ’ ὅσα τελευτῶν ὡμολόγησεν αὐτὸς ἔχειν χρήματα, ἑπτὰ τάλαντα καὶ τετταράκοντα μνᾶς, ἐκ τούτων αὐτῶν λογιοῦμαι, πρόσοδον μὲν οὐδεμίαν ἀποφαίνων, ἀπὸ δὲ τῶν ὑπαρχόντων ἀναλίσκων· καὶ θήσω ὅσον οὐδεὶς πώποτε ἐν τῇ πόλει, εἰς δύο παῖδας, καὶ ἀδελφὴν, καὶ παιδαγωγὸν, καὶ θεράπαιναν, χιλίας δραχμὰς ἑκάστου ἐνιαυτοῦ, [b] μικρὸν ἔλαττον ἢ τρεῖς δραχμὰς τῆς ἡμέρας. [c] ἐν ὀκτὼ ἔτεσιν αὗται γίνονται ὀκτακισχίλιαι δραχμαί· καὶ ἀποδείκνυνται [d] ἓξ τάλαντα περιόντα τῶν ἑπτὰ ταλάντων, καὶ εἴκοσι μναῖ. οὐ γὰρ ἂν δύναιτο ἀποδεῖξαι οὔθ’ ὑπὸ τῶν λῃστῶν ἀπολωλεκὼς, οὔτε ζημίαν εἰληφὼς, οὔτε χρήσταις ἀποδεδωκώς. . . .

κη΄. Εν μὲν δὴ τοῖς [e] ἐπιδεικτικοῖς λόγοις μαλακώτερος, ὥσπερ ἔφην. βούλεται μὲν γὰρ ὑψηλότερος εἶναι, καὶ [f] μεγαλοπρεπέστερος, καὶ τῶν γε καθ’ ἑαυτὸν ἢ πρότερον ῥητόρων ἀκμασάντων οὐδενὸς ἂν δόξειεν εἶναι καταδεέστερος· οὐ διεγείρει δὲ τὸν ἀκροατὴν, ὥσπερ Ισοκράτης, ἢ Δημοσθένης. θήσω δὲ καὶ τούτων παράδειγμα.

κθ΄. Εστι δή τις αὐτῷ πανηγυρικὸς λόγος, ἐν ᾧ πείθει τοὺς Ελληνας, ἀγομένης Ολυμπιάσι τῆς πανηγύρεως, ἐκβάλλειν 92 Διονύσιον τὸν τύραννον τῆς ἀρχῆς, καὶ Σικελίαν ἐλευθερῶσαι, ἄρξασθαί τε τῆς ἔχθρας αὐτίκα μάλα, διαρπάσαντας τὴν τοῦ τυράννου σκηνὴν χρυσῷ τε καὶ πορφύρᾳ καὶ ἄλλῳ πλούτῳ πολλῷ κεκοσμημένην. ἔπεμψε γὰρ θεωροὺς εἰς τὴν πανήγυριν ὁ Διονύσιος, ἄγοντας θυσίαν τῷ θεῷ· μεγαλοπρεπής τε κατάγωγὴ τῶν θεωρῶν ἐγίνετο ἐν τῷ τεμένει καὶ πολυτελὴς, ἵνα θαυμασθείη μᾶλλον ὁ τύραννος ὑπὸ τῆς Ελλάδος. ταύτην λαβὼν τὴν ὑπόθεσιν, τοιαύτην πεποίηται τὴν ἀρχὴν τοῦ λόγου·

λ΄. “Αλλων τε πολλῶν καὶ καλῶν ἔργων ἕνεκα, ὦ ἄνδρες, ἄξιον Ηρακλέους μεμνῆσθαι, καὶ ὅτι τόνδε τὸν ἀγῶνα πρῶτος συνήγειρε δι’ εὔνοιαν τῆς Ελλάδος. ἐν μὲν γὰρ τῷ τέως χρόνῳ ἀλλοτρίως αἱ πόλεις πρὸς ἀλλήλας διέκειντο· ἐπειδὴ δὲ ἐκεῖνος τοὺς τυράννους ἔπαυσε, καὶ τοὺς ὑβρίζοντας ἐκώλυσεν, ἀγῶνα μὲν σωμάτων ἐποίησε, φιλοτιμίαν [g] δὲ πλούτῳ, γνώμης δ’ ἐπίδειξιν ἐν τῷ καλλίστῳ τῆς Ελλάδος· ἵνα τούτων ἁπάντων ἕνεκα εἰς τὸ αὐτὸ συνέλθωμεν, τὰ μὲν ὀψόμενοι, τὰ δὲ ἀκουσόμενοι. ἡγήσατο γὰρ τὸν ἐνθάδε σύλλογον ἀρχὴν γενέσθαι τοῖς Ελλησι τῆς πρὸς ἀλλήλους φιλίας. ἐκεῖνος μὲν οὖν ταῦθ’ ὑφηγήσατο. ἐγὼ δὲ ἥκω οὐ μικρολογησόμενος, οὐδὲ περὶ τῶν ὀνομάτων μαχούμενος· ἡγοῦμαι γὰρ ταῦτα, ἔργα μὲν εἶναι σοφιστῶν λίαν [i] χρηστῶν καὶ σφόδρα βίου δεομένων· ἀνδρὸς

a Περὶ retinere nil vetat. Si quis tamen παρὰ malit, fruatur ſuo judicio. *Sylb.* *b* Μικρῷ *Reg.* 2. *c* Εν ὀκτὼ αὐταῖς ἔτεσιν *Reg.* 1. & 2. *d* Deeſſe hic quædam ad calculum animadvertimus. *Schott.* *e* Επιδεικτικοὶ λόγοι ſunt demonſtrativi generis orationes, ut panegyricæ. Sic ſupra, p. 132. v. 12. *Sylb.* In *Codd. MSS.* δικανικοῖς λόγοις. *f* Μεγαλοπρεπέστατος *MSS.* & mox v. 22. οὐθενός. *g* Omittunt *Reg.* 1. & 2. *h* Σοφῶν *Reg.* 2. *i* Χρηστῶν referendum videtur ad nom. ſing. χρήστης *uſurarius*, quo uſus eſt etiam v. 17. *Sylb.*

a Pro

“ἀνδρὸς δ' ἀγαθοῦ καὶ πολίτου πολλοῦ ἀξίου, περὶ τῶν μεγίστων συμβουλεύειν· ὁρῶν οὕτως αἰσχρῶς διακειμένην τὴν Ἑλλάδα, καὶ πολλὰ μὲν αὐτῆς ὄντα ὑπὸ τῷ βαρβάρῳ, πολλὰς δὲ πόλεις ὑπὸ τυράννων ἀναστάτους γεγενημένας. καὶ ταῦτα εἰ μὲν δι' ἀσθένειαν ἐπάσχομεν, στέργειν ἂν ἦν ἀνάγκη τὴν τύχην· ἐπειδὴ δὲ διὰ στάσιν καὶ τὴν πρὸς ἀλλήλους φιλονεικίαν, πῶς οὐκ ἄξιον τῶν μὲν παύσασθαι, τὰ δὲ κωλῦσαι; εἰδότας ὅτι φιλονεικεῖν μέν ἐστιν εὖ πραττόντων, γνῶναι δὲ τὰ βέλτιστα, τῶν αὐτῶν; ὁρῶμεν γὰρ τοὺς κινδύνους, καὶ μεγάλους, καὶ πανταχόθεν περιεστηκότας. ἐπίστασθε δὲ ὅτι ἡ μὲν ἀρχὴ, τῶν κρατούντων τῆς θαλάσσης· τῶν δὲ χρημάτων, βασιλεὺς ταμίας· τὰ δὲ τῶν Ἑλλήνων σώματα, τῶν δαπανᾶσθαι δυναμένων· ναῦς δὲ πολλὰς αὐτὰς κέκτηται, πολλὰς δ' ὁ τύραννος τῆς Σικελίας. ὥστε ἄξιον τὸν μὲν πρὸς ἀλλήλους πόλεμον καταθέσθαι, τῇ δ' αὐτῇ γνώμῃ χρωμένους, τῆς σωτηρίας ἀντέχεσθαι· καὶ περὶ μὲν τῶν παρεληλυθότων αἰσχύνεσθαι, περὶ δὲ τῶν μελλόντων ἔσεσθαι δεδιέναι, καὶ τοὺς προγόνους μιμεῖσθαι, οἳ τοὺς μὲν βαρβάρους ἐποίησαν, τῆς ἀλλοτρίας ἐπιθυμοῦντας, τῆς σφετέρας αὐτῶν ἐστερῆσθαι· τοὺς δὲ τυράννους ἐξελάσαντες, κοινὴν ἅπασι τὴν ἐλευθερίαν κατέστησαν. θαυμάζω δὲ Λακεδαιμονίους πάντων μάλιστα, τίνι ποτὲ γνώμῃ χρώμενοι, καιομένην τὴν Ἑλλάδα περιορῶσιν, ἡγεμόνες ὄντες τῶν Ἑλλήνων, οὐκ ἀδίκως, καὶ διὰ τὴν ἔμφυτον ἀρετὴν, καὶ διὰ τὴν πρὸς τὸν πόλεμον ἐπιστήμην· μόνοι δὲ οἰκοῦντες ἀπόρθητοι, καὶ ἀτείχιστοι, καὶ ἀστασίαστοι, καὶ ἀήττητοι, καὶ τόποις ἀεὶ τοῖς αὐτοῖς χρώμενοι· ὧν ἕνεκα ἐλπὶς ἀθάνατον τὴν ἐλευθερίαν αὐτοὺς κεκτῆσθαι, καὶ ἐν τοῖς παρεληλυθόσι κινδύνοις σωτῆρας γενομένους τῆς Ἑλλάδος, περὶ τῶν μελλόντων προορᾶσθαι. οὐ τοίνυν ὁ ἐπιὼν καιρὸς τοῦ παρόντος βελτίων· οὐ γὰρ ἀλλοτρίας δεῖ τὰς τῶν ἀπολωλότων συμφορὰς νομίζειν, ἀλλ' οἰκείας· οὐδ' ἀναμεῖναι ἕως ἐπ' αὐτοὺς ἡμᾶς αἱ δυνάμεις ἀμφοτέρων ἔλθωσιν, ἀλλ' ἕως ἔτι ἔξεστι, τὴν τούτων ὕβριν κωλῦσαι. τίς γὰρ οὐκ ἂν [a] ἐνορῶν ἐν τῷ πρὸς ἀλλήλους πολέμῳ μεγάλους αὐτοὺς γεγενημένους; ὧν οὐ μόνον αἰσχρῶν ὄντων, ἀλλὰ καὶ δεινῶν, τοῖς μὲν μεγάλα ἐξημαρτηκόσιν ἐξουσία γεγένηται τῶν πεπραγμένων· τοῖς δὲ Ἕλλησιν, οὐδεμία αὐτῶν τιμωρία.

κα'. Ἑνὸς ἔτι παράδειγμα θήσω λόγου συμβουλευτικοῦ, ἵνα καὶ τούτου τοῦ γένους τοῦ λόγου ὁ χαρακτὴρ γένηται σαφής.

κβ'. Ὑπόθεσιν δὲ περιείληφε, περὶ τοῦ μὴ καταλῦσαι τὴν πάτριον πολιτείαν Ἀθήνησι. τοῦ γὰρ δήμου κατελθόντος ἐκ Πειραιῶς, [b] καὶ ψηφισαμένου διαλύσασθαι πρὸς τοὺς ἐν ἄστει, καὶ μηδενὸς τῶν γεγενημένων μνησικακεῖν· δέους δὲ ὄντος μὴ πάλιν τὸ πλῆθος εἰς τοὺς εὐπόρους ὑβρίζῃ τὴν ἀρχαίαν ἐξουσίαν κεκομισμένον, καὶ πολλῶν ὑπὲρ τούτου γινομέ-

“hiantes, ac vitæ hominum maxime inſidiantes: hominis vero boni civiſque optimi partes eſſe, de maximis rebus conſultare; videns ſcilicet Græciam adeo deformatam, multaque illius loca à barbaro occupata, & plurimas à tyrannis urbes vaſtatas. Quæ quidem ſi per noſtram imbecillitatem infirmitatemque paſſi eſſemus, ſortem noſtam ferremus neceſſe eſſet. Cum vero ob ſeditiones mutuamque diſcordiam, quomodo non erit æquiſſimum, his quidem finem ponere, illa vero eliminare ac prohibere; cum noverimus ipſam æmulationem & de gloria contentionem inter viros egregios oriri ſolere; & eoſdem ipſos quid optimum ſit cognoſcere? Undique enim pericula immenſa inſtare videmus. Scitis autem imperium eſſe eorum qui mari dominantur, pecuniarum diſpenſatorem eſſe Regem; Græcorum vero corpora eorum, qui conſumi & deleri poſſunt. Naves ipſe multas poſſidet, multas etiam Siciliæ tyrannus. Ut æquum ſit * bellum commune ſuſcipi, & eos qui ejuſdem ſententiæ ſalutem retinere: de præteritis quidem erubeſcere, de futuris vero metuere, & majores imitari, qui barbaros, dum alienis inhiabant regionibus, ſuis ipſorum exuerant, tyranniſque expulſis communem omnibus libertatem attulerunt. Præ cæteris autem Lacedemonios demiror, quonam tandem animo ardere Græciam patiantur, cum ipſi Græcorum duces ſint & principes; idque non per nefas, ſed virtute propria, reique militaris ſcientia dominatu comparato: ſoli vero portu careant & muris, ſine ſeditione ſint & invincibiles, & iiſdem ſemper locis utentes. Atque ideo ſperandum eſt, perpetuam eos libertatem habituros: cumque in præteritis periculis Græciæ ſoſpitatores exſtiterint, futura prævifuros. Non tamen futura ætas hac præſenti melior: neque enim pereuntium calamitates, ut alienæ ſunt habendæ, ſed propriæ; nec exſpectandum donec nos ipſos amborum potentia opprimat, ſed quamdiu adhuc integrum eſt, eorum injuriam propulſare oportet. Quis enim non videat, bello inteſtino & civili eorum potentiam accreviſſe? quæ cum non ſolum turpia ſint, ſed etiam gravia, iis quidem qui graviſſime deliquerunt licentia commiſſorum data eſt, Græcis vero nullum ob id ſupplicium irrogatum.

XXXI. Verum adhuc exemplum proferam in genere deliberativo; ut appareat qualem in hoc orationis genere ſtylum habuerit. *Qualis in orationibus deliberativis.*

XXXII. Argumentum eſt, non eſſe abolenda patriæ inſtituta, & regimen civitatis Athenienſis. Populo enim è Piræëo reverſo, & decretum ferente reconciliationem cum iis qui in urbe erant faciendam eſſe, nullamque præteritorum commiſſorum memoriam habendam; fuerunt qui timerent, ne iterum plebs, antiquam in libertatem & auctoritatem reſtituta, in ditiores inſoleſceret: multis autem

[a] Pro ἐνορῶν legendum vel ἐνορῶ vel ἐνορῶν. quod *Stephanus* quoque in ſuæ editionis margine adnotavit. *Sylb.* [b] Lego, καὶ ψηφισαμένου διαλύσασθαι τὰς πρὸς τοὺς ἐν ἄστει ἔχθρας. quo modo apud *Iſocratem*, ἐξ ὧν ἐξέσται τὰς πρὸς ὑμᾶς αὐτοὺς ἔχθρας διαλύσασθαι. * *Al.* bellum privatum deponi, communique ſententia ſaluti proſpicere.

νων

tem verbis hac de re habitis, Phormiſius quidam, è numero eorum qui cum populo erant reverſi, ſententiam populi retulit, ſcilicet exſules debere reverti, & remp. non omnibus, ſed iis tantum qui terram incolerent & poſſiderent, committendam; quod & Lacedæmonii ita fieri volebant. Cum itaque decretum hoc jam promulgatum eſſet, quinque pæne Athenienſium millia à reip. regimine amovendi erant. Hoc vero ne fiat, hanc Lyſias orationem ſcripſit uni è ditioribus civibus, & qui è reipub. gubernatoribus erat. An vero tunc habita fuerit, non conſtat. Ita vero ſe habet:

Orationis deliberativæ ſpecimen ex Lyſia.

XXXIII. "Cum putaremus præteritas calamitates, Athenienſis, ſatis evidentia monumenta urbi eſſe, ne poſteri nova inſtituta & aliud regimen peterent, tunc exorti ſunt illi, qui & mala paſſos, & utriuſque [reip.] fortunam expertos, iiſdem, quibus antea, decretis decipere & circumvenire conantur. Idcirco non illos miror, ſed vos, qui hæc auditis, quod omnium videamini maxime obliviosi, qui tam facile induci vos in incommoda à talibus ſinatis: qui caſu ejuſdem fortunæ cum his, qui ex Piræëo redierunt, fuere participes, animo vero illis qui in urbe remanſerant [adhæſere.] Ad quid autem exſules reverti oportet, ſi vos ipſos veſtra ſententia & decreto in ſervitutem redigatis? Ego vero, Athenienſes, qui neque ætate neque genere illis cedo, hanc ſolum urbi eſſe ſalutem puto, ſi omnes cives ad urbis gubernacula admoveantur. Quoniam cum & muros, naves, pecunias, ſocios habuerimus, non ſolum id ſpectavimus, ut Athenienſium hæc eſſent propria, ſed & Euboeenſibus jus connubii faceremus: nunc vero etiam ipſos cives perdemus? Nequaquam, mihi credite. Neque enim cum muris & hæc ipſa noſtra auferemus; multos ſcilicet pedeſtres copias & equeſtres & ſagittarios: quos vos retinentes fortiter & valide rempubl. adminiſtrabitis, inimicos magis magiſque profligabitis, & ſociis veſtris multo utiliores eritis. * Scitis enim tempore Oligarchiæ, nec eos qui terram poſſiderent urbem inhabitaſſe, ſed & plurimos eorum mortuos eſſe, multoſque etiam è civitate expulſos: quos populus reducens, vobis quidem veſtram urbem dedit, † ipſe vero hanc attingere non eſt auſus. Quamobrem, ſi mihi obtemperetis, neque benefactores, prout poteſtis, patria exuetis; nec verbis potius quam operibus, nec futuris magis quam præteritis credetis: præſertim cum eorum recordemini, qui pro Oligarchia depugnant, qui verbis quidem populo adverſantur, reipſa vero veſtris rebus inhiant, quas poſſidebunt, quando vos ſociorum præſidio deſtitutos invadent. Deinde deſiderantibus iis illa quæ nobis ſubjecta ſunt, ecquæ civitati

νων λόγων, Φορμίσιός τις τῶν συγκατελθόντων μετὰ τοῦ δήμου, γνώμην εἰσηγήσατο, τοὺς μὲν φεύγοντας κατιέναι, τὴν δὲ πολιτείαν μὴ πᾶσιν, ἀλλὰ τοῖς τὴν γῆν ἔχουσι παραδοῦναι, βουλομένων ταῦτα γενέσθαι καὶ Λακεδαιμονίων. ἔμελλον δὲ, τοῦ ψηφίσματος τούτου κυρωθέντος, πεντακισχίλιοι σχεδὸν Ἀθηναίων ἀπελαθήσεσθαι τῶν κοινῶν. [a] ἵνα μὴ δὴ τοῦτο γένοιτο, γράφει τὸν λόγον τόνδε ὁ Λυσίας τῶν ἐπισήμων τινὶ καὶ πολιτευομένων. εἰ μὲν οὖν ἐρρήθη τότε, ἄδηλον· σύγκειται γ' οὖν ὡς πρὸς ἀγῶνα ἐπιτηδείως. ἔστι δὲ ὅδε·

λγʹ. "Ὅτε [b] ἐνομίζομεν, ὦ Ἀθηναῖοι, τὰς γεγενημένας συμφορὰς ἱκανὰ μνημεῖα τῇ πόλει καταλελεῖφθαι, 93
ὥστε μηδ' ἂν τοὺς ἐπιγινομένους ἑτέρας πολιτείας ἐπιθυμεῖν, τότε δὴ οὗτοι τοὺς κακῶς πεπονθότας, καὶ ἀμφοτέρων πεπειραμένους, ἐξαπατῆσαι ζητοῦσι τοῖς αὐτοῖς ψηφίσμασιν οἷσπερ καὶ πρότερον. διὸ δὴ καὶ τούτων μὲν οὐ θαυμάζω, ὑμῶν δὲ τῶν ἀκροωμένων, ὅτι πάντων εἰσὶν ἐπιλησμονέστατοι [c] ἢ πάσχειν ἑτοιμότατοι κακῶς ὑπὸ τοιούτων ἀνδρῶν, οἳ τῇ μὲν τύχῃ, τῶν Πειραιῶς πραγμάτων μετέσχον, τῇ δὲ γνώμῃ, τῶν ἐξ ἄστεος. καίτοι τί ἔδει φεύγοντας κατελθεῖν, εἰ χειροτονοῦντες ὑμᾶς αὐτοὺς καταδουλῶσθε; ἐγὼ μὲν οὖν, ὦ Ἀθηναῖοι, [d] οὔτε γένει ἀπολαυνόμενος, ἀλλ' ἀμφότερα τῶν ἀντιλεγόντων πρότερος ὤν, ἡγοῦμαι ταύτην μόνην σωτηρίαν εἶναι τῇ πόλει, ἅπασιν Ἀθηναίοις τῆς πολιτείας μετεῖναι· ἐπεὶ ὅτε καὶ τὰ τείχη, καὶ τὰς ναῦς, καὶ τὰ χρήματα, καὶ συμμάχους [e] ἐκτήμεθα, [f] οὐχ οὕτως ἵνα Ἀθηναίων τινὰ ποιήσωμεν, διενοούμεθα, ἀλλὰ καὶ Εὐβοεῦσιν ἐπιγαμίαν ἐποιούμεθα· νῦν δὲ καὶ τοὺς ὑπάρχοντας πολίτας ἀπολοῦμεν; οὐκ, ἂν ἔμοιγε πειθώμεθα. οὐδὲ μετὰ τῶν τειχῶν καὶ ταῦτα ἡμῶν αὐτῶν περιαιρησόμεθα, ὁπλίτας πολλοὺς καὶ ἱππέας καὶ τοξότας· ὧν ὑμεῖς ἀντεχόμενοι, βεβαίως δημοκρατήσεσθε, τῶν δὲ ἐχθρῶν πλέον ἐπικρατήσετε, ὠφελιμώτεροι δὲ τοῖς συμμάχοις ἔσεσθε. ἐπίστασθε γὰρ ταῖς ἐφ' ἡμῶν ὀλιγαρχίαις γεγενημέναις, καὶ οὐ τοὺς γῆν κεκτημένους ἔχοντας τὴν πόλιν, ἀλλὰ καὶ πολλοὺς μὲν αὐτῶν ἀποθανόντας, πολλοὺς δ' ἐκ τῆς πόλεως ἐκπεσόντας· οὓς ὁ δῆμος καταγαγὼν, ὑμῖν μὲν τὴν ὑμετέραν ἀπέδωκεν, [g] αὐτὸς δὲ ταύτης οὐκ ἐτόλμησε μετασχεῖν. ὥστε, ἂν ἔμοιγε πείθησθε, οὐ τοὺς εὐεργέτας, καθ' ὅσον δύνασθε, τῆς πατρίδος ἀποστερήσετε, οὐδὲ τοὺς λόγους πιστοτέρους τῶν ἔργων, οὐδὲ τὰ μέλλοντα τῶν γεγενημένων νομιεῖτε· ἄλλως τε καὶ μεμνημένοι τῶν περὶ τῆς ὀλιγαρχίας μαχομένων, οἳ τῷ μὲν λόγῳ τῷ δήμῳ πολεμοῦσι, τῷ δὲ ἔργῳ τῶν ὑμετέρων ἐπιθυμοῦσιν· [h] ὅπερ κτήσονται, ὅταν ὑμᾶς ἐρήμους συμμάχων λάβωσιν. [i] εἶτα τοῖς τῶν ἡμῖν ὑπαρχόντων ἐρῶσι, τίς ἔσται σωτηρία τῇ πόλει,

a Ἵνα δὴ μὴ Reg. 1. & 2. b Codices nonnulli νομίζομεν habent præſenti tempore, ut adnotavit *Stephanus*. c Pro conjunctione ἢ in *Codd.* quibuſdam habemus articulum οἱ, ut *Stephanus* adnotat. *Sylb.* d Οὔτε ἡλικίᾳ, οὔτε γένει in *Codd.* aliquibus. *Steph.* e Ἐκτησάμεθα *Reg.* 1. & 2. f Οὐχ ὅπως ἵνα Ἀθηναίων τινα in *Codd. MSS.* notante *Stephano*. g In *Ed. Ald.* αὐτοὺς, perperam. *Sylb.* h Ἅπερ κτήσονται in *Codd.* quibus uſus eſt *Stephanus*. i Forſan legendum, εἶτα οἱ τῶν ἡμῶν ὑπαρχόντων ἐπιθυμοῦντες ἐρῶσι, τίς ἔσται σωτηρία τῇ πόλει. *Schott.* * *Scitis enim iis, quæ noſtro tempore fuerunt, Oligarchiis: ipſorum multos, qui rem non habebant, in urbe remanentes, partim interiiſſe, partim urbe ejectos eſſe* &c. vertit *Vander Heidius*, illud καὶ v. 36. atque iſta ἀλλὰ καὶ v. 37. uncis includens. † *Al.* ipſe ſui loci & gradus nondum compos &c.

a Forſan

“πόλει, εἰ μὴ [a]ποιήσομεν [b]Λακεδαιμονίοις κελεύουσιν. ἐγὼ δὲ τούτοις εἰπεῖν ἀξιῶ, τί τῷ πλήθει περιέσεσθαι, εἰ ποιήσομεν ἃ ἐκεῖνοι προστάττουσιν; εἰ δὲ μή, πολὺ κάλλιον μαχομένους ἀποθνήσκειν, ἢ φανερῶς [c]ὑμῶν αὐτῶν θάνατον [d]καταψηφίσασθαι. ἡγοῦμαι γάρ, ἐὰν [e]μὲν πείθω, ἀμφοτέροις κοινὸν εἶναι κίνδυνον· ὁρῶ δὲ Ἀργείους καὶ Μαντινέας τὴν αὐτὴν ἔχοντας γνώμην, τοὺς μέν, ὁμόρους ὄντας Λακεδαιμονίοις, τοὺς δέ, ἐγγὺς οἰκοῦντας, καὶ τοὺς μέν, οὐδὲν ἡμῶν πλείους, τοὺς δέ, οὐδὲ τρισχιλίους ὄντας. ἴσασι γὰρ ὅτι, κἂν πολλάκις εἰς τὴν τούτων ἐμβάλωσι, πολλάκις αὐτοῖς ἀπαντήσονται, ὅπλα λαβόντες· ὥστε οὐ καλὸς ὁ κίνδυνος αὐτοῖς δοκεῖ εἶναι, ἐὰν μὲν νικήσωσι, τούτους [f]καταδουλώσασθαι· ἐὰν δὲ ἡττηθῶσι, σφᾶς αὐτοὺς [g]ὑπαρχόντων ἀγαθῶν [h]ἀποστερῆσαι· ὅσῳ δ' ἂν ἄμεινον πράττωσι, [i]τοσούτῳ ἐπιθυμοῦσι κινδυνεύειν. εἴχομεν δέ, ὦ ἄνδρες, καὶ ἡμεῖς ταύτην τὴν γνώμην, ὅτε τῶν Ἑλλήνων ἤρχομεν, καὶ ἐδοκοῦμεν καλῶς βουλεύεσθαι, περιορῶντες μὲν τὴν χώραν τεμνομένην, οὐ νομίζοντες δὲ χρῆναι περὶ αὐτῆς διαμάχεσθαι. ἄξιον γὰρ ἦν, ὀλίγων ἀμελοῦντας, πολλῶν ἀγαθῶν φείσασθαι. νῦν δέ, ἐπεὶ ἐκείνων μὲν ἁπάντων μάχῃ ἐστερήμεθα, ἡ δὲ πατρὶς ἡμῖν λέλειπται, ἴσμεν ὅτι ὁ κίνδυνος οὗτος μόνος ἔχει τὰς ἐλπίδας τῆς σωτηρίας. ἀλλὰ χρὴ ἀναμνησθέντας ὅτι ἤδη καὶ ἑτέροις ἀδικουμένοις βοηθήσαντες, ἐν τῇ ἀλλοτρίᾳ πολλὰ τρόπαια τῶν πολεμίων ἐστήσαμεν, ἄνδρας ἀγαθοὺς περὶ τῆς πατρίδος καὶ ἡμῶν αὐτῶν γίνεσθαι, πιστεύοντας μὲν τοῖς θεοῖς, καὶ ἐλπίζοντας ἐπὶ τὸ δίκαιον μετὰ τῶν ἀδικουμένων [k]ἔσεσθαι. δεινὸν γὰρ ἂν εἴη, ὦ Ἀθηναῖοι, εἰ, ὅτε μὲν ἐφεύγομεν, ἐμαχόμεθα Λακεδαιμονίοις, ἵνα κατέλθωμεν· κατελθόντες δέ, φευξόμεθα, ἵνα μὴ μαχώμεθα. [l]οὐκοῦν αἰσχρόν, εἰ εἰς τοῦτο κακίας ἥξομεν, ὥστε οἱ μὲν πρόγονοι καὶ ὑπὲρ τῆς τῶν ἄλλων ἐλευθερίας Ἑλλήνων διεκινδύνευον, ὑμεῖς δὲ οὐδὲ ὑπὲρ τῆς ὑμετέρας αὐτῶν τολμᾶτε πολεμεῖν;”

λδʹ. Ἀλλ' ἅλις ἤδη παραδειγμάτων, ἵνα καὶ περὶ τῶν λοιπῶν ῥητόρων τὸν αὐτὸν διαλεχθῶμεν τρόπον. ἐπεὶ δὲ τῷ ῥήτορι τούτῳ κατὰ τὴν τάξιν τῶν χρόνων Ἰσοκράτης. περὶ δὴ τούτου λεκτέον ἐφεξῆς, ἑτέραν ἀρχὴν λαβοῦσιν.

“ſalus futura eſt, niſi fecerimus quæ Lacedæmonii jubent. Ego vero his dicere velim, quid populo eventurum ſit, ſi illorum juſſa fecerimus? Sin minus, multo laudabilius erit pugnando occumbere, quam mortem nobis ſententia & decreto noſtro inferre. Credo enim,* ſi non perſuadeam, commune ambobus [Athenienſibus & Lacedæmoniis] inſtare periculum: cujus ſententiæ & Argivos & Mantinenſes eſſe video; illos quidem Lacedæmoniis conterminos, hos vero prope admodum habitantes; illos quidem nobis haud plures, hos autem vix tria millia complentes. Sciunt enim ſe, quamvis ſæpe hi in ſuum agrum ſint irrupturi, ſæpe etiam ſumptis armis illis occurſuros: adeo ut periculum illis parum honeſtum videatur, etiamſi vincant, ſe ſervire; ſi vero ſuperentur, bonis ſe præſentibus ſpoliari: † quanto melius agant, tanto magis periculum deſiderant. Ejuſdem & nos aliquando opinionis fuimus, Athenienſes, quando Græcorum principatum habebamus: & profecto recte id facere videbamur, quando regione noſtra, quæ vaſtabatur, neglecta, putabamus non eſſe pro ea dimicandum. ‡ Æquum enim erat, eos qui parva negligerent & pauca, & magnis & multis bonis abſtinere. Jam vero cum omnibus illis bello exuti ſimus, & ſola nobis patria ſit relicta; ſcimus hoc uno periculo omnem ſalutis ſpem contineri. Sed oportet, recordantes, quod olim etiam aliis ſuccurrendo injuria affectis in terra aliena multa trophœa de hoſtibus erexerimus, etiam viros nos præbere, dum pro patria & pro nobis ipſis certamus, diis confidentes, & ſperantes, nos ad jus noſtrum cum cæteris injuria affectis perventuros. Eſſet enim acerbum, Athenienſes, quando exſules fuimus, cum Lacedæmoniis contendere, ut reverteremur; reverſos vero iterum in exſilium agi, ne amplius pugnemus. Nonne igitur turpe erit, * ſi ad tantam calamitatem devenerimus, ut cum majores etiam pro aliorum Græcorum libertate pugnaverint, vos vero pro veſtra ipſorum pugnare non audeatis?”

XXXIV. Sed jam ſatis multa exempla produximus, ut de aliis oratoribus eodem modo agamus. Sequitur autem hunc ordine temporis Iſocrates. De illo deinceps agendum, & aliud initium capiendum.

94 ## ΙΣΟΚΡΑΤΗΣ ΑΘΗΝΑΙΟΣ.

Ἰσοκράτης ὁ Ἀθηναῖος, ἐγεννήθη μὲν [m]ἐπὶ τῆς ὀγδοηκοστῆς καὶ ἕκτης ὀλυμπιάδος, ἄρχοντος Ἀθήνησι [n]Λυσιμάχου, πέμπτῳ πρότερον ἔτει τοῦ Πελοποννησιακοῦ πολέμου, δυσὶ καὶ εἴκοσιν ἔτεσι νεώτερος Λυσίου. πατρὸς δὲ ἦν Θεοδώρου, π-

DE ISOCRATE JUDICIUM.

Natales, præceptores, ſcripta, doctrina, claritas, diſcipuli, divitiæ, obitus Iſocratis.

Iſocrates Athenienſis, natus eſt ſexta & octogeſima Olympiade, prætore Athenis Lyſimacho, quinquennio ante Peloponneſiacum bellum, duobus & viginti annis Lyſia natu minor. Pater ei Theodorus fuit, unus de

a Forſan rectius ποιήσωμεν ut v. 3. *Sylb.* b In *Codd.* quibuſdam ἃ Λακεδαιμόνιοι κελεύουσι, & ſequenti verſu τούτους. Poſſes etiam legere, ποιήσωμεν Λακεδαιμονίοις ἃ κελεύουσιν, vel ποιήσωμεν Λακεδαιμονίοις τὰ κελευόμενα. *Sylb.* c Ὑμῶν habet etiam *Ald.* Ἡμῶν maluit *Steph.* d Καταψηφίσασθαι *Reg.* 1. & 2. e In *Codd.* quibuſdam μὴ πείθω *non perſuadeam.* *Sylb.* f Forſan rectius καταδουλώσασθαι. *Sylb.* g Fortaſſe rectius cum articulo τῶν ὑπαρχ. *Sylb.* h Malim ἀποστερῆσαι *Sylb.* i In *Codd.* quibuſdam τοσούτῳ μᾶλλον ἐπιθυμ. ut *Stephanus* adnotavit. *Sylb.* k Nota hic ἔσεσθαι uſurpatum pro ἐλεύσεσθαι. *Sylb.* *Vander Heidius* legit, καὶ ἐλπίζοντας τὸ δίκαιον μετὰ τῶν ἀδικουμένων ἔσεσθαι, *nobis perſuadentes æquitatem ab iis fore qui injuria ſunt affecti.* l Alii ſine interrogatione legunt, atque interpretantur, *Turpe igitur fores* &c. m *Plutarchus* in *Iſocratis* vita habet κατὰ τὴν ὀγδοηκοστὴν ἕκτην. *Wolfius.* n Ναυσιμάχου reſcribendum cenſent nonnulli. Vide *Menagii* notas ad *Diogenem Laërtium*, pag. 136. * *Videlicet*, ut cum Lacedæmoniis bellum potius ſuſcipiamus, quam in ſervitutem ab ipſis nos redigi ſinamus. † *Al.* ſed potius, ſi qua meliore ſint conditione, expetendum fuerit periculum. ‡ *Al.* Sed æquum eſſe, paucis & exiguis neglectis, multa [& ingentia] bona ſibi conſervare. * *Al.* tantum nos admittere dedecus.

de mediocribus civibus; qui famulos tibiarum fabros habuit, atq; illo quæſtu ſe ſuſtentavit. Honeſte autem educatus & inſtitutus à pueritia, nihilo deterius quam quiſquam Athenienſium, ſtatim cum ad virilem ætatem perveniſſet, ad philoſophiam adjecit animum. Cum igitur & Prodicum Cejum, & Gorgiam Leontinum, & Tiſiam Syracuſanum, qui tum ſapientiæ nomine in Græcia celeberrimi erant, & (ut quidam ſcribunt) etiam Theramenem oratorem, quem triginta tyranni occiderunt, quod popularis videretur, audiſſet; percupidus fuit, cum dicendo tum agendo, adminiſtrandæ reip. Sed quia natura adverſabatur, quæ inſtrumenta oratoris præcipua, audaciam & vocis magnitudinem, ei negarat, ſine quibus ad populum dici non poterat; conſilium illud ſuum omiſit. Quia vero gloriam expetebat, & apud Græcos (ut ipſe ait) excellere opinione ſapientiæ cupiebat; eo confugit, ut ſuas cogitationes literis mandaret. Neque vero parvis de rebus, aut de privatis contractibus verba facere, aut uſitata ſophiſtis cæteris argumenta tractare inſtituit: ſed de rebus Græcorum regiiſque negotiis, unde ſperabat & urbes florentiores, & homines privatos virtute ornatiores fore. Nam in oratione *Panathenaica*, hæc de ſemetipſo ſcribit. Quum autem confuſam dicendi exercitationem à Gorgia & Protagora ſophiſtis accepiſſet; primus, ſubtilitate diſſerendi & naturæ obſcuritate relicta, ad orationes civiles ſe contulit, & in ea facultate conſtanter elaboravit: cujus illum eſſe fructum ait, ut ea eruditi qui ſunt, utilia & deliberent, & dicant, & agant. Clariſſimus fuit inter eos qui eodem tempore floruerunt: & adoleſcentes, cum Athenis tum in reliqua Græcia, præſtantiſſimos erudiit. quorum alii in forenſibus cauſis excelluerunt, alii in publicis negotiis & adminiſtratione reip. alii res, à barbaris & Græcis communiter geſtas, in literas retulerunt. Itaque ſchola ejus, veluti coloniis eloquentiæ deducendis, imaginem quandam civitatis Athenienſis repræſentabat. Unde etiam tantas opes adeptus eſt, quantas eorum nemo qui docenda philoſophia rem fecerunt. Obiit prætore Chæronide, paucis diebus poſt prœlium ad Chæroneam commiſſum. Vixit annos nonaginta octo. ita enim decreverat, ſe reip. cladibus ſupereſſe nolle: cum incertum adhuc eſſet, quomodo fortunam laturus eſſet Philippus ſuſcepto Græciæ principatu. Quæ igitur ſcriptis relata de eo comperimus, ſummatim quidem hæc ſunt.

Cenſura de Iſocratica dictione, & cum Lyſia collatio.

II. Dictio vero, qua uſus eſt, hunc fere characterem habet. Pura eſt, non minus quam Lyſiana, neque ullum temere nomen ponit: ſummumque ſtudium habet communis & uſitatiſſimi ſermonis, qui verborum obſoletorum & obſcurorum inſolentiam fugit: & medio-

νὸς τῶν μετρίων πολιτῶν, θεράποντας αὐλοποιοὺς κεκτημένου, [a] καὶ τὸν βίον ἀπὸ ταύτης ἔχοντος τῆς ἐργασίας. ἀγωγῆς δὲ τυχὼν εὐσχήμονος, καὶ παιδευθεὶς οὐδενὸς Ἀθηναίων χεῖρον, ἐπειδὴ τάχιστα ἀνὴρ ἐγένετο, φιλοσοφίας ἐπεθύμησε. γενόμενος δὲ ἀκουστὴς Προδίκου τε τοῦ Κείου, καὶ Γοργίου τοῦ Λεοντίνου, καὶ Τισίου τοῦ Συρακουσίου, τῶν τότε μέγιστον ὄνομα ἐν τοῖς Ἕλλησιν ἐχόντων ἐπὶ σοφίᾳ· ὡς δέ τινες ἱστοροῦσι, καὶ Θηραμένους τοῦ ῥήτορος, ὃν οἱ τριάκοντα ἀπέκτειναν, δημοτικὸν εἶναι δοκοῦντα· σπουδὴν μὲν ἐποιεῖτο πράττειν τε καὶ λέγειν τὰ πολιτικά. ὡς δὲ ἡ φύσις ἠναντιοῦτο, τὰ [b] πρῶτα καὶ κυριώτατα τοῦ ῥήτορος ἀφελομένη, τόλμαν τε καὶ φωνῆς μέγεθος, ὧν χωρὶς οὐχ οἷόν τε ἦν ἐν ὄχλῳ λέγειν, ταύτης μὲν ἀπέστη τῆς προαιρέσεως. ἐπιθυμῶν δὲ δόξης, καὶ τοῦ πρωτεῦσαι παρὰ τοῖς Ἕλλησιν ἐπὶ σοφίᾳ, καθάπερ αὐτὸς εἴρηκεν, ἐπὶ τὸ γράφειν ἃ διανοηθείη κατέφυγεν· οὐ περὶ μικρῶν τὴν προαίρεσιν ποιούμενος, οὐδὲ περὶ τῶν ἰδίων συμβολαίων, οὐδὲ ὑπὲρ ὧν ἄλλοι τινὲς τῶν τότε σοφιστῶν· περὶ δὲ τῶν Ἑλληνικῶν καὶ βασιλικῶν πραγμάτων, ἐξ ὧν ὑπελάμβανε τάς τε πόλεις ἄμεινον οἰκήσεσθαι, καὶ τοὺς ἰδιώτας ἐπίδοσιν ἕξειν πρὸς ἀρετήν. ταῦτα γὰρ ἐν ΤΩ ΠΑΝΑΘΗΝΑΙΚΩ λόγῳ περὶ αὐτοῦ γράφει. πεφυρμένην δὲ παραλαβὼν τὴν ἄσκησιν τῶν λόγων ὑπὸ τῶν περὶ Γοργίαν καὶ Πρωταγόραν σοφιστῶν, πρῶτος [c] ἐχώρησεν ἀπὸ τῶν ἐριστικῶν τε καὶ φυσικῶν ἐπὶ τοὺς πολιτικούς, καὶ περὶ ταύτην σπουδάζων τὴν ἐπιστήμην διετέλεσεν· ἐξ ἧς, ὥς φησιν αὐτός, τὸ [d] βουλεύεσθαι καὶ λέγειν καὶ πράττειν τὰ συμφέροντα [e] παραγίνεται τοῖς μαθοῦσιν. [f] ἐπιφανέστατος δὲ γενόμενος τῶν κατὰ τὸν αὐτὸν ἀκμασάντων χρόνον, καὶ τοὺς κρατίστους τῶν Ἀθήνησί τε καὶ ἐν τῇ ἄλλῃ Ἑλλάδι νέων παιδεύσας· ὧν οἱ μὲν [g] ἐν τοῖς δικανικοῖς ἐγένοντο ἄριστοι λόγοις, οἱ δ' ἐν τῷ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν διήνεγκαν, καὶ ἄλλοι δὲ [h] τὰς κοινὰς τῶν Ἑλλήνων τε καὶ βαρβάρων πράξεις ἀνέγραψαν· καὶ τῆς Ἀθηναίων πόλεως εἰκόνα ποιήσας τὴν ἑαυτοῦ σχολήν, [i] κατὰ τὰς ἀποικίας τῶν λόγων, πλοῦτον ὅσον οὐδεὶς τῶν ἀπὸ φιλοσοφίας χρηματισαμένων περιποιησάμενος, ἐτελεύτα τὸν βίον ἐπὶ Χαιρωνίδου ἄρχοντος, ὀλίγαις ἡμέραις ὕστερον τῆς ἐν Χαιρωνείᾳ μάχης, δυοῖν δέοντα βεβιωκὼς ἑκατὸν ἔτη, γνώμῃ χρησάμενος, ἅμα τοῖς ἀγαθοῖς τῆς πόλεως συγκαταλῦσαι τὸν ἑαυτοῦ βίον, ἀδήλου ἔτι ὄντος πῶς χρήσεται τῇ τύχῃ Φίλιππος παραλαβὼν τὴν τῶν Ἑλλήνων ἀρχήν. τὰ μὲν οὖν ἱστορούμενα περὶ αὐτοῦ, [k] κεφαλαιωδῶς ταῦτ' ἐστίν.

β'. Ἡ δὲ λέξις, ᾗ κέχρηται, τοιοῦτόν τινα χαρακτῆρα ἔχει. [l] καθαρὰ μέν ἐστιν οὐχ ἧττον τῆς Λυσίου, καὶ οὐδὲν εἰκῇ τιθεῖσα ὄνομα· τήν τε διάλεκτον ἀκριβοῦσα ἐν τοῖς πάνυ τὴν [m] κοινὴν καὶ συνηθεστάτην· καὶ γὰρ αὕτη πέφευγεν ἀπηρχαιωμένων καὶ σημειωδῶν ὀνομάτων

a Plutarchus habet εὐπορήσαντος ἀπὸ τούτου. quod eſt plus quam τὸν βίον ἔχοντος: niſi βίος *victus* (κατ' ἐπίτασιν) pro *divitiis* accipiatur. *Wolfius.* *b* Ita legere malim, quamvis in exemplari ſit πρῶτα καὶ κυριώτερα, ut ſupra p. 130. v. 46. *Sylb.* *c* Ἐχώρησεν, *abiit, ſe contulit, amplexus eſt,* à verbo χωρέω. apud *Plutarchum* vero χωρίσας πρῶτος *ſeperavit* ſeu *diſtinxit primus,* à verbo χωρίζω. *Wolf.* *d* Si quis malit βούλεσθαι per me licet. *Sylb.* *e* Περιγίνεται præfert *Wolfius.* *f* Periodus hæc prolixa eſt, cujus antecedens participio περιποιησάμενος finitur; verbum ἐτελεύτα periodi apodoſin orditur. *Wolf.* *g* Ἐν τοῖς δικανικοῖς, ut *Hyperides* & *Demoſthenes,* ἐν τῷ πολιτεύεσθαι, ut *Timotheus.* *Sylb.* *h* Id eſt, res à Græcis contra barbaros, & à barbaris contra Græcos geſtas, ut *Ephorus* & *Theopompus.* *Wolf.* *i* Vide *Annott.* *k* Quidam poſt κεφαλαιωδῶς diſtinguunt. Ego cum *Wolfio* adverbium hoc ad ſequentia referre malui, hoc ſenſu; *quæ igitur ſcripta de eo comperimus, ſummatim hæc ſunt.* *l* Vide p. 130. v. 41. *m* Ἡ κοινὴ διαλεκτὸς oppoſita τῇ γλωττηματικῶν καὶ ξένων ὀνομάτων χρήσει. *Wolf.*

ὀνομάτων τὴν ἀπειροκαλίαν. [ᵃ κατὰ δὲ τὴν τροπικὴν φράσιν, ὀλίγον τι διαλλάττει τῆς Λυσίου] καὶ κέκραται συμμέτρως· τό, τε σαφὲς ἐκείνῃ παραπλήσιον ἔχει, καὶ τὸ ἐναργές. ἠθική τέ ἐστι καὶ πιθανή. στρογγύλη δὲ οὐκ ἔστιν, ὥσπερ ἐκείνη, καὶ συγκεκροτημένη, καὶ πρὸς ἀγῶνας δικανικοὺς εὔθετος· ὑπτία δέ ἐστι μᾶλλον καὶ κεχυμένη πλουσίως. οὐδὲ δὴ σύντομος οὕτως, ἀλλὰ καὶ κατασκελὴς καὶ βραδυτέρα τοῦ μετρίου· δι᾽ ἣν δὲ αἰτίαν τοῦτο πάσχει, μετὰ μικρὸν ἐρῶ. οὐδὲ τὴν σύνθεσιν ἐπιδείκνυται τὴν φυσικὴν καὶ ἀφελῆ καὶ ἐναγώνιον, ὥσπερ ἡ Λυσίου, ἀλλὰ πεποιημένην μᾶλλον εἰς σεμνότητα πομπικὴν καὶ ποικίλην, καὶ πῇ μὲν εὐπρεπεστέραν ἐκείνης, πῇ δὲ περιεργοτέραν. ὁ γὰρ ἀνὴρ οὗτος τὴν εὐέπειαν ἐκ παντὸς διώκει, καὶ τοῦ γλαφυρῶς λέγειν στοχάζεται μᾶλλον ἢ τοῦ ἀφελῶς. τῶν τε γὰρ φωνηέντων τὰς παραλλήλους θέσεις, ὡς λυούσας τὰς ἁρμονίας τῶν ἤχων, καὶ τὴν λειότητα τῶν φθόγγων λυμαινομένας, παραιτεῖται· περιόδῳ τε καὶ κύκλῳ περιλαμβάνειν τὰ νοήματα πειρᾶται ῥυθμοειδεῖ πάνυ, καὶ οὐ πολὺ ἀπέχοντι τοῦ ποιητικοῦ μέτρου· ἀναγνώσεώς τε μᾶλλον οἰκειότερός ἐστιν ἢ ᵇ ῥήσεως. τοιγάρτοι τὰς μὲν ἐπιδείξεις τὰς ἐν ταῖς πανηγύρεσι, καὶ τὴν ᶜ ἐκ χειρὸς θεωρίαν φέρουσιν αὐτοῦ οἱ λόγοι· τοὺς δὲ ἐν ἐκκλησίαις καὶ δικαστηρίοις ἀγῶνας οὐχ ὑπομένουσι. τούτου δὲ αἴτιον, ὅτι πολὺ τὸ παθητικὸν ἐν ἐκείνοις εἶναι δεῖ· τοῦτο δὲ ἥκιστα δέχεται περίοδος. ᵈ αἵ τε παρομοιώσεις καὶ παρισώσεις καὶ τὰ ἀντίθετα, καὶ πᾶς ὁ τῶν τοιούτων σχημάτων κόσμος, πολύς ἐστι παρ᾽ αὐτῷ, καὶ λυπεῖ πολλάκις τὴν ἄλλην κατασκευήν, προσιστάμενος ταῖς ἀκοαῖς.

γ'. Καθόλου δὲ τριῶν ὄντων, ὥς φησι Θεόφραστος, ἐξ ὧν γίνεται τὸ μέγα καὶ σεμνὸν καὶ περιττὸν ἐν λέξει, τῆς τε ἐκλογῆς τῶν ὀνομάτων, καὶ τῆς ἐκ τούτων ἁρμονίας, καὶ τῶν περιλαμβανόντων αὐτὰ σχημάτων, ἐκλέγει μὲν εὖ πάνυ, καὶ τὰ κράτιστα ὀνόματα τίθησιν· ἁρμόττει δὲ αὐτὰ περιέργως, τὴν εὐφωνίαν ἐντείνων μουσικήν· ᵉ σχηματίζει τε φορτικῶς, καὶ τὰ πολλὰ γίνεται ψυχρός, ἢ τῷ πόρρωθεν λαμβάνειν, ἢ τῷ μὴ πρέποντα εἶναι τὰ σχήματα τοῖς πράγμασιν, (ᶠ ἢ) διὰ τὸ μὴ κρατεῖν τοῦ μετρίου. ταῦτα μέντοι καὶ μακροτέραν αὐτοῦ ποιεῖ τὴν λέξιν πολλάκις· λέγω δὲ τό, τε εἰς περιόδους ἐναρμόττειν ἅπαντα τὰ νοήματα, καὶ τὸ τοῖς αὐτοῖς τύποις τῶν σχημάτων τὰς περιόδους περιλαμβάνειν, καὶ τὸ διώκειν ἐκ παντὸς τὴν εὐρυθμίαν. οὐ γὰρ ἅπαντα δέχεται οὔτε μῆκος τὸ αὐτό, οὔτε σχῆμα τὸ παραπλήσιον, οὔτε ῥυθμὸν τὸν ἴσον. ὥστε ἀνάγκη παραπληρώμασι λέξεων οὐδὲν ὠφελουσῶν χρῆσθαι, καὶ ἀπομηκύνειν πέρα τοῦ χρησίμου τὸν λόγον. λέγω δὲ οὐχ ὡς διὰ παντὸς αὐτοῦ ταῦτα ποιοῦντος· οὐχ οὕτω μαίνομαι· καὶ γὰρ συντίθησί ποτε ἀφελῶς τὰ ὀνόματα, καὶ λύει τὴν περίοδον εὐγενῶς, καὶ τὰ περίεργα σχήματα καὶ φορτικὰ φεύγει, καὶ μάλιστα ἐν τοῖς συμβουλευτικοῖς τε καὶ δικανικοῖς λόγοις· ἀλλ᾽ ὡς ἐπὶ πολὺ τῷ ῥυθμῷ δουλεύοντος, καὶ τῷ κύκλῳ τῆς περιόδου, καὶ τὸ κάλλος τῆς ἀπαγγελίας ἐν τῷ περιττῷ

criter temperata eſt, & perſpicuitatem ac evidentiam eandem habet, morataque eſt & probabilis. *Quibus differat.* Quod vero ad tropos attinet, nonnihil à Lyſiana diſtat. Neque enim ita vel rotunda vel denſa eſt, vel ad certamina forenſia appoſita; ſed ſupina magis atque elumbis, & copioſe fuſa. Neque etiam ita brevis, ſed & veluti claudicans, & juſto tardior: (cujus rei quæ cauſa ſit, paulo poſt dicam) neque compoſitionem præ ſe fert naturalem illam, & ſimplicem & acrem, ut Lyſiana; ſed comparatam magis ad gravitatem faſtuoſam & variam, quæ quidem eſt aliquando quam illa decentior, aliquando affectatior. Hic enim vir ornatum verborum undique conſectatur, & magis in eo elaborat ut eleganter, quam ut ſimpliciter dicat. Nam & concurſus vocalium, ut qui ſonorum concentum ſolvant, & lenitatem pronunciationis turbent, cavet: & circuitu ac circulo complecti ſententias numeroſo prorſus, & à verſu parum diſtanti, conatur: & eſt ad legendum quam dicendum accommodatior. Ac oſtentationem quidem in ludorum celebritatibus, & lectionem otioſam, ferunt ejus orationes: ſed à forenſi ſtrepitu, concionumque procellis ſunt remotiſſimæ. In cauſa illud eſt, quod multum in illis acrimoniæ & affectuum eſſe oportet: id quod periodus minime recipit. *Iſocraticæ figuræ.* Nam & ſimiliter finita, & comparia, & antitheta, & univerſus talium figurarum mundus, multus apud eum eſt; auriumque ſæpe faſtidiis adhæreſcit, & ſtructuram orationis turbat.

III. Cum autem tria omnino, Theophraſto auctore, ſint, è quibus dictioni granditas, & ſplendor, & magnificentia quædam accedat: primum delectus verborum, deinde quæ ex illis exſiſtat concinnitas; poſtremo figuræ quibus hæc includantur: optimum delectum habet, & verba commodiſſima ponit: affectate vero conjungit eadem, muſicum quendam concentum captans; & figuras adhibet tumidas. Unde ſæpe friget: vel quia figuras illas longius acceſſit, vel quia rebus non ſatis congruentes miſcet, vel quia modum excedit. Hæc porro ſæpe dictionem illius producunt longius, dum includere periodis omnes ſententias, & iiſdem figurarum formis complecti periodos conatur, perpetuoque concinnitatem numerorum captat. Nec enim omnia recipiunt vel eandem longitudinem, vel ſimiles figuras, vel pares numeros. Quare fieri non poteſt, quin explendi gratia voces inculcet, quarum nullus eſt uſus; & longius quam expedit, orationem extendat. Neque vero ſic hæc accipi debent, quaſi perpetua illi eſſe dicam: non ita inſanio. Nam interdum & ſimpliciter vocabula jungit, & comprehenſionem egregie ſolvit: & operoſas figuras ac tumidas fugit; idque in ſuaſionibus & forenſibus orationibus potiſſimum. Sed quia plerumque numeris ſervit, & circulo periodi, atque elocutionis elegantiam in redundantia quadam ponit:

ᵃ Illa uncis incluſa transferenda cenſet *Wolfius*, & inſerenda v. 4. poſt verba illa, ἠθική τέ ἐστι καὶ πιθανή. ᵇ In vulgatis χρήσεως, minus recte. *Wolf.* ᶜ *Ex* χειρὸς βοηθεῖν eſt μετὰ πάσης ἐπιμελείας. utrum vero ἐκ χειρὸς θεωρίαν ſignificet *attentiſſime contemplari*, an *obiter ſpectare*, aut *celeriter percurrere*, vel *recitantem alium audire*, equidem dubito: inclinat tamen animus ut credam, τὴν ἐκ χειρὸς θεωρίαν idem eſſe quod ἀνάγνωσιν. Si quis tamen τὴν ἐκ χειρὸς θεωρίαν interpretari malit τὴν ταχεῖάν τε καὶ ἄσπουδον, ἢ τὴν πρόθυμον καὶ ἑκουσίαν, non repugnabo. *Wolf.* ᵈ Αἵ τε γὰρ ὁμοιώσεις perperam in vulgatis, quod παρισώσεις & παρομοιώσεις ſæpius copulentur à *Dionyſio*. ᵉ Rectius, mutata conjunctione, cum *Wolfio* legemus σχηματίζει δὲ φορτικῶς. *Sylb.* ᶠ Incluſam ἢ addidit *Wolfius*.

nit: generalius hæc de eo pronunciavi. His igitur ajo dictionem Iſocraticam à Lyſiaca vinci; nec parem etiam ſuavitatem habere. Floridus certe quidem eſt, ut ſiquis alius, Iſocrates, & voluptatis illecebris auditores demulcet: non eadem tamen eſt in eo venuſtas. & (quantum ad hanc quidem virtutem attinet) tanto eſt illo inferior, quantum naturali corporum pulchritudini aſcititii ornatus cedunt. Naturalis enim eſt in Lyſiana dictione ſuavitas; affectata, in Iſocratea. Et his virtutibus, mea quidem ſententia, vincitur à Lyſia: contra vincit eundem, his quas jam dicemus. Sublimior eſt illo in elocutione, & longe magnificentior, majeſtateque plenior. Admirabilis enim eſt & magna Iſocrateæ ſtructuræ ſublimitas, heroicæ quam humanæ naturæ propior. Quare ſi quis, gravitate & amplitudine & majeſtate, Iſocratis eloquentiam Polycleti & Phidiæ operibus contulerit, is à ſcopo aberraſſe mihi non videbitur: Lyſianam vero, Calamidis & Callimachi, ob ſubtilitatem & elegantiam. Quemadmodum enim eorum hi feliciores aliis ſunt in minoribus & humanis operibus, illi in majoribus ac divinis: ſic & oratorum alter in parvis dexterior eſt, alter in magnis excellentior: ſive natura ipſa magnanimus, ſive de induſtria quovis modo gravitatem captans & admirabilitatem. Atque hæc de dictione oratoris.

Comparatio rhetorum ad ſtatuarios, & tranſitio ab elocutione ad inventionem, judicium, & diſpoſitionem.

IV. Quod autem ad inquiſitionem rerum & ſententiarum attinet, alias par eſt Lyſiæ, alias eo præſtantior. Argumentorum quidem inventio ſingulis rebus accommodata, multa eſt & denſa, nihiloque Lyſiana inferior: judicium item à magno ingenio profectum. Diſpoſitio vero & diſtributiones rerum, & ſingulorum * epicherematum expolita tractatio, & orationis ſingulari varietate, & novis acceſſionibus, ad levandum ſimilitudinis faſtidium, diſtinctio, & ſiquæ ſunt aliæ virtutes in tractatione rerum: hæc apud Iſocratem longe majora ſunt, & meliora omnia. Præcipuam vero laudem meretur ob inſtitutum orationum, in quibus elaboravit, & propter argumentorum honeſtatem & elegantiam, quæ tractanda ſuſcepit. Hæc enim ſtudioſos ejus non eloquentia tantum augere, ſed ad morum etiam honeſtatem inſtituere, & gubernandæ tum familiæ, tum civitati, tum toti Græciæ, idoneos poſſint reddere. Nam præſtantiſſima præcepta virtutis in orationibus Iſocratis inveniuntur. Ac, mea quidem ſententia, qui non partem aliquam civilis facultatis, ſed rationem gerendæ reip. univerſam complecti animo volet, is hunc oratorem nocturna diurnaque manu verſare debebit. Quod ſi quis veram philoſophiam amplectitur, ſola contemplatione rerum haud contentus, ſed actione virtutis etiam occupatus, nec ſuis commodis metitur omnia, ſed multis prodeſſe ſtudet:

Iſocratem argumentorum honeſtate præferendum eſſe omnibus, exemplis probat.

πιθεμένου, κοινότερον εἴρηκα περὶ αὐτοῦ. κατὰ δὴ ταῦτα φημὶ τὴν Ἰσοκράτους λέξιν λείπεσθαι τῆς Λυσίου, καὶ ἔτι κατὰ τὴν χάριν. καίτοιγε ἀνθηρός ἐστιν, εἰ καί τις ἄλλος, καὶ ἐπαγωγὸς ἡδονῇ τῶν ἀκροωμένων Ἰσοκράτης· ἀλλ' οὐκ ἔχει τὴν αὐτὴν χάριν ἐκείνῳ. τοσοῦτον δ' αὐτοῦ λείπεται κατὰ ταύτην τὴν ἀρετὴν, ὅσον τῶν φύσει καλῶν σωμάτων [a] τὰ συνερανιζόμενα κόσμοις ἐπιθέτοις. πέφυκε γὰρ ἡ Λυσίου λέξις ἔχειν τὸ χάριεν· ἡ δ' Ἰσοκράτους, βούλεται. ταύταις μὲν δὴ ταῖς ἀρεταῖς ὑστερεῖ Λυσίου, κατὰ γοῦν τὴν ἐμὴν γνώμην· προέχει δέ γε ἐν ταῖς μελλούσαις λέγεσθαι. ὑψηλότερός ἐστιν ἐκείνου κατὰ τὴν ἑρμηνείαν, καὶ μεγαλοπρεπέστερος μακρῷ, καὶ ἀξιωματικώτερος. θαυμαστὸν γὰρ δὴ καὶ μέγα τὸ τῆς Ἰσοκράτους κατασκευῆς ὕψος, ἡρωϊκῆς μᾶλλον ἢ ἀνθρωπίνης φύσεως οἰκεῖον. δοκεῖ δή μοι μὴ ἀπὸ σκοποῦ τις ἂν εἰκάσαι τὴν μὲν Ἰσοκράτους ῥητορικὴν, τῇ Πολυκλείτου τε καὶ Φειδίου τέχνῃ, κατὰ τὸ σεμνὸν καὶ μεγαλότεχνον καὶ ἀξιωματικόν· τὴν δὲ Λυσίου, τῇ Καλάμιδος καὶ Καλλιμάχου, τῆς λεπτότητος ἕνεκα καὶ τῆς χάριτος. ὥσπερ γὰρ ἐκείνων οἱ μὲν, ἐν τοῖς ἐλάττοσι καὶ ἀνθρωπικοῖς ἔργοις εἰσὶν ἐπιτυχέστεροι τῶν ἑτέρων, οἱ δ', ἐν τοῖς μείζοσι καὶ θειοτέροις δεξιώτεροι· οὕτω καὶ τῶν ῥητόρων ὁ μὲν, ἐν τοῖς μικροῖς ἐστι σοφώτερος, ὁ δ', ἐν τοῖς μεγάλοις περιττότερος. τάχα μὲν γὰρ καὶ τῇ φύσει μεγαλόφρων τις ὤν· εἰ δὲ μὴ, τῇ γε προαιρέσει πάντως τὸ σεμνὸν καὶ θαυμαστὸν διώκων. ταῦτα μὲν οὖν περὶ τῆς λέξεως τοῦ ῥήτορος.

δ'. Τὰ δ' ἐν τῷ [b] πρακτικῷ τρόπῳ θεωρήματα, τὰ μὲν, ὅμοια τοῖς Λυσίου· τὰ δὲ, κρείττονα. ἡ μὲν εὕρεσις ἡ τῶν ἐνθυμημάτων, ἡ πρὸς ἕκαστον ἁρμόττουσα πρᾶγμα, πολλὴ καὶ πυκνὴ καὶ οὐδὲν ἐκείνης λειπομένη· καὶ κρίσις ὡσαύτως ἀπὸ μεγάλης φρονήσεως γινομένη· τάξις δὲ καὶ μερισμοὶ τῶν πραγμάτων, καὶ ἡ κατ' ἐπιχείρημα ἐξεργασία, καὶ τὸ διαλαμβάνεσθαι τὴν ὁμοειδίαν [c] ἰδίαις μεταβολαῖς, καὶ ξένοις ἐπεισοδίοις, τά τε ἄλλα ὅσα περὶ τὴν πραγματικὴν οἰκονομίαν ἐστὶν ἀγαθὰ, πολλῷ μείζονά ἐστι παρ' Ἰσοκράτει καὶ κρείττονα· μάλιστα δ' ἡ προαίρεσις ἡ τῶν λόγων περὶ οὓς ἐσπούδαζε, καὶ τῶν ὑποθέσεων τὸ κάλλος, ἐν αἷς ἐποιεῖτο τὰς διατριβάς· ἐξ ὧν οὐ λέγειν δεινοὺς μόνον ἀπεργάσαιτ' ἂν τοὺς προσέχοντας αὐτῷ τὸν νοῦν, ἀλλὰ καὶ τὰ ἤθη σπουδαίους, οἴκῳ τε καὶ πόλει καὶ ὅλῃ τῇ Ἑλλάδι χρησίμους. κράτιστα γὰρ δὴ παιδεύματα πρὸς ἀρετὴν ἐν τοῖς Ἰσοκράτους ἐστὶν εὑρεῖν λόγοις. καὶ ἔγωγέ φημι χρῆναι τοὺς μέλλοντας οὐχὶ μέρος τι τῆς [d] πολιτικῆς δυνάμεως, ἀλλ' ὅλην αὐτὴν κτήσασθαι, τοῦτον [e] ἔχειν τὸν ῥήτορα διὰ χειρός· καὶ εἴ τις ἐπιτηδεύει τὴν ἀληθινὴν φιλοσοφίαν, μὴ [f] τὸ θεωρητικὸν αὐτῆς μόνον ἀγαπῶν, ἀλλὰ καὶ τὸ πραγματικὸν, μηδ' ἀφ' ὧν αὐτὸς ἄλυπον ἕξει βίον προαιρούμενος, ἀλλ' ἐξ ὧν πολλοὺς ὠφελήσει, παρακελευσαίμην

a Legi etiam poſſit τὰ συνερανιζόμενα κόσμους ἐπιθέτους, *quæ aliunde colligunt & adſciſcunt ornamenta. Wolf.* b Πρακτικῷ τόπῳ mavult *Wolfius*, quia alibi ſic legitur. Sed cum hoc ipſum τρόπου nomen infra (p. 114. & 194. juxta *Ed. Sylb.*) in eadem ſignificatione repetatur, ac pro eodem uſurpentur τύπος, χαρακτὴρ, εἶδος, ἰδέα, ferri & hæc lectio fortaſſe poterit. *Sylb.* c Quid ſi legas ἡδείαις *jucundis*? cujuſmodi ſunt in *Panegyrico* veteris reip. deſcriptio, in *Helena* Theſei laudatio &c. *Wolf.* d Alibi τὴν πολιτικὴν ἐπιστήμην & τὴν πολιτικὴν φιλοσοφίαν appellat. e Puto deeſſe ἀεὶ ante vel poſt ἔχειν. *Steph.* f Id eſt, τὸ πρακτικόν: quæ philoſophiæ diviſio nemini eſt ignota. *Wolf.* * Id eſt, *argumentorum*: nam ἐπιχείρημα & ἐνθύμημα promiſcue hîc uſurpantur pro eo quo rei dubiæ fides fit. *Wolf.*

96 μὴν ἂν αὐτῷ τὴν ἐκείνου τοῦ ῥήτορος μιμεῖσθαι προαίρεσιν.

έ. Τίς γὰρ οὐκ ἂν γένοιτο φιλόπολίς τε καὶ φιλόδημος· ἢ τίς οὐκ ἂν ἐπιτηδεύσειε τὴν [a] πολιτικὴν καλοκἀγαθίαν, ἀναγνοὺς αὐτοῦ ΤΟΝ ΠΑΝΗΓΥΡΙΚΟΝ; ἐν ᾧ διεξιὼν τὰς τῶν ἀρχαίων ἀρετάς, φησὶν ὡς οἱ τὴν Ελλάδα ἐλευθερώσαντες ἀπὸ τῶν βαρβάρων, οὐ τὰ πολέμια δεινοὶ μόνον ἦσαν, ἀλλὰ καὶ τὰ ἤθη γενναῖοι, καὶ φιλότιμοι, καὶ σώφρονες· οἵ γε τῶν μὲν κοινῶν μᾶλλον ἐφρόντιζον ἢ τῶν ἰδίων, τῶν δὲ ἀλλοτρίων ἧττον ἐπεθύμουν ἢ τῶν ἀδυνάτων· καὶ τὴν εὐδαιμονίαν οὐ πρὸς ἀργύριον ἔκρινον, ἀλλὰ πρὸς εὐδοξίαν· μέγαν οἰόμενοι τοῖς παισὶ καταλείψειν πλοῦτον καὶ ἀνεπίφθονον, τὴν παρὰ τοῖς πλήθεσι τιμήν· κρείττονα δὲ ἡγοῦντο τὸν εὐσχήμονα θάνατον, ἢ τὸν ἀκλεῆ βίον· ἐσκόπουν δὲ οὐχ ὅπως οἱ νόμοι καλῶς καὶ ἀκριβῶς αὐτοῖς ἕξουσιν, ἀλλ' ὡς ἡ τῶν καθ' ἡμέραν ἐπιτηδευμάτων μετριότης μηδὲν ἐκβήσεται τῶν πατρίων· οὕτω δὲ εἶχεν αὐτοῖς τὰ πρὸς ἀλλήλους φιλοτίμως καὶ πολιτικῶς, ὥστε καὶ τὰς στάσεις ἐποιοῦντο πρὸς ἀλλήλους, πότεροι πλείω τὴν πόλιν ἀγαθὰ ποιήσουσιν, οὐχ οἵτινες τοὺς ἑτέρους ἀπολέσαντες, τῶν λοιπῶν αὐτοὶ ἄρξουσι· τῇ δὲ αὐτῇ προθυμίᾳ χρώμενοι καὶ πρὸς [b] τὴν Ελλάδα, τῷ θεραπεύειν προσήγοντο τὰς πόλεις, καὶ τῷ πείθειν ταῖς εὐεργεσίαις μᾶλλον ἢ τῷ βιάζεσθαι τοῖς ὅπλοις, κατεῖχον· πιστοτέροις χρώμενοι τοῖς λόγοις ἢ νῦν τοῖς ὅρκοις, καὶ ταῖς συνθήκαις ἀξιοῦντες μᾶλλον ἐμμένειν, ἢ ταῖς ἀνάγκαις· τοιαῦτα δὲ περὶ τῶν ἡττόνων ἀξιοῦντες γινώσκειν, οἷα περὶ σφῶν αὐτῶν τοὺς κρείττους ἂν ἠξίωσαν φρονεῖν· οὕτω δὲ παρεσκευασμένοι τὰς γνώμας, ὡς ἴδια μὲν ἔχοντες τὰς ἑαυτῶν πόλεις, κοινὴν δὲ πατρίδα τὴν Ελλάδα οἰκοῦντες.

ς'. Τίς δ' οὐκ ἂν ἀγαπήσειε μέγεθος ἔχων ἀνὴρ καὶ δυνάμεώς τινος ἡγούμενος, ἃ ΠΡΟΣ ΦΙΛΙΠΠΟΝ αὐτῷ τὸν Μακεδόνα γέγραπται; ἐν οἷς ἀξιοῖ στρατηγὸν ἄνδρα καὶ τηλικαύτης ἐξουσίας κύριον, διαλλάττειν μὲν τὰς διαφερομένας πόλεις, ἀλλὰ μὴ συγκρούειν πρὸς ἀλλήλας, τὴν δὲ Ελλάδα μεγάλην ἐκ μικρᾶς ποιεῖν· ὑπεριδόντα [c] (δὲ) τὰς περὶ τὰ μικρὰ φιλοτιμίας, τοῖς τοιούτοις ἐπιχειρεῖν ἔργοις, ἐξ ὧν κατορθώσας τε, πάντων ἡγεμόνων ἐπιφανέστατος ἔσται, καὶ ἀποτυχών, τήν γε εὔνοιαν τὴν παρὰ τῶν Ελλήνων κτήσεται· ἧς οἱ τυχόντες, πολλῷ μᾶλλόν εἰσι ζηλωτότεροι τῶν μεγάλας πόλεις καὶ πολλὰς χώρας καταστρεφομένων. ἔτι δὲ παρακελεύεται μιμεῖσθαι τὴν Ηρακλέους τε προαίρεσιν, καὶ τῶν ἄλλων ἡγεμόνων, ὅσοι μετὰ τῶν Ελλήνων ἐπὶ τοὺς βαρβάρους ἐστράτευσαν· καί φησι χρῆναι τοὺς ἑτέρων διαφέροντας, προαιρεῖσθαι μὲν τὰς μέγεθος ἐχούσας πράξεις, ἐπιτελεῖν δὲ αὐτὰς μετὰ ἀρετῆς, ἐνθυμουμένους ὅτι τὸ μὲν σῶμα θνητὸν ἔχομεν, ἀθάνατοι δὲ γινόμεθα δι' ἀρετήν· καὶ τοῖς μὲν πρὸς ἄλλο τι τῶν ἀγαθῶν ἀπλήστως διακειμένοις ἀχθόμεθα, τοὺς δὲ τι-

huic ego auctor ero, ut oratoris hujus imitetur inſtitutum.

V. Quis enim non amore complecteretur & rempublicam & populum: aut quis honeſtati & iis virtutibus quæ in magiſtratu boniſque civibus requiruntur, non ſtuderet, lecto ejus *Panegyrico*? Nam ibi majorum virtutes commemorans, eos qui à dominatu barbarorum Græciam liberarint, non egregios tantum bellatores fuiſſe dicit; ſed animis & moribus etiam generoſis præditos, & gloriæ cupidos & modeſtos: qui quidem rem publicam diligentius curarent, quam privatam; aliena minus concupiſcerent quam ea quæ fieri non poſſent; felicitatem non in opulentia, ſed in honeſta fama ſitam eſſe judicarent: exiſtimantes, ſe liberis magnas divitias & non individioſas relicturos, ſi honorem eis popularem reliquiſſent: honeſtam porro mortem ingloriæ vitæ præferendam ducerent, non in eo elaborantes, ut præclaras & accuratas leges haberent, ſed ut ea eſſet in quotidianæ vitæ conſuetudine civium moderatio, quæ à patriis inſtitutis nequaquam recederet: tam honeſte & civiliter invicem affecti, ut inter ſeſe quaſi per factionem certarent, quinam melius de republica mereri poſſent, non qui oppreſſis adverſariis, ipſi reliquis imperarent; eademque utentes animi propenſione erga Græciam quoque officiis civitates adjungerent, & perſuaſione beneficiorum potius quam armorum coactione in fide retinerent: ita veraces, ut eorum ſimplex oratio minus in dubium vocaretur, quam nunc jurisjurandi religio: itaque conſtantes, ut pacta & fœdera ultro ſervarent diligentius, quam ſi conſtricti neceſſitate tenerentur: non alia in imbecilliores decernentes, quam in ſe à potentioribus ſtatui vellent; & ſic perſuaſum haberent, ſe privatim quidem ſuas tenere civitates, ſed in Græcia, tanquam communi patria, habitare.

Panegyricus.

VI. Quis vero vir magnus & juſti exercitus imperator, ea non magni facit quæ *ad Philippum Macedonem* ſcripſit? cum ducis, præſertim tanta poteſtate præditi, officium eſſe dicit, urbes diſſidentes reconciliare, & non inter eas ſeditionem ac diſcordiam concitare; Græciam è parva magnam reddere, deſpectoque minutarum rerum ſtudio, ea ſuſcipere, quibus & feliciter confectis, omnium ducum clariſſimus futurus ſit; & infectis, ſaltem Græcorum benevolentiam conſecuturus: cujus qui ſint facti compotes, longe lateque præclariores habeantur iis qui magnas urbes evertant, multaſque nationes ſubigant. Præterea hortatur, ut Herculis inſtitutum ac cæterorum principum, qui cum Græcis adverſus barbaros militarunt, imitetur: & iis, ait, qui præſtent reliquis, magnas eſſe res ſuſcipiendas, eaſque fortiter ac ſtrenue conficiendas: cogitantibus, nos, cum mortale corpus habeamus, fieri virtute immortales. Nam eos qui aliorum bonorum inſatiabili cupiditate teneantur, inviſos eſſe: contra, honoris ſubinde

Oratio Philippica.

a Per πολιτικὴν καλοκἀγαθίαν eam probitatem & virtutem intelligit, quæ eſt magiſtratuum aut bonorum civium. *Wolf.*
b Poſt τὴν Ελλάδα diſtinguendum, non poſt τῷ θεραπεύειν, monuit etiam *Wolfius.* c Incluſa δὲ addita ab eodem *Wolfio.*

inde augendi ſtudioſos commendari: & quibus rebus plerique gaudeant, ut opibus, ut imperio, ut potentia, iis ſæpenumero etiam hoſtes potiri; virtutis autem & popularis benevolentiæ, domeſticos cujuſque hæredes eſſe. Omnino enim neceſſe eſt, principes, qui hæc legunt, & majores capere animos, & vehementiore ſtudio virtutis inflammari.

μὴν μείζω τῆς ὑπαρχούσης ἀεὶ κτωμένους ἐπαινοῦμεν· καὶ ὅτι τῶν μὲν ἄλλων ἐφ᾽ οἷς [a] (χαίρουσιν οἱ πολλοί,) τούτε πλούτου καὶ ἀρχῆς καὶ δυναστείας, πολλάκις τοὺς ἐχθροὺς συμβαίνει γίνεσθαι κυρίους, τῆς δὲ ἀρετῆς καὶ τῆς παρὰ τοῖς πλήθεσιν εὐνοίας, τοὺς οἰκείους ἑκάστου κληρονομεῖν. πολλὴ γὰρ ἀνάγκη τοὺς ἀναγινώσκοντας ταῦτα δυνάστας φρονήματός τε μείζονος ὑποπίμπλασθαι, καὶ μᾶλλον ἐπιθυμεῖν τῆς ἀρετῆς.

Socialis ſive de Pace oratio.

VII. Quis vero vehementius ad colendam juſtitiam & pietatem, cum ſingulos privatim, tum publice totas civitates adhortari queat, quam ſcripta *de Pace* oratio? quæ ſuadet Athenienſibus, ne appetant aliena, ſed ut ſuo contenti ſint, parvis oppidis tanquam fundis ſuis parcant; ac ſocios in officio, benevolentia & beneficiis, non vi & neceſſitate coactos, contineant: utque è majoribus imitentur non eos qui ante bellum Decelicum propemodum civitatem evertiſſent; ſed illos qui ante bellum Perſicum perpetuum virtutis ſtudium habuerunt. Oſtendit etiam, non multitudine triremium, aut imperio per vim in Græcos exercendo, rempublicam augeri; ſed juſtis potius actionibus, injuriiſque prohibendis. Benevolentiam item Græcorum, quam ad beate vivendum plurimum conferre exiſtimat, civitati ut concilient, in primis hortatur; & ut ad bellum quidem parati ſint & inſtructi, ſed pacis ita ſtudioſi, ut neminem ullis injuriis afficiant: ac docet, neque ad parandas opes, neque ad gloriam, neque denique ad felicitatem quidquam tantum conferre, quantum virtutem & ejus partes. Eos autem qui aliter ſentiunt, reprehendit, quod exiſtiment, injuſtitiam quidem callidam eſſe, & ad quotidianam vitam utilem; juſtitiam vero incommodam eſſe, & aliis, quam iis penes quos eſt, utiliorem. Ego quidem haud ſcio an quiſquam orationes vel meliores vel veriores, vel magis philoſophiæ conſentaneas habere queat.

ζ. Τίς δὲ ἂν μᾶλλον ἐπὶ τὴν δικαιοσύνην καὶ τὴν εὐσέβειαν προετρέψατο, καθ᾽ ἕκαστόν τε ἄνδρα ἰδίᾳ καὶ κοινῇ τὰς πόλεις ὅλας, τοῦ ΠΕΡΙ ΤΗΣ ΕΙΡΗΝΗΣ λόγου; ἐν γὰρ δὴ τούτῳ πείθει τοὺς Ἀθηναίους, τῶν μὲν ἀλλοτρίων μὴ ἐπιθυμεῖν, ἐπὶ δὲ τοῖς παροῦσι στέργειν· καὶ τῶν μὲν μικρῶν πόλεων ὥσπερανεὶ κτημάτων φείδεσθαι, τοὺς δὲ συμμάχους (εὐνοίᾳ) τε καὶ εὐεργεσίαις πειρᾶσθαι κατέχειν, ἀλλὰ μὴ ταῖς ἀνάγκαις μηδὲ ταῖς βίαις· τῶν δὲ προγόνων μιμεῖσθαι μὴ τοὺς πρὸ τῶν Δεκελεικῶν γενομένους, οἳ μικροῦ ἐδέησαν ἀπολέσαι τὴν πόλιν, ἀλλὰ τοὺς περὶ τῶν Περσικῶν, οἳ καλοκἀγαθίαν ἀσκοῦντες διετέλεσαν. ἐπιδείκνυταί τε ὡς οὐχ αἱ πολλαὶ τριήρεις, οὐδ᾽ ἡ μετὰ βίας ἀρχομένων Ἕλληνες μεγάλην ποιοῦσι τὴν πόλιν, ἀλλ᾽ αἱ δίκαιαί τε προαιρέσεις, καὶ τὸ τοῖς ἀδικουμένοις βοηθεῖν. παρακαλεῖτε τὴν τῶν Ἑλλήνων εὔνοιαν οἰκείαν ποιεῖν τῇ πόλει, μεγίστην ἡγούμενος πρὸς εὐδαιμονίαν· καὶ πολεμικοὺς μὲν εἶναι ταῖς παρασκευαῖς καὶ ταῖς μελέταις, εἰρηνικοὺς δὲ τῷ μηδένα μηδὲν ἀδικεῖν· διδάσκων ὡς οὔτε πρὸς πλοῦτον, οὔτε πρὸς δόξαν, οὔθ᾽ ὅλως πρὸς εὐδαιμονίαν οὐθὲν ἂν συμβάλοιτο τη- 97 λικαύτην δύναμιν, ἴσην ἀρετὴ καὶ τὰ μέρη ταύτης· καὶ τοῖς μὴ ταῦτα ὑπειληφόσιν ἐπιτιμῶν, οἳ τὴν μὲν ἀδικίαν κερδαλέαν [b] ἡγοῦντο, καὶ πρὸς τὸν βίον τὸν καθ᾽ ἡμέραν συμφέρουσαν· τὴν δὲ δικαιοσύνην, ἀλυσιτελῆ, καὶ μᾶλλον ἑτέροις ἢ τοῖς ἔχουσιν ὠφέλιμον. τούτων γὰρ οὐκ οἶδ᾽ εἴ τις ἂν ἢ βελτίους ἢ ἀληθεστέρους ἢ μᾶλλον πρέποντας φιλοσοφίᾳ δύναιτο λόγους εἰπεῖν.

Areopagitica.

VIII. Quis porro lecta oratione *Areopagitica*, non modeſtior fieret? aut quis inſtitutum oratoris non laudet? qui apud Athenienſes de reipublicæ forma diſputare non dubitarit, ac auctor eſſe ut ea Democratia, quæ tum erat, tanquam civitati pernicioſa, mutaretur. qua de re popularium magiſtratuum nemo referre inſtituebat. Videbat enim ita prolapſam eſſe diſciplinam civitatis, ut jam nec à magiſtratibus homines privati coërceri poſſent, ſed unuſquiſque cum diceret, tum faceret, quidquid collibitum eſſet, ac omnes importunam confidentiam, libertatem popularem exiſtimarent. Suadet igitur, ut à Solone & Cliſthene conſtituta reſpublica revocetur. cujus naturam & inſtituta recenſens, ait: illa ætate gravius exiſtimatum eſſe, natu majoribus dicendo adverſari, quam aciem ſolvere: democratiam eos judicaſſe, non in petulantia, ſed in modeſtia conſiſtere: libertatem poſuiſſe non in contemptu magiſtratuum, ſed in imperatis faciendis: poteſtatem flagitioſo nemini dediſſe, ſed ſpectatiſſimis viris

η΄. Τίς δὲ τὸν ΑΡΕΟΠΑΓΙΤΙΚΟΝ ἀναγνοὺς λόγον, οὐκ ἂν γένοιτο κοσμιώτερος; ἢ τίς οὐκ ἂν θαυμάσειε τὴν [c] ἐπιβολὴν τοῦ ῥήτορος; ὃς ἐτόλμησε διαλεχθῆναι περὶ πολιτείας Ἀθηναίοις, ἀξιῶν μετατίθεσθαι μὲν τὴν τότε καθεστῶσαν δημοκρατίαν, ὡς μεγάλα βλάπτουσαν τὴν πόλιν, ὑπὲρ ἧς [d] (τῶν) δημαγωγῶν οὐθεὶς ἐπεχείρει λέγειν· θεωρῶν εἰς τοσαύτην αὐτὴν προεληλυθυῖαν ἀκοσμίαν, ὥστε μηδὲ τοὺς ἄρχοντας ἔτι τῶν ἰδιωτῶν κρατεῖν, ἀλλ᾽ ἕκαστον ὅ,τι καθ᾽ ἡδονὴν αὐτῷ γίνοιτο, καὶ ποιοῦντα καὶ λέγοντα, καὶ τὸν ἄκαιρον παρρησίαν, δημοτικὴν ἐξουσίαν ὑπὸ πάντων νομιζομένην· ἀνασώσασθαι δὲ τὴν ὑπὸ Σόλωνός τε καὶ Κλεισθένους καταστᾳθεῖσαν πολιτείαν· ἧς τὴν προαίρεσιν καὶ τὰ ἤθη διεξιὼν δεινότερον μὲν ἡγεῖσθαί φησι τοὺς τότε ἀνθρώπους τὸ τοῖς πρεσβυτέροις ἀντειπεῖν, ἢ τὴν τάξιν λύειν· δημοκρατίαν δὲ αὐτοὺς νομίζειν οὐ τὴν ἀκολασίαν, ἀλλὰ τὴν σωφροσύνην· τὸ δὲ ἐλεύθερον, οὐκ ἐν τῷ καταφρονεῖν τῶν ἀρχόντων, ἀλλ᾽ ἐν τῷ τὰ κελευόμενα ποιεῖν τίθεσθαι· ἐξουσίαν τε οὐθενὶ τῶν ἀκολάστων ἐπιτρέπειν, [e] ἀλλὰ τοῖς βελτίστοις ἀναπιθέναι

[a] Itidem incluſa iſta *χαίρουσιν οἱ πολλοί*, quæ in vulgatis libris deerant, ex *Iſocrate* ſupplevit idem *Wolfius*, ut & εὐνοίᾳ v. 13. *b* Ἡγοῦνται legendum cenſet *Wolfius*. *c* Id eſt, ἔννοιαν, ἐγχείρησιν, *cogitationem, conatum*, ſeu *inſtitutum*. *Wolf.* *d* Incluſus articulus τῶν additus ex ejuſdem *Wolfii* editione. Poſſis etiam ibidem legere ὑπὲρ οὗ *qua de re. Sylb.* *e* Pro ἀλλὰ exemplar habet ἀλλ᾽ ἐν. Ego *Wolfium* ſequi malui. *Sylb.*

ἀναθεῖναι τὰς ἀρχάς, τοιούτους ἔσεσθαι τοὺς ἄλλους ὑπολαμβάνοντας, οἷοίπερ ἂν ὦσιν οἱ τὴν πόλιν διοικοῦντες· ἀντὶ δὲ τοῦ τὰς ἰδίας οὐσίας ἐκ τῶν δημοσίων ἐπανορθοῦν, τοὺς ἰδίους πλούτους εἰς τὰ κοινὰ [a] καταχορηγῆσαι. χωρὶς δὲ τούτων, πλείω τὴν ἐπιμέλειαν ποιεῖσθαι τοὺς πατέρας τῶν υἱῶν ἀνδρῶν γενομένων, ἢ παίδων ὄντων ἐποιοῦντο· ἐνθυμουμένους ὡς οὐκ ἐξ ἐκείνης τῆς παιδείας, ἀλλ' ἐκ ταύτης τῆς σωφροσύνης μᾶλλον ὠφελεῖται τὸ κοινόν· κρείττονά τε ὑπολαμβάνειν τὰ χρηστὰ ἐπιτηδεύματα τῆς ἀκριβοῦς νομοθεσίας, σκοποῦντας οὐχ ὅπως ταῖς τιμωρίαις τοὺς ἁμαρτάνοντας ἀνείρξουσιν, ἀλλ' ὡς μηδὲν ἄξιον ζημίας ἕκαστον ἐπιτηδεύειν· καὶ τὴν μὲν πατρίδα δεῖν οἰομένους ἐν ἐξουσίᾳ διάγειν μεγάλῃ, τοῖς δ' ἰδιώταις μηδὲν ἐξεῖναι ποιεῖν ὅ,τι ἂν οἱ νόμοι κωλύωσι· καρτερεῖν δὲ τὰ δεινά, καὶ μὴ ἐκπλήττεσθαι ταῖς συμφοραῖς.

θ'. Τίς δ' ἂν μᾶλλον πείσειε καὶ πόλιν καὶ ἄνδρας τοῦ ῥήτορος, πολλαχῇ μὲν καὶ ἄλλῃ, μάλιστα δ' ἐν τῷ πρὸς Λακεδαιμονίους γραφέντι λόγῳ, ὃς ἐπιγράφεται μὲν ΑΡΧΙΔΑΜΟΣ, ὑπόθεσιν δὲ περιείληφε τὴν περὶ τοῦ μὴ προέσθαι Μεσσήνην Βοιωτοῖς, μηδὲ ποιεῖν τὸ προσταττόμενον ὑπὸ τῶν ἐχθρῶν; ἠτύχητο γὰρ δὴ τοῖς Λακεδαιμονίοις ἥ τε περὶ Λεῦκτρα μάχη, καὶ πολλαὶ μετ' ἐκείνην ἕτεραι· καὶ τὰ μὲν Θηβαίων πράγματα ἤνθει τε καὶ εἰς μέγεθος ἀρχῆς προεληλύθει· τὰ δὲ τῆς Σπάρτης, ταπεινὰ καὶ ἀνάξια τῆς ἀρχαίας ἡγεμονίας ἐγεγόνει. τελευτῶσα οὖν ἵνα τύχῃ τῆς εἰρήνης ἡ πόλις, ἐβουλεύετο εἰ χρὴ Μεσσηνίας ἀποστῆναι, ταύτην ἐπιτιθέντων αὐτῇ Βοιωτῶν τὴν ἀνάγκην. ὁρῶν οὖν αὐτὴν ἀνάξια πράττειν μέλλουσαν τῶν προγόνων, τόνδε τὸν λόγον συνετάξατο Ἀρχιδάμῳ, νέῳ μὲν ὄντι καὶ οὔπω βασιλεύοντι, ἐλπίδας δὲ πολλὰς ἔχοντι ταύτης τεύξεσθαι τῆς τιμῆς. ἐν ᾧ διεξέρχεται πρῶτον μὲν ὡς δικαίως ἐκτήσαντο Μεσσήνην Λακεδαιμόνιοι, παραδόντων τε αὐτὴν τῶν Κρεσφόντου παίδων, ὅτε ἐξέπεσον ἐκ τῆς ἀρχῆς, καὶ τοῦ θεοῦ προστάξαντος δέχεσθαι καὶ τιμωρεῖν τοῖς ἀδικουμένοις· πρὸς δὲ τούτοις ἐπικυρώσαντος μὲν τὴν κτῆσιν τοῦ πολέμου, κάρτερον δὲ καὶ βέβαιον πεποιηκότος τοῦ χρόνου. διδάσκει δὲ ὡς οὐ Μεσσηνίοις τοῖς οὐκέτ' οὖσιν, ἀλλὰ δούλοις καὶ εἵλωσιν ὁρμητήριον καὶ καταφυγὴν παρέξουσι τὴν πόλιν. διεξέρχεταί τε τοὺς κινδύνους τῶν προγόνων, οὓς ὑπέμειναν ἕνεκα τῆς ἡγεμονίας καὶ τῆς δόξης· ὑπομιμνήσκει τῆς παρὰ τοῖς Ἕλλησιν ὑπαρχούσης περὶ αὐτῶν· παραινεῖ τε μὴ συγκαταπίπτειν ταῖς τύχαις, μηδ' ἀπογινώσκειν τὰς μεταβολάς· ἐνθυμουμένους ὅτι πολλοὶ μὲν ἤδη μείζω δύναμιν ἔχοντες ἢ Θηβαῖοι, ὑπὸ τῶν ἀσθενεστέρων ἐκρατήθησαν· πολλοὶ δὲ εἰς πολιορκίαν κατακλεισθέντες καὶ δεινότερα ἢ Λακεδαιμόνιοι [b] πάσχοντες, [c] διέφθειραν τοὺς ἐπιστρατεύσαντας· καὶ παράδειγμα ποιεῖται τὴν Ἀθηναίων πόλιν, [d] ἥτις ἐκ πολλῆς εὐδαιμονίας ἀνάστατος γενομένη, τοὺς ἐσχάτους ὑπέστη κινδύνους, ἵνα μὴ τοῖς βαρβάροις ποιῇ τὸ προσταττόμενον. παρακελεύεται δὲ καὶ καρτερεῖν ἐπὶ τοῖς παροῦσι, καὶ θαρρεῖν περὶ τῶν μελλόντων· ἐπισταμένους ὅτι τὰς τοιαύτας συμφορὰς αἱ πόλεις ἐπανορθοῦνται πολιτείᾳ χρηστῇ καὶ πολέμων ἐμπειρίαις· ἐν οἷς προεῖχεν ἡ Σπάρτη τῶν ἄλλων

magiſtratus mandaſſe; quod exiſtimarent, tales fore cæteros cives, quales eſſent gubernatores civitatis. tantum vero abfuiſſe ut peculatu rem familiarem amplificarent, ut ſuas opes in reipublicæ utilitatem effunderent. præterea, patribus majori curæ fuiſſe filios jam viros, quam pueros, quod illorum modeſtiam plus prodeſſe reipublicæ quam puerilem inſtitutionem, & recta ſtudia legum accuratæ conſtitutioni præſtare cenſerent: exquirentes, non quibus ſuppliciis delinquentes coercerent, ſed qua diſciplina caverent nequid pœna dignum ab ullo committeretur: ac patriam quidem exiſtimantes auctoritate magna florere, privatis autem hominibus licere nihil, quod legibus interdictum eſſet, oportere; ſed eis & pericula ſubeunda, & res adverſas infractis animis eſſe perferendas.

Archidamo ad Lacedæmonios ſcripta oratio.

IX. Quis vero vel civitati vel viris facilius perſuaderet hoc oratore, cum multis aliis in locis, tum in oratione Laconica, quæ *Archidamus* inſcribitur; & illud argumentum continet, neque Meſſenam Bœotiis tradendam, nec hoſtium imperata eſſe facienda? Nam adverſo marte pugnarant Lacedæmonii & ad Leuctra, & deinde multis aliis prœliis: ac Thebanorum quidem opes florebant, & ad imperii magnitudinem proceſſerant: Spartanorum autem res afflictæ erant, & à dignitate veteris principatus degenerarant. Tandem igitur civitas, ut pacem impetraret, deliberabat, eſſetne agro Meſſenio cedendum. nam hæc ei neceſſitas à Bœotiis imponebatur. Cum igitur videret Iſocrates, eam indigna facturam eſſe ſuis majoribus, Archidamo, qui quidem adoleſcens, necdum regno potitus erat, ſed magnam tamen ſpem habebat eum honoris gradum aſſequendi, hanc orationem compoſuit: cujus initio commemorat, jure Meſſenam tenere Lacedæmonios, tum à Creſphontæ liberis regno pulſis traditam, tum oraculo Delphico confirmatam, quo juſſi fuerant & urbem accipere, & affectis injuria opitulari; tum belli jure, & diuturnitate temporis conſtabilita poſſeſſione. Docet etiam non Meſſeniis, qui nulli jam eſſent, ſed ſervis & mancipiis, (quos Helotas vocant) id oppidum, ut portum & receptaculum, tradituros. Enumerat & pericula, quæ majores eorum imperii cauſa adierint: & qua ſint apud Græcos exiſtimatione, commonefacit: hortaturque ne fracti rebus adverſis, animos abjiciant; ſed potius ſpe fortunæ melioris erigantur, & cogitent, multos Thebanis potentiores, ab imbecillioribus eſſe victos, multos cinctos obſidionibus, & gravioribus malis, quam Spartanos, conflictantes, eos à quibus oppugnarentur, deleviſſe. Adducit exemplum civitatis Athenienſium, quæ rebus florentiſſimis everſa, extrema quæque perpeſſa fuerit, ne audiens eſſet dicto barbarorum. Monet ut præſentia perferant, & de futuris bene ſperent: cum tales calamitates à civitatibus emendari ſciant, prudenti conſtitutione reipublicæ & peritia rei militaris: quibus rebus Sparta reliquas urbes ſuperet.

a Ita cum *Wolfio* malui pro vulgato κεχορηγηκόσιν. *Sylb.* b Forſan rectius aoriſtum παθόντες. *Sylb.* c Id eſt, ὥσπερ οἱ Σικελιῶται τοὺς Ἀθηναίους, καὶ οἱ Θηβαῖοι τοὺς Ἀργείους. *Wolf.* d *Lonicerus* vertit *ex ingenti felicitate ſubverſa.* Florebant ut opes Athenienſium ante *Xerxis* expeditionem. is vero urbem à civibus deſertam accendit: *Themiſtocles* eandem reſtituit. *Wolf.*

ſuperet. Cenſet iis potius cum quibus bene agatur, quam ipſis, rebus ſuis adverſis, pacem expetendam eſſe, cum res novas molientibus ſpes fortunæ melioris propoſita ſit. ſi enim belli diſcrimen ſubeant, partas opes ab eis poſſe conſervari. Præterea multis aliis præclaris operibus commemoratis, quæ clariſſimi ex illis publice privatimque in bellis ediderint, colligit quantum dedecus ſuſcepturi, & in quantum apud Græcos crimen venturi ſint; ſin arma ceperint, eis ab omni parte auxilia præſto eſſe futura, à diis immortalibus, à ſociis, ab univerſis hominibus, qui potentiæ Thebanorum incrementis invideant. Denique, oſtenſa confuſione & tumultibus, quibus urbes Græciæ, Bœotis rerum potientibus, agitentur: ut nihil horum eveniat, nec ulla ſpes incolumitatis alia relinquatur: urbem eos deſerere jubet, docens, uxores & liberos, cæteramque turbam in Siciliam & Italiam, & reliqua loca eis amica, mitti; ipſos vero caſtello aliquo munitiſſimo, & ad gerendum bellum commodiſſimo occupato, hoſtes ſummis viribus terra marique perſequi oportere. Nullum enim exercitum auſurum eſſe collatis ſignis, cum viris Græciæ bellicoſiſſimis, qui vitam viliſſimam cenſeant, & quibus juſta ira & cauſa honeſtiſſima eam neceſſitatem impoſuerit, dimicare. Hæc ego non tam Lacedæmoniis, quam aliis quoque Græcis, atque adeo hominibus univerſis, eum ſuadere dixerim, longe melius quam omnes philoſophos, qui ſummum vitæ bonum in virtute & honeſtate ponunt.

Aliarum orationum capita.

X. Quamvis autem illius multas etiam alias orationes recenſere poſſem, ad civitates, ad principes, ad privatos homines ſcriptas, quarum aliis populos ad vitam modeſte agendam hortatur, aliis principes ad moderationem & legitimum imperium inſtituit, aliis privatorum hominum vitam modeſtiorem efficit, præcipiendo quid ſingulis faciendum ſit: veritus ne prolixitate orationis modum excedam, his omiſſis, ut ea quæ ſupra diximus facilius intelligantur, & diſcrimen quod eſt inter Iſocratem & Lyſiam rectius perſpiciatur, virtutibus eorum brevius comprehenſis, ad exempla tranſibo.

Capita comparationis inter Iſocratem & Lyſiam.

XI. Primam igitur orationis virtutem eſſe dixi, puram elocutionem: in qua differentiam ullam apud neutrum invenio. Deinde, diligentem obſervationem ſermonis tunc uſitati: hanc etiam ſimilem apud utrumque video. Poſthæc, propriis & receptis & communibus verbis ambos eſſe uſos, animadverti: Iſocratis autem dictionem tantiſper progreſſam eſſe uſurpatione troporum, ut ne moleſtiam pareret. Perſpicuitatem & evidentiam tenere utrumque pronunciavi: brevitate ſen-

πόλεων. οἴεται δὲ δεῖν αὐτοὺς κακῶς πράττοντας μὴ εἰρήνης 98
ἐπιθυμεῖν, οἷς ἐκ τῆς καινουργίας ἐπὶ τὸ κρεῖττον μεταβάλλειν τὰ πράγματα ἐλπίς, ἀλλὰ τοὺς εὐτυχοῦντας· ἐν γὰρ τῷ κινδύνῳ [a] τὴν τῶν παρόντων ἀγαθῶν εἶναι φυλακήν. πολλὰ δὲ καὶ ἄλλα πρὸς τούτοις διεξελθὼν ὅσα καὶ κοινῇ καὶ ἰδίᾳ τοῖς ἐπιφανεστάτοις αὐτῶν ἐπράχθη κατὰ τοὺς πολέμους λαμπρὰ ἔργα, καὶ ὅσης αἰσχύνης ἄξια δράσουσι, καὶ ὡς διαβληθήσονται παρὰ τοῖς Ἕλλησιν ἐπιλογισάμενος, καὶ ὅτι πάντοθεν αὐτοῖς ἐπικουρία τις ἔσται τὸν ἀγῶνα ποιουμένοις, καὶ παρὰ θεῶν, καὶ παρὰ συμμάχων, καὶ παρὰ πάντων ἀνθρώπων, οἷς ἐπίφθονος ἡ Θηβαίων δύναμις αὐξομένη· καὶ τὴν κατέχουσαν ἀκοσμίαν καὶ ταραχὴν τὰς πόλεις ἐπιτροπευόντων τῆς Ἑλλάδος Βοιωτῶν ἐπιδειξάμενος, τελευτῶν εἰ καὶ μηθὲν τούτων μέλλοι γίνεσθαι, μηδ' ὑπολείποιτό τις ἄλλη σωτηρίας ἐλπίς, ἐκλιπεῖν κελεύει τὴν πόλιν· διδάσκων αὐτούς, ὡς χρὴ παῖδας μὲν καὶ γυναῖκας, καὶ τὸν ἄλλον ὄχλον εἴς τε Σικελίαν ἐκπέμψαι καὶ Ἰταλίαν, καὶ τἄλλα χωρία τὰ φίλια· αὐτοὺς δὲ καταλαβομένους τόπον ὅστις ἂν ὀχυρώτατος ᾖ, καὶ πρὸς τὸν πόλεμον ἐπιτηδειότατος, ἄγειν καὶ φέρειν τοὺς πολεμίους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. οὐδεμίαν γὰρ ἀξιόχρεων δύναμιν ὁμόσε χωρεῖν ἀνδράσι κρατίστοις μὲν τὰ πολέμια τῶν Ἑλλήνων, ἀπονενοημένως δὲ πρὸς τὸ ζῆν διακειμένοις, δικαίαν δὲ ὀργὴν καὶ πρόφασιν εὐπρεπῆ τῆς ἀνάγκης ἔχουσι. ταῦτα γὰρ οὐ Λακεδαιμονίοις συμβουλεύειν φαίην ἂν αὐτὸν ἔγωγε, ἀλλὰ καὶ τοῖς ἄλλοις Ἕλλησι καὶ πᾶσιν ἀνθρώποις, πολλῷ κρεῖττον ἁπάντων φιλοσόφων, οἳ τέλος ποιοῦνται τοῦ βίου τὴν ἀρετὴν καὶ τὸ καλόν.

ι'. Ἔχων δὲ πολλοὺς αὐτοῦ καὶ ἄλλους διεξιέναι λόγους πρὸς πόλεις τε καὶ δυνάστας καὶ ἰδιώτας γραφέντας, ὧν οἱ μὲν [b] εἰς τὸν βίον καὶ σωφροσύνην τὰ πλήθη παρακαλοῦσιν, οἱ δὲ εἰς μετριότητα καὶ νόμιμον ἀρχὴν τοὺς δυνάστας προάγουσιν, οἱ δὲ κοσμίους τῶν ἰδιωτῶν ἀπεργάζονται τοὺς βίους, ἃ δεῖ πράττειν ἕκαστον ὑποτιθέμενοι· δεδοικὼς μὴ πέρα τοῦ δέοντος ὁ λόγος ἐκμηκυνθῇ μοι, ταῦτα μὲν ἐάσω· τοῦ δ' εὐπαρακολούθητα γενέσθαι μοι μᾶλλον τὰ πρόσθεν εἰρημένα, καὶ τῆς διαφορᾶς ἕνεκα ᾗ διαλλάττει Λυσίου, τὰς ἀρετὰς αὐτοῦ εἰς βραχύτερον συναγαγὼν λόγον, ἐπὶ τὰ παραδείγματα μεταβήσομαι.

ια'. Πρώτην μὲν τοίνυν ἔφην ἀρετὴν εἶναι λόγων, τὴν καθαρὰν ἑρμηνείαν· ἐν ᾗ διαλλαγὴν οὐδεμίαν εὕρισκον παρ' οὐδετέρῳ. ἔπειτα, τὴν ἀκρίβειαν τῆς διαλέκτου τῆς τότε συνήθους· καὶ ταύτην εὗρον ὁμοίαν παρ' ἀμφοτέροις. μετὰ ταῦτα ἐπελογιζόμην ὅτι τοῖς κυρίοις καὶ συνήθεσι καὶ κοινοῖς ὀνόμασιν ἀμφότεροι κέχρηνται· ἡ δὲ Ἰσοκράτους λέξις προσλαβοῦσά τι τῆς τροπικῆς κατασκευῆς, [c] μέχρι τοῦ μὴ λυπῆσαι προῆλθε. τῆς δὲ σαφηνείας καὶ τῆς ἐναργείας ἀμφοτέρους κρατεῖν ἀπεφηνάμην· ἐν δὲ τῷ συντόμως ἐκφέρειν

τὰ

a Expones, ἐν τῷ κινδύνῳ ἐστὶν ἡ φυλακὴ τῶν παρόντων ἀγαθῶν, quaſi eſſet, διὰ τοῦ κινδύνου φυλάττειν οἷόν τ' ἐστὶ τὰ παρόντα ἀγαθά, vel ὁ τοῦ πολέμου κίνδυνος φυλάξει τἀγαθά. *Wolf.* b *Wolfius* vertit *ad vitam modeſte agendam*, quaſi legerit εἰς τὴν περὶ τὸν βίον σωφροσύνην, ſeu εἰς τὴν τοῦ βίου σωφροσύνην. Sed quid ſi pro τὸν βίον reponamus κόσμον? articulus certe, qui à ſequentibus membris abeſt, vulgatam lectionem ſuſpectam reddit: & κόσμον ac σωφροσύνην in primis decere promiſcuam civium multitudinem, ſatis notum eſt: ſicut etiam paulo poſt (v. 32.) privatorum hominum vitas eſſe vult κοσμίους. Quod ſi vulgatam lectionem retinere mavis, potes etiam vertere, *ad vitæ ſubſidia augenda, & moderationem in tota vita obſervandam. Sylb.* c Forſan μὴ in καὶ verſo legendum, μέχρι τοῦ καὶ λυπῆσαι προῆλθε; *eouſque proceſſit ut etiam offendat.* ſic certe ſupra, pag. 151. v. 25. tantum apud *Iſocratem* dicit eſſe figurarum ornatum, ut is ſæpenumero reliquam compoſitionem lædat, aureſque auditorum offendat: & p. 159. v. 2. dicit τὸ τῶν σχηματισμῶν ἄμετρον in ejus compoſitione eſſe οὐκ ἀνεκτόν. Sic & *Fabius* de illo; *adeo diligens, ut cura ejus reprehendatur.* Vulgata lectione retenta *Wolfius* vertit, *tantiſper progreſſam eſſe uſurpatione troporum, ut ne moleſtiam pareret. Sylb.*

a Ἠθοποιΐα,

περὶ τὰ νοήματα, Λυσίαν μᾶλλον ἡγούμην ἐπιτυγχάνειν· περὶ τὰς αὐξήσεις Ἰσοκράτην κατορθοῦν ἄμεινον ἐδόκουν. ἐν τῷ συστρέφειν τὰ νοήματα καὶ στρογγύλως ἐκφέρειν, ὡς πρὸς ἀληθινοὺς ἀγῶνας ἐπιτήδειον Λυσίαν ἀπεδεχόμην. ἐν ταῖς [a] ἠθοποιΐαις ἀμφοτέρους εὑρίσκων δεξιούς· τῆς δὲ χάριτος καὶ τῆς ἡδονῆς ἀναμφιλόγως ἀπέδωκα τὰ πρωτεῖα Λυσίᾳ. τὸ μεγαλοπρεπὲς ἡρῷον, παρ' Ἰσοκράτει· τοῦ πιθανοῦ καὶ πρέποντος οὐδέτερον ἐδόκουν ἀπολείπεσθαι. ἐν τῇ συνθέσει τῶν ὀνομάτων Λυσίαν μὲν ἀφελέστερον ἔκρινον, Ἰσοκράτην δὲ περιεργότερον· καὶ τὸν μὲν, τῆς ἀληθείας πιθανώτερον εἰκαστήν, τὸν δὲ, τῆς [b] κατασκευῆς ἀθλητὴν ἰσχυρότερον.

ιβ'. Ταῦτα ἔχων περὶ τῆς λέξεως τῆς ἑκατέρου. τὴν δὲ πραγμάτων ποιούμενος ἐξέτασιν, τὴν μὲν εὕρεσιν θαυμαστὴν παρ' ἀμφοῖν κατελαβόμην, καὶ ἔτι τὴν κρίσιν· τῇ δὲ τάξει τῶν ἐνθυμημάτων, καὶ τοῖς μερισμοῖς τῶν ἐπιχειρημάτων, καὶ τῇ καθ' ἕκαστον εἶδος ἐξεργασίᾳ, τοῖς τε ἄλλοις ἅπασι τοῖς ἐν τῷ πραγματικῷ τόπῳ θεωρήμασι, παρὰ πολὺ προτερεῖν ἡγούμην Ἰσοκράτην Λυσίου. κατὰ δὲ τὴν λαμπρότητα τῶν ὑποθέσεων, καὶ τὸ φιλόσοφον τῆς προαιρέσεως, πλεῖον διαφέρειν ἢ παιδὸς ἄνδρα, ὡς ὁ Πλάτων εἴρηκεν· εἰ δὲ χρὴ τἀληθὲς εἰπεῖν, καὶ τῶν ἄλλων ἁπάντων ῥητόρων, ὅσοι φιλοσόφως τοῦ μαθήματος τούτου προέστησαν. τῆς μέντοι ἀγωγῆς τῆς περιόδων τὸ κύκλιον, καὶ τὸν σχηματισμὸν τῆς λέξεως τὸ μειρακιῶδες, οὐκ ἐδοκίμαζον. δουλεύει γὰρ ἡ διάνοια πολλάκις τῷ ῥυθμῷ τῆς λέξεως, [c] καὶ τοῦ κομψοῦ λείπεται τὸ ἀληθινόν· κράτιστόν τε ἐπιτήδευμα ἐν διαλέκτῳ πολιτικῇ καὶ ἐναγωνίῳ, τὸ ὁμοιότατον τῷ κατὰ φύσιν. βούλεται δὲ ἡ φύσις τοῖς νοήμασιν ἕπεσθαι τὴν λέξιν, οὐ τῇ λέξει τὰ νοήματα. συμβούλῳ δὲ δὴ περὶ πολέμου καὶ εἰρήνης λέγοντι, καὶ ἰδιώτῃ τὸν περὶ ψυχῆς τρέχοντι κίνδυνον ἐν δικασταῖς, τὰ κομψὰ καὶ θεατρικὰ καὶ μειρακιώδη ταῦτα οὐκ οἶδα ἥντινα δύναιτο ἂν παρασχεῖν ὠφέλειαν· μᾶλλον δὲ 99 οἶδα ὅτι καὶ βλάβης ἂν αἴτια γένοιτο. χαριεντισμὸς γὰρ πᾶς, [d] ἐν σπουδῇ καὶ καλῶς γινόμενος, ἄωρον πρᾶγμα καὶ πολεμιώτατον ἐλέῳ.

ιγ'. Οὗτος δὲ [e] οὐχ ἐμὸς ὁ λόγος πρῶτος μὰ Δία· ἐπεὶ πολλοὶ καὶ τῶν παλαιῶν ταύτην ἔσχον ὑπὲρ αὐτοῦ τὴν δόξαν. Φιλόνικος μὲν γὰρ ὁ διαλεκτικὸς, τὴν ἄλλην κατασκευὴν τῆς λέξεως ἐπαινῶν τἀνδρὸς, μέμφεται τῆς [f] καινότητος ταύτης καὶ τοῦ φορτικοῦ· ἐοικέναι τε

tentiarum Lyſiam feliciorem eſſe, amplificationes ſuccedere melius Iſocrati, duxi: ſententiis in compendium contrahendis, & rotunde efferendis, Lyſiam, ut ad vera certamina idoneum, approbavi. In moribus exprimendis utrumque dextrum reperi: ſed gratiæ & jucunditatis, citra controverſiam primas Lyſiæ detuli. Heroica magnificentia apud Iſocratem reperitur: probabilitate & decoro neuter mihi deſtitui viſus. In compoſitione verborum Lyſiam ſimpliciorem, curioſiorem Iſocratem judico: & alterum, inſtar docti pictoris aut ſtatuarii, veritatem artificioſius exprimere; alterum, in confirmando & exornando, veluti pugilem robuſtiorem eſſe.

XII. Hæc ſunt quæ de dictione utriuſque dixerim. Jam cum in res ipſas inquirerem, inventionem apud utroſque admirabilem deprehendi, atque etiam judicium. Collocatione autem enthymematum, & diſtributionibus epicherematum, & cujuſque generis expolitione, & aliis univerſis quæ in rerum tractatione conſiderantur, longe duco Lyſiæ Iſocratem antecellere. Splendore quidem argumentorum, & philoſophico inſtituto, tantum illi præſtare, quantum puero virum, ut Plato dixit, & (ſi vera dicenda ſunt) cæteris oratoribus omnibus, quicunque in hoc doctrinæ genere dextre ac erudite verſati ſunt. Rotundum autem periodorum ductum, & juveniles dictionis conformationes non probavi. Servit enim ſæpe ſententia dictionis numero: nec tam habetur ab eo veritatis, quam elegantiæ ratio. Rectiſſime autem faciunt, qui in orationis civili & ad victoriam comparato genere, proxime naturam ſequuntur. Sic autem natura fert, ut dictio ſententias ſequatur, non ut ſententiæ dictionem. Conſiliario certe de bello & pace diſſerenti, & homini privato apud judices capitis cauſam dicenti, venuſta iſta, & theatrica, & juvenilia, equidem non video quid afferre poſſint utilitatis: immo vero poſſe fieri ſcio etiam pernicioſa. Omnes enim in re ſeria verborum deliciæ, etiam non ineptæ, intempeſtivæ ſunt, & commiſerationi plurimum adverſantur.

Elocutionis Iſocraticæ reprehenſio.

XIII. Neque vero, medius fidius, primus ego hæc dico; ſed & veterum complures idem hoc de eo ſenſerunt. Nam Philonicus dialecticus, cum reliquum dictionis ejus apparatum probet, novitatis affectationem hanc & tumorem reprehendit: eumque pictori compa-

Judicium Philonici dialectici, & Hieronymi philoſophi.

[a] Ἠθοποιΐα, μίμησίς ἐστιν ἤθους ὑποκειμένου προσώπου, & ἠθοποιεῖν, λόγους ἁρμόζοντας ἢ ἤθη ποιεῖν. Supra dixit *Iſocratis* λέξιν εἶναι ἠθικήν, p. 151. v. 4. quare hic ἐν ταῖς ἠθοποιΐαις malim vertere, *in exprimendis lenioribus affectibus*, quam pro rhetorica figura accipere. *Wolf.* [b] Κατασκευὴ rhetoribus fere confirmationem, ut ἀνασκευὴ refutationem ſignificat. ſed latius patet vocabulum τῆς κατασκευῆς, ut pro artificioſa totius orationis compoſitione & ſtructura, ut videre licet, p. 152. v. 12. ſeu pro apparatu & copiis accipiatur. Videtur alludere ad illud *Philippi Macedonis* dictum, qui *Iſocratem* pugili, *Demoſthenem* vero militi comparabat. τῆς κατασκευῆς ἀθλητὴν igitur fortaſſe licebit pro eo exponere, qui magnis viribus in id incumbat quod tractandum ſuſceperit, animoſeque perficiat: idque ita ut tota ratio ejus non tam ad ſeriam pugnam, quam ad pompam & ſpectatorum voluptatem referatur. huc enim pertinet quod ſupra dixit, (p. 151. v. 10.) ejus compoſitionem eſſe πεποιημένην μᾶλλον εἰς σεμνότητα πομπικὴν καὶ ποικίλην. *Wolf.* [c] Faſtu ac nimia elegantia veritas amittitur. Verba ſic conſtrue; τὸ ἀληθινὸν, καὶ τὸ ὁμοιότατον τῷ κατὰ φύσιν, κράτιστον ἐπιτήδευμα (per appoſitionem) ἐν διαλέκτῳ πολιτικῇ, λείπεται τοῦ κομψοῦ. atque eam ego diſtinctionem novæ periodi, & ſubintellectionem, (ſc. ὅπερ ἐστὶ κράτιστον ἐπιτήδευμα) in vertendo ſecutus ſum: non quod eam veram putarem, ſed quia mihi commodior ad vertendum eſſe videbatur. πολιτικὴν autem διάλεκτον hic intellige περὶ τοῦ δημηγορικοῦ καὶ συμβουλευτικοῦ ἢ ἐκκλησιαστικοῦ λόγους, id eſt de ſuaſoriis; ἐναγώνιον, de forenſibus ſeu judicialibus orationibus, ut exempla poſtulant. τὸ ἀληθινὸν *Plato* etiam uſurpavit ad hunc modum in *Cratylo*; νῦν, inquit, τὸ Φερρεφάττης ἐκκλίνουσι τὸ ὄνομα, Φερσεφόνην λέγοντες, δεισμαίνοντες περὶ πλεῖον ποιούμενοι τοῦ ἀληθείας. *Wolf.* [d] Sic ordinanda ſunt verba, πᾶς χαριεντισμὸς, καὶ καλῶς γινόμενος, ἐστὶν ἄωρον πρᾶγμα ἐν σπουδῇ. *Wolf.* Verum ſic lege, χαριεντισμὸς πᾶς ἐν σπουδῇ καὶ κακοῖς γινόμενος ἄωρον πρᾶγμα &c. *omnis affectatio elegantiæ in re ſeria, & in adverſis, intempeſtiva res eſt, & miſericordiæ alieniſſima. Caſaub.* ad *Perſium*, p. 128. [e] Alludere videtur ad locum *Euripidis* in *Melanippe*, citatum ſupra, p. 85. v. 23. *Sylb* [f] Καινότητος vocabulum agnoſcit & *Wolfii* verſio: alioqui putarit fortaſſe aliquis convenientius eſſe κενότητος. *Sylb.*

comparat, qui veſtibus & geſtibus iiſdem picturas omnes exornet. In omnibus certe orationibus ejus, eoſdem tropos dictionis (inquit) inveni. Itaque cum in multis ſingula artificioſe perficit, in toto prorſus indecorus videtur; propterea quod propoſitis rebus non congruenter dicit. Hieronymus vero philoſophus ait, orationes ejus eleganter quidem legi poſſe; ſed in concione, altiore & contentiore voce, & (hac quidem ſtructura) cum actione decenti pronunciari poſſe nequaquam. Nec enim admittere (id quod maximum ſit, & ad permovendum populum aptiſſimum) affectuum vehementiam, & vivum quendam vigorem, cum ipſe lenitati perpetuo ſerviat; temperationem vero & varietatem, cum intentione & remiſſione, tum interpoſitis acrioribus affectibus diſtinctam, tranſilierit. Denique pueri lectoris vocem ita eum repræſentare dicit, ut neque contentionem, neque affectum, neque actionem ferre poſſit. Multi etiam alii hæc & his ſimilia dixerunt, de quibus mihi nihil neceſſe eſt ſcribere. Nam ſi ipſa Iſocratis dictio prolata fuerit, evidenter & periodorum rythmus, undique concinnitatem conſectans, & juvenile quoddam figurarum ſtudium, quod in contentione contrariorum conteritur, & in comparibus & ſimiliter finitis perſpicietur. Neque ego figurarum genus ipſum reprehendo, quo multi cum rerum geſtarum ſcriptores, tum oratores uſi, orationem tanquam floſculis ornare voluerunt; ſed earum rerum redundantiam.

Figuræ Iſocraticæ.

XIV. Quod enim hoc & ſine modo fiat, & intempeſtive, auribus faſtidium quoddam inde oboriri dico. In *Panegyrica* certe, celeberrima illa oratione, multus eſt in figuris hujuſmodi: * "Et plurima beneficia contuliſſe, & laudes maximas meruiſſe". Hic enim non tantum membrum membro reſpondet, ſed etiam verba verbis, videlicet, "Plurima" & "Maxima"; "Beneficia" & "Laudes"; "Contuliſſe" & "Meruiſſe". Et rurſus: "Neque fruebantur ut propriis, negligebant "ut aliena". Secundum enim membrum compar eſt priori; & vocabula, "Fruebantur", & Negligebant", "Propriis" & "Aliena", opponuntur. quibus adjicit: "Sed curabant "tanquam propria, ita vero abſtinebant, ut "abſtinere debet prorſus alienis". Rurſus enim etiam hic oppoſita ſunt, "Curabant" & "Abſtinebant", "Propria" & "Prorſus alienis". Ac ne his quidem eſt contentus, ſed in ea periodo quæ ſequitur, rurſum convertuntur, hoc, "Et ipſe maxime celebrabitur": & quod mox infertur, "Liberis maximam glo- "riam relinquet". Cumque poſuiſſet, "Neque "alter alterius confidentiam mirabantur", ſubjungit, "Neque audaciam contra ſemet- "ipſos exercebant". nulloque plano intervallo interpoſito, infert, "Sed gravius exiſtima- "bant eſſe, male audire à civibus, quam ho-

φησὶν αὐτὸν ζωγράφῳ ταῖς αὐταῖς ἐσθήσεσι καὶ τοῖς αὐτοῖς σχήμασι πάσας ἐπικοσμοῦντι τὰς γραφάς. ἅπαντας γοῦν ([a] φησὶν) εὕρισκον τοὺς λόγους αὐτοῦ τοῖς αὐτοῖς τρόποις τῆς λέξεως [b] κεχρημένους· ὥστε ἐν πολλοῖς τεχνικῶς τὰ καθ' ἕκαστα ἐξεργαζόμενον, [c] τοῖς ὅλοις ἀπρεπῆ παντελῶς φαίνεσθαι, διὰ τὸ μὴ προσηκόντως τοῖς ὑποκειμένοις τῶν ἠθῶν φράζειν. Ἱερώνυμος δὲ ὁ φιλόσοφός φησιν, ἀναγνῶναι μὲν ἄν τινα δυνηθῆναι τοὺς λόγους αὐτοῦ καλῶς, δημηγορῆσαι δὲ τήν τε φωνὴν καὶ τὸν τόνον ἐπάραντα, καὶ ἐν ταύτῃ τῇ κατασκευῇ, μετὰ τῆς ἁρμοττούσης ὑποκρίσεως εἰπεῖν, οὐ παντελῶς. τὸ γὰρ μέγιστον καὶ κινητικώτατον τῶν ὄχλων, παραιτεῖσθαι, τὸ παθητικὸν καὶ ἔμψυχον· δουλεύειν γὰρ αὐτὸν τῇ λειότητι διὰ παντός· τὸ δὲ κεκραμένον καὶ παντοδαπὸν ἐπιτάσει τε καὶ ἀνέσει, καὶ τὸ ταῖς παθητικαῖς [d] ὑποθέσεσι διειλημμένον, ὑπερβεβηκέναι. καθόλου δέ φησιν αὐτὸν εἰς ἀναγνώστου παιδὸς φωνὴν καταδύντα, μήτε τόνον, μήτε πάθος, μήτε ὑπόκρισιν δύνασθαι φέρειν. πολλοῖς δὲ καὶ ἄλλοις ταῦτα καὶ παραπλήσια τούτοις εἴρηται, περὶ ὧν οὐδὲν δέομαι γράφειν. ἐξ αὐτῆς γὰρ ἔσται τῆς Ἰσοκράτους λέξεως τεθείσης καταφανὴς ὅ, τε τῶν περιόδων ῥυθμὸς, ἐκ παντὸς διώκων τὸ γλαφυρὸν, καὶ τῶν σχημάτων τὸ μειρακιῶδες περὶ τὰς ἀντιθέσεις, καὶ παρισώσεις καὶ παρομοιώσεις κατατριβόμενον. καὶ οὐ τὸ γένος μέμφομαι τῶν σχημάτων· πολλοὶ γὰρ αὐτοῖς ἐχρήσαντο καὶ συγγραφεῖς καὶ ῥήτορες, ἀνθίσαι βουλόμενοι τὴν λέξιν· ἀλλὰ τὸν πλεονασμόν.

ιδ'. [e] Τῷ γὰρ μὴ ἐν καιρῷ γίνεσθαι, μηδὲ ἐν ὥρᾳ, προσίστασθαί φημι ταῖς ἀκοαῖς. ἐν γε οὖν ΤΩ ΠΑΝΗΓΥΡΙΚΩ τῷ περιβοήτῳ λόγῳ, πολύς ἐστιν ἐν τοῖς τοιούτοις· "Πλείστων μὲν οὖν ἀγαθῶν αἰτίους, καὶ μεγίστων ἐπαίνων ἀξίους ἡγοῦμαι"· ἐνταῦθα γὰρ οὐ μόνον τῷ κώλῳ τὸ κῶλον ἴσον, ἀλλὰ καὶ τὰ ὀνόματα τοῖς ὀνόμασι· τῷ μὲν "Πλείστων", τὸ "Μεγίστων"· τῷ δὲ "Ἀγαθῶν", τὸ "Ἐπαίνων"· τῷ δὲ "Αἰτίους", τὸ "Ἀξίους". καὶ αὖθις· "Οὐδὲ ἀπέλαυον μὲν ὡς ἰδίων, ἠμέλουν "δὲ ὡς ἀλλοτρίων"· τό, τε γὰρ κῶλον τὸ δεύτερον τῷ κώλῳ (τῷ πρὸ αὐτοῦ) πάρισον· καὶ τῶν ὀνομάτων τῷ μὲν "Ἀπέλαυον", τὸ "Ἠμέλουν" ἀντίθετον· τῷ δὲ "Ἰδίων", τὸ "Ἀλλοτρίων". οἷς ἐπιτίθεσιν· "Ἀλλ' ἐκήδοντο μὲν ὡς οἰκείων, ἀπείχοντο δὲ "ὥσπερ χρὴ τῶν μηδὲν προσηκόντων". ἀντίκειται γὰρ δὲ πάλιν κἀνταῦθα, τῷ μὲν "Ἐκήδοντο", τὸ "Ἀπείχοντο"· τὸ δὲ "Οἰκείων", τὸ "Μηδὲν προσηκόντων". καὶ οὔπω ταῦθ' ἱκανά· ἀλλ' ἐν τῇ μετὰ ταῦτα περιόδῳ πάλιν ἀντιστρέφει, τῷ μὲν, "Αὐτός "τε μέλλοι μάλιστα εὐδοκιμήσειν", τὸ ἐπιφερόμενον, "Καὶ "τοῖς παισὶ μεγάλην δόξαν καταλείψειν"· τὸ δέ, "Οὐδὲ "τὰς θρασύτητας τὰς ἀλλήλων ἐζήλουν", τὸ συναπτόμενον αὐτῷ, "Οὐδὲ τὰς τόλμας τὰς καθ' ἑαυτῶν ἤσκουν". καὶ οὐδὲ μικρὸν διαλιπὼν ἐπιφέρει τούτοις· "Ἀλλὰ δει- "νότερον μὲν ἐνόμιζον εἶναι, κακῶς ὑπὸ τῶν πολιτῶν ἀκού- "ειν, ἢ καλῶς ὑπὲρ τῆς πατρίδος ἀποθνήσκειν". οὐκοῦν καὶ

δεύτερον

[a] Incluſum φησὶν additum ex *Wolfii* verſione. *Sylb.* [b] Quid ſi legamus κεχρωσμένοις *coloratas*? *Wolf.* [c] *Oporini* & *Stephani* editio habet τοῖς ὀλίγοις, quod ad πολλοῖς commode refertur: ſed τοῖς ὅλοις ad τὰ καθ' ἕκαστα magis quadrare videtur. *Sylb.* [d] Malim ὑποτιθέσεσι, i. e. interponendis acrioribus affectibus. *W.* [e] Τῷ γὰρ excuſari poteſt; ut ſit ſignificatio cauſæ, pro διὰ τὸ μὴ γίνεσθαι, ſc. τὸν πλεονασμόν. verior tamen lectio eſſe videtur τὸ γὰρ, accuſandi caſu. *W.* * *Hæc de figuris Iſocraticis è Græcio rectius judicantur. Noſtra enim interpretatio ſenſum præcipue ſpectat, de verbis ac ſyllabis annumerandis non perinde ſollicita. W.*

a Ante

Νεώτερον τῷ μὲν "Καλῶς", τὸ "Κακῶς" ἀντίστροφον· τῷ δὲ "Ἀκούειν", τὸ "Ἀποθνήσκειν" πάρισον. [a] εἰ μέτριος ἦν μέχρι δεῦρο, ἀνεκτός· ἀλλ' οὐκ ἀνίησι. πάλιν γοῦν ἐν τῇ μετ' αὐτὴν περιόδῳ τίθησιν· "Ὅτι τοῖς ἀγαθοῖς τῶν ἀνθρώπων οὐδὲν δεήσει "πολλῶν γραμμάτων, ἀλλ' ὀλίγων συνθημάτων, καὶ περὶ τῶν "κοινῶν καὶ περὶ τῶν ἰδίων ὁμονοήσουσιν". οὐκοῦν τὸ "Γραμμάτων" καὶ "Συνθημάτων" πάρισον· καὶ τὸ "Πολλῶν" καὶ "Ὀλίγων", καὶ "Κοινῶν" καὶ "Ἰδίων" ἀντίθετα. ἔπειθ' ὥσπερ οὐδὲν εἰρηκὼς τοιοῦτον, ἀθρόαις ἐπικλύσει ταῖς παρισώσεσιν, ἐπιφέρων [b] ταὐτίκα· "Τὰ τῶν ἄλλων διῴκουν θεραπεύοντες, ἀλλ' "οὐχ ὑβρίζοντες τοὺς Ἕλληνας· καὶ στρατηγεῖν οἰόμενοι δεῖν "αὐτῶν, ἀλλὰ μὴ τυραννεῖν αὐτῶν· καὶ μᾶλλον ἐπιθυμοῦντες "ἡγεμόνες ἢ δεσπόται προσαγορεύεσθαι, καὶ σωτῆρες ἀλλὰ μὴ "λυμεῶνες ἀποκαλεῖσθαι· τῷ ποιεῖν εὖ προσαγόμενοι τὰς "πόλεις, ἀλλ' οὐ βίᾳ [c] προσκαταστρεφόμενοι· πιστοτέροις μὲν "τοῖς λόγοις, ἢ νῦν τοῖς ὅρκοις χρώμενοι· ταῖς δὲ συνθή"καις ὥσπερ ἀνάγκαις ἐμμένειν ἀξιοῦντες". καὶ τί δεῖ τὰ καθ' ἕκαστα διεξιόντα μηκύνειν; ὀλίγου γὰρ ἅπας ὁ λόγος ὑπὸ τῶν τοιούτων αὐτῷ κεκόμψευται σχημάτων. οἱ μέντοι γε ἐπὶ τελευτῇ τοῦ βίου γραφέντες λόγοι, ἧττόν εἰσι μειρακιώδεις, ὡς ἂν οἶμαι, τελείαν ἀπειληφότες τὴν φρόνησιν παρὰ τοῦ χρόνου. καὶ περὶ μὲν τούτων ἱκανὰ ταῦτα.

ιε'. Ὥρα δὲ ἂν εἴη καὶ τῶν παραδειγμάτων ἅψασθαι, καὶ [d] δεῖξαι τίς ἐστι τούτοις ἡ τοῦ ῥήτορος ἰσχύς. ἅπαντα μὲν οὖν τὰ 100 γένη τῶν προβλημάτων, καὶ πάσας τὰς ἰδέας τῶν λόγων, ἀμήχανον ἐν ὀλίγῳ δηλῶσαι· ἀρκεῖ [e] τε μία τε δημηγορία παραληφθεῖσα, καὶ λόγος εἷς [f] ἐκ δικανικῶν· ὁ μὲν οὖν συμβουλευτικὸς λόγος ἐστὶν ἐν ᾧ παρακαλεῖ τοὺς Ἀθηναίους διαλύσασθαι μὲν τὸν συμμαχικὸν κληθέντα πόλεμον, ὃν ἐπολέμουν πρὸς αὐτοὺς Χῖοί τε καὶ Ῥόδιοι καὶ οἱ τούτων σύμμαχοι· παύσασθαι δὲ πλεονεκτοῦντας καὶ τῆς κατὰ γῆν καὶ κατὰ θάλατταν ἐπιθυμοῦντας ἀρχῆς· διδάσκων ὡς ἔστιν οὐ μόνον κρείττων ἡ δικαιοσύνη τῆς ἀδικίας, ἀλλὰ καὶ ὠφελιμωτέρα. τὸ μὲν οὖν ὕπτιον καὶ ἀναβεβλημένον τῆς ἀγωγῆς, καὶ τῶν περιόδων ὁ χαριεντισμὸς ἔνεστι κᾀν τούτοις· τὰ δὲ θεατρικὰ τῶν σχημάτων τεταμιευμένως παρείληπται. ταῦτα μὲν δὴ παρορᾶν δεῖ τοὺς ἀναγινώσκοντας, καὶ μὴ ἄξια ἡγεῖσθαι σπουδῆς, ὥσπερ κατ' ἀρχὰς ἔφην· τοῖς δὲ ἄλλοις πάνυ προσέχειν τὸν νοῦν. ἄρχεται δὲ ὁ λόγος ἐνθένδε·

ις'. "Ἅπαντες μὲν εἰώθασιν οἱ παριόντες ἐνθάδε, ταῦτα μέ"γιστα φάσκειν (εἶναι), καὶ μάλιστα σπουδῆς ἄξια τῇ πόλει, περὶ "ὧν αὐτοὶ μέλλουσι συμβουλεύειν. οὐ μὴν ἀλλ' εἰ [g] (καὶ) περὶ "ἄλλων τινῶν πραγμάτων ἥρμοσε τοιαῦτα προειπεῖν, δοκεῖ μοι "πρέπειν καὶ περὶ τῶν νυνὶ παρόντων (πραγμάτων) ἐντεῦθεν ποιή"σασθαι τὴν ἀρχήν. ἥκομεν γὰρ ἐκκλησιάσοντες περί τε πολέμου "καὶ εἰρήνης· ἃ μεγίστην ἔχει δύναμιν ἐν τῷ βίῳ τῷ τῶν ἀνθρώ"πων, καὶ περὶ ὧν ἀνάγκη τοὺς ὀρθῶς βουλευσαμένους ἄμει"νον τῶν ἄλλων πράττειν. τὸ μὲν οὖν μέγεθος ὑπὲρ ὧν

"neſte pro patria oppetere". Denuo igitur inter ſe convertuntur "Honeſte" & "Male": item, "Audire" & Oppetere" comparia ſunt. Si hactenus ſibi indulſiſſet, ferri poſſet: ſed non deſinit. Rurſum enim in ſequente periodo ponit, "Bonis viris nihil opus eſſe mul"tis ſcriptis, ſed paucis ſignis, ut de rebus "publicis privatiſque conſentiant". Comparia ſunt "Scriptis & Signis": "Multis" vero & "Paucis", item "Publicis & Privatis" contrapoſita. Poſtea, tanquam nihil tale dixerit, denſis comparibus, tanquam fluctibus obruet, inſerens mox, "Aliorum res admini"ſtrabant, curando, & non exagitando Græ"cos; exiſtimantes, imperandum illis eſſe, "non inſultandum illis eſſe; & duces potius "cupientes, quam domini appellari; & ſer"vatores, non everſores vocari; benefacien"do civitates allicientes, non vi everſas ſubi"gentes; verbis fide majore dignis utentes "quam nunc jurejurando, in fœdere tanquam "in neceſſitate manendum eſſe ſtatuentes". Sed quorſum attinet ſingulis percenſendis immorari? Nam tota fere oratio talibus ab eo figuris, quaſi calamiſtris inuſta eſt. Verum orationes, quas ſub vitæ finem ſcripſit, minus ſunt juveniles; ut quas ipſa ſcilicet ætas prudentius informarit atque perfecerit. Ac de his quidem hæc dixiſſe ſufficiat.

Orationes caneſcentes meliores.

XV. Nunc tempeſtivum fuerit exempla proferre, unde, quæ vis & facultas oratoris ſit, appareat. Nullo autem modo fieri poteſt, ut omnia genera quæſtionum, & omnes formæ orationum, paucis explicentur. Unam tamen concionem aſſumpſiſſe, & unam forenſem orationem, ſatis fuerit. Oratio igitur *de Pace* ſuaſionem continet: qua hortatur Athenienſes, ut compoſito bello ſociali, quod contra eos geſſere Chii & Rhodii, & horum ſocii, miſſam faciant avaritiam, & terræ mariſque imperium affectare deſinant: ac docet, juſtitiam non tantum meliorem eſſe injuria, ſed etiam utiliorem. Ineſt autem etiam in hac ductus ſupinus & extenſus, & periodorum venuſtas: figuræ vero, ad oſtentationem comparatæ, parcius inſertæ ſunt. Hæc igitur negligere lectores debent, & non magno ſtudio digna ducere, ut initio dicebam: cætera vero diligenter animadvertenda ſunt. Hoc autem eſt principium orationis:

Argumentum orationis de Pace, & ſpecimen ſuaſionis.

XVI. "Solent omnes, qui ex hoc loco "verba faciunt, ea dicere maximi eſſe "momenti, & reipublicæ plurimum intereſ"ſe, de quibus ipſi conſilia daturi ſint. Ve"rum ſi ullis aliis negotiis tale convenit "exordium, eo nobis in his quoque nego"tiis utendum eſſe cenſeo. Nam in hoc "conventu de pace & bello deliberatur: "quæ duæ res maximas in vita mortalium "vires habent, aliiſque feliciores neceſſario "reddunt eos à quibus prudenter admini"ſtrantur. Ac magnitudo rerum propter "quas

a Ante εἰ deeſſe videtur copulativa καί. quod loquendi genus alibi occurrit. *W.* Hoc in loco video hærere multos: at ſi interpunctionis ſedem mutent, hærere deſinent. Sic autem eſt mutanda illa ſedes, ut quæ poſt δεῦρο eſt poſt ἦν ponatur, hoc modo: *εἰ μέτριος ἦν, μέχρι δεῦρο ἀνεκτός.* Perinde ac ſi diceret, Si modum tenere ſciret, nequaquam ulterius perrexiſſet, ac tolerari certe huc uſque potuiſſet; verum οὐκ ἀνίησι. *Steph.* Diatrib. in *Iſocr.* p. 13. b *Wolfius* legit αὐτίκα ſtatim. quod ſi non placeat, legere poteris *ταυτὶ hæc. Sylb.* c Καταστρεφόμενοι malit *Steph.* ut duobus modis conveniret cum προσαγόμενοι. i. e. ut non modo eſſent pariſa, ſed etiam ab eadem propoſitione utrumque inciperet. *Diatrib.* IV. p. 14. d Δεῖξαι τίς ἐστιν ἐν τούτοις, vel δεῖξαι τούτοις τίς ἐστιν legendum cenſet *Wolfius.* e *Wolfius* pro priore τε legit δέ. Sed poſſis etiam, retenta priore τε, pro poſteriore ſubſtituere τις, *Sylb.* f Idem pro ἐκ δικανικῶν, in margine ponit τῶν δικανικῶν: & mox poſt ὁ μὲν οὖν inſerendum putat περὶ τῆς εἰρήνης. *Sylb.* g Incluſa καὶ abeſt à *Wolfii* editione. Ex eadem ſeq. v. additum ſubſtantivum πραγμάτων. *Sylb.*

h Wolfius

“quas convehimus, tanta eſt: vos autem non ſimili ſtudio omnium orationes audire video, ſed aliis auſcultare, aliorum ne vocem quidem tolerare. id quod equidem nihil miror. Nam ſuperiori etiam tempore, ſoliti fuiſtis cæteros omnes ejicere, præter eos qui veſtris cupiditatibus aſſentarentur. in quo certe reprehendendi eſtis. Nam cum multas & magnas familias ab aſſentatoribus funditus everſas eſſe ſciatis, & illa præditos arte privatim oderitis, publice non eodem animo erga illos affecti eſtis: ſed cum eos qui adulatores admittunt, eorumque conſuetudine delectantur, accuſetis; vos ipſi plus illis creditis quam reliquis civibus. eaque re effeciſtis, ut oratores non quæ ſint è republica meditentur, ſed orationes vobis gratas excogitent: qualium habendarum cauſa multitudo eorum etiam nunc confluxit. Omnibus enim perſpicuum fuit, vos iis delectari magis, qui ad bellum adhortentur, quam his qui pacem ſuadeant. Nam illi quidem ſpem nobis faciunt & poſſeſſionum, quæ ſunt in urbibus illis, recipiendarum, & veteris potentiæ recuperandæ: hi vero, tale nihil oſtentant, ſed quieſcendum eſſe dicunt; neque res magnas per injuriam appetendas, ſed in pari & æquo jure acquieſcendum: quo maximæ hominum parti factu nihil eſt difficilius. Sic enim ſpe plerique pendemus, & ita inſatiabili cupiditate rerum, quæ aliquam vel injuſti lucri ſpeciem habent, tenemur, ut ne locupletiſſimi quidem re ſua familiari contenti vivant, ſed in appetitione majorum copiarum, etiam quas habent opes in diſcrimen adducant. Quare providendum eſt ne in ſimilem nos quoque amentiam incidamus. Nimis enim mihi quidam ad bellum videntur eſſe incitati, non quaſi plebejus aliquis conſuluiſſet, ſed tanquam dii immortales proſperrima quæque nobis, & facilem hoſtium victoriam promiſiſſent. Eſt autem prudentium hominum, de his quæ comperta habent, non deliberare, (ſupervacaneum enim fuerit) ſed quæ decreverunt, maturare. Quibus autem de rebus conſultant, eas non exploratas ſibi eſſe putare, ſed conjectura quidem uti, & in fortunæ arbitrio eventum eſſe poſitum, exiſtimare debent. Quorum vos neutrum facitis, ſed in maxima verſamini perturbatione. Nam ita quidem conveniſtis, quaſi ex omnibus ſententiis id ſit eligendum, quod maxime conducat: ita vero non niſi eos qui grata & jucunda vobis dicunt, audire vultis, quaſi jam noveritis quid factu ſit optimum. Enimvero decebat, ſi omnino quæreretis quid è republica eſſet, eos audire ſtudioſius qui veſtris ſententiis adverſantur, quam illos qui aſſentantur omnia. Nec enim ignoratis, ab his, qui ea quæ vos vultis, dicunt, facile

“συνεληλύθαμεν, τηλικοῦτόν ἐστιν. ὁρῶ δ' ὑμᾶς οὐκ ἐξ ἴσου τῶν λεγόντων τὰς ἀκροάσεις ποιουμένους, ἀλλὰ τοῖς μὲν προσέχοντας τὸν νοῦν, τῶν δὲ οὐδὲ τῆς φωνῆς ἀνεχομένους. καὶ θαυμαστὸν οὐδὲν ποιεῖτε. καὶ γὰρ τὸν ἄλλον χρόνον εἰώθατε τοὺς ἄλλους ἅπαντας ἐκβάλλειν, πλὴν τοὺς [a] συναγορεύοντας ταῖς ἐπιθυμίαις ὑμῶν· οἷς καὶ δικαίως ἄν τις ἐπιτιμήσειεν, ὅτι συνειδότες πολλοὺς καὶ μεγάλους οἴκους ὑπὸ τῶν κολακευόντων ἀναστάτους γεγενημένους, καὶ μισοῦντες ἐπὶ τῶν ἰδίων τοὺς ταύτην ἔχοντας [b] τὴν τέχνην, ἐπὶ τῶν κοινῶν οὐχ ὁμοίως διάκεισθε πρὸς αὐτούς, ἀλλὰ κατηγοροῦντες τῶν προσιεμένων καὶ χαιρόντων τοῖς τοιούτοις, αὐτοὶ μᾶλλον φαίνεσθε [c] τούτοις πιστεύοντες, ἢ τοῖς ἄλλοις πολίταις. καὶ γάρ τοι πεποιήκατε τοὺς ῥήτορας μελετᾶν καὶ φιλοσοφεῖν οὐ τὰ μέλλοντα τῇ πόλει συνοίσειν, ἀλλ' ὅπως ἀρέσκοντας ὑμῖν λόγους ἐροῦσιν· ἐφ' οὓς καὶ νῦν τὸ πλῆθος αὐτῶν [d] συνερρύηκεν. ἅπασι γὰρ ἦν φανερὸν ὅτι μᾶλλον ἥδεσθε τοῖς παρακαλοῦσιν ὑμᾶς ἐπὶ τὸν πόλεμον, ἢ τοῖς περὶ τῆς εἰρήνης συμβουλεύουσιν. οἱ μὲν γὰρ προσδοκίαν ἐμποιοῦσιν, ὡς τὰς κτήσεις τὰς ἐν ταῖς πόλεσι κομιούμεθα, καὶ τὴν δύναμιν ἀναληψόμεθα πάλιν, ἣν πρότερον ἐτυγχάνομεν ἔχοντες· οἱ δ' οὐδὲν [e] τοιοῦτον ὑποτείνουσιν, ἀλλ' ὡς ἡσυχίαν ἔχειν δεῖ, καὶ μὴ μεγάλων ἐπιθυμεῖν παρὰ τὸ δίκαιον, ἀλλὰ [f] στέργειν τὸ ἴσον· ὃ χαλεπώτατον πάντων τοῖς πλείστοις τῶν ἀνθρώπων ἐστίν. οὕτω γὰρ ἐξηρτήμεθα τῶν ἐλπίδων, καὶ πρὸς τὰς δοκούσας εἶναι πλεονεξίας ἀπλήστως ἔχομεν, ὥστε οὐδὲ οἱ κεκτημένοι τοὺς μεγίστους πλούτους, μένειν ἐπὶ τούτοις ἐθέλουσιν, ἀλλ' ἀεὶ τοῦ πλείονος ὀρεγόμενοι, περὶ τῶν ὑπαρχόντων κινδυνεύουσι. διόπερ ἄξιόν ἐστι δεδιέναι μὴ καὶ νῦν ἡμεῖς ἔνοχοι γενώμεθα ταύταις ταῖς ἀνοίαις. λίαν γάρ τινές μοι δοκοῦσιν ὡρμῆσθαι πρὸς τὸν πόλεμον, ὥσπερ οὐ τῶν τυχόντων συμβεβουλευκότων, ἀλλὰ τῶν θεῶν ἀκηκοότες ὅτι κατορθώσομεν ἅπαντα, καὶ ῥᾳδίως κρατήσομεν τῶν ἐχθρῶν. χρὴ δὲ τοὺς νοῦν ἔχοντας περὶ μὲν ὧν ἴσασι μὴ βουλεύεσθαι· περίεργον γάρ· ἀλλὰ [g] πράττειν ὡς ἐγνώκασι· περὶ ὧν δ' ἂν βουλεύωνται, μὴ νομίζειν εἰδέναι τὸ συμβησόμενον, ἀλλ' ὡς δόξῃ μὲν χρωμένους, ὅτι δ' ἂν τύχῃ γενησόμενον, οὕτω διανοεῖσθαι περὶ αὐτῶν. ὧν ὑμεῖς οὐδέτερον τυγχάνετε ποιοῦντες, ἀλλ' ὡς οἷόν τε ταραχωδέστατα διάκεισθε. συνεληλύθατε γὰρ ὡς δέον ὑμᾶς ἐξ ἁπάντων τῶν ῥηθέντων ἐκλέξαι τὸ βέλτιον· ὥσπερ δ' ἤδη σαφῶς εἰδότες ὃ πρακτέον ἐστίν, οὐ θέλετε ἀκούειν, πλὴν τῶν [h] εἰς ἡδονὴν δημηγορούντων. καίτοι προσήκει ὑμᾶς, εἴπερ ἐβούλεσθε ζητεῖν τὸ τῇ πόλει συμφέρον, μᾶλλον τοῖς ἐναντιουμένοις ταῖς ὑμετέραις γνώμαις προσέχειν τὸν νοῦν, ἢ τοῖς χαριζομένοις· εἰδότας ὅτι τῶν ἐνθάδε παριόντων οἱ μὲν ἃ βούλεσθε λέγοντες, ῥᾳδίως “ἐξαπατᾶν

a *Wolfius* cum vulgatis *Iſocratis* editionibus legit, συναγορεύοντας ταῖς ὑμετέραις ἐπιθυμίαις· ὃ καὶ δικαίως ἄν τις ὑμῖν ἐπιτιμήσειε. *Sylb.* b Pro τὴν τέχνην *Iſocratis* codicem habere τὴν γνώμην, adnotavit *Stephanus.* c *Wolfii* editio pro τούτοις habet τοῖς τοιούτοις. *Sylb.* d Συνερρύηκεν pro vulgato ἐρρύηκεν repoſui ex eadem editione *Wolfiana. Sylb.* e Eadem habet τοιοῦτο προτείνουσι. *Sylb.* f Pro στέργειν τὸ ἴσον vulgatæ *Iſocratis* editiones habent στέργειν τοῖς παροῦσι. Utrumque ferri poteſt: ego tamen poſterius malim, quia ſequitur, οὕτω γὰρ ἐξηρτήμεθα τῶν ἐλπίδων. antitheta igitur ſunt, στέργειν τοῖς παροῦσιν & ἐξηρτῆσθαι τῶν ἐλπίδων. an vero tam eleganter ſibi mutuo reſpondebunt, ſi legas στέργειν τὸ ἴσον? haud opinor. nolo tamen cum ullo digladiari, qui στέργειν τὸ ἴσον ad præcedentia referre maluerit. *Wolf.* g In vulgatis *Iſocratis* exemplaribus legitur, πράττειν ὡς ἐγνώκασιν, ut ad περὶ ὧν ἴσασι referatur conſtructio. *Wolf.* h Πρὸς ἡδονὴν (ut mox p. 161. v. 3.) malit *Wolfius.*

a Incluſum

ἐξαπατᾶν δύνανται. τὸ γὰρ πρὸς χάριν ῥηθὲν ἐπισκοτεῖ τῷ καθορᾶν ([a] ὑμᾶς) τὸ βέλτιστον. ὑπὸ δὲ τῶν μὴ πρὸς ἡδονὴν συμβουλευόντων, οὐδὲν ἂν πάθοιτε τοιοῦτον. οὐ γάρ ἐστιν ὅπως ἂν μεταπεῖσαι δυνηθεῖεν ([b] ὑμᾶς, μὴ φανερὸν τὸ συμφέρον καταστήσαντες. χωρὶς δὲ τούτων, πῶς ἂν ἄνθρωποι καλῶς δυνηθεῖεν) ἢ κρῖναι περὶ τῶν γεγενημένων, ἢ βουλεύσασθαι περὶ τῶν μελλόντων, εἰ μὴ τοὺς μὲν λόγους τοὺς τῶν ἐναντιουμένων παρ' ἀλλήλους ἐξετάζοιεν, αὐτοὶ δ' αὑτοὺς κοινοὺς ἀμφοτέροις ἀκροατὰς παράσχοιεν; θαυμάζω δὲ [c] ταὶ τῶν πρεσβυτέρων, εἰ μηκέτι μνημονεύουσι, καὶ τῶν νεωτέρων, εἰ μηδενὸς ἀκηκόασιν, ὅτι διὰ μὲν τοὺς παραινοῦντας ἀντέχεσθαι τῆς εἰρήνης, οὐδὲν πώποτε κακὸν ἐπάθομεν· διὰ δὲ τοὺς ῥᾳδίως [d] πολεμεῖν αἱρουμένους, μεγάλαις συμφοραῖς περιεπέσομεν. ὧν ἡμεῖς οὐδεμίαν ποιούμεθα μνείαν, ἀλλ' ἑτοίμως ἔχομεν μηδὲν [e] εἰς τὸ πρόσθεν ἡμῖν αὐτοῖς πράττοντες, τριήρεις πληροῦν, καὶ χρημάτων εἰσφορὰς ποιεῖσθαι, καὶ βοηθεῖν, καὶ πολεμεῖν οἷς ἂν τύχωμεν, ὥσπερ ἐν ἀλλοτρίᾳ τῇ πόλει κινδυνεύοντες. τούτων δ' αἴτιόν ἐστιν, ὅτι προσῆκον ὑμᾶς ὁμοίως ὑπὲρ τῶν κοινῶν ὥσπερ τῶν ἰδίων σπουδάζειν, οὐ τὴν αὐτὴν γνώμην ἔχετε περὶ αὐτῶν· ἀλλ' ὅταν μὲν ὑπὲρ τῶν ἰδίων βουλεύησθε, ζητεῖτε συμβούλους τοὺς ἄμεινον φρονοῦντας ὑμῶν αὐτῶν· ὅταν δ' ὑπὲρ τῆς πόλεως ἐκκλησιάζητε, τοῖς μὲν τοιούτοις ἀπιστεῖτε καὶ φθονεῖτε· τοὺς δὲ πονηροτάτους τῶν ἐπὶ τὸ βῆμα παριόντων, ἐπαινεῖτε· καὶ νομίζετε δημοτικωτέρους εἶναι τοὺς μεθύοντας τῶν νηφόντων, καὶ τοὺς νοῦν οὐκ ἔχοντας τῶν εὖ φρονούντων, καὶ τοὺς τὰ τῆς πόλεως διανεμομένους, τῶν ἐκ τῆς [f] (ἰδίας) οὐσίας ὑμῖν λειτουργούντων. ὥστ' ἄξιον θαυμάζειν, εἴ τις ἐλπίζει τὴν πόλιν τοιούτοις συμβούλοις χρωμένην, ἐπὶ τὸ βέλτιον ἐπιδώσειν. ἐγὼ δ' οἶδα μὲν ὅτι πρόσαντές ἐστιν ἐναντιοῦσθαι ταῖς ὑμετέραις διανοίαις, καὶ ὅτι δημοκρατίας οὔσης οὐκ ἔστι παῤῥησία, πλὴν ἐνθάδε μὲν, τοῖς ἀφρονεστάτοις καὶ μηδὲν ὑμῶν φροντίζουσιν· ἐν δὲ τοῖς θεάτροις, τοῖς [g] κωμῳδοδιδασκάλοις· ὃ καὶ πάντων ἐστὶ δεινότατον, ὅτι τοῖς μὲν ἐκφέρουσιν εἰς τοὺς ἄλλους Ἕλληνας τὰ τῆς πόλεως ἁμαρτήματα, τοσαύτην ἔχετε χάριν, ὅσην οὐδὲ τοῖς εὖ ποιοῦσι· πρὸς δὲ τοὺς ἐπιπλήττοντας καὶ νουθετοῦντας ὑμᾶς, οὕτω διατίθεσθε δυσκόλως, ὥσπερ πρὸς τοὺς κακόν τι τὴν πόλιν ἐργαζομένους. ὅμως δὲ καὶ τούτων ὑπαρχόντων, οὐκ ἂν ἀποσταίην ὧν διενοήθην. παρελήλυθα γὰρ οὐ χαριούμενος ὑμῖν, οὐδὲ χειροτονίαν μνηστεύσων, ἀλλ' ἀποφανούμενος ἃ τυγχάνω γιγνώσκων· πρῶτον μὲν, περὶ ὧν [h] ὁ πρύτανις προτίθεσιν· ἔπειτα (καὶ) περὶ τῶν ἄλλων τῶν τῆς πόλεως πραγμάτων. οὐδὲν γὰρ ὄφελος ἔσται [i] τῶν ὑπὲρ τῆς εἰρήνης γνωσθέντων, ἂν μὴ περὶ τούτων ὀρθῶς λοιπὸν βουλευσώμεθα. φημὶ δ' οὖν χρῆναι ποιεῖσθαι τὴν εἰρήνην μὴ μόνον πρὸς Χίους τε καὶ Ῥωδίους καὶ Βυζαντίους καὶ Κῴους, ἀλλὰ

vos poſſe decipi. Nam ad voluptatem audientis inſtituta oratio judicio veluti caliginem offundit, quo minus id quod utile eſt perſpiciatur. Id quod ab his, qui veſtrum favorem non aucupantur, metuendum non eſt. Nec enim unquam à ſententia vos deducent, niſi, quid expediat, evidentiſſime demonſtrarint. Præterea quî fieri poteſt, ut ulli vel de præteritis recte judicent, vel de futuris prudenter deliberent, niſi & contrarias inter ſe rationes contulerint, & æquos utriſque auditores ſe præbuerint? Equidem miror, neque ſenes adhuc meminiſſe, nec adoleſcentes è quoquam audiviſſe, per eos qui pacem retinendam cenſuerunt, nihil unquam nobis accidiſſe mali; eos autem, qui bella temere ſuſceperunt, nos in multas jam & magnas clades conjeciſſe. Quæ nos minime in memoriam revocamus: ſed cum rebus noſtris ea ratione haud conſulatur, tamen & claſſem in mare deducere, & tributa conferre, & auxiliari, & bella inferre quibuſvis parati ſumus, quaſi alienæ urbis periculo dimicemus. Quarum rerum cauſa hæc eſt, quod, cum res publica non minori curæ vobis eſſe debeat quam privata, vos erga illam non eodem modo affecti eſtis. Nam veſtris quidem de rebus deliberantes, in conſilium adhibetis eos qui prudentia vobis antecellunt: cum autem de republica conveniſtis, his quidem diffiditis & invidetis, improbiſſimos vero eorum qui ſuggeſtum conſcendunt, laudatis, & populariores eſſe ducitis ebrios quam ſobrios, & amentes quam cordatos, & eos qui publicam pecuniam diſtribuunt, quam hos qui de ſua re familiari munera vobis obeunt. Quare mirum eſt, quemquam eſſe qui ſperet, dum hi conſultores audiuntur, melius actum iri cum republica. Ego vero, quam arduum ſit adverſari veſtris cupiditatibus, equidem non ignoro, & cum popularis reſpublica ſit, non eſſe libertatem, niſi hîc, ſtolidiſſimo cuique, & veſtri contemptori; in theatro, comœdiarum actoribus. idque omnium acerbiſſimum eſt, in majore apud vos eſſe gratia, qui delicta urbis noſtræ foras ad alios Græcos efferunt, quam eos qui de vobis bene merentur; his vero qui caſtigant & monent, ita infenſos & iniquos eſſe vos, quaſi contra rempublicam feciſſent. Quamvis igitur hæc ita ſint, non tamen ab inſtituto meo recedam. Non enim huc prodii gratificandi gratia, aut magiſtratus ambiendi cauſa; ſed ut ea quæ ſentio, dicerem: primum de his quibus referunt conſules, poſtea de cæteris etiam reipublicæ negotiis. Nec enim ulla erit decretæ pacis utilitas, niſi reliquis etiam rebus recte conſuluerimus. Pacem igitur eſſe faciendam cenſeo, non modo cum Chiis & Rhodiis, & Byzantiis & Cois, ſed

"cum

[a] Incluſum ὑμᾶς abeſt à *Wolfii* editione. [b] Incluſa à librariis omiſſa fuerant, ab uno ſcilicet δυνηθεῖεν ad alterum ſaltu facto. Ego cum *Wolfio* ex *Iſocratis* editione ſupplevi. Sed habent eædem *Iſocratis* editiones ποιήσαντες pro *Wolfiano* καταστήσαντες. *Sylb.* [c] Illud ταὶ in vulgatis *Iſocratis* editionibus rectius omittitur. Sed fortaſſis legendum ταῦτα, quia ſequitur καί. *Wolf.* [d] In iiſdem *Iſocratis* exemplaribus legitur, τὸν πόλεμον ἀναιρουμένους, πολλαῖς ἤδη καὶ μεγάλαις συμφ. ut adnotavit *Steph.* [e] Εἰς τοὔμπροσθεν mavult *Wolf.* [f] Incluſum ἰδίας è vulgatis *Iſocratis* editionibus addidit *Wolf.* requirit ipſa etiam ſententia. *Sylb.* [g] *Wolfii* editio habet κωμοδιδασκάλοις: quæ ſyncope apud *Ariſtotelem* quoque à me obſervata eſt. Ego hîc exemplar noſtrum ſequi malui: atque adeo ſic idem *Wolfius* in ſuo libro emendavit. *Sylb.* [h] In vulgatis *Iſocratis* editionibus pluraliter eſt οἱ πρυτάνεις προστιθέασι. Sequens etiam καὶ incluſa ex iiſd. addita eſt. *Sylb.* [i] *Wolfius* mavult τῶν νῦν περὶ τῆς εἰρήνης γνωσθέντων, ἢν μὴ καὶ περὶ τῶν λοιπῶν ὀρθῶς βουλ.

 a In

"cum hominibus univerſis: & pactionibus utendum, non his quas nunc quidam ſcripſerunt, ſed illis quæ cum rege Perſarum & Lacedæmoniis interceſſerunt, quæ Græcos jubent eſſe liberos, & præſidia ex alienis urbibus educi, & ſuam quoſque civitatem tenere. quibus neque juſtiores invenimus, nec urbi noſtræ utiliores."

XVII. Hæc præfatus, & ſic auditorum animis ad ea quæ ſequuntur commode præparatis, pulcerrimaque juſtitiæ laude inſerta, & illo ſtatu rerum vituperato, ſubjicit collationem hominum ſuæ ætatis cum majoribus, ad hunc modum: "Hæc eo præfatus ſum, quod de cæteris ſine omni diſſimulatione, & prorſus aperte apud vos dicere decrevi. Quis enim obſecro eſt, qui peregre adveniens, noſtrique erroris expers adhuc, ſi his rebus de improviſo interveniat, non delirare nos & inſanire arbitretur? Qui cum res à majoribus præclare geſtas laudi nobis ducamus, & rempublicam noſtram eo nomine celebrandam exiſtimemus, tantum abeſt ut eos ulla ex parte imitemur, ut plane contraria faciamus. Nam illi quidem pro Græcis contra barbaros pugnare non deſtiterunt: nos vero eos, qui in Aſia victum quærebant, huc retractos, contra Græcos duximus. Illis, dum Græcis urbibus libertatem reſtituunt, dum opem ferunt, principatus Græciæ delatus fuit: nos, qui eaſdem ſervitute premimus, qui plane diverſum agimus, indignamur eundem nobis honorem non haberi? cum inter dicta factaque noſtra & illorum tantum interſit, ut ipſi pro conſervandis Græcis" &c. *Et aliquanto poſt*: "Eaſdem ita comtemnimus, ut, cum pœna capitis in eum ſancita ſit (ex uno enim etiam cætera judicabitis) qui ſit ambitus convictus, eos qui palam id faciunt imperatores deligamus; & quo quiſque plures cives corruperit, eo rebus à nobis majoribus præficiatur. Præterea cum de reipublicæ forma non minus ſolliciti ſimus, quam de ſalute totius civitatis, nec ignoremus popularem ſtatum tranquillis & pacatis rebus creſcere & confirmari, bellis vero jam bis ſublatum eſſe, pacis ſtudioſos, quaſi qui omnia ad paucorum arbitrium revocare conentur, odimus; qui autem bella concitant, hos demum & populares & benevolos eſſe putamus. Cum eloquentiſſimi ſimus, & rerum gerendarum peritiſſimi; ea temeritate ſumus, ut eadem die, de rebus iiſdem, non eadem decernamus; ſed quæ domo egreſſi damnabamus, illa ipſa in concione ſuffragiis noſtris comprobemus; & paulo poſt domum regreſſi, quæ hic decreta ſunt denuo cavillemur. Cum nos Græcorum ſapientiſſimos eſſe profiteamur, ab eorum conſiliis pendemus, quos nemo eſt qui non aſpernetur; & ſummæ rerum omnium illos ipſos præficimus, quibus nemo privatim quidquam commiſerit."

"πρὸς πάντας ἀνθρώπους [a] κεχρῆσθαι ταῖς συνθήκαις, μὴ ταῖς ἃς νῦν τινες γεγράφασιν, ἀλλὰ ταῖς γενομέναις [b] (μὲν) πρὸς βασιλέα καὶ Λακεδαιμονίους, προσταττούσαις δὲ τοὺς Ἕλληνας αὐτονόμους (εἶναι), καὶ τὰς φρουρὰς ἐκ τῶν ἀλλοτρίων πόλεων ἐξιέναι, καὶ τὴν αὐτῶν ἔχειν ἑκάστους. τούτων γὰρ οὔτε δικαιοτέρας εὑρήσομεν, οὔτε μᾶλλον τῇ πόλει συμφερούσας.

ιζ. Ταῦτα προειπὼν, καὶ οὕτω διαθεὶς τοὺς ἀκούοντας πρὸς τὸν μέλλοντα λόγον ἐπιτηδείως, ἐγκώμιόν τε κάλλιστον τῆς δικαιοσύνης διαθέμενος, καὶ τὰ καθεστηκότα πράγματα μεμψάμενος, ἐπιτίθησι τούτοις τὴν σύγκρισιν τῶν τότε ἀνθρώπων πρὸς τοὺς προγόνους· "Τούτου δὲ ἕνεκα ταῦτα προεῖπον, ὅτι περὶ τῶν λοιπῶν οὐδὲν ὑποστειλάμενος, ἀλλὰ παντάπασιν ἀνειμένως μέλλω τοὺς λόγους ποιεῖσθαι πρὸς ὑμᾶς. τίς γὰρ ἄλλοθεν ἐπελθὼν, καὶ μή πω συνδιεφθαρμένος ὑμῖν, ἀλλ' ἐξαίφνης ἐπιστὰς τοῖς γενομένοις, οὐκ ἂν μαίνεσθαι καὶ παραφρονεῖν ἡμᾶς νομίσειεν, οἳ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις, καὶ τὴν πόλιν ἐκ τῶν τότε πραχθέντων ἐγκωμιάζειν ἀξιοῦμεν, οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν, ἀλλὰ πᾶν τοὐναντίον; οἱ μὲν γὰρ, ὑπὲρ τῶν Ἑλλήνων τοῖς βαρβάροις πολεμοῦντες διετέλεσαν· ἡμεῖς δὲ, τοὺς ἐκ τῆς Ἀσίας τὸν βίον ποριζομένους ἐκεῖθεν ἀναστήσαντες, ἐπὶ τοὺς Ἕλληνας ἠγάγομεν. κἀκεῖνοι μὲν ἐλευθεροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας, καὶ βοηθοῦντες αὐταῖς, τῆς ἡγεμονίας ἠξιώθησαν· ἡμεῖς δὲ, καταδουλούμενοι, καὶ τἀναντία τοῖς τότε πράττοντες, ἀγανακτοῦμεν εἰ μὴ τὴν αὐτὴν τιμὴν ἐκείνοις ἕξομεν, οἳ τοσοῦτον ἀπολελείμμεθα, καὶ τοῖς ἔργοις καὶ ταῖς διανοίαις, τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων, ὅσον οἱ μὲν ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας, [c] καὶ ἑξῆς· Οὕτως ὀλίγον αὐτῶν φροντίζομεν· ἓν γὰρ ἀκούσαντες, γνώσεσθε καὶ περὶ τῶν ἄλλων· [d] ὡς θανάτου τῆς ζημίας ἐπικειμένης, ἤν τις ἁλῷ δεκάζων, τοὺς τοῦτο φανερώτατα ποιοῦντας, στρατηγοὺς χειροτονοῦμεν, καὶ τὸν πλείστους διαφθεῖραι δυνηθέντα τῶν πολιτῶν, τοῦτον ἐπὶ τὰ μέγιστα τῶν πραγμάτων καθίσταμεν. σπουδάζοντες δὲ περὶ τὴν πολιτείαν οὐχ ἧττον ἢ περὶ τὴν σωτηρίαν ὅλης τῆς πόλεως, καὶ τὴν δημοκρατίαν εἰδότες ἐν μὲν ταῖς ἡσυχίαις καὶ ταῖς ἀσφαλείαις [e] αὐξανομένην καὶ διαμένουσαν, ἐν δὲ τοῖς πολέμοις δὶς ἤδη καταλυθεῖσαν, πρὸς μὲν τοὺς τῆς εἰρήνης ἐπιθυμοῦντας, ὡς πρὸς ὀλιγαρχικοὺς ὄντας, δυσκόλως ἔχο- 102
μεν· τοὺς δὲ τὸν πόλεμον [f] ἀγαπῶντας, ὡς τῆς δημοκρατίας κηδομένους, εὔνους (εἶναι) νομίζομεν. ἐμπειρότατοι δὲ λόγων καὶ πραγμάτων ὄντες, οὕτως ἀλογίστως ἔχομεν, ὥστε περὶ τῶν αὐτῶν [g] τῆς (αὐτῆς) ἡμέρας οὐ ταὐτὰ γινώσκομεν, ἀλλ' ὧν πρὶν εἰς τὴν ἐκκλησίαν ἀναβῆναι, κατηγοροῦμεν, ταῦτα συνελθόντες χειροτονοῦμεν· οὐ πολὺν δὲ χρόνον διαλιπόντες, τοῖς [h] (ἐνταῦθα) ψηφισθεῖσιν, ἐπειδὰν ἀπίωμεν, πάλιν ἐπιτιμῶμεν. προσποιούμενοι δὲ σωφρονέστατοι τῶν Ἑλλήνων (εἶναι), τοιούτοις χρώμεθα συμβούλοις, ὧν οὐκ ἔστιν ὅστις οὐκ ἂν καταφρονήσειε· καὶ τοὺς αὐτοὺς τούτους κυρίους (τῶν κοινῶν) ἁπάντων καθίσταμεν, οἷς οὐδεὶς ἂν τῶν ἰδίων οὐδὲν ἐπιτρέψειε."

ιη'. Τοιου-

a In *Iſocratis* exemplaribus pro κεχρῆσθαι legitur καὶ χρῆσθαι, poſito ſcilicet poſt ἀνθρώπους puncto ſemiperfectæ periodi ſuſpenſo. *Sylb.* b Incluſa μὲν addita ex editione *Wolfii.* c Prætermiſſi hoc loco ſunt verſus circiter ſexaginta: quos, qui volet, ex vulgatis *Iſocratis* orationibus petere poterit. *Wolfius* eos cum ſua verſione inſeruit in hunc tractatum, qui ſubjungi ſolet editionibus *Iſocratis*. *Sylb.* d Ὥστε pro ὡς legit *Wolfius.* e Αὐξομένην malit *W.* f Pro ἀγαπῶντας vulgata *Iſocratis* exemplaria habent ἐμποιοῦντας, ut *Steph.* & *W.* adnotarunt. *Sylb.* g In quibuſdam exemplaribus τῆς ἡμέρας & ſeq. verſu ἐλθόντες: minus recte. *Sylb.* h Incluſum ἐνταῦθα additum è *Wolfii* editione, itidemque τῶν κοινῶν v. 48. *Sylb.*

a Περὶ

ιη'. Τοιοῦτος μὲν δή τις ἐν τοῖς συμβουλευτικοῖς λόγοις ὁ ἀνήρ. ἐν δὲ τοῖς δικανικοῖς τὰ μὲν ἄλλα πάνυ ἀκριβὴς καὶ [a] ἀληθινός, καὶ τῷ Λυσίου χαρακτῆρι ἔγγιστα μὲν προσεληλυθώς· ἐν δὲ τῇ συνθέσει τῶν ὀνομάτων τὸ λεῖον ἐκεῖνο καὶ εὐπρεπὲς ἔχων, ἔλαττον μὲν ἢ ἐν ἄλλοις λόγοις, οὐ μὴν ἀλλ' ἔχων γε. [b] μηδεὶς δ' ἀγνοεῖν ὑπολάβῃ μηδ' ὅτι Ἀφαρεύς, ὁ [c] πρόγονός τε καὶ εἰσποιητὸς Ἰσοκράτει γενόμενος, ἐν τῷ πρὸς Μεγακλείδην ΠΕΡΙ ΤΗΣ ΑΝΤΙΔΟΣΕΩΣ λόγῳ [d] διορίζεται, μηδεμίαν ὑπὸ τοῦ πατρὸς ὑπόθεσιν εἰς δικαστήριον γεγράφθαι· μηδ' ὅτι δέσμας πάνυ πολλὰς δικανικῶν λόγων Ἰσοκρατείων περιφέρεσθαί φησιν ὑπὸ τῶν βιβλιοπωλῶν Ἀριστοτέλης. οἴδαμεν γὰρ ταῦτα ὑπὸ τῶν ἀνδρῶν ἐκείνων λεγόμενα· καὶ οὔτε Ἀριστοτέλει πειθόμεθα ῥυπαίνειν τὸν ἄνδρα βουλομένῳ, οὔτ' Ἀφαρεῖ τούτου γ' ἕνεκα λόγον εὐπρεπῆ πλαττομένῳ συντιθέμεθα· ἱκανὸν δὲ ἡγησάμενοι εἶναι τῆς ἀληθείας βεβαιωτὴν τὸν Ἀθηναῖον Κηφισόδωρον, ὃς καὶ συνεβίωσεν Ἰσοκράτει, καὶ γνησιώτατος ἀκουστὴς ἐγένετο, καὶ τὴν ἀπολογίαν τὴν πάνυ θαυμαστὴν ἐν ταῖς πρὸς [e] Ἀριστοτέλη ἀντιγραφαῖς ἐποιήσατο, πιστεύομεν γεγράφθαι λόγους τινὰς ὑπὸ τοῦ ἀνδρὸς εἰς δικαστήρια, οὐ μέντοι πολλούς· καὶ χρώμεθα παραδείγματι ἐξ αὐτῶν ἑνί· οὐ γὰρ [f] ἐχώρει πλείοσι· τῷ ΤΡΑΠΕΖΙΤΙΚΩ λεγομένῳ, ὃν ἔγραψε ξένῳ τινὶ τῶν μαθητῶν κατὰ Πασίωνος τοῦ τραπεζίτου. ἔστι δὲ ὁ λόγος οὗτος·

ιθ'. "Ὁ μὲν ἀγών μοι μέγας ἐστίν, ὦ ἄνδρες δικασταί. οὐ γὰρ μόνον περὶ πολλῶν χρημάτων κινδυνεύω, ἀλλὰ καὶ περὶ τοῦ μὴ δοκεῖν ἀδίκως τῶν ἀλλοτρίων ἐπιθυμεῖν· ὃ ἐγὼ περὶ πλείστου ποιοῦμαι. οὐσία γάρ μοι ἱκανὴ [g] καταλειφθήσεται καὶ τούτων στερηθέντι. [h] εἰ δὲ δόξαιμι, μηδὲν προσῆκον, αὐτὰ τὰ χρήματα ἐγκαλέσαι, διαβληθείην ἂν τὸν ἅπαντα βίον. ἔστι δέ, ὦ ἄνδρες δικασταί, πάντων χαλεπώτατον, τοιούτων ἀντιδίκων τυχεῖν. τὰ μὲν γὰρ συμβόλαια πρὸς τοὺς ἐπὶ ταῖς τραπέζαις ἄνευ μαρτύρων γίνεται· τοῖς ἀδικουμένοις δέ, πρὸς τοὺς τοιούτους ἀνάγκη κινδυνεύειν, οἳ καὶ φίλους πολλοὺς κέκτηνται, καὶ χρήματα πολλὰ διαχειρίζουσι, καὶ πιστοὶ διὰ τὴν τέχνην δοκοῦσιν εἶναι. ὅμως δὲ καὶ τούτων ὑπαρχόντων, ἡγοῦμαι φανερὸν πᾶσι ποιήσειν ὅτι ἀποστεροῦμαι τοσούτων χρημάτων ὑπὸ Πασίωνος. [i] ἐξ ἀρχῆς δὲ ὑμῖν ὅπως ἂν δύνωμαι, διηγήσομαι τὰ πεπραγμένα. ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταί, πατὴρ μέν ἐστι [k] Σινωπεύς· ὃν οἱ πλέοντες εἰς τὸν Πόντον ἅπαντες ἴσασιν οὕτως οἰκείως πρὸς Σάτυρον διακείμενον, ὥστε πολλῆς μὲν χώρας ἄρχειν, ἁπάσης δὲ τῆς δυνάμεως ἐπιμελεῖσθαι ἐκείνου. πυνθανόμενος δὲ καὶ περὶ τῆσδε τῆς πόλεως καὶ περὶ [l] τῆς ἄλλης Ἑλλάδος, ἐπεθύμησα ἀποδημῆσαι. γεμίσας δ' ὁ πατήρ μου δύο ναῦς σίτου, καὶ χρήματα δούς, ἐξέπεμψεν ἅμα κατ' ἐμπορίαν [m] καὶ θεωρίαν· συστήσαντος δέ μοι Πυθοδώρου τοῦ Φοίνικος Πασίωνα, ἐχρώμην τῇ τούτου τρα-

Tranſitio ad forenſe exemplum ex oratione Trapezitica.

XVIII. Talis igitur hic vir in ſuaſionibus eſt. In forenſibus autem, cætera quidem valde accuratus & ingenuus, & Lyſiæ characteri proximus; in compoſitione tamen, molle illud & elegans minus habet ille quidem quam in aliis, ſed habet tamen. Nemo autem me illud ignorare putet, vel quod Aphareus privignus, & adoptivus filius Iſocratis, in oratione *de Antidoſi* contra Megaclidem contendit, nullum argumentum forenſe à patre ſcriptum eſſe: neque illud etiam, quod faſciculos permultos judicialium orationum Iſocratis circumferri dicit à bibliopolis Ariſtoteles. Etſi enim hæc ab illis viris dici ſcio, tamen neque Ariſtoteli credo, qui huic viro ſordidam maculam aſpergere vult, neque propterea tamen Aphareo, honeſtam orationem fingenti, aſſentior: ſed idoneum veritatis approbatorem ratus Athenienſem Cephiſodorum, qui & familiariter cum Iſocrate vixit, & auditor ejus maxime germanus fuit, & præceptoris adverſus Ariſtotelis criminationes defenſionem illam prorſus admirabilem edidit; credo virum hunc ſcripſiſſe nonnullas orationes quæ in judiciis dicerentur, non multas tamen: & exemplo utor una ex illis (plures enim proferre, temporis anguſtia non patitur) quæ *Trapezitica* inſcribitur, quam hoſpiti cuidam contra Paſionem menſarium ſcripſit. Eſt autem hujuſmodi oratio:

XIX. "Magna mea res agitur, Judices. nec enim tantum de pecunia magna in diſcrimen venio, ſed exiſtimatio quoque mea, quam ego plurimi facio, agitur, ne aliena injuſte concupiſcere videar. Satis enim opum, etiam his fraudato, mihi relinquetur. Sed ſi abſque juſta cauſa tantam pecuniam petere videbor, ea res perpetuæ mihi infamiæ fuerit. Eſt autem, Judices, incommodiſſimum, in tales adverſarios incidere. nam quidquid cum menſariis agitur, fit ſine teſtibus. Quod ſi quis ab iſtis circumventus eſt, adverſus eos jus experiri cogitur, qui & amicorum præſidia habent, & multas pecunias tractant, & propter artem fide digni exiſtimantur. Quæ quanquam ita ſunt, tamen perſpicue declaraturum arbitror, à Paſione me tanta pecunia fraudari. Quare in primis, ut potero, vobis rem omnem ordine recenſebo. Mihi, Judices, pater Sinopenſis eſt, quem omnes Pontici negotiatores ita familiarem Satyro eſſe norunt, ut & amplam ditionem regat, & omnibus ejus copiis militum præſit. Ego vero quum & de hac urbe & de tota Græcia audiviſſem, peregre abire deſideravi. Pater igitur duabus navibus frumento plenis, pecuniaque data, me ablegavit, ſimul & mercandi & ſpectandi gratia: & quia Pythodorus Phœnix Paſionem mihi commendarat, ejus menſa uſus ſum. "Ali-

a Περὶ ἀληθινοῦ λόγου vide *Hermogenem* περὶ ἰδεῶν, l. 2. c. 6. *W.* *b* Plenius & rectius legemus, μηδεὶς δέ με ἀγν. ὑπολ. *W.* *c* Πρόγονος *privignus*, natus antequam Iſocrates cum Plathane matrimonium contraxiſſet. alias πρόγονοι majores ſunt; ut Hercules eſt πρόγονος Philippi Macedonis. *W.* *d* Διϊσχυρίζεται pro διορίζεται legendum cenſet *W.* *e* Ἀριστοτέλην mavult *W.* *f* Poſt ἐχώρει ſupple χρῆσθαι. *W.* *g* Ita legendum monuit *Wolfius*, pro vulg. καταλειφθήσεται. *h* Vulgatæ *Iſocratis* editiones habent, εἰ δὲ δόξω μηδὲν προσηκόντως τοσαῦτα χρήματα ἐγκαλεῖσθαι, & mox τὸν ἅπαντα χρόνον, ut adnotarunt *Steph.* & *Wolf.* *i* Eædem editiones habent ἐξ ἀρχῆς οὖν ὑμῖν ὡς ἂν δύν. *Sylb.* *k* Pro Σινωπεὺς quædam *Iſocratis* exemplaria habent Σωπαῖος, ut notavit *Steph.* *Wolfii* editio Σωπαῖος. *Sylb.* *l* In iiſdem pro τῆς ἄλλης legitur τῆς ὅλης. *Sylb.* *m* Καὶ κατὰ θεωρίαν in vulgatis *Iſocratis* editionibus.

"Aliquanto poſt, cum & pater meus regni "affectati apud Satyrum delatus eſſet, & ego "cum exſulibus conſpiraſſe dicerer, Satyrus "& patrem meum in vincula conjicit, & ad "Ponticos negociatores huc ſcribit; ut & "pecunias à me auferrent, & ipſum redire "domum jubeant: quod ni feciſſem, à vobis "expoſcerent. Tantis igitur malis, Judices, "circumventus, apud Paſionem fortunas meas deploro. nam ita eum complectebar familiariter, ut non pecunias tantum, ſed alia "quoque ejus potiſſimum fidei crederem. "Exiſtimabam autem, ſi pecunias univerſas "amiſiſſem, & patri meo aliquid accidiſſet, "me, & hic & illic opibus ſpoliatum, ad "ſummam inopiam redactum iri: ſin eſſe "mihi pecuniam faterer, & poſt Satyri literas eam poſtulantis, non tradidiſſem, id "& patri & mihi graviſſimas calumnias pariturum. Nobis igitur deliberantibus; conſultiſſimum videbatur, ut dicerem, omnia "me facturum quæ Satyrus imperaſſet, & "pecuniam manifeſtam traderem: quæ vero "apud iſtum eſſent, eas non modo negarem, "ſed etiam fœnore ampliorem accepiſſe, tum "ab iſto tum ab aliis, ſimularem; denique "omnia facerem per quæ illis maxime perſuaderetur, mihi non eſſe pecuniam. Tunc "igitur, Judices, putabam Paſionem mihi "cuncta hæc ſuadere ex benevolentia; ſed, "re cum Satyri legatis tranſacta, animadverti eum fortunis meis inſidiari. Quum "enim navigaturus Byzantium, mea recipere vellem, iſte ſibi pulcerrimam occaſionem eſſe datam ratus eſt, quod & pecunia "apud ſe repoſita magna eſſet, ac digna impudentia; & ego multis audientibus negaſſem, me quidquam habere, & nemo ignoraret, cum pecuniam à me legati peterent, "etiam aliis debere me, confeſſum eſſe. Ad "hæc, Judices, putabat, ſi quidem hîc manerem, me à civitate Satyro deditum iri: ſin "alio me contuliſſem, ſe querelas meas nihil "curaturum: ſin in Pontum navigaſſem, me "una cum patre periturum. Hæc igitur cogitans, me fraudare inſtituit: ac apud me "quidem ſimulabat, ſe, in præſentia minus "paratum à pecunia, reddere non poſſe: ſed "cum ego, rem certo cognoſcere volens, Philomelum & Menexenum ad eum miſiſſem, "apud eos ſe meum quidquam habere negavit. Tantis igitur ab omni parte malis oppreſſo mihi, quid animi fuiſſe cenſetis? "Nam ſi tacerem, id conſequebar, ut ab iſto "pecunia fraudarer: ſin dicerem, ut & nihilo plus reciperem, & apud Satyrum mihi "ſimul & patri maximum crimen conflarem. "Optimum igitur eſſe duxi, quieſcere. Poſt "hæc, Judices, advenerunt, qui & patrem

"πέζῃ· χρόνῳ δὲ ὕστερον διαβολῆς πρὸς Σάτυρον γενομένης, ὡς καὶ ὁ πατὴρ [a] οὑμὸς ἐπιβουλεύοι τῇ ἀρχῇ, κἀγὼ τοῖς φυγάσι συγγινοίμην, τὸν μὲν πατέρα μου συλλαμβάνει, ἐπιστέλλει δὲ τοῖς ἐνθάδε ἐπιδημοῦσιν ἐκ τοῦ Πόντου, τὰ χρήματα παρ' ἐμοῦ παραλαβεῖν, καὶ αὐτὸν εἰσπλεῖν κελεύειν· ἐὰν δὲ τούτων μηδὲν ποιῶ, παρ' ὑμῶν ἐξαιτεῖν. ἐν τοσούτοις δὲ κακοῖς ὤν, ὦ ἄνδρες δικασταί, λέγω πρὸς Πασίωνα τὰς ἐμαυτοῦ συμφοράς. οὕτω γὰρ οἰκείως πρὸς αὐτὸν διεκείμην, ὥστε μὴ μόνον περὶ τῶν χρημάτων, ἀλλὰ καὶ περὶ τῶν ἄλλων τούτῳ μάλιστα πιστεύειν. [b] ἡγούμην δέ, εἰ μὲν (μὴ) προείμην ἅπαντα τὰ χρήματα, κινδυνεύσειν, εἴ τι πάθοι ἐκεῖνος, στερηθεὶς καὶ τῶν ἐνθάδε καὶ τῶν ἐκεῖ, πάντων ἐνδεὴς γενήσεσθαι· εἰ δ' [c] ὁμολογῶν εἶναι, ἐπιστείλαντος Σατύρου, μὴ παραδοίην, εἰς τὰς μεγίστας διαβολὰς ἐμαυτὸν καὶ τὸν πατέρα καταστήσειν πρὸς Σάτυρον. [d] βουλευομένοις οὖν ἡμῖν ἐδόκει βέλτιστον εἶναι, τὰ μὲν φανερὰ τῶν χρημάτων παραδοῦναι, περὶ δὲ τῶν παρὰ τούτῳ κειμένων, μὴ μόνον ἔξαρνον εἶναι, ἀλλὰ καὶ ὀφείλοντά με καὶ ἑτέροις ἐπὶ τόκῳ φαίνεσθαι, καὶ πάντα ποιεῖν ἐξ ὧν 103 ἐκεῖνοι μάλιστα ἤμελλον πεισθήσεσθαι μὴ εἶναί μοι χρήματα. τότε μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἐνόμιζόν μοι Πασίωνα δι' εὔνοιαν ἅπαντα ταῦτα συμβουλεύειν· ἐπειδὴ δὲ ταῦτα πρὸς τοὺς περὶ Σάτυρον διεπραξάμην, ἔγνων αὐτὸν ἐπιβουλεύοντα τοῖς ἐμοῖς. βουλομένου γὰρ ἐμοῦ κομίσασθαι τἀμαυτοῦ, καὶ πλεῖν εἰς Βυζάντιον, ἡγησάμενος [e] αὐτὸς κάλλιστον καιρὸν αὐτῷ παραπεπτωκέναι· τὰ μὲν γὰρ χρήματα, πολλὰ εἶναι τὰ παρ' αὐτῷ κείμενα, [f] (καὶ) ἄξια ἀναισχυντίας· ἐμὲ δὲ πολλῶν ἀκουόντων ἔξαρνον γεγενῆσθαι μηδὲν κεκτῆσθαι, πᾶσί τε φανερὸν ἀπαιτούμενον οὐ καὶ ἑτέροις ὁμολογοῦντα ὀφείλειν· καὶ πρὸς τούτοις, ὦ ἄνδρες δικασταί, [h] ἐνόμιζεν εἰ μὲν αὐτοῦ μένειν ἐπιχειροίην, ἐκδοθήσεσθαί με ὑπὸ τῆς πόλεως Σατύρῳ· εἰ δ' ἄλλοσέ ποι τραποίμην, οὐδὲν αὐτῷ μελήσειν τῶν ἐμῶν λόγων· εἰ δὲ εἰσπλευσοίμην εἰς τὸν Πόντον, ἀποθανεῖσθαί με μετὰ τοῦ πατρός· ταῦτα διαλογιζόμενος, διενοεῖτό με ἀποστερεῖν τὰ χρήματα, καὶ πρὸς μὲν ἐμὲ προσεποιεῖτο [i] (ἀπορεῖν) ἐν τῷ παρόντι, καὶ οὐκ ἂν ἔχειν ἀποδοῦναι. ἐπειδὴ δ' ἐγὼ βουλόμενος εἰδέναι τὸ πρᾶγμα, προσπέμπω Φιλόμηλον αὐτῷ καὶ Μενέξενον ἀπαιτήσοντας, ἔξαρνος γίνεται πρὸς αὐτοὺς μηδὲν ἔχειν τῶν ἐμῶν. πανταχόθεν δέ μοι τοσούτων κακῶν προσπεπτωκότων, τίνα οἴεσθέ με γνώμην ἔχειν; ᾧ γε ὑπῆρχε σιωπῶντι μέν, ὑπὸ τούτου ἀποστερεῖσθαι τῶν χρημάτων, λέγοντι δέ, μηδὲν μᾶλλον κομίσασθαι· πρὸς Σάτυρον δὲ εἰς τὴν μεγίστην διαβολὴν ἐμαυτὸν καὶ τὸν πατέρα καταστῆσαι· κράτιστον οὖν ἡγησάμην ἡσυχίαν ἄγειν. μετὰ δὲ ταῦτα, ὦ ἄνδρες δικασταί, ἀφικνοῦνταί

[a] *Wolfii* editio habet ὡς ὁ πατήρ, & incontracte ὁ ἐμός, itidemque mox καὶ ἐγώ, & deinde συγγινοίμην. *Sylb.* [b] *Wolfius* adnotat quatuor iſtos verſus, quorum initium eſt ἡγούμην δέ, abeſſe à vulgatis *Trapezitici* editionibus. Sed cum repetantur etiam p. 165. v. 25. perperam à librariis omiſſos eſſe, ſatis eſt manifeſtum. Sequens etiam μὴ incluſum *Wolfius* in ſua editione ac verſione præteriit: ſed repetitur & ipſum p. 165. v. 33. atque agnoſcit illud etiam *Dionyſii* paraphraſis, ibid. v. 27. licet reclamare videatur ſententia. *Sylb.* [c] Legendum videtur ὁμολογοίην *faterer*. Confer cum his quæ ſequuntur v. 44. [d] In vulg. *Iſocr.* editionibus ſic eſt: βουλευομένοις νῦν ὑμῖν ἐδόκει, βέλτιον εἶναι προσομολογεῖν πάντα ποιεῖν ὅσα Σάτυρος προσέταττε, καὶ τὰ μὲν φανερὰ. *Sylb.* [e] Pro αὐτὸς *Wolfii* editio habet οὗτος. [f] Incluſa καὶ addita ex eadem. *Sylb.* [g] Vulgata *Iſocratis* exemplaria habent καὶ τούτῳ καὶ ἑτέροις. *Sylb* [h] *Wolfii* editio pro vulgato ἐνόμιζεν habet νομίζων: at infra in repetitione p. 165. v. 29. legit ἐνόμιζεν. quam lectionem ego utrobique ſequendam exiſtimavi. *Sylb.* [i] Incluſum ἀπορεῖν in exemplari hîc omiſſum eſt; ſed in repetitione infra legitur p. 165. v. 40. & viciſſim ibi omittitur commation iſtud, quod hîc legitur, ἐν τῷ παρόντι. ut alterum pro altero à librariis ſuppoſitum videatur. In vulgatis editionibus *Iſocratis* legitur προσεποιεῖτο ἐν τῷ παρόντι οὐκ ἂν ἔχειν ἀποδοῦναι, omiſſo verbo ἀπορεῖν & conjunctione καί. *Sylb.*

a *Wolfius*

“ἥκουσί μοι [a] ἀπαγγέλλοντες ὅτι ὁ πατὴρ ἀφεῖται, καὶ Σατύρῳ οὕτως ἁπάντων μεταμέλει τῶν πεπραγμένων, ὡς πίστεις τε τὰς μεγίστας αὐτῷ δεδωκὼς εἴη, καὶ τὴν ἀρχὴν ἔτι μείζω πεποιηκὼς ἧς εἶχε πρότερον, καὶ τὴν ἀδελφὴν τὴν ἐμὴν γυναῖκα τῷ ἑαυτοῦ υἱεῖ εἰληφώς. πυθόμενος δὲ ταῦτα Πασίων, καὶ εἰδὼς ὅτι φανερῶς ἤδη πράξω περὶ τῶν ἐμαυτοῦ, [b] ἀφανίζει τὸν παῖδα ὃς συνῄδει περὶ τῶν χρημάτων. ἐπειδὴ δὲ ἐγὼ προσελθὼν ἐπεζήτουν αὐτόν, ἡγούμενος ἔλεγχον σαφέστατον τοῦτον ἂν γενέσθαι περὶ ὧν [c] ἐνεκάλουν, λέγει λόγον δεινότατον, ὡς ἐγὼ καὶ Μενέξενος διαφθείραντες καὶ πείσαντες τὸν ἐπὶ τῇ τραπέζῃ καθήμενον, ἓξ τάλαντα ἀργυρίου λάβοιμεν παρ᾽ αὐτοῦ. ἵνα δὲ μηδεὶς ἔλεγχος μηδὲ βάσανος γένοιτο περὶ αὐτῶν, ἔφασκεν ἡμᾶς ἀφανίσαντας τὸν παῖδα, ἀντεγκαλεῖν αὐτῷ, καὶ ἐξαιτεῖν τοῦτον ὃν αὐτοὶ ἠφανίσαμεν. καὶ ταῦτα λέγων καὶ ἀγανακτῶν καὶ δακρύων, εἷλκέ με πρὸς τὸν πολέμαρχον, ἐγγυητὰς αἰτῶν· καὶ οὐ πρότερον ἀφῆκεν, ἕως αὐτῷ κατέστησα ἓξ ταλάντων ἐγγυητάς. καί μοι ἀνάβητε τούτων μάρτυρες.

κ΄. Ταῦθ᾽ ὅτι μὲν ὅλῳ τῷ γένει διαφέρει τῶν ἐπιδεικτικῶν τε καὶ συμβουλευτικῶν κατὰ τὸν χαρακτῆρα τῆς λέξεως, οὐθείς ἐστιν ὃς οὐκ ἂν ὁμολογήσειεν· οὐ μέντοι παντάπασί γε τὴν Ἰσοκράτειον ἀγωγὴν ἐκβέβηκεν· ἀκαρῆ δέ τινα διασώζει τῆς κατασκευῆς τε καὶ σεμνολογίας ἐκείνης ἐνθυμήματα, καὶ ποιητικώτερα μᾶλλόν ἐστιν, ἢ ἀληθινώτερα· οἷον ὅταν φησίν· “Ἡγούμην δέ, εἰ μὲν μὴ προείμην τὰ χρήματα, κινδυνεύσειν”. τὸ γὰρ ἀποίητόν τε καὶ ἀφελές, τοιοῦτον· “Ἡγούμην δέ, μὴ παραδοὺς τὰ χρήματα, κινδυνεύσειν”. ἔτι ἐκεῖνο· “Καὶ πρὸς τούτοις, ὦ ἄνδρες δικασταί, ἐνόμιζεν, εἰ μὲν αὐτοῦ μένειν ἐπιχειροίην, ἐκδοθήσεσθαί με ὑπὸ τῆς πόλεως Σατύρῳ· εἰ δὲ ἄλλοσέ ποι τραποίμην, οὐδὲν αὐτῷ μελήσειν τῶν ἐμῶν λόγων· εἰ δ᾽ εἰσπλευσοίμην εἰς τὸν Πόντον, ἀποθανεῖσθαί με μετὰ τοῦ πατρός”. ἥ τε γὰρ περίοδος ἐκμηκύνεται, [d] (καὶ) πέρα τοῦ δικανικοῦ τρόπου, καὶ ἡ σύνθεσις ἔχει τι τοῦ ποιητικοῦ, τό,τε σχῆμα τῆς λέξεως ἐκ τῶν ἐπιδεικτικῶν εἴληπται παρισώσεων καὶ παρομοιώσεων. τό,τε οὖν “Ἐπιχειροίην”, καὶ “Τραποίμην”, καὶ “Εἰσπλευσοίμην”, ἐν ἑνὶ χωρίῳ κείμενα, [e] καὶ τῶν κώλων τριῶν ὄντων, τὸ μὲν μῆκος ἴσον ὑπάρχον, τεκμήρια τῆς Ἰσοκράτους κατασκευῆς ἐστι. καὶ τὰ τούτοις ἐπιφερόμενα, “Διενοεῖτό με ἀποστερεῖν τὰ χρήματα, καὶ πρὸς μὲν ἐμὲ προσεποιεῖτο ἀπορεῖν καὶ οὐκ ἂν ἔχειν”, παρόμοιά τε καὶ παραπλήσια ἀλλήλοις ἐστί. καὶ πρὸς τούτοις, ἃ μετ᾽ ὀλίγον ἐπιτίθησιν· “Ὡς πίστεις τε μεγίστας αὐτῷ δεδωκὼς εἴη, καὶ τὴν ἀρχὴν ἔτι μείζω πεποιηκὼς ἧς εἶχε πρότερον, καὶ τὴν ἀδελφὴν τὴν ἐμὴν γυναῖκα τῷ ἑαυτοῦ υἱεῖ εἰληφώς”. καὶ γὰρ ἐνταῦθα πάλιν τὸ “Δεδωκὼς”, καὶ “Πεποιηκὼς”, καὶ “Εἰληφὼς”, παρόμοιον, καὶ “Τὴν ἀρχὴν”, καὶ “Τὴν ἀδελφήν”. ἔχοι δὲ ἄν τις καὶ [f] ἄλλα πρὸς τούτοις λέγειν, ἐξ ὧν ὁ χαρακτὴρ τοῦ ῥήτορος ἔσται καταφανής· ἀνάγκη δὲ ἴσως στοχάζεσθαι τοῦ χρόνου.

“carcere liberatum eſſe, & Satyrum ita pœnituiſſe omnium quæ egiſſet, nunciarent, ut & fidem ei ſuam arctiſſime obſtrinxerit, & prius imperium amplificarit, & meam ſororem ſuo filio deſponderit. His Paſio auditis, cum me jus meum aperte perſecuturum ſciret, puerum, qui, quid de pecuniis actum eſſet, conſcius erat, occulit. Quem cum ego quæſiturus acceſſiſſem, quod me nullam actionis meæ probationem evidentiorem habere poſſe crederem, orationem affert audaciſſimam & iniquiſſimam; me & Menexenum, puerum, qui ad menſam ſederit, corrupiſſe, & ſex talenta ab eo per fraudem abſtuliſſe. ne vero id facinus argui, & per tormenta veritas exquiri poſſet, dicebat nos occultaſſe puerum: nunc vero ad ſe accuſandum venire, atque eum poſtulare, quem ipſi occuluiſſemus. Atque hæc dicens, & indignans & lacrymans, ad polemarchum me traxit, ſponſores poſtulans: neque prius deſtitit, quam ſex talentorum ſponſores ei dediſſem. Vos aſcendite qui harum rerum mihi teſtes eſtis.

Demonſtratio etiam in hac oratione Iſocraticas figuras contineri: quæ & ipſæ cognoſcantur è Græcis.

XX. Hæc toto genere differre à laudationibus & ſuaſionibus, dictionis charactere, nemo eſt quin fateatur. neque tamen Iſocrateum ductum penitus excellerunt, ſed minuta quædam retinent ſtructuræ & grandiloquentiæ illius veſtigia: dictioque poëtica magis eſt, & elaborata, quam ſimplex & naturalis. veluti cum ait; “Niſi pecuniam dediſſem, in diſcrimen (ut arbitrabar) veniſſem”. Nam alienum à poëtica, & ſimplex, tale eſſet: “Arbitrabar autem me non tradita pecunia periclitaturum”. Item illud, “Ad hæc, Judices, putabat, ſi hîc manere inſtituiſſem, me à civitate Satyro deditum iri: ſin me alio quopiam convertiſſem, nihil ſe mea verba curaturum: ſin in Pontum navigaſſem, me una cum patre periturum”. Nam & periodus ultra forenſem conſuetudinem extenditur, & compoſitio nonnihil poëticum habet, & figura dictionis ſumpta eſt è laudationum comparibus & ſimiliter finitis. Nam & hæc verba, “Inſtituiſſem”, & “Convertiſſem”, & “Navigaſſem”, in uno loco ſita, & tria membra ejuſdem longitudinis, certiſſima ſunt Iſocrateæ ſtructuræ indicia. Et quæ his ſubjiciuntur: “Inſtituerat me fraudare pecunia, & apud me quidem fingebat ſe egere, & non habere”, ſimiliter finita & vicina inter ſe ſunt. & præter hæc ea etiam, quæ paulo poſt ſubjicit; “Et pignora maxima dediſſe, & imperium prius amplificaſſe, & ſororem meam ſuo filio in matrimonium collocaſſe”. Etenim hîc item, “Dediſſe”, & “Amplificaſſe”, & “Collocaſſe”; iterumque, “Imperium”, & “Matrimonium”, conſimilia ſunt. Poſſent etiam alia præter hæc dici, è quibus character oratoris eluceret: ſed fortaſſe temporis habenda ratio eſt.

D E

a *Wolfius* ante ἀπαγγέλλοντες addit articulum οἱ: recte. *Sylb.* b In *Iſocratis* exempl. legitur, ἀφανίζει Κίττον τὸν παῖδα, & *Wolfius* etiam vertit, *Cittum puerum occulit. Sylb.* c Quidam libri habent ἀνεκάλουν, minus recte. quod *Wolfius* quoque adnotavit. Sic v. 11. τὸν nobiſcum malit, quam cum aliis editionibus αὐτόν. *Sylb.* d Incluſum καὶ redundare putat *W.* e *Wolfii* editio habet, καὶ τῶν μὲν κώλων τριῶν ὄντων, τὸ δὲ μῆκος ἴσον ὑπάρχον. verſio tamen ejus nec μὲν nec δὲ agnoſcit. f Veriſimile eſt *Dionyſium* alia quædam de *Iſocrate* commentatum eſſe: quod *Plutarchus* ex eodem retulit, quas orationes ſcripſerit *Iſocrates*: φέρονται δ᾽ αὐτοῦ λόγοι ἑξήκοντα· ὧν εἰσι γνήσιοι, κατὰ μὲν Διονύσιον, εἰκοσιπέντε· κατὰ δὲ Καικίλιον εἰκοσιοκτώ. οἱ δὲ ἄλλοι, κατεψευσμένοι.

a Ita

DE ISÆO JUDICIUM.

Iſæus unde ortus, quo tempore floruerit, & qua fortuna uſus ſit.

ISæus Demoſthenis præceptor, eoque nomine maxime illuſtris, ut quidam memoriæ prodiderunt, Athenienſis fuit genere; ut autem alii, Chalcidenſis. Floruit poſt bellum Peloponneſiacum, ut ex orationibus ejus colligo; & ad imperium uſq; Philippi pervenit. Nativitatis & exceſſus ejus certum tempus dicere non poſſum; neq; de vita ejus, quali uſus ſit; aut quas in republica functiones geſſerit, vel an magiſtratum aliquem, aut civile regimen habuerit; neque omnino de quoquam iſtorum, quia tale nihil ſcriptum inveni. Nam qui diſcipulos Iſocratis deſcripſit Hermippus, diligens in aliis cum fuerit, de hoc oratore nihil dixit, præter hæc duo; audiſſe Iſocratem,docuiſſe & Demoſthenem, & familiariter uſum præſtantiſſimis philoſophorum.

Lyſiæ & Iſæi collatio.

II. Reliquum eſt ut de ejus inſtituto, & dicendi facultate, & quali ſit uſus orationis genere, dicamus. Unum igitur coluit judiciale genus, eique maximam operam dedit. Lyſiam autem in dicendo præcipue æmulatus eſt: & niſi quis utriuſque valde peritus ſit, & magnum uſum habeat, multas orationes,utrius ſint oratoris, haud facile dignoſcat. fallunt enim inſcriptionibus ac titulis, non uſque eo ſtudio compoſitis, ut ab uno eodemque ſcriptæ videantur. Veruntamen non per omnia ſimilis eſt character, ſed habet differentias aliquas neque parvas, neque paucas, & in elocutione & in rebus: de quibus ut dicam jam tempeſtivum videtur. Quoniam vero in elocutione cum Lyſia maxime convenit,ab hac potiſſimum exorſus, ubi ſimilis, ubi diverſa ſit, oſtendam.

Quales in elocutione.

III. Eſt itaque ea pura, diligens, aperta, propria, perſpicua,& conciſa: præterea probabilis & argumento accommodata. rotunda etiam, ac numeroſa, judiciorumque & certaminum forenſium imaginem præ ſe ferens: atq; in iſtis quidem orationi Lyſiæ non cedit. neque facile quis internoſcat. differre autem in his quæ ſequuntur, videatur. Eſt enim illa ſimplicior & morata magis, & compoſitione magis naturali,minuſq; figurata;ſuavitatis tamen & gratiæ plena. At Iſæi videatur artificioſior & accuratior, quam Lyſiæ, majoriſque & pœne nimiæ circa compoſitionem diligentiæ; tum etiam variis diſtincta ſchematibus: quantumque ab illa ſuperatur gratia ac venuſtate, tantum eam antecedit artificio & gravitate. ac vero fons quidam dici poteſt, unde vim illam & efficaciam Demoſthenes hauſit. Dicendi itaque vim ſic diſtinguere liceat: in rebus vero ad hunc modum. Apud Lyſiam quidem non multum artis & ſolertiæ vel in diviſionibus rerum, vel in ordine enthymematum, eorumque pertractatione (ſimplex enim hic vir) deprehendet. Apud Iſæum autem ar-

Quales in rebus tractandis.

ΙΣΑΙΟΣ.

Ἰσαῖος δὲ, ὁ Δημοσθένους καθηγησάμενος, καὶ διὰ τοῦτο μάλιστα γενόμενος περιφανὴς, ὡς μὲν τινες ἱστοροῦσιν, Ἀθηναῖος ἦν τὸ γένος· ὡς δὲ ἕτεροι γράφουσι, Χαλκιδεύς. ἤκμασε δὲ μετὰ τὸν Πελοποννησιακὸν πόλεμον, ὡς [a] ἐκ λόγων αὐτοῦ τεκμαίρομαι· καὶ μέχρι τῆς Φιλίππου δυναστείας παρεξέτεινε. γενέσεως δὲ καὶ τελευτῆς τοῦ ῥήτορος ἀκριβῆ χρόνον εἰπεῖν οὐκ ἔχω· οὐδὲ δὴ περὶ τοῦ βίου τοῦ ἀνδρὸς, οἷος τις ἦν· οὐδὲ περὶ τῆς προαιρέσεως τῶν πολιτευμάτων· [b] οὐδὲ ἀρχὴν εἰ προείλετό τινα, ἢ πολιτείαν· οὐδ᾽ ὅλως περὶ τῶν τοιούτων οὐδενὸς, διὰ τὸ μηδὲ τοιαύτῃ περιτυγχάνειν ἱστορίᾳ. οὐδὲ γὰρ ὁ τοὺς Ἰσοκράτους μαθητὰς ἀναγράψας Ερμιππος, ἀκριβὴς ἐν τοῖς ἄλλοις γενόμενος, ὑπὲρ τοῦδε τοῦ ῥήτορος οὐδὲν εἴρηκεν, ἔξω δυοῖν τούτων, ὅτι διήκουσε μὲν Ἰσοκράτους, καθηγήσατο δὲ Δημοσθένους, συνεγένετο δὲ τοῖς ἀρίστοις τῶν φιλοσόφων.

β΄. Λείπεται δὲ περὶ τῆς προαιρέσεως καὶ τῆς δυνάμεως αὐτοῦ, καὶ τίνι κέχρηται χαρακτῆρι, λέγειν. γένους μὲν τοι λόγων ἑνὸς ἀσκητὴς ἐγένετο, τοῦ δικανικοῦ· καὶ περὶ τοῦτο μάλιστα ἐσπούδασε. χαρακτῆρα δὲ τὸν Λυσίου κατὰ τὸ πλεῖστον ἐζήλωσε· καὶ εἰ μή τις ἔμπειρος πάνυ τῶν ἀνδρῶν εἴη, καὶ τριβὰς ἀξιολόγους ἀμφοῖν ἔχων, οὐκ ἂν διαγνοίη ῥᾳδίως πολλοὺς τῶν λόγων, ὁποτέρου τῶν ῥητόρων εἰσίν· ἀλλὰ παρακρούσεται ταῖς ἐπιγραφαῖς, [c] οὕτως ἀκριβῶς ἐχούσαις, ὡς διὰ μιᾶς δηλοῦταί μοι γραφῆς. οὐ μὴν ἀπαράλλακτός γε ἐστιν ἡ τοῦ χαρακτῆρος ὁμοιότης, ἀλλὰ ἔχουσα διαφοράς τινας, οὐ μικρὰς, οὐδὲ ὀλίγας, καὶ κατὰ τὴν ἑρμηνείαν, καὶ κατὰ τὰ πράγματα· περὶ ὧν καιρὸς ἂν εἴη λέγειν, ὡς ἡμεῖς ὑπειλήφαμεν. ἐπειδὴ δὲ κατὰ τὴν λέξιν μᾶλλον ἔοικε τῷ Λυσίᾳ, τὴν ἀρχὴν ἀπὸ ταύτης ποιησάμενος, τὰς ὁμοιότητάς τε καὶ τὰς διαφορὰς, ἃς ἔχει πρὸς ἐκείνην, ἐρῶ.

γ΄. Καθαρὰ μὲν καὶ ἀκριβὴς, καὶ σαφὴς, κυρία τε, καὶ ἐναργὴς, καὶ σύντομος· πρὸς δὲ τούτοις, πιθανή τε, καὶ πρέπουσα τοῖς ὑποκειμένοις. στρογγύλη δὲ, καὶ δικανικὴ, φαίνουσα τοὺς δικανικοὺς ἀγῶνας, οὐχ ἧττόν ἐστιν ἡ Ἰσαίου λέξις τῆς Λυσίου. καὶ κατὰ μὲν ταῦτα οὐκ ἄν τις αὐτὴν διαγνοίη. διαφέρειν δὲ ἐκείνης δόξειεν ἂν ἐν τοῖσδε· ἡ μὲν γὰρ, ἀφελής τε καὶ ἠθικὴ μᾶλλον ἐστίν· σύγκειταί τε φυσικώτερον, καὶ ἐσχημάτισται ἁπλούστερον· ἡδονῇ τε καὶ χάριτι πολλῇ κέχρηται. ἡ δὲ Ἰσαίου, τεχνικωτέρα δόξειεν ἂν εἶναι καὶ ἀκριβεστέρα [d] τῆς Λυσίου· τήν τε σύνθεσιν περιεργοτέρα τις, καὶ σχηματισμοῖς διειλημμένη ποικίλοις· ὅσον τε ἀπολείπεται τῆς χάριτος ἐκείνης, τοσοῦτον ὑπερέχει τῇ δεινότητι τῆς κατασκευῆς· καὶ πηγή τις ὄντως ἐστὶ τῆς Δημοσθένους δυνάμεως. τὴν μὲν οὖν λέξιν οὕτως ἄν τις διαγνοίη· ἐν δὲ τοῖς πράγμασι, τοιαύτας τινὰς εὑρήσει διαφοράς. παρὰ Λυσίᾳ μὲν, οὐ πολλὴν τὴν ἐπιτέχνησιν, οὔτ᾽ ἐν μερισμοῖς τῶν πραγμάτων, οὔτ᾽ ἐν τῇ τάξει τῶν ἐνθυμημάτων, οὔτε ἐν ταῖς ἐξεργασίαις αὐτῶν ὄψεται· ἁπλοῦς γὰρ ὁ ἀνήρ. παρ᾽ Ἰσαίῳ δὲ, καὶ τεχνικώ-

a Ita etiam apud *Plutarchum* in *Iſæi* vita: alioqui maluerim cum articulo ἐκ τῶν λόγων. *Sylb.* b Forſan aliquis malit, οὐδὲ ἀρχὴν εἰ προείλετό τινα πολιτείαν, ut, expuncta ἤ, ἀρχὴν adverbialiter ſignificet omnino: ſicuti alibi quoque hæc vox uſurpari ſoleat. *Plutarchus* quoque nihil certe meminit de reip. adminiſtratione: ſed hoc tantum dicit, eum primum cepiſſe χρηματίζειν, καὶ τρέπειν ἐπὶ τὸ πολιτικὸν τὴν διάνοιαν. *Sylb.* c Particulam οὐχ vel ſimile quidpiam excidiſſe ſuſpicor: atque illa quæ ſequuntur, ὡς διὰ μιᾶς δηλοῦταί μοι γραφῆς, innuere videntur, *Dionyſium* alium tractatum reliquiſſe de *Iſæi* orationibus. d Τῆς τοῦ Λυσίου in *MS. Bodl.*

a Pro

τεχνικώτερον ἤδη γινόμενα ταῦτα εὑρήσει. καὶ γὰρ ἐφόδοις χρῆται καὶ προκατασκευαῖς, καὶ μερισμοῖς τεχνικωτέροις· καὶ τίθησιν ἐν οἷς δίδωσι χωρίον ἕκαστον· καὶ μέχρι πολλοῦ προάγει τὰς τῶν ἐγχειρημάτων ἐξεργασίας, σχημάτων τε μεταβολαῖς ἐναγωνίων καὶ παθητικῶν ποικίλλει τοὺς λόγους. καὶ πρὸς μὲν τὸν ἀντίδικον διαπονηρεύεται, τοὺς δὲ δικαστὰς καταστρατηγεῖ· τοῖς δὲ πράγμασιν, ὑπὲρ ὧν ὁ λόγος, ἐκ παντὸς πειρᾶται βοηθεῖν.

tificioſis hæc omnia facta reperiet. Nam & inſinuationes, & præparationes partitioneſque majore cum artificio uſurpat ac ponit, ubi res dat locum; multumque producit & egregie exſequitur quæcunque aggreſſus eſt; ſchematumque commutationibus patheticorum & ad contentionem pertinentium orationem variat. Cum adverſario vero ſæpe contentioſe agit, & in judices incurrit; rem denique, qua de agitur, promovere omni ratione conatur.

δʹ. Ἵνα δὲ μᾶλλον ἡ διαφορὰ τῶν ἀνδρῶν γένηται καταφανής, εἰκόνι χρήσομαι τῶν ὁρατῶν τινι. [a] εἰ δή τινες ἀρχαῖαι γραφαί, [b] χρώμασιν εἰργασμέναι ἁπλῶς, καὶ οὐδεμίαν ἐν τοῖς μίγμασιν ἔχουσαι ποικιλίαν, ἀκριβεῖς δὲ ταῖς γραμμαῖς, καὶ πολὺ τὸ χάριεν ἐν ταύταις ἔχουσαι· αἱ δὲ μετ' ἐκείνας, εὔγραμμοι μὲν ἧττον, ἐξειργασμέναι δὲ μᾶλλον, σκιᾷ τε καὶ φωτὶ ποικιλλόμεναι, καὶ ἐν τῷ πλήθει τῶν μιγμάτων τὴν ἰσχὺν ἔχουσαι. τούτων μὲν δὴ ταῖς ἀρχαιοτέραις ἔοικεν ὁ Λυσίας, κατὰ τὴν ἁπλότητα καὶ τὴν χάριν· ταῖς δὲ ἐκπεπονημέναις τε καὶ τεχνικωτέραις, ὁ Ἰσαῖος. ἣν δὲ περὶ αὐτοῦ δόξα παρὰ τοῖς τότε γοητείας καὶ ἀπάτης, ὡς δεινὸς ἀνὴρ τεχνιτεῦσαι λόγους ἐπὶ τὰ πονηρότερα· καὶ εἰς τοῦτο διεβάλλετο. δηλοῖ δὲ τοῦτο τῶν ἀρχαίων τις ῥητόρων ἐν τῇ Δημοσθένους κατηγορίᾳ, Πυθέας, ὡς ἐμοὶ δοκεῖ. πονηρίαν γὰρ τῷ Δημοσθένει καὶ κακίαν τὴν ἐξ ἀνθρώπων πᾶσαν ἐνοικεῖν [c] φῆσαι· καὶ τόδε τὸ μέρος ὅλον εἰς διαβολὴν ἐπιτίθησιν, ὅτι τὸν Ἰσαῖον ὅλον, καὶ τὰς τῶν λόγων ἐκείνου τέχνας σεσίτισται. καὶ μὰ Δία οὐκ ἀπὸ σκοποῦ τὴν διαβολὴν ταύτην εἶχεν ἑκάτερος. ἐμοὶ γοῦν, οἱ μὲν Ἰσαίου τε καὶ Δημοσθένους λόγοι, καὶ περὶ ἀληθείας καὶ δικαίας συντάξεως αἱ ὑποθέσεις ὕποπτοι δοκοῦσιν εἶναι, τῆς πολλῆς ἐπιτεχνήσεως ἕνεκα· οἱ δὲ Ἰσοκράτους καὶ Λυσίου, παντὸς μάλιστα δίκαιοί τε καὶ ἀληθεῖς· κἂν μὴ τοιαῦτα τὰ πράγματα ἐν αὐτοῖς· ὅτι κακοῦργον οὐδὲν ἐπιφαίνουσιν ἐπὶ τῆς κατασκευῆς, ἀλλ' εἰσὶν ἐλεύθεροί τινες καὶ ἀφελεῖς.

109

Similitudo in quo conſiſtit.

IV. Ut horum autem diſcrimen magis appareat, typo ac ſimilitudine utar eorum, quæ ſub aſpectum cadunt. Siquidem antiquæ tabulæ coloratæ ſunt ſimpliciter, nullaque in miſturis varietate, accuratæ tamen multaque gratia circa lineas; poſteriores autem, ut minus bene delineatæ, ſic magis elaboratæ ſunt, & lumine & umbra diſtinctæ, præcipuamque vim in multiplici miſtura collocatam habent. harum utique antiquioribus ſimilis eſt Lyſias ſimplicitate & gratia; at elaboratis magiſque artificioſis Iſæus. Cæterum apud ejus æquales de fraude in ſuſpicionem venit, quod callide & artificioſe orationem ad ſequiora detorqueret, idque ei crimini dabatur. Declarat hoc antiquorum aliquis oratorum Pytheas, ut opinor, in accuſatione Demoſthenis. Nam omnium hominum malitiam & improbitatem ineſſe Demoſtheni dicit, totamque hanc partem in crimen adducit, quod Iſæo atque ejus in dicendo technis paſtus ſit. Et ſane culpæ illi uterque affinis erat. Mihi quidem certe Iſæi & Demoſthenis orationes & de juſto ac de vero hypotheſes ſuſpectæ ſunt, ut aſtute inventæ atque excogitatæ: verum Iſocratis & Lyſiæ potiſſimum juſtæ & veræ, etiam in iis, ubi talia non tractantur; quoniam fuci fallaciæque nihil in apparatu, ſed liberale quid & ſimplex præferunt.

εʹ. Ταυτί μοι τὰ διαλλάττοντα ἔδοξεν εἶναι, ἐξ ὧν ἄν τις οὐ χαλεπῶς διαγνῶναι τοὺς Λυσίου τε καὶ Ἰσαίου λόγους δυνηθείη. εἰ δὲ ὀρθῶς ὑπείληφα, ἐξέσται τῷ βουλομένῳ σκοπεῖν τὴν ἐξέτασιν· ἄρξομαι δὲ ἀπὸ τῶν περὶ τὴν λέξιν θεωρημάτων. ἔστι [d] δέ τις Ἰσαίου λόγος ΥΠΕΡ ΕΥΜΑΘΟΥΣ, μετοίκου τινὸς τῶν τραπεζιτευόντων Ἀθήνησιν, ὃν εἰς δουλείαν [e] καταλεγόμενον ὑπὸ τοῦ κληρονομήσαντος τὸν ἀπηλευθερωκότα τῶν ἀστῶν ἀφαιρεῖται τις, καὶ τὴν ἀπολογίαν ποιεῖται περὶ αὐτοῦ. τὸ προοίμιον δέ ἐστι τοῦ λόγου τοιόνδε· “Ἄνδρες δικασταί, ἐγὼ καὶ πρότερον Εὐμαθεῖ τούτῳ ἐγενόμην χρήσιμος, καὶ δικαίως· καὶ νῦν, εἴ τι ἐστὶν ἐν ἐμοί, πειράσομαι συσώζειν αὐτὸν μεθ' ὑμῶν. μικρὰ δέ μου ἀκούσατε, ἵνα μηδεὶς ὑπολάβῃ ὑμῶν, ὡς ἐγὼ προπετείᾳ, ἢ ἄλλῃ τινὶ ἀδικίᾳ πρὸς τὰ Εὐμαθοῦς πράγματα προσῆλθον. τριηραρχοῦντος γάρ μου ἐπὶ Κηφισοδώρου ἄρχοντος, καὶ λόγου ἀπαγγελθέντος πρὸς τοὺς [f] ἰδίους, ὡς ἄρα τετελευτηκὼς εἴην ἐν τῇ ναυμαχίᾳ, οὔσης μοι παρακαταθήκης παρ' Εὐμαθεῖ τούτῳ, μεταπεμψάμενος τοὺς οἰκείους τε καὶ φίλους τοὺς ἐμοὺς Εὐμαθής, ἐνεφάνισεν τὰ χρήματα, ἃ ἦν μοι παρ' αὐτῷ, καὶ ἀπέδωκε πάντα ὀρθῶς καὶ

Exemplis illuſtratur.

V. Hæc mea quidem opinione ſunt, ex quibus in proclivi ſit orationes Lyſiæ & Iſæi dignoſcere. Niſi vero me fallit animus, & qui volet eorum inter ſe comparationem, videre licebit: & initium quidem ab elocutione theorematum ſumetur. Exſtat oratio quædam Iſæi *pro Eumathe*, è corpore eorum, qui argentariam Athenis faciebant, quem in ſervitutem adſcriptum ab hærede patroni civis quidam in libertatem adſerit atque defendit: cujus orationis exordium tale: “Viri Judices, & olim hunc Eumathem ego ſuo merito juvi, & nunc, ſi quid in me eſt, una vobiſcum conſervare conabor. Præbete modo paullulum mihi aures, ne quis veſtrum exiſtimet me temere & inique cauſam Eumathis ſuſcepiſſe. Cum enim, Prætore Cephiſodoro, triremi cum imperio præeſſem, & fama perlata ad meos eſſet, quod in prælio navali interiiſſem; cumque pecunia à me depoſita apud Eumathem hunc eſſet, ille accerſitis propinquis & amicis meis, indicavit quæ penes ipſum eſſent; & omnia juſte, &, ut par erat, reſtituit.

a Pro εἰ legendum videtur ὦσιν *ſint*. Infra [p. 114. juxta *Ed. Sylb.*] in *Dinarcho* in ſimili quodam loco legitur ἴσωσαν. *Sylb.* b Χρώμασι μὲν εἰργασμέναι *Bodl.* c Pro φῆσαι incertum eſt φησὶ ne an φήσας auctor ſcripſerit. Sed utrum eorum legeris nihil ad ſententiam intereſt. *Sylb.* d Δὴ in *MS. Bodl.* quo modo legendum eſſe monuit *Sylb.* e Ἀγόμενον in *MS. Bodl.* in margine tamen καταλεγόμενον. f Οἰκείους *Bodl.* voce ἰδίους ſupra poſita.

a Neſcio

"tuit. Quare ſalvus ego cum eſſem, multo "familiarius eo ſum uſus cum argentariam "quæſtus cauſa faceret: & poſtea ducente "eum Dionyſio, vindicavi in libertatem: "probe videlicet ſciens, abſolutum in ju-"dicio ſub Epigene fuiſſe. Sed his ego ſu-"perſedebo.

VI. Eſt & apud Lyſiam non nemo qui hoſpitum hæreditates defendit. Hanc orationem inſcribit Callimachus *De Pherenico ſuper Androclidæ hæreditate*; & eſt habita multis annis ante alteram. in qua cauſam primum exponit hoſpitis patronus, quemadmodum & ille, qui incolam Athenarum in libertatem adſerit; eſtque exordium ejuſmodi: "Neceſſe mihi videtur eſſe, ô Judices, "ut initio de amicitia, quæ mihi cum Phe-"renico intercedit, aliquid vobis dicam; ne "quis veſtrum admiretur, quod, qui nullius "unquam cauſa verba feci, pro iſto nunc di-"cam. Nam hoſpes, Judices, meus erat Cephi-"ſodorus hujus pater, &, cum exſularemus "Thebis, ad ipſum diverti, & ego & quiſ-"quis alius Athenienſium vellet; multiſque "ab eo beneficiis & privatim & publice af-"fecti in patriam poſtliminio redimus. Poſt-"quam illi vero ſimili fortuna uſi Athenas "exſulatum venere, maximam ratus grati-"am eis deberi, tam familiariter excepi ho-"ſpitio, ut ingredientium ſciret nemo, niſi "qui prius intellexiſſet, uter noſtrum do-"mum poſſideret; ſcit quidem igitur Phere-"nicus, Judices, permultos eſſe, qui plus in "dicendo me valeant, & ejuſmodi rerum "peritiores ſint; veruntamen exiſtimat ami-"citiam meam eſſe fidiſſimam. Ideoque tur-"pe mihi videtur, ipſo jubente meamque "opem in cauſa juſta implorante, pati, quod "ad me attinet, ut bonis ab Androclide ei "donatis privetur.

Comparatio duorum procemiorum ſupra poſitorum.

VII. Quid autem hæc procemia inter ſeſe differunt? Apud Lyſiam quidem proprium eſt exordium, nec ob aliud magis, quam quod naturaliter ſimpliciterque dixit: "Ne-"ceſſe mihi videtur eſſe, Judices, ut de ami-"citia mea & Pherenici primum vobis di-"cam. Et quod ſubjicitur, multo magis inornatum videtur, & quemadmodum unus è vulgo poſſet dicere: "Ne quis veſtrum ad-"miretur, quod, qui nullius unquam cauſa "verba fecerim, pro iſto nunc dicam". Apud Iſæum autem adornatum eſt, quod videtur ſimplex, & non fugit oratorium eſſe: "Ego & ante Eumathem hunc juvi, idque "merito, & in præſentia, ſi quid in me eſt, con-"ſervare conabor". Sublimiora enim ſunt hæc, minuſque quam illa ſimplicia, & impendio magis quæ ſubjunguntur: "Paullulum "vero præbete mihi aures, ne quis veſtrum "arbitretur temeritate vel injuſtitia aliqua "cauſam Eumathis à me ſuſceptam". Nam & "Temeritas & Injuſtitia"; & illud, "Ad Eumathis cauſam accedere", arte facta magis referunt quam nativa. Et rurſus quidem

"δικαίως. ἀνθ' ὧν ἐγὼ σωθεὶς ἐχρώμην αὐτῷ ἔτι μᾶλλον τῷ "κατασκευαζομένῳ τὴν τράπεζαν [a] πρὸς εἰς εὐπόριστα ἀργυ-"ρίου. καὶ μετὰ ταῦτα ἄγοντος αὐτὸν Διονυσίου, ἐξειλόμην "εἰς ἐλευθερίαν, εἰδὼς ἀφειμένον ἐν τῷ δικαστηρίῳ ὑπὸ "Ἐπιγένους. ἀλλὰ περὶ μὲν τούτων [b] ὑποσχήσω.

ϛʹ. Ἔστι δὴ καὶ παρὰ τῷ Λυσίᾳ τις ὑπὲρ ἀνδρὸς ξένου, δίκην φεύγοντος περὶ κλήρου, ποιούμενος τὴν ἀπολογίαν. τοῦτον ἐπιγράφει τὸν λόγον Καλλίμαχος ΠΕΡΙ ΦΕΡΕΝΙΚΟΥ ΥΠΕΡ ΤΟΥ ΑΝΔΡΟΚΛΕΙΔΟΥ ΚΛΗΡΟΥ· καὶ ἔστι πολλοῖς πρότερον ἠγωνισμένος ἔτεσι θατέρου. ἐν ᾧ τὴν αἰτίαν πρῶτος ἐπιδείκνυσιν, ὁ περὶ τοῦ ξένου ποιούμενος τοὺς λόγους, ὥσπερ ὁ τὸν μέτοικον ἐξαιρούμενος εἰς ἐλευθερίαν. ἔστι δὲ τὸ προοίμιον τοῦ λόγου τόδε· "Ἀναγκαῖόν μοι δοκεῖ εἶναι, ὦ ἄνδρες δι-"κασταὶ, περὶ τῆς φιλίας τῆς ἐμῆς καὶ τῆς Φερενίκου πρῶτον εἰπεῖν "πρὸς ὑμᾶς· ἵνα μηδεὶς ὑμῶν θαυμάζῃ, ὅτι ὑπὲρ οὐδενὸς "[c] (ὑμῶν) πώποτε εἰρηκὼς πρότερον, ὑπὲρ τούτου νυνὶ λέγω. "ἐμοὶ γὰρ, ὦ ἄνδρες δικασταὶ, ξένος ἦν Κηφισόδοτος, ὁ τούτου "πατήρ· καὶ ὅτε ἐφεύγομεν ἐν Θήβαις, παρ' ἐκείνῳ κατηγόμην, "καὶ ἐγὼ, καὶ ἄλλος Ἀθηναίων ὁ βουλόμενος· καὶ πολλὰ καὶ ἀγα-"θὰ, καὶ ἰδίᾳ καὶ δημοσίᾳ, παθόντες ὑπ' αὐτοῦ, εἰς τὴν ἡμετέραν "αὐτῶν κατήλθομεν. ἐπεὶ δ' οὖν οὗτοι ταῖς αὐταῖς τύχαις "ἐχρήσαντο, καὶ φυγάδες Ἀθήναζε ἀφίκοντο, ἡγούμενος τὴν με-"γίστην αὐτοῖς ὀφείλειν χάριν, οὕτως οἰκείως αὐτοὺς ὑπεδε-"ξάμην, ὥστε μηδένα γνῶναι τῶν εἰσιόντων, εἰ μή τις πρότερον "ἠπίστατο, ὁπότερος ἡμῶν ἐκέκτητο τὴν οἰκίαν. οἶδεν μὲν οὖν καὶ "Φερένικος, ὦ ἄνδρες δικασταὶ, ὅτι πολλοὶ λέγειν εἰσὶν ἐμοῦ "δεινότεροι, καὶ μᾶλλον τοιούτων πραγμάτων ἔμπειροι· ἀλλ' "ὅμως ἡγεῖται τὴν ἐμὴν οἰκειότητα πιστοτάτην εἶναι. αἰσχρὸν "μοι οὖν δοκεῖ εἶναι, κελεύοντος τούτου, καὶ δεομένου τὰ δίκαια "αὐτῷ βοηθῆσαι, περιιδεῖν αὐτὸν, καθ' ὅσον οἷός τ' εἰμὶ ἐγὼ, "τῶν ὑπ' Ἀνδροκλείδου δεδομένων στερηθῆναι.

ζʹ. Τί δὴ ταῦτα τὰ προοίμια ἀλλήλων διαφέρει; παρὰ Λυσίᾳ μὲν [d] ἰδία ἐστὶν ἡ εἰσβολὴ, καὶ δι' οὐδὲν ἄλλο μᾶλλον ἢ ὅτι φυσικῶς πως εἴρηται, καὶ ἀφελῶς· "Ἀναγκαῖόν μοι δοκεῖ "εἶναι, ὦ ἄνδρες δικασταὶ, περὶ τῆς φιλίας τῆς ἐμῆς καὶ τῆς "Φερενίκου πρῶτον εἰπεῖν πρὸς ὑμᾶς". καὶ τὸ ἐπιλεγόμενον τούτῳ, ἔτι μᾶλλον ἀκατάσκευον φαίνεται εἶναι, καὶ ὡς ἂν ἰδιώτης τις εἰπεῖν δύναιτο τὸ εἰρημένον· "Ἵνα μη-"δεὶς ὑμῶν θαυμάσῃ, ὅτι ὑπὲρ οὐδενὸς πώποτε εἰρηκὼς "πρότερον, ὑπὲρ τούτου νῦν λέγω". παρὰ δὲ Ἰσαίῳ κατεσκεύασται τὸ δοκοῦν εἶναι ἀφελὲς, καὶ οὐ λέληθεν ὅτι ἐστὶ ῥητορικόν· "Ἐγὼ καὶ πρότερον Εὐμαθεῖ τούτῳ "ἐγενόμην χρήσιμος, [e] δικαίως· καὶ νῦν, εἴ τι ἐστὶ κατ' "ἐμὲ, πειράσομαι συσσώζειν αὐτόν". [f] ὑψηλότερα ἐστὶ, καὶ ἧττον ἐκείνων ἀφελέστερα, καὶ ἔτι μᾶλλον τὰ ἐπιφερόμενα· "Μικρὰ δέ μου ἀκούσατε, ἵνα μηδεὶς ὑπολάβῃ ὑμῶν, "ὡς ἐγὼ προπετείᾳ, ἢ ἄλλῃ τινὶ ἀδικίᾳ, πρὸς τὰ Εὐ-"μάθους πράγματα προσῆλθον". ἥ τε γὰρ "Προπέτεια", 106 καὶ "Ἡ ἀδικία", καὶ τὸ "Πρὸς τὰ Εὐμάθους πράγματα προσ-ελθεῖν", [g] πεποιημένοις μᾶλλον ἔοικεν, ἢ αὐτοφυέσι. καὶ αὖ-

θις

a Neſcio an verior lectio ſit, πρὸς εὐπορίαν ἀργυρίου, vel πρὸς εὐπόριστον ἀργύριον. *Sylb.* Corrupte in *MS. Bodl.* προσοίστου-πόρησαν. b Rectius, ut opinor, ἐπισχήσω. *Sylb.* c Illud ὑμῶν expungendum videtur, ut infra in repetitione v. 39. *Sylb.* d Ἰδία ἐστὶν ἡ εἰσβολὴ *Bodl.* e Ita & hic loci & ſupra p. 167. v. 42. in *MS. Bodl.* Verum καὶ δικαίως rectius eſſe cenſet *Sylb.* Et p. 167. v. 42. ubi (v. 43.) pro ſequ. κατ' ἐμὲ legitur ἐν ἐμοὶ in impreſſis. f Verior lectio videtur hæc ὑψηλότερα γάρ ἐστι ταῦτα. *Sylb.* In *MS. Bodl.* ὑψηλότερά ἐστι. g Rectius πεποιημένοις, neutro gen. *Sylb.*

Ἴς γε παρὰ μὲν τῷ Λυσίᾳ ἡ πρόφασις λέγεται ἀνεπιτηδεύτως· “Ἐμοὶ γὰρ, ὦ ἄνδρες δικασταὶ, ξένος ἦν Κηφισόδοτος, ὁ τούτου πατήρ· καὶ ὅτε ἐφεύγομεν ἐν Θήβαις, παρ' ἐκείνῳ κατηγόμην, καὶ ἐγὼ καὶ [a] ἄλλος Ἀθηναίων ὁ βουλόμενος”. ἡδέως τε καὶ ἀφοριστικῶς [b] τὰ μετὰ ταῦτα ἐπιτίθεται· “Καὶ πολλὰ καὶ ἀγαθὰ, καὶ ἰδίᾳ καὶ δημοσίᾳ, παθόντες ὑπ' αὐτοῦ, εἰς τὴν ἡμετέραν αὐτῶν κατήλθομεν”. παρὰ δὲ τῷ Ἰσαίῳ πέφρασται περιεργότερον, καὶ οὐ μακρὰν ἀπέχει τῆς Δημοσθένους κατασκευῆς· “Τριηραρχοῦντος γάρ μου ἐπὶ [c] Κηφισοδότου ἄρχοντος, καὶ λόγου ἀπαγγελθέντος πρὸς τοὺς οἰκείους, ὡς ἄρα τετελευτηκὼς εἴην ἐν τῇ ναυμαχίᾳ, οὔσης μοι παρακαταθήκης παρ' Εὐμαθεῖ τούτῳ”. τό, τε γὰρ “Λόγου ἀπαγγελθέντος”, [d] καὶ “Ὡς ἄρα τετελευτηκὼς εἴην”, καὶ τὸ “Οὔσης ἐμοὶ παρακαταθήκης”, οὐκ ἂν φαίην ἔγωγε ἀφελῶς εἰρῆσθαι. [e] ἐκείνῳ γὰρ λεγόμενα μᾶλλον ἀποίητα· “Ὅτε γὰρ ἐτριηράρχουν, καὶ ἀπηγγέλθη τοῖς ἐνθάδε, ὡς ἄρα τετελευτηκὼς εἴην, ἔχων μου παρακαταθήκην Εὐμαθὴς οὑτοσί.

η'. Καὶ τὰ λοιπὰ δὲ τῶν προοιμίων μέρη, παρ' ᾧ μὲν ἀφελέστερον ἄν τις εὕροι λεγόμενα· παρ' ᾧ δὲ ῥητορικώτερον. ἐν ἑτέρῳ τε ἀγῶνι πάλιν, ὁ μὲν Ἰσαῖος ἐπιτρόπῳ τινὶ συντάξας ἀπολογίαν ὑπὸ τῶν [f] ἰδίων ″ ἀδελφῶν κρινομένῳ, τοιαύτῃ κέχρηται ἀρχῇ· “Ἐβουλόμην μὲν, ὦ ἄνδρες δικασταὶ, μὴ λίαν οὕτως ἀγνοηθέντα προσχήματ' ἔχειν αἰσχρῶς, ὥστε τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν, καὶ δίκας τοιαύτας λαγχάνειν. [g] ἀλλ' οὐ τό γε οὖν [h] ἀδελφιδοῦν ἐμὸν καὶ κύριον τῆς πατρῴας οὐσίας, οὐ μικρᾶς, ἀλλ' ἱκανῆς, ὥστε καὶ λειτουργεῖν ὑφ' ἡμῶν αὐτῶν παραδοθείσης, ταύτης ἐπιμελεῖσθαι, τῶν δ' ἐμῶν μὴ ἐπιθυμεῖν· ἵνα βελτίων τε δοκῇ πᾶσιν εἶναι σώζων αὐτὴν, καὶ πλείω ποιῶν, χρησιμώτερον ὑμῖν πολίτην [i] παρεῖχεν ἑαυτόν. ἐπεὶ δὲ τὴν μὲν ἀνήρηκε, καὶ πέπρακε, καὶ αἰσχρῶς καὶ κακῶς διολώλεκεν, ὡς οὐκ ἂν ἠβουλόμην· πιστεύων δ' ἑταιρείαις, καὶ λόγων παρασκευαῖς, ἐπὶ τὴν ἐμὴν ἐλήλυθεν· ἀνάγκη, ὡς ἔοικε, συμφορὰν μὲν εἶναι νομίζειν, ὅτι τοιοῦτός ἐστιν, οἰκεῖος ὤν· ἀπολογεῖσθαι δὲ περὶ ὧν ἐγκέκληκε, καὶ ἔξω μὲν τοῦ πράγματος διαβέβληκεν, ὡς ἂν οὖν δυνώμεθα προθυμότατα πρὸς ὑμᾶς”. ὁ δὲ Λυσίας ἀνδρὶ ὑπὸ τῶν ἀδελφῶν τῆς ἑαυτοῦ γυναικὸς ἐγκαλουμένῳ κακῆς ἐπιτροπῆς, συγγράψας λόγον, τοιούτῳ κέχρηται τῷ προοιμίῳ· “Οὐχ ἱκανὸν, ὦ ἄνδρες δικασταὶ, τοῖς ἐπιτρόποις, ὅσα πράγματα διὰ τὴν ἐπιτροπίαν ἔχουσιν, ἀλλὰ καὶ διασώζοντες τὰς τῶν φίλων οὐσίας, συκοφαντοῦνται ὑπὸ τῶν ὀρφανῶν πολλοί· ὅπερ κἀμοὶ νῦν συμβέβηκεν. ἐγὼ γὰρ, ὦ ἄνδρες δικασταὶ, καταλειφθεὶς ἐπίτροπος τῶν Ἱπποκράτους χρημάτων, καὶ διαχειρίσας ὀρθῶς καὶ δικαίως τὴν οὐσίαν, καὶ παραδοὺς τοῖς υἱοῖς δοκιμασθεῖσι τὰ χρήματα, ὧν ἐπίτροπος κατελείφθην, συκοφαντοῦμαι νῦν ὑπ' αὐτῶν ἀδίκως.

θ'. Οὐ πολλῶν οἶμαι δεῖν λόγων, ὅτι τοῦτο μὲν ἀφελῶς καὶ

apud Lyſiam cauſa ſive prætextus ſine affectatione profertur: “Mihi enim, Judices, hoſpes erat Cephiſodotus, hujus pater: & cum exſularemus Thebis, ad illum diverti & ego, & alius Athenienſium quiſquis vellet”. Tum ſuaviter & diſtincte ſubjungitur: “Ac multis & privatim & publice beneficiis ab eo affecti in patriam rediimus”. At apud Iſæum dictum eſt accuratius, & non longe abeſt à compoſitione Demoſthenis: “Cum enim triremi cum imperio præeſſem, Archonte Cephiſodoto, & fama perlata ad propinquos eſſet, quod in prælio navali interiiſſem, cumque pecunia à me depoſita apud Eumathem hunc eſſet”. Illud enim “Fama perlata”, & “Quod interiiſſem”, & “Cum eſſet à me depoſita pecunia”, non autumem ego dictum eſſe ſimpliciter. Nam hoc modo dicta ſine arte facta viderentur: “Cum enim triremi præeſſem, & meis illuc nunciatum eſſet, quod jam mortuus eſſem, Eumathes hic habens à me depoſitum.

VIII. Sic & cæteras exordiorum partes ab illo reperias ſimplicius, ab hoc oratorie magis tractatas. In alio judicio Iſæus compoſita defenſione curatori à nepotibus accuſato, tali utitur exordio: “Cupiebamus, Judices, non adeo ignarum indecore pecunias poſſidere, ut alios circumvenire aut judicio vincere contenderet. Sed non hoc ad conſobrinum meum, reique non modicæ ſed lautæ, ut quæ à nobis reipub. commodo impenſa eſt, poſſeſſorem attinet, neque noſtra ut deſideret; ut melior eſſe videatur omnibus eam conſervans, & augens utiliorem cunctis civem ſe præbeat. Poſtquam autem hanc evertit & vendidit, turpiterque & male perdidit, (quod certe factum nollem) credenſque ſodalitiis & ſermonibus compoſitis, in meam invaſit: neceſſe eſſe videtur, ut & adverſæ ſorti tribuam; quod talis ſit mihi propinquus, & apud vos quam paſſim prompte & impigre reſpondeam ad ea de quibus accuſavit, quæque extra rem objecit. At Lyſias in oratione, quam pro eo conſcripſit, qui à fratribus uxoris accuſabatur curationis male adminiſtratæ, ejuſmodi principio utitur; “Non ſufficiunt curatoribus, Judices, quæcunque res eorum curæ commiſſæ ſunt; ſed etiamſi ſarta tecta conſervarint amicorum bona, à pupillis calumnioſe ſæpe accuſantur: quod & mihi nunc uſu venit. Ego enim, Judices, conſtitutus curator bonorum Hippocratis, iiſque bene & juſte adminiſtratis, traditiſque filiis ejus, poſtquam virilem togam ſumpſerunt, injuſte & calumnioſe ab eis nunc accuſor.

Ulterius res illuſtratur ex aliis proœmiis.

IX. Non opus eſſe puto multis verbis, ut oſtendamus, ſimpliciter hoc & ſuaviter eſſe dictum,

Comparatio duorum proœmiorum ſupra poſitorum.

a In *MS. Bodl.* partitive ἄλλος Ἀθηναίων: quo modo & p. 168. v 19. *b* Τὰ μὲν ταῦτα *Bodl.* *c* Pro Κηφισοδότου p. 167. v. 46. legitur Κηφισοδώρου. Infra in *Dinarcho* utriuſque inter Athenienſium ἀρχόντας ſit mentio. Sed Κηφισόδοτος tempore prior nominatur, p. 115. [juxta *Ed. Sylb.*] Κηφισόδωρος autem poſterior, p. 116. [juxta *Ed. Sylb.*] Sed videndum ne hic à vicinia tractum ſit vitium; & ut v. 2. privati cujuſdam Κηφισοδότου facta eſt mentio, ita etiam archon hic eodem à *Librario* appellatus ſit nomine, non à *Dionyſio*. *Sylb.* *d* Καὶ τὸ, Ὡς &c. *MS. Bodl.* *e* Rectius ἐκείνως, ut p. 171. v. 47. *Sylb.* *f* Omittit *Bodl.* & mox in margine ejuſdem, ἰσ. ἀδελφιδῶν vel ἀδελφιδοῦ. *g* Ἀλλ' οὕτω γε *Bodl.* *h* Nota hic τὸ ἀδελφιδοῦν ἐμὸν, ut etiam infra in repetitione p. 171. v. 15. pro οἱ ἀδελφιδοῖ ἐμοί. unde etiam colligere licet v. 22. pro ἀδελφῶν ſcribendum eſſe ἀδελφιδῶν. *Sylb.* *i* Forſan rectius παρέχῃ, eodem ſcilicet tempore, quo præcedit δοκῇ. *Sylb.*

dictum, indolemque præ ſe ferre non fictam, ſed naturalem. Iſtud enim "Non ſufficiunt curatoribus, Judices, quæcunque res eorum curæ commiſſæ ſunt", nemo dixerit oratoris eſſe, ſed cujuſlibet è vulgo in certamine iniquo conſtituti. Verum quæ ex Iſæo protulimus oratorie compoſita ſciteque & eleganter dicta nemo non animadvertat: hæc videlicet; "Volebamus, Judices, non adeo ignarum turpes captare occaſiones, ut alios inſidioſe circumveniret". tum etiam apud Lyſiam lepide omnino ſimpliciterque; "Ego enim, Judices, conſtitutus curator bonorum Hippocratis, iiſque bene & juſte adminiſtratis, traditiſque filiis ejus, poſtquam virilem togam ſumpſerunt". Alterum autem apertius, & non ut privatus tranſpoſuit: "Sed non hoc ad patruelem meum, ac patrimonii non modici ſed lauti, ut à nobis reip. commodo impenſi, poſſeſſorem attinet, neque noſtra ut deſideret". Unum præterea genus commemorabo, ea quo maxime quod inter hos viros ſit diſcriminis palam fiet.

Aliud adhuc proœmiorum exemplum, ad oſtendendum diſcrimen inter Lyſiam & Iſæum.

X. Sumit autem uterque pro argumento, hominem adoleſcentem, privatum, abhorrentem à negotiis, & præter inſtitutum & ingenium in judicio dicere coactum. Et Lyſias quidem in oratione *contra Archebiadem* ad hunc modum: "Quamprimum hanc mihi litem intendit Archebiades, Judices, acceſſi ad eum dicens, adoleſcentem me eſſe, rerum imperitum, ac litium fugitantem. Itaq; te quæſo, ne inventiunculam putes ætatis excuſationem; ſed, advocatis amicis & meis & tuis, unde creatum ſit debitum exponas; & ſi viſus illis fueris vera dicere, non opus erit tibi litibus, ſed eo tibi ſoluto domum ad tua recipere te poteris. Æquum autem eſt ut nihil ſilentio prætereatur, ſed omnia dicantur; quoniam junior ſum, quam ut inſidiarum aliquid ſtruam, ut, auditis quæ ignoramus, conſultemus ſuper his quæ tu dices: ſi forte manifeſtum inde fiat, utrum injuſte mea concupiſcis, an juſte tua recuperare coneris. Hæc me denunciante, nunquam voluit convenire, neque verbum facere de his de quibus expoſtulabat: neque arbitris rem committere ex lege de arbitris à vobis lata. Verum Iſæus in controverſia *ſuper Fundo à Tribubus occupato*, qui pignori oppoſitus erat, hoc utentem inducit exordio: "Maxime quidem voluiſſem, Judices, à nemine me civium injuria affici; aut ſaltem in tales incidere adverſarios, quibuſcum nihil mihi commune eſſet. nunc accidit mihi res omnium longe moleſtiſſima. Afficior enim injuria à tribulibus, quos, ut, impune te defraudent, ferre non eſt facile: permoleſtum

ἡδέως εἴρηται, ἦθός τε οὐ πεπλασμένον, ἀλλὰ φυσικὸν ἐπιφαίνει. τὸ γάρ, "Οὐχ ἱκανόν, ὦ ἄνδρες δικασταί, τοῖς ἐπιτρόποις ὅσα πράγματα διὰ τὴν [a] ἐπιτροπὴν ἔχουσιν", οὐδεὶς ἂν εἴποι ῥήτορος εἶναι, ἀλλὰ παντὸς ἰδιώτου, καταστάντος εἰς ἀγῶνα ἄδικον· τὸ δ' Ἰσαίου πεποίηται ῥητορικῶς καὶ [b] καλλιλογήσασθαι σεμνότερον, ἅπαντες ἂν φήσαιεν· ὅ γάρ, "Ἐβουλόμην μέν, ὦ ἄνδρες δικασταί, μὴ λίαν οὕτως ἀγνοηθέντα προσχήματα ἔχειν αἰσχρῶς, ὥστε τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν". καὶ ἔτι μᾶλλον παρὰ Λυσίᾳ μὲν χαριέντως πάνυ καὶ ἀφελῶς εἴρηται τό, "Ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, καταλειφθεὶς ἐπίτροπος τῶν Ἱπποκράτους χρημάτων, καὶ διαχειρίσας ὀρθῶς καὶ δικαίως τὴν οὐσίαν, καὶ παραδοὺς τοῖς υἱοῖς δοκιμασθεῖσι τὰ χρήματα". θάτερον δὲ τεχνικώτερον, καὶ οὐχ ὡς ἂν ἰδιώτης μετέθηκεν· "Ἀλλ' οὐ τό γε οὖν ἀδελφιδοῦν ἐμὸν καὶ κύριον τῆς πατρῴας οὐσίας, οὐ μικρᾶς, ἀλλ' ἱκανῆς, ὥστε καὶ λειτουργεῖν ὑφ' ἡμῶν αὐτῶν παραδοθείσης, ταύτης ἐπιμελεῖσθαι". ἑνὸς δ' ἔτι μνησθήσομαι γένους, ἐξ οὗ μάλιστα ἡ διαφορὰ τῶν ἀνδρῶν ἔσται καταφανής.

ι'. Ὑποτίθεται δ' ἑκάτερος ἰδιώτην ἄνδρα, καὶ ἀπράγμονα, καὶ νέον, παρὰ τὴν ἑαυτοῦ προαίρεσίν τε καὶ φύσιν ἠναγκασμένον ἐν δικαστηρίῳ λέγειν· ὁ μὲν Λυσίας ἐν τῷ ΠΡΟΣ ΑΡΧΕΒΙΑΔΗΝ λόγῳ, τὸν τρόπον τοῦτον· "Ἐπειδὴ τάχιστα ἔλαχέ μοι ταύτην τὴν δίκην Ἀρχεβιάδης, ὦ ἄνδρες δικασταί, προσῆλθον αὐτῷ λέγων, ὅτι νέος καὶ ἄπειρος τῶν πραγμάτων, καὶ οὐδὲν δεόμενος εἰσιέναι εἰς δικαστήριον. 107 ἐγὼ οὖν σε ἀξιῶ, μὴ [d] εὕρεμα ἡγεῖσθαι τὴν ἡλικίαν τὴν ἐμήν, ἀλλὰ παραλαβόντα τοὺς ἐμοὺς φίλους καὶ τοὺς σαυτοῦ, διηγήσασθαι περὶ τοῦ χρέους, ὅθεν γεγένηται· κἂν δοκῇς ἀληθῆ λέγειν ἐκείνοις, οὐδέν σοι δεήσει πραγμάτων, ἀλλὰ λαβών, [e] ἐπὶ τὰ σαυτοῦ. δίκαιος δέ εἰμι μηδὲν παραλιπεῖν, ἀλλ' εἰπεῖν ἅπαντα, ἐπειδὴ νεώτερός εἰμι τοῦ συμβουλεύειν· ἵνα ἀκούσαντες περὶ ὧν οὐκ ἴσμεν, βουλευσώμεθα περὶ ὧν σὺ λέγεις· ἐάν πως φανερὸν γένηται, πότερον ἀδίκως τῶν ἐμῶν ἐφίεσαι, ἢ δικαίως τὰ σεαυτοῦ ζητεῖς κομίσασθαι. ταῦτ' ἐμοῦ [f] παρακαλουμένου, οὐδεπώποτ' ἠθέλησε συνελθεῖν, οὐδὲ λόγον περὶ ὧν ἐνεκαλεῖτο ποιήσασθαι, οὐδὲ διαιτᾷν ἐπιτρέψαι, [g] ἕως ὑμεῖς τὸν νόμον τὸν περὶ τῶν διαιτητῶν ἔθεσθε. ὁ δὲ Ἰσαῖος [h] ἐν ἀμφισβητήσει χωρίον τὸ ὑπὸ τῶν δημοτῶν κατεχημένον, οἷς τὸ χωρίον ὑπέκειτο, ταύτῃ χρώμενον εἰσαγαγεῖν τῇ ἀρχῇ· "Μάλιστα μὲν ἐβουλόμην, ὦ ἄνδρες δικασταί, μηδ' ὑφ' ἑνὸς ἀδικεῖσθαι τῶν πολιτῶν· εἰ δὲ μή, τοιούτων ἀντιδίκων τυχεῖν, πρὸς οὓς ἂν οὐδὲν ἐφρόντιζον διαφερόμενος. νῦν δέ μοι πάντων πραγμάτων λυπηρότατον συμβέβηκεν. ἀδικοῦμαι γὰρ ὑπὸ τῶν δημοτῶν, οὓς περιορᾷν μὲν ἀποστεροῦντας οὐ ῥᾴδιον· ἀπέχθεσθαι

" δὲ

a Pro ἐπιτροπὴν p.169. v.40. legitur ἐπιτροπίαν, quorum utro ſit uſus Lyſias incertum eſt. *Dionyſius* quidem utroque utitur: nam in *Antiqq. Rom.* p. 227. v. 48. habet ἐπιτροπίαν λαβεῖν. *Sylb.* b Forſan legendum κεκαλλιλογῆσθαι, ut præcedit πεποίηται. *Sylb.* In margine *Cod, Bodl.* ἴσ. καλλιλογίσασθαι. c Τὸ γάρ, ſeu τό γ' οὖν declarative accipiendum pro τοῦτο δηλονότι *hoc videlicet*. Pro ἐβουλόμην vero in priore loci citatione *Attico* augmento ſcriptum ἠβουλόμην, p.169. v. 23. *Sylb.* d Εὕρημα in *MS. Bodl.* e Ἐπὶ τὰ σαυτοῦ ellipticῶs legitur etiam infra, p.171. v. 26. ſubaudito ſcilicet verbo ἀπαλλάξῃ, aut alio conſimili. *Sylb.* Imo mox v. 36. τὰ σαυτοῦ in *Cod. Bodl.* f Rectius προσκαλουμένου, ut infra in repetitione, p.171. v. 28 & προσκλήσεως vocabulum in hac ſignificatione uſurpavit etiam *Dionyſius* in *Antiquitatibus* perſæpe. Infra p. 174. v. 9. diverſo errore ſcriptum προσκαλεῖται. *Sylb.* g Fortaſſe legendum ὡς pro ἕως. *Sylb.* h Legendum videtur ἐν ἀμφισβητήσει ὑπὲρ χωρίου τοῦ ὑπὸ τῶν δημοτῶν κατεχημένου, οἷς τὸ χωρίον ὑπέκειτο, ταύτῃ χρώμενον εἰσάγει τῇ ἀρχῇ. *Sylb.* Infra quidem habemus, ἐν τῇ πρὸς τοὺς δημότας ἀμφισβητήσει περὶ τοῦ χωρίου &c. & εἰσαγαγεῖ pro εἰσαγαγεῖν in *MS. Bodl.*

a Infra

"δὲ [a] ἡδέως μεθ' ὧν ἀνάγκη καὶ συνουσίας κοινὰς ποι-"εῖσθαι. πρὸς μὲν οὖν πολλοὺς χαλεπὸν ἀντιδικεῖν· "μέγα γὰρ μέρος συμβάλλεται [b] πλῆθος αὐτοῖς, "πρὸς τὸ δοκεῖν ἀληθῆ λέγειν· ὅμως δὲ διὰ τὸ "πιστεύειν τοῖς πράγμασι, πολλῶν μοι καὶ δυσκό-"λων συμπιπτόντων, [c] οὐχ ἡγούμην κατοκνῆσαι δι' ὑ-"μῶν πειρᾶσθαι τυγχάνειν τῶν δικαίων. δέομαι οὖν "ὑμᾶς συγγνώμην ἔχειν, εἰ καὶ νεώτερος ὢν, λέγειν "ἐπὶ δικαστηρίου τετόλμηκα· διὰ γὰρ τοὺς ἀδικοῦντας ἀναγ-"κάζομαι παρὰ τὸν ἐμαυτοῦ τρόπον τοιοῦτόν τι ποιεῖν. πει-"ράσομαι δ' ὑμῖν ἐξ ἀρχῆς, ὡς ἂν δύνωμαι, διὰ βρα-"χυτάτων εἰπεῖν περὶ τοῦ πράγματος.

"autem, ut odio te habeant, quibuſcum ver-"ſari conventuſque celebrare neceſſe eſt. "Ad hæc cum multis litigare noxium eſt: "magnam enim partem eos vera dicere mul-"titudo ſibi perſuadet. Quia tamen ipſis "fido, rebus etiam multis difficillimis con-"currentibus, non exiſtimavi cunctari o-"portere, ſed omnino conari, ut per vos "jus meum obtineam. Itaque vos rogo, ve-"niam mihi dari, quod in hac ætatula ver-"ba facere in judicio ſim auſus. Per eos "enim qui me injuria afficiunt, præter ra-"tionem & inſtitutum meum, id facere co-"gor. Conabor equidem, quam potero bre-"viſſime, de re tota ab initio vobis expo-"nere.

ια'. Τίς [d] ἂν οὖν οὐκ ἂν ὁμολογήσειε, τὸν μὲν [e] Λυσίου νέον, καὶ ἰδιώτην, καὶ ἀπράγμονα, ἀρχέτυπόν τινα εἶναι τῆς ἀληθείας, διαφέροντα ἐκείνης οὐδ' ὁτιοῦν· τὸν ἕτερον δὲ, ἀπόγραφόν τινα καὶ οὐ λανθάνοντα ὅτι πέπλασται ῥητορικῇ τέχνῃ; καὶ γὰρ αἱ λέξεις καὶ τὰ νοήματα, παρ' ἐκείνῳ μὲν, τὸ αὐτοφυές· παρὰ δὲ τούτῳ, τὸ κατασκευαστὸν ἀποφαίνουσιν. [f] ὁ μὲν γὰρ, ἀρχῇ κέχρηται, ὅτι νέος τε, καὶ ἄπειρος εἴη πραγμάτων, καὶ οὐδὲν δεόμενος εἰς δικαστήριον εἰσιέναι. καὶ ἐπιφέρει πάνυ ἠθικῶς· "Ἐγὼ οὖν "σε ἀξιῶ, μὴ εὕρεμα ἡγεῖσθαι τὴν ἡλικίαν τὴν ἐμήν". καὶ τὸ μετὰ τοῦτο, ὡς φύσιν εἶχε γενέσθαι τε καὶ ῥηθῆναι, λέγει· ὡς ἐπὶ διαιτητὰς ἠξίουν κοινοὺς ἐλθεῖν φίλους· "[g] Κἂν δόξῃ ἀληθῆ λέγειν ἐκείνοις, οὐδέν σε δεήσει πρα-"γμάτων, ἀλλὰ καὶ λαβὼν, ἐπὶ τὰ σαυτοῦ", καὶ τὰ λοιπὰ ἐν ἤθει χρηστῷ διεξελθὼν, τελευτῶν ἐπιτίθησι· "Ταῦτ' ἐμοῦ προκαλουμένου, οὐδεπώποτε ἠθέλησε συν-"ελθεῖν". ὁ δὲ Ἰσαῖος, τοῦτο μὲν τὸ μέρος, τὸ, "Πα-"ρὰ τὴν ἐμαυτοῦ γνώμην ἠναγκάσθαι λέγειν ἐν δι-"καστηρίῳ, νέον ὄντα", ἐπὶ τελευτῇ τοῦ προοιμίου τίθησιν. ἄρχεται δὲ ἀπὸ διανοίας, οὐ φαύλης μὰ Δία, οὐδὲ ἰδιωτικῆς· [h] ἀνιαρώτερον εἶναι πρὸς τοιούτους ἀπέχθεσθαι, μεθ' ὧν ἀνάγκη τῶν τιμιωτάτων κοινωνεῖν· ἔπειτα ἀπολύεταί τι τῶν μελλόντων αὐτὸν λυπεῖν, [i] τὸ δὴ πολλοὺς ὄντας τοὺς δημότας πρὸς αὐτὸν ἀδικεῖν. συντίθησί τε τὰ ὀνόματα οὐ φαύλως μὰ Δία, οὐδ' ὡς ἂν ἰδιώτης· "Ἀ-"δικοῦμαι γὰρ ὑπὸ τῶν δημοτῶν, φησίν· οὓς πε-"ριορᾶν μὲν οὐ ῥᾴδιον ἀποστεροῦντας· ἀπέχθεσθαι δ' "[k] ἂν ἡδέως, μεθ' ὧν ἀνάγκη καὶ συνουσίας [l] κοινὰς "ποιεῖσθαι". ἡ γὰρ "Ἀηδὴς ἀπέχθεια", καὶ αἱ "Κοιναὶ "συνουσίαι", τεχνικώτερον σύγκεινται μᾶλλον, ἢ ἀφελέστερον. καὶ ἔτι τὸ, "Πολλῶν μοι δυσκόλων συμπι-"πτόντων, οὐχ ἡγοῦμαι δεῖν κατοκνῆσαι δι' ὑμῶν πει-"ρᾶσθαι τυγχάνειν τῶν [m] δικαίων". ἥκιστα γὰρ ἰδιώτης ἂν οὕτως· "Οὐχ ἡγοῦμαι δεῖν κατοκνῆσαι", οὐδέ γε τὸ "Δι' ὑ-"μῶν πειρᾶσθαι τυγχάνειν τῶν δικαίων"· ἀλλ' εἰκείνως

XI. Quis igitur non fateatur Lyſiæ *adoleſcentem & privatum & à negotiis alienum* veram eſſe imaginem veritatis, nec quidquam ab ea differentem; alterum autem, exemplum ejuſmodi quod artem & fucum non occultet oratoris? Nam apud illum & verba & ſententiæ nativæ; apud hunc ex præparato eſſe apparent. Ille enim pro exordio utitur, quod adoleſcens & imperitus rerum ſit, & quem non deceat judicio ſe ſiſtere. & ſubjungit morate prorſus: "Itaque te "quæſo, ne inventiunculam putes meam æ-"tatis excuſationem". Et quod ſequitur, quam native dictum eſt, quod voluerit arbitrio communium amicorum rem committere: "Etſi viſus illis fueris vera dicere, "non opus erit tibi lite, ſed debito ſoluto "domum ad tua recipere te poteris". Et reliqua levi & miti quidem affectu exſecutus, in fine addit: "Hæc me prædicante, nun-"quam voluit convenire". Iſæus vero partem hanc, "Quod præter mentem meam in "judicio verba facere cogatur, cum ſit ado-"leſcens", ſub finem exordii ponit. Incipit autem à ſenſu, non humili, per Jovem, neque vulgari: gravius atque acerbius eſſe, talibus inviſum eſſe quibuſcum res longe cariſſimæ tibi ſint communes. Deinde diluit quod eſſet eum læſurum, quod videlicet cum multis tribulibus litigaret: componitque inter ſe verba, non communi more, per Jovem, neque ut idiota quidam: "Af-"ficior enim injuria à tribulibus, inquit, "quos ut impune te defraudent ferre non "eſt facile. Permoleſtum autem ut odioſus "iis ſis, quibuſcum verſari communeſque "cœtus inire neceſſe ſit". Nam & "Gravis "inimicitia" & "Communes cœtus", artificioſe potius quam ſimpliciter cohærent: atque amplius, "Multis & difficillimis rebus con-"currentibus, non exiſtimo oportere cun-"ctari, ſed conari per vos uti jus meum ob-"tineam". Minime enim aliquis idiota ſic dicat; "Non exiſtimo oportere cunctari", ne-"que, "Conari per vos ut jus meũ obtineam": ſed

Comparatio duorum proœmiorum ſuperiorum.

a Infra in repetitione v. 40. legitur ἂν ἡδέως. vera lectio proculdubio eſt ἀηδὴς. quod indicat etiam paraphraſis *Dionyſiana* v. 33. ἀνιαρώτερον εἶναι πρὸς τοιούτους ἀπέχθεσθαι, & v. 33. ἡ ἀηδὴς ἀπέχθεια. *Sylb.* In margine *Cod. Bodl.* ἴσ. ἀηδής. *b* Malim τὸ πλῆθος. *Sylb.* *c* Οὐχ ἡγησάμην *MS. Bodl.* in margine οὐχ ἡγοῦμαι. Plenius ἡγοῦμαι δεῖν κατοκνῆσαι, ut infra v. 44. & v. 46. *Sylb.* *d* Nota hîc ἂν geminatum. *Sylb.* *e* Λόγον poſt Λυσίου habet *MS. Bodl.* *f* Ὁ μὲν γε *MS.* *g* Pro δόξῃ & σε v. eod. in priore citatione ſcriptum δόξῃς & σοι, p. 170. v. 30. *Sylb.* In *MS.* κἂν δόξας. *h* Ἀνιαρώτερον εἶναι λέγων πρὸς τ. *Bodl.* & mox μεθ' ὧν ἀνάγκη εἶναι τῶν τ. *i* Legendum videtur, τὸ δὴ πρὸς πολλοὺς ὄντας τοὺς δημότας ἀντιδικεῖν, ut colligere licet ex v. 2. *Sylb.* *k* Legendum eſſe ἀηδὴς docuimus paulo ante ad v. 1. *Sylb.* *l* Τινὰς pro κοινὰς habet *MS. Bodl.* Sed κοινὰς legendum eſſe conſtat ex v. 1. *m* In exemplari τῶν ἰδίων. ego τῶν δικαίων repoſui ex v. 1. atque adeo ſic legendum eſſe declarant ſequentia v. 47. *Sylb.*

ſed forte potius ad hunc modum; "Tali-"bus difficultatibus concurrentibus, ad vos "cogor confugere, ut per vos jus meum ob-"tineam.

Eandem rem ulterius proſequitur

XII. Puto quidem ex iſtis non obſcurum eſſe, quod ſit inter viros diſcrimen. magis tamen id erit conſpicuum ex his quæ ſequentur, maximeque ex apodicticis & patheticis orationibus, ubi Lyſias ſimplicior eſt, & in compoſitione vocum, & in ſchematum communione: alter autem magis varius & ornatus. Paſſim id videre eſt, ut in his: "Unde credere fas eſt, quæ Diis dicta ſunt? "nonne è teſtibus? puto equidem. Unde "autem teſtimonia? nonne ex tormentis? "veriſimile id quidem. Unde vero horum "abſiſtere ſermonibus oportet? nonne ac-"cuſationes declinando? neceſſarium ſane. "Patet itaque, me iſta conſectari, remque "ad inquiſitionem perducere, hunc vero in "verbis & calumniis verſari; quod quidem "faciat, qui fraudandi animum habet. O-"portebat autem ipſum, ſi quid æqui juſti-"que cogitat, neque imponere nobis cona-"tur, iſta per Jovem non facere; ſed ad ra-"tiocinationem cum teſtibus venire, & exa-"minare ſingula dicta ad hunc modum ex "me quærentem: Quotnam vectigalia ex-"pendat? & quantum argenti illatum, in "quantum & quot, hæc in quot decreta: "conſiderate decreta; multitudinem penſi-"tationum, quæ fuerint collata quique ac-"ceperint. Et ſi quidem bene res habet; "dictis adhibere fidem poteſtis, ſin minus, "producite jam nunc teſtes, ſi quid mendacii "falſimoniæque in iis quorum ratio eſt in-"veninius.

Iſæum Demoſtheni comparando.

XIII. Hæc quidem inconnexa, & cum interrogatione, quo modo Lyſias minime loquitur: Demoſthenes autem, qui ab illo cauſas accepit, creberrime. Ex.gr. "Οὐκ οὖν σοὶ μισθο-"φορὰν λέγει φήσεις. καὶ παραχρῆμά γε τὴν αὐτὴν σύν-"ταξιν ἁπάντων, ὦ Ἀθηναῖοι· ἵνα τῶν κοινῶν τὸ μέρος "λαμβάνων ἕκαστος, ὅτου δέοιτο ἡ πόλις, τοῦτο παρέχῃ. "ἔξεστιν ἄγειν ἡσυχίαν, οἴκοι μένειν. βέλτιον, εἰ τοῦ δι' "ἔνδειαν ἀνάγκη τι ποιεῖν αἰσχρὸν ἀπηλλαγμένος, συμ-"βαίνειν τι τοιοῦτον, οἷα καὶ τὰ νῦν, στρατιώτης αὐτὸς "ὑπάρχων ἀπὸ τῶν αὐτῶν τούτων λημμάτων, ὥσπερ "ἐστὶ δίκαιον ὑπὲρ τῆς πατρίδος. ἔστι τὶς ἔξω τῆς ἡλικίας "ἡμῶν, ὅσα οὗτος ἀτάκτως νῦν λαμβάνων, οὐκ ὠφελεῖ, "ταῦτα ἐν ἴσῃ τάξει παραλαμβάνων, πάντ' ἐφορῶν "καὶ διοικῶν, ἃ χρὴ πράττεσθαι. ὅλως δὲ οὔτε ἀφελὼν, "οὔτε προσθεὶς, πλὴν τι μικρῷ τὴν ἀταξίαν ἀνελὼν, "εἰς τάξιν ἤγαγον τὴν πόλιν τὴν αὐτὴν, τοῦ λα-"βεῖν, τοῦ στρατεύεσθαι, τοῦ δικάζειν, τοῦ ποιεῖν τοῦθ' "ὅ,τι καθ' ἡλικίαν ἕκαστος ἔχοι, καὶ ὅτου καιρὸς εἴη "τάξιν ποιήσας. Illa vero contorta & * ardua, atque ob conciſam & abruptam & inſoli-

πως μᾶλλον, "Τοσούτων γέ μοι συμπιπτόντων δυσκόλων, "ἐφ' ὑμᾶς ἠνάγκασμαι καταφυγεῖν, ἵνα τῶν δικαίων τύ-"χω δι' ὑμῶν.

ιβ'. Οἶμαι μὲν οὖν καὶ τούτων οὐκ ἄδηλον εἶναι τὴν τῶν ἀνδρῶν διαφοράν. οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν μελλόντων λέγεσθαι μᾶλλον ἔσται καταφανὴς, καὶ μάλιστα ἐκ τῶν [a] ἀποδεικτικῶν καὶ παθητικῶν λόγων· ἐν οἷς ὁ μὲν Λυσίας ἁπλούστερός τίς ἐστι, καὶ κατὰ τὴν σύνθεσιν τῶν ὀνομάτων, καὶ κατὰ τὴν κοινότητα τῶν σχημάτων· οὑτοσὶ δὲ, ποικιλώτερος. πολλὰ γοῦν ἄν τις, ἰδὼν, εὕροι παρ' αὐτῷ, ὡς ἐν τούτῳ· "Πόθεν "χρὴ πιστεύεσθαι τὰ εἰρημένα πρὸς θεῶν; οὐκ ἐκ τῶν μαρ-"τύρων; [b] οἴομαι δέ. πόθεν δὲ τοὺς μάρτυρας; οὐκ ἐκ τῶν "βασάνων; εἰκός γε. πόθεν δέ γε ἀπιστεῖσθαι τοὺς λόγους "τοὺς τούτων; οὐκ ἐκ τοῦ φεύγειν τοὺς ἐλέγχους; ἀνάγκη "μεγάλη. φαίνομαι τοίνυν [c] ἐγὼ διώκων ταῦτα, καὶ τὰ 108 "πράγματα εἰς βασάνους ἄγων· οὗτος δὲ, ἐπὶ διαβο-"λὰς καὶ λόγους καθιστάς· ὅπερ ἄν τις πλεονεκτεῖν βου-"λόμενος ἐποίησεν. ἐχρῆν δὲ αὐτὸν, εἴπερ τι δίκαιον "φρονεῖ, καὶ μὴ [d] παρακρούεσθαι τὰς ὑμετέρας γνώμας "ζητεῖ, μὴ μὰ Δία ταῦτα ποιεῖν, ἀλλ' ἐπὶ τὸν λογισμὸν "μετὰ μαρτύρων ἐλθεῖν, καὶ ἐξετάζειν ἕκαστα τῶν ἐν τῷ "λόγῳ τοῦτον τὸν τρόπον παρ' ἐμοῦ πυνθανόμενον· εἰσφο-"ρὰς λογίζῃ πρὸς τόσας; [e] καὶ πόσον ἀργύριον εἰσενηνεγμένης, "κατὰ τόσον καὶ τόσον, κατὰ πόσα ψηφίσματα ταυτί. ταύ-"τας εἰλήφασί τινες, οἱ καὶ ταῦτα μαρτυρόμενοι. [f] σκέψασθε "τὰ ψηφίσματα, τὸ πλῆθος τῶν εἰσφορῶν, τὰ εἰσενηνεγμέ-"να, τοὺς λαβόντας· καὶ εἰ μὲν εὖ [g] τε τῷ λόγῳ πιστεύ-"ειν· εἰ δὲ μὴ, νῦν παράσχεσθε μάρτυρας, εἴ τι ψεῦδος "ἐστὶν ὧν ἐλογισάμην [h] αὐτῆς.

ιγ'. Ταυτὶ μὲν διαλελυμένα, καὶ ἐξ ἐπερωτήσεως· οἷς ὁ Λυσίας μὲν ἥκιστα κέχρηται· Δημοσθένης δὲ, ὁ παρὰ τούτου τὰς ἀφορμὰς λαβὼν, ἀφειδέστερον. οἷον· "[i] Οὐκ "οὖν σοὶ μισθοφορὰν [k] λέγει φήσεις. καὶ παραχρῆμά "γε τὴν αὐτὴν σύνταξιν ἁπάντων, ὦ Ἀθηναῖοι· ἵνα τῶν "κοινῶν τὸ μέρος λαμβάνων ἕκαστος, ὅτου δέοιτο ἡ "πόλις, τοῦτο παρέχῃ. ἔξεστιν ἄγειν ἡσυχίαν, [l] οἴκοι μέ-"νειν. βέλτιον, εἰ τοῦ δι' ἔνδειαν ἀνάγκη τι ποιεῖν αἰσχρὸν "ἀπηλλαγμένος, συμβαίνειν τι τοιοῦτον, οἷα καὶ τὰ νῦν, στρα-"τιώτης αὐτὸς ὑπάρχων ἀπὸ τῶν αὐτῶν τούτων λημμάτων, "ὥσπερ ἐστὶ δίκαιον ὑπὲρ τῆς πατρίδος. ἔστι τὶς ἔξω τῆς ἡλικί-"ας ἡμῶν, ὅσα οὗτος ἀτάκτως νῦν λαμβάνων, οὐκ ὠφε-"λεῖ, ταῦτα ἐν ἴσῃ τάξει παραλαμβάνων, πάντ' ἐφορῶν "καὶ διοικῶν, ἃ χρὴ πράττεσθαι. ὅλως δὲ, οὔτε ἀφελὼν οὔτε "προσθεὶς, πλὴν τι μικρῷ τὴν ἀταξίαν ἀνελὼν, εἰς τάξιν ἤ-"γαγον τὴν πόλιν τὴν αὐτὴν, τοῦ λαβεῖν, τοῦ στρατεύεσθαι, τοῦ δι-"κάζειν, τοῦ ποιεῖν τοῦθ' ὅ,τι καθ' ἡλικίαν ἕκαστος ἔχοι, καὶ ὅτου "καιρὸς εἴη τάξιν ποιήσας". ἐκεῖνα δὲ κατὰ συστροφὴν καὶ παρακεκινδυνευμένα, τῷ τε βραχέως καὶ ἀγκύλως καὶ ἐκ παραδόξου

a Forſan ἐπιδεικτικῶν. b Rectius οἴομαί γε, ut in proxime ſequenti ſubjectione εἰκός γε. *Sylb.* c Ἐγὼ μὲν διώκων *MS. Bodl.* d Παρακρούσασθαι *MS. Bodl.* quo modo legendum eſſe voluit *Sylb.* e Incertum eſt redditivane an interrogativa hîc ab auctore uſurpata ſint, an mixta. ſi redditiva, legendum hic καὶ τόσον: & ſeq. v. κατὰ τόσα. ſi interrogativa, in primo membro legendum erit πρὸς πόσας; itidemque in ſequentibus. Forſan etiam εἰσενηνεγμένος legendum pro εἰσενηνεγμένης: vel εἰσενηνεγμένας. *Sylb.* f Non ſatis conſtat an verius ſit imperativum σκέψασθε, *conſiderate.* Nec item ſequenti verſu ſatis liquet an legendum ſit, καὶ εἰ μὲν εὖ ἔχει τῷ λόγῳ, πιστεύετε: an καὶ εἰ μὲν εὖ, ἔχετε τῷ λόγῳ πιστεύειν: an alio potius modo. *Sylb.* g Inter τε & τῷ lacuna eſt in *Cod. MS.* h Forſan verius αὐτοῖς: vel ſubaudiendum εἰσφορᾶς. *Sylb.* i Οὐκ οὖν σὲ in *MS. Bodl.* k Oedipum hîc agere, nec facile nec tutum eſt. *Sylb.* l In margine *MS. Bodl.* ἴσ. οἴκοι μένειν βέλτιον εἰ. * Φράσις παρακεκινδυνευμένη *multis periculis opportuna elocutio,* ut alibi interpretatur *Schottus.*

Illa,

ραδόξου συντίθεσθαι, καὶ οὐχ ἅπασιν οὐδὲ ἐκ προχείρου γνωριζόμενα· "[a] Καὶ οὗτος γὰρ ὁ πάντων ἀνθρώπων σχετλιώτατος, οὐ παρεχόμενος αὐτοῦ μάρτυρας δοῦναι, ὧν ἐναντίον ἡμῖν ἀποδοῦναι [b] φησίν, ὡς ἐκείνοις πιστεύειν προσποιεῖται μᾶλλον, ὡς ἀποδεδώκασιν ἡμῖν, ἢ ὡς οὐκ ἀπειλήφαμεν· καί τοι πᾶσι φανερόν, ὡς ἔοικε, τὸν τούτου πατέρα [c] ἀποστεροῦντα ἐπίτιμον· ὅτι ἡμῖν ἑκόντες οὐκ ἂν ἀπέδοσαν εἰσπράξασθαι, οὕτως ἔχοντες, οὐκ ἂν ἐδυνήθημεν". καὶ γὰρ τοῦτό ἐστι τὸ σχῆμα, ᾧ πολλάκις Δημοσθένης κέχρηται· "[d] Εἶτ' οἴεσθε, εἰ οἱ μὲν αὐτὸν οὐδὲν ἠδυνήθησαν ποιῆσαι κακόν, αὐτοὶ δὲ μὴ παθεῖν ἐφυλάξαντ' ἂν ἴσως, τοὺς μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλλον ἢ προλέγοντα βιάζεσθαι, ὑμῖν δὲ ἐκ προρρήσεως πολεμῆσαι"; καὶ ἔτι γε τὰ τοιαῦτα· "[e] Ὦ γὰρ ἃ μὲν ὑπῆρχεν ἔξω τῶν ἀποτιμηθέντων [f] καταλειτουργηκότα, δανειζομένῳ δ' οὐδεὶς ἂν ἔδωκεν ἐπ' αὐτοῖς ἔτι πλέον οὐδέν. ἀποδεδωκότι τὰς μισθώσεις ἔχειν ἐμοὶ προσῆκον. ἀναμφισβητήτως οὗτοι τηλικαύτην δίκην λαχόντες, καὶ σφέτερα αὐτῶν εἶναι φάσκοντες, ἐκώλυσαν μὲν ἐξ αὐτῶν ποιήσασθαι τὴν ἐπισκευήν". καὶ τί δεῖ τὰ πλείω παρατιθέντι μηκύνειν; πολλὰ γὰρ ἄν τις εὕροι τοῦ Ἰσαίου κατὰ τὴν σύνθεσιν καὶ κατὰ τοὺς σχηματισμοὺς ἐξηλλαγμένα μὲν τῆς Λυσίου λέξεως, ἐοικότα δὲ τῇ Δημοσθένους δεινότητι.

ιδ'. Εἰρηκὼς δὲ καὶ περὶ τῶν πραγμάτων, ὅτι δεινότερός ἐστιν οἰκονομῆσαι Λυσίου, καὶ ὅλους τοὺς λόγους, καὶ τὰ μέρη αὐτῶν, καὶ οὐδὲν ἔξω ποιῶν τῆς τέχνης, ᾗ μετὰ ταῦτα πολλῇ ὁ Δημοσθένης ἐχρήσατο, βούλομαι καὶ τὰς ὑπὲρ τούτων παρασχέσθαι πίστεις· ἔσται δὲ κεφαλαιώδης τε καὶ ὡς πρὸς ἀνεγνωκότας τὸν λόγον ἄνδρας· οὐ γὰρ ἐνεχώρει παραδείγματα πάντων τιθέναι. αὐτίκα τὰς διηγήσεις, [g] τότε μέν, ἀπροκατασκευάστους καὶ συντόμους, καὶ οὐδὲν προκαταλαμβανούσας τῶν ἀποδεικτικῶν, ἐν τῇ προσηκούσῃ τίθησι χώρᾳ, καθάπερ ἐφ' ᾧ ΠΡΟΣ ΜΕΔΟΝΤΑ ποιεῖ λόγῳ, καὶ ἐν τῷ ΠΡΟΣ ΑΓΝΟΘΕΟΝ, καὶ ἐν τῇ ΠΡΟΣ ΤΟΥΣ ΔΗΜΟΤΑΣ ἀμφισβητήσει ΠΕΡΙ ΤΟΥ ΧΩΡΙΟΥ, καὶ ἐν ἄλλοις συχνοῖς· τότε δὲ μερίσας [h] αὐτοῖς τὰ κεφάλαια, καὶ παρ' ἕκαστον αὐτῶν τὰς πίστεις παρατιθείς, ἐκμηκύνει τε μᾶλλον, καὶ ἐκβαίνει τὸ τῆς διηγήσεως σχῆμα, τῷ συμφέροντι χρώμενος. ταύτης ἐστὶ τῆς ἰδέας, ἥ τε ΠΡΟΣ ΕΡΜΩΝΑ ΥΠΕΡ ΤΗΣ ΕΓΓΥΗΣ ἀπολογία· καὶ ἡ ΠΡΟΣ ΕΥΚΛΕΙΔΗΝ ἀμφισβήτησις ΥΠΕΡ ΤΗΣ ΤΟΥ ΧΩΡΙΟΥ ΛΥΣΕΩΣ· καὶ ἡ ΥΠΕΡ ΕΥΦΙΛΗΤΟΥ ΠΡΟΣ ΤΟΝ [i] ΕΡΧΙΕΩΝ ΔΗΜΟΝ ἔφεσις. ἐν γὰρ δὴ [k] τοῖς λόγοις τούτων μακροτέρας τὰς διηγήσεις οὔσας, οὐχ ἅμα τίθησιν ὅλας, ἀλλὰ κατὰ μέρη διαλαμβάνων, ἐφ' ἑκάστῳ κεφαλαίῳ τούς τε μάρτυρας ἐπάγεται, καὶ
109 τὰς ἄλλας παρέχεται πίστεις. δεδοικὼς γάρ, [l] ὅσα γ' οὖν ἐμοὶ δοκεῖ, μὴ δυσπαρακολούθητος γένηται, διὰ τὸ πλῆθος τῶν κεφαλαίων, ὁ λόγος· καὶ πολλάκις αἵ τε πίστεις εἰς ἓν χωρίον ἅπασαι συναχθεῖσαι, πολλαὶ καὶ περὶ πολλῶν οὖσαι πραγμάτων, μὴ συνταράξωσι τὴν σαφήνειαν· τοιγάρτοι μετὰ τὰς διηγήσεις, τὰς οὕτως ᾠκονομημένας,

tam compoſitionem, neque omnibus neque facile cognita: "Καὶ οὗτος γὰρ ὁ πάντων ἀνθρώπων σχετλιώτατος, οὐ παρεχόμενος αὐτῶν μάρτυρας δοῦναι, ὧν ἐναντίον ἡμῖν ἀποδοῦναι φησίν, ὡς ἐκείνοις πιστεύειν προσποιεῖται μᾶλλον, ὡς ἀποδεδώκασιν ἡμῖν, ἢ ὡς οὐκ ἀπειλήφαμεν. καί τοι πᾶσι φανερόν, ὡς ἔοικε, τὸν τούτου πατέρα ἀποστεροῦν ὄντα ἐπίτιμον· ὅτι ἡμῖν ἑκόντες οὐκ ἂν ἀπέδοσαν εἰσπράξασθαι, οὕτως ἔχοντες, οὐκ ἂν ἐδυνήθημεν. Atque hæc figura eſt qua frequenter utitur Demoſthenes: "Εἶτ' οἴεσθε εἰ οἱ μὲν αὐτὸν οὐδὲν ἠδυνήθησαν ποιῆσαι κακόν, αὐτοὶ δὲ μὴ παθεῖν ἐφυλάξαντ' ἂν ἴσως, τοὺς μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλλον ἢ προλέγοντα βιάζεσθαι, ὑμῖν δὲ ἐκ προρρήσεως πολεμῆσαι; & adhuc alia hiſce ſimilia: "Ὦ γὰρ ἃ μὲν ὑπῆρχεν ἔξω τῶν ἀποτιμηθέντων καταλειτουργηκότα, δανειζομένῳ δ' οὐδεὶς ἂν ἔδωκεν ἐπ' αὐτοῖς ἔτι πλέον οὐδέν. ἀποδεδωκότι τὰς μισθώσεις ἔχειν ἐμοὶ προσῆκον. ἀναμφισβητήτως οὗτοι τηλικαύτην δίκην λαχόντες, καὶ σφέτερα αὐτῶν εἶναι φάσκοντες, ἐκώλυσαν μὲν ἐξ αὐτῶν ποιήσασθαι τὴν ἐπισκευήν. Et quid opus eſt hæc prolixius exſequi? multa ſane eſt invenire Iſæi, & in compoſitione & in ratione figurarum, à dictione Lyſiæ diſcrepantia, & ad Demoſthenis ſublimitatem accedentia.

Differentia inter Lyſiam & Iſæum in rerum diſpoſitione.

XIV. Quandoquidem autem dixi de rebus, quod peritius nempe quam Lyſias diſtribuat, & orationes totas, & partes earum, nihilque prorſus extra artem faciat, qua poſtea multa Demoſthenes uſus eſt, volo & horum auctoritates exhibere; ſed ſummatim, ac velut ad eos qui orationem jam legerunt: non enim hujus loci eſt omnium exempla ponere. Statim itaque narrationes, nunc quidem breviter ac ſine præparatione, & occupatione apodictica, propria ponit ſede: ſicut in oratione *contra Medontem* & *contra Agnotheum*: & in controverſia *de Prædio adverſus Tribules*; atque aliis multis: nunc vero diviſis capitibus, & ſuis unicuique probationibus appoſitis, magis in longum extendit; & egreditur narrationis ſchema, cum id cauſæ conducere videbitur. Hujus eſt genus apologia *de Sponſione contra Hermonem*, & controverſia *cum Euclide ſuper Redemptione agri*: tum etiam provocatio *pro Euphileto ad pagum Erchiam*. In his enim orationibus cum longiores ſint narrationes non ſimul totas ponit, ſed diviſim & ſigillatim & ad unumquodque caput cum teſtes tum alias adhibet probationes. Veritus enim, ut mihi quidem videtur, ne difficilis intellectu propter multitudinem capitum, fieret ſermo, pluraque ſæpe pluribus de rebus argumenta in unum conjecta locum perſpicuitatem perturbarent. Ideo poſt narrationes ita

1. In narrationibus.

a Illa, ut opinor, ex *Iſæo*: nec minus corrupta. b Φασὶν *MS. Bodl.* c Haud ſcio an legendum ſit ἀποστερεῖν. *Sylb.* d Rectius εἶτ' οἴεσθε *deinde putatis*. *Sylb.* e Forſan ex *Iſæo*. f Nota hîc καταλειτουργηκότα ſine augmento: haud ſcio an propter cacophoniam. *Sylb.* g Nota hîc τότε μὲν, & v. 34. τότε δὲ: cum in hac ſignificatione ſcribi ſoleat τοτὲ μὲν, & τοτὲ δὲ. *Sylb.* h Pro αὐτοῖς legendum videtur αὐτὸς vel αὐτοῦ. *Sylb.* i In exemplari eſt Ερχιέων: errore ambiguo. ſed veriorem lectionem eſſe Ερχιέων quam Ερχιαίων, patet ex pag. ſeq. v. 41. nota etiam ἔφεσιν eodem in loco exponi τὸ εἰς τὸ δικαστήριον προκαλεῖν. *Sylb.* k Forſan rectius τοῖς λόγοις τούτοις, eodem caſu. *Sylb.* atque ita in *MS. Bodl.* l Uſitatius ὡς γοῦν ἐμοὶ δοκεῖ. *Sylb.* atque ita in *MS. Bodl.*

diſpoſitas, neque longo ſermone præcedentes demonſtrationes confirmat: neque facit ex more recentium oratorum, ſed adverſariorum argumenta evertenda putat.

XV. Interdum vero præmittit quædam ante narrationes, & occupat futura, probabiliores ſic eas & ad cauſam conducibiliores facturum ratus: quemadmodum in confutatione *contra Ariſtogitonem* & *Archippum* feciſſe reperitur; in qua de hæreditate diſceptans frater defuncti conatur jure cogere eum, qui incerta poſſidet bona, ad certam exhibitionem: at ille, quem penes hæreditas erat, exceptione utitur, dicens data ipſi bona per teſtamentum. Cum autem duplex ſit controverſia; una quidem, factumne ſit teſtamentum, necne; altera, dum de teſtamento litigatur, uter hæreditatem poſſidere debeat: primum exortus à legibus, & ſigillatim demonſtrans, quod non oporteat hæreditatem controverſam ante ſententiam poſſideri, ad narrationem deinde tranſit, eaque oſtendit teſtamentum à mortuo non eſſe conditum. Neque vero ſimpliciter aut abſque præparatione hanc ponit; ſed cum ſit prolixior, abſcindit ac dividit, & circa quamque ſpeciem teſtes producit, & ſtipulationes legit, & pacta profert, ſignisque & conjecturis omnibusque à probabili argumentis utitur. Multas & alias poſſem proferre narrationes ad cauſæ utilitatem ab oratore accommodatas, præſtructionibus, præparationibus, partitionibus, locorum commutationibus, rerumque tranſlationibus; tum ipſorum capitum ordine invertendo, neque ſecundum rationem teſtamenta facta recenſendo, nec omnino quicquam agendo modice mediocriterque, prout, ſine arte, & à quolibet fieret, aliiſque ſexcentis ejuſmodi tropis. Sed neque temporis mihi ſatis eſt, ut de omnibus agam, artificiumque in ſingulis, quemadmodum velim, oſtendam: neque apud peritos à copia exemplorum major eſt fides; ſed ſufficit eis brevis declaratio.

Summatim de Lyſiæ & Iſæi diſſimilitudine in narrationibus.

XVI. Porro autem dicam ſummatim de iſta idea quid ſentiam, & in quo differre putem Iſæum à Lyſia. Lyſiæ igitur narrationes ſi quis legat, nihil credat dici cum artificio & malitia, ſed pro natura rei & veritate; ipſum hoc ignorans, quod præcipuum artis opus ſit, naturam imitari. At in Iſæi narrationibus contrarium prorſus eveniat, nihilque videatur native & nequiter dici, non etiam ſi vere, & prout ſe habet res, exponatur; ſed omnia ex præparato, & ad fraudem & fallaciam compoſita: & illi quidem vel falſa dicenti facile credatur, huic vero ne quidem cum vera dicat, plena fides habeatur. In demonſtrativis autem Iſæus in eo differre à Lyſia vi-

μένας, οὐκ ἔτι τὰς προηγουμένας ἀποδείξεις πολλοῖς βεβαιοῦται λόγοις, οὐδ' ἔστιν ὅμοιος τοῖς νέοις τεχνογράφοις, ἀλλὰ τὰς τῶν ἀντιδίκων πίστεις ἀναιρεῖν οἴεται δεῖν.

ιε'. [a] Τότε δὲ προκατασκευάζεταί τινα πρὸ τῶν διηγήσεων πράγματα, καὶ προλαμβάνει τὰ μέλλοντα, πιστοτέρας αὐτὰς, ἢ κατ' ἄλλο τι χρησιμωτέρας ποιήσειν οἰόμενος, ὡς ἐν τῇ λύσει τῇ ΠΡΟΣ ΑΡΙΣΤΟΓΕΙΤΟΝΑ καὶ ΑΡΧΙΠΠΟΝ εὑρίσκεται πεποιηκὼς, ἐν ᾗ κλήρου τὶς ἀμφισβητῶν, ἀδελφὸς ὢν τοῦ τελευτήσαντος, [b] προσκαλεῖται τὸν ἔχοντα τἀφανῆ χρήματα εἰς ἐμφανῆ κατάστασιν· ὁ δὲ τοῦ κλήρου κρατῶν, παραγράφεται τὴν κλῆσιν, δεδόσθαι λέγων ἑαυτῷ τὰ χρήματα κατὰ διαθήκας. διττῆς δὲ τῆς ἀμφισβητήσεως ὑπαρχούσης, τῆς μὲν, περὶ τοῦ γεγονέναι τὰς διαθήκας, ἢ μή· τῆς δὲ, τῶν διαθηκῶν ἀμφισβητουμένων ἤδη, τίνα δεῖ τοῦ κλήρου κρατεῖν· πρῶτον ἀποδοὺς τὸν ὑπὲρ τῶν νόμων λόγον, [c] καὶ ταῦτα ἀποδείξας τὸ μέρος, ὡς οὐ δεῖ τὸν ἐπίδικον κρατεῖσθαι κλῆρον πρὸ δίκης, οὕτως ἐπὶ τὴν διήγησιν ἔρχεται, δι' ἧς ἀποδείκνυσιν, [d] οὔτε γεγενημένας ὑπὸ τοῦ τετελευτηκότος τὰς διαθήκας. καὶ οὐδὲ ταύτην τὴν διήγησιν ἁπλῶς πως συστρέψας καὶ ἀκατασκευάστως τίθησιν, ἀλλὰ καὶ ταύτην μακροτέραν οὖσαν, ἀποτομαῖς τισι διαλαμβάνει, καὶ καθ' ἕκαστον εἶδος μάρτυρας ἀναβιβάζεται, καὶ προκλήσεις ἀναγινώσκει, καὶ συνθήκας παρέχεται, τεκμηρίοις τε καὶ σημείοις καὶ τοῖς ἐκ τῶν εἰκότων ἐλέγχοις ἅπασι χρῆται. πολλὰς δ' ἂν ἔχοιμι καὶ ἄλλας παραθέσθαι διηγήσεις, πρὸς τὸ συμφέρον ᾠκονομημένας ὑπὸ τοῦ ῥήτορος, προκατασκευαῖς, παρασκευαῖς, μερισμοῖς, χωρίων ἀλλαγαῖς, πραγμάτων μεταγωγαῖς, τῷ τὰ κεφάλαια ἀνεστράφθαι, τῷ μὴ κατὰ τοὺς χρόνους [e] τὰ πραχθέντα εἰρῆσθαι, [f] τῷ ὡς μὴ πάντα μηδαμῶς φύσιν εἶχε πραχθῆναι, μηδ' ὡς ἂν ἰδιώτης τὶς εἴποι, λέγεσθαι μὴ μετρίως μυρίοις ἄλλοις τοιούτοις τρόποις. ἀλλ' οὔτε χρόνον ἱκανὸν ἔχω περὶ πασῶν λέγειν, ἐκδιηγούμενος εὐθὺς ἐφ' ἑκάστης τὴν τέχνην, ὡς ἐβουλόμην ἄν· οὔθ' ὁ πρὸς τοὺς ἐπισταμένους τὰ πράγματα λόγος, ἐν τῷ πλήθει τῶν παραδειγμάτων τὸ πιστὸν ἔχει, ἀλλ' ἀρκεῖ τοῖς τοιούτοις καὶ ἡ βραχεῖα δήλωσις.

ις'. Ἐρῶ δὲ κεφαλαιωδῶς περὶ ταύτης τῆς ἰδέας, ἣν ἐγὼ δόξαν ἔχω, καὶ τίνι διαφέρειν οἴομαι τὸν Ἰσαῖον τοῦ Λυσίου. τοῦ Λυσίου μὲν [g] ἂν τις ἀναγινώσκων τὰς διηγήσεις, οὐδὲν ἂν ὑπολάβοι λέγεσθαι κατὰ τέχνην ἢ πονηρίαν, ἀλλ' ὡς ἡ φύσις καὶ [h] ἡ ἀλήθεια φέρει· αὐτὸ τοῦτο ἀγνοῶν, ὅτι τῆς τέχνης τὸ μιμήσασθαι τὴν φύσιν αὐτῆς μέγιστον ἔργον ἦν. ἐπὶ δὲ τῶν Ἰσαίου διηγημάτων, τοὐναντίον ἂν παθεῖν, μηδὲν ὑπολαβεῖν αὐτοφυῶς καὶ αὐτοπραγματεύτως λέγεσθαι, μηδ' εἴ τινα ὡς ἔτυχε γενόμενα εἴρηται· ἐκ κατασκευῆς δὲ πάντα, καὶ μεμηχανευμένα πρὸς ἀπάτην, ἢ ἄλλην τινὰ κακουργίαν. καὶ τῷ μὲν, [i] ἂν καταψευδῆ λέγοντι πιστεύσειεν ἄν· τῷ δὲ, [k] μηδ' ἂν ἀληθεύῃ, χωρὶς ὑποψίας προσέξειν. ἐν δὲ τοῖς [l] ἐπιδεικτικοῖς διαλλάττειν ἂν δό-

ξειεν

a Forſan rectius τοτὲ δὲ, vel τότε δή. *Sylb.* Mox (v. 7.) κλήσει pro λύσει legendum cenſet *Henricus Valeſius* ad *Harpocrationis Lexicon* pag. 140. v. 16. b Melius προσκαλεῖται ut pag. 175. v. 12. atque ita etiam προκλήσεις ἀναγινώσκει v. 22. *Sylb.* c Singulariter legendum videtur ϗ τοῦτο: vel τὸ μέρος ellipſin habet præpoſitionis κατά. *Sylb.* d Pro οὔτε rectius legemus οὐδὲ, vel membrum hîc deeſt. *Sylb.* e Τὰ πράγματα *MS. Bodl.* f Corrupta ſunt quæ ſequuntur. Verior lectio hæc videtur eſſe, τῷ μὴ πάντα μηδαμῶς ὡς φύσιν εἶχε πραχθῆναι, μηδ' ὡς ἂν ἰδιώτης τὶς εἴποι, λέγεσθαι μετρίως, καὶ μυρίοις ἄλλοις τοιούτοις τρόποις. *Sylb.* g Pro ἂν omnino legendum videtur οὖν. *Sylb.* h Deeſt *MS. Bodl.* i Rectius κἂν ψευδῆ λέγοντι: vel κἂν ψευδῆ λέγῃ, τὶς πιστεύσειεν ἄν. In ſequenti autem membro, quia προσέξειν uſitatum non eſt, legendum erit προσέξει. Paraphraſin hujus loci habemus in ea hiſtoriola quam reperies in *Annott.* ad p. 104. ibi enim Λυσίας μὲν, καὶ ὑπὲρ ἀδίκων ἐπειθε λέγων· Ισαῖος δὲ καὶ ὑπὲρ ἀγαθῶν λέγων, ὕποπτος ἦν. *Sylb.* k Μηδὲν ἂν in *MS. Bodl.* l Legendum videtur ἀποδεικτικοῖς: ut ſupra p. 144. v. 11. & p. 173. v. 45. præſertim cum ſupra (p. 104. v. 14.) dixerit *Iſæum* ſe in uno judiciali orationis genere exercuiſſe. *Sylb.*

a Pro

ξειεν Ἰσαῖος Λυσίου, τῷ τε μὴ κατ' ἐνθύμημά τι λέγειν, ἀλλὰ κατ' ἐπιχείρημα· καὶ τῷ μὴ βραχέως, ἀλλὰ διεξοδικῶς· μηδὲ ἁπλῶς, ἀλλ' ἀκριβῶς· αὔξειν τε μᾶλλον, καὶ δεινότερα ποιεῖν τὰ πράγματα, καὶ τὰ πάθη ποιεῖν γενικώτερον. ἐν γὰρ δὴ τούτοις οὐχ ἧττόν ἐστι φανερὸς τῇ Δημοσθένους τέχνῃ τὰς ἀφορμὰς δεδωκὼς, ἀλλ' οὐ τὴν Λυσίου διώκων [a] ἀσφάλειαν, ὡς ἔκ τε ἄλλων ἐστὶ λόγων, μᾶλλον δὲ ἐκ πάντων τῶν γραφέντων ὑπ' αὐτοῦ τεκμήρασθαι. εἰ δ' ἔτι δεῖ καὶ παραδείγμασι χρῆσθαι, μή τις ἀναπόδεικτα δόξῃ λέγειν ἡμᾶς, ποιήσω καὶ τοῦτο, προχειρισάμενος τὸν ΥΠΕΡ ΕΥΦΙΛΗΤΟΥ λόγον, ἐν ᾧ τὸν Ἐρχιέων δῆμον εἰς τὸ δικαστήριον προσκαλεῖταί τις τῶν ἀποψηφισθέντων, ὡς ἀδίκως τῆς πολιτείας ἀπελαυνόμενος. ἐγράφη γὰρ δή τις ὑπὸ τῶν Ἀθηναίων νόμος, "Ἐξέτασιν γενέσθαι τῶν πολιτῶν κατὰ δήμους· τὸν δὲ ἀποψηφισθέντα ὑπὸ τῶν δημοτῶν, τῆς πολιτείας μὴ μετέχειν· τοῖς δὲ ἀδίκως ἀποψηφισθεῖσιν, ἔφεσιν εἰς τὸ δικαστήριον εἶναι, προκαλεσαμένοις τοὺς δημότας· καὶ ἐὰν τὸ δεύτερον ἐξελεγχθῶσι, πεπρᾶσθαι αὐτοὺς, καὶ τὰ χρήματα εἶναι δημόσια". κατὰ τοῦτον τὸν νόμον ὁ Εὐφίλητος προκαλεσάμενος τοὺς [b] Ἐρχιέας, ὡς ἀδίκως καταψηφισαμένους αὐτοῦ, τὸν ἀγῶνα τόνδε διατίθεται. προ- 110 είρηται μὲν δὴ τὰ πράγματα ταῦτ' ἀκριβῶς, καὶ πεπίστωται διὰ τῶν μαρτύρων· οἷς δὲ βεβαίας βούλεται ποιῆσαι τὰς μαρτυρίας, τάδ' ἐστίν· [c] ὡς μὲν ἐγὼ δόξης ἔχω, πάντ' ἀκριβῶς ἐξειργασμένα· κρινέτω δὲ ὁ βουλόμενος, εἰ τὰ προσήκοντα ἔγνωκα περὶ αὐτῶν·

ιζ'. "Ὅτι μὲν τοίνυν, ὦ ἄνδρες δικασταὶ, ἀδελφὸς ἡμῖν ἐστιν οὑτοσὶ ὁ Εὐφίλητος, οὐ μόνον ἡμῶν, ἀλλὰ καὶ τῶν συγγενῶν ἁπάντων ἀκηκόατε μαρτυρούντων. σκέψασθε δὲ πρῶτον τὸν πατέρα ἡμῶν, τίνος εἵνεκεν ἂν ψεύδοιτο, καὶ τοῦτον μὴ ὄντα αὐτοῦ υἱὸν [d] εἰσποιοῖτο. πάντας γὰρ εὑρήσετε τοὺς τὰ τοιαῦτα πράττοντας, ἢ οὐκ ὄντων αὐτοῖς γνησίων παίδων, ἢ διὰ πενίαν ἀναγκαζομένους, ξένους ἀνθρώπους εἰσποιεῖσθαι, ὅπως ὠφελῶνταί τι ἀπ' αὐτῶν δι' αὐτοὺς Ἀθηναίων γενομένων. τῷ τοίνυν πατρὶ τούτων οὐδέτερον ὑπάρχει. γνήσιοι μὲν γὰρ αὐτῷ ἡμεῖς δύο υἱεῖς ἐσμέν· ὥστε οὐκ ἄν γε δι' ἐρημίαν τοῦτον εἰσποιοῖτο. ἀλλὰ μὴν οὐδὲ τροφῆς τε καὶ εὐπορίας τῆς παρὰ τούτου δεόμενος. ἔτι γὰρ αὐτῷ ἱκανὸς καὶ χωρὶς τούτου μεμαρτύρηται [e] ὑμῖν· τοῦτον ἐκ παίδων τρέφων καὶ ἀσκῶν, καὶ εἰς φράτορας εἰσάγων. καὶ ταῦτα οὐ μικρὰ δαπανήματά ἐστιν, ὥστε τόν τε πατέρα ἡμῶν οὐκ εἰκός ἐστιν, ὦ ἄνδρες δικασταὶ, μηδὲν ὠφελούμενον, οὕτως ἀδίκῳ πράγματι ἐπιχειρῆσαι. ἀλλὰ μὴν οὐδ' ἐμέ γε οὐδεὶς ἀνθρώπων οὕτως τελέως ἂν ἄφρονα ὑπολάβοι, ὥστε τούτῳ μαρτυρεῖν τὰ ψευδῆ, ὅπως τὰ πατρῷα διὰ πλειόνων διανείμωμαι. καὶ γὰρ

detur, quod non dicit ſecundum enthymema, ſed ſecundum Epicherema; non breviter, ſed fuſe; neque ſimpliciter, ſed accurate; quodque magis res amplificet & exaggeret, ac generalius denique moveat affectus. Ex quibus certe apparet eum Demoſtheni quidem viam & aditum ad artem muniviſſe, ſed Lyſiæ ſimplicitatem non eſſe conſectatum; idque etiam colligere eſt ex aliis ejus orationibus, imo ex omnibus quæ ab ipſo ſcriptæ ſunt. Veruntamen ſi adhuc exemplis utendum eſt, ne quis arbitretur dicere nos quæ demonſtrari non poſſint, in mediam etiam proferam orationem *pro Euphileto*, qua pagum Erchiam aliquis abdicatorum tanquam injuria à republica remotus in jus vocat. Nam ſcripta lex eſt ab Athenienſibus, ut "Recenſio civium per tribus fiat, atque is qui à tribulibus fuerit abdicatus, ad rempubl. non accedat: at qui injuſte à magiſtratu repulſi fuerint, iis provocare ac tribules in jus vocare liceat; ſi vero ſecundo rejiciuntur, & ipſi venum dantur, & bona eorum publicantur". Secundum hanc legem Euphiletus, cum dicam Erchienſibus ſcripſiſſet, quaſi injuſte ſuffragiis eorum damnatus, contentionem talem conſtituit. Initio quidem res ipſas exponit accurate, teſtibuſque probat: quibus autem teſtimonia confirmare conatur hæc ſunt, ut mea quidem opinio fert, accurate & ad amuſſim abſoluta. Judicet qui volet, an recte judicem:

XVII. "Quod itaque, Judices, frater noſter hic ſit Euphiletus, non ſolum è nobis, ſed & omnibus agnatis id atteſtantibus cognoviſtis. Conſiderate vero primum patrem noſtrum cujus rei gratia mentiretur, & hunc, ſi revera non eſſet, pro filio haberet. Quotquot enim talia faciunt, repericris id facere; vel quod eis liberi non ſint genuini, vel quod ubi ſint egeſtate coactos extraneos adoptare, ut aliquam ex iis utilitatem capiant, quæ ab Athenienſibus geſta ſunt. Atqui neutrum horum in patre locum habet. Naturales enim filii duo nos ei ſumus; ita ut omnino propter ſolitudinem hunc non aſſeruerit. Sed neque quod alterius facultatibus indigeret. Quod enim abſque hoc ſufficientes ei ſint opes, ipſe declaravit, hunc à pueris educans & erudiens, & in curiam inducens. quæ ſane non parvi ſunt ſumptus; atque adeo non veriſimile eſt, Judices, patrem noſtrum opus tam injuſtum, ex quo nullum perciperet commodum, facere voluiſſe. Neque vero quiſquam me tam imprudentem exiſtimet, ut hujus adſtipuler mendacio, quo bona paterna inter plures diſtribuantur. Non enim amplius

a Hîc pro ἀσφάλειαν non dubitarem legendum eſſe ἀφέλειαν, ut p. 137. v. 47. niſi infra in fragmento *De Atticorum oratorum characteribus*, (p. 164. v. 41. juxta *Ed. Sylb.*) hujus ipſius *Lyſiæ* dictioni tribueretur ἡ ἀσφάλεια καὶ τὸ ἀκίνδυνον, ſicut contra *Thucydidi* ἡ νεωτεροποιΐα καὶ τὸ τολμηρόν. ſiquis tamen utrobique ἀφέλειαν malit, non multum refragabor: quippe quod ea rectius opponatur τῇ νεωτεροποιΐᾳ. *Sylb.* b In exemplari eſt τὰς ἀρχιερείας: perperam. nam Ἐρχιέας legendum eſſe ſatis manifeſtum eſt ex præcedentibus, v. 11. & ex p. 173. v. 41. Erchiam autem fuiſſe pagum Atticum ſub tribu Ægeide, poſt *Harpocrationem* & *Suidam* docuit etiam *Sigonius*. ac mentio ejuſdem etiam apud *Demoſthen.* & *Æſchinem*. Ἐρεχθία *Stephani* incertum pro eodem ne an diverſo. *Sylb.* In *MS. Bodl.* corrupte Ἀρχιέας: quo modo & apud *Steph. Byzant.* & alios, ut adnotavit *Meurſius*: quem videſis in libello *de Pop. Att.* voce Ἐρχιεία. c Ὡς μὲν ἐγὼ in *MS. Bodl.* d Et hîc loci & paulo infra v. 38. εἰσεποιεῖτο in *MS. Bodl.* e Pro ὑμῖν ſententia poſtulare videtur βίος, *vitæ ſubſidia, opes.* quin & alia hîc deeſſe videntur, quæ non tantum nulla ex eo percepta commoda, ſed etiam ſumptus in eum factos ſignificent. *Sylb.*

a Ante

plius controvertere mihi licebit, quod non ſit hic frater meus. neque enim quiſquam veſtrum vocem contineat, ſi, cum nunc reum meipſum conſtituens atteſter fratrem hunc meum eſſe, poſtmodum contrarium adferam. non ſolum autem probabile eſt nos, Judices, vera teſtatos, ſed & cæteros propinquos. Conſiderate enim primum, quod qui ſorores noſtras habent, nunquam adduci poſſent, ut falſa de iſto teſtarentur. Noverca enim hujus mater erat ſororibus noſtris. Solent autem, ut plurimum inter ſe diſſidere noverca & privigni. Itaque ſi hunc ex alio viro noverca ſuſcepiſſet, & non è noſtro patre, nunquam ſane, Judices, ſorores paterentur & permitterent, ut eum ipſarum conjuges teſtimonio ſuo juvarent. Quin etiam avunculus, ſi revera non eſſet talis, neque cognatione eum attingeret, matri ejus falſum præbere teſtimonium voluiſſet, quo damnum nos inſigne caperemus, externum hunc fratrem nobis adſciſcentes. Et præterea quis veſtrum falſitatis arguat hunc Demaratum, Hegemonem, atque Nicoſtratem, qui primum quidem nihil unquam turpe fecerunt, deinde vero, propinqui cum nobis ſint, ac probe nos norint, omnes huic Euphileto cognationis ſuæ teſtimonium dederunt. Itaque libenter è graviſſimo adverſariorum quærerem an aliunde, quam ex his, quibus nos Euphiletum, ſe Athenienſem oſtendere poſſet. Ego certe exiſtimo nihil illum aliud dicturum, quam quod mater ipſa talis ſit, & pater; quodque vere iſta diceret, cognatos daturum eſſe teſtes. Et cum ipſi tali periculo à vobis peterent, ut propinquis ſuis potius quam adverſariis fidem haberetis; nobis iſta nunc omnia præſtantibus petent, ut ipſorum ſermonibus potius, quam patri Euphileti, mihi & fratri, & curialibus ac toti noſtræ cognationi credatur. Sed enim hi nulla in re periclitantes propriarum inimicitiarum cauſa faciunt: nos vero reos nos omnes conſtituentes conteſtamur; ac præter teſtimonia, Judices, primum quidem Euphileti mater, quam hi confitentur ipſam eſſe, juramentum jurare volebat, coram arbitro in fano Apollinis, hunc profecto Euphiletum ex ipſa & patre noſtro genitum eſſe. atqui quemnam oportet melius quam ipſam hæc omnia ſcire? Deinde pater noſter, qui poſt matrem hujus optime filium ſuum noſſe debet, hic & tunc & nunc vobis jurare vult, Euphiletum hunc filium eſſe ſuum ex ſe & legitima uxore prognatum. Ad hæc, Judices, ego annum decimum tertium attigeram; ſicut & primum dicebam, quando hic natus eſt: paratus vero ſum vo-

οὐδ' ἀμφισβητῆσαί μοι ἐξουσία γένοιτ' ἂν ὕστερον, ὡς οὐκ ἔστιν ἀδελφὸς οὗτος ἐμοῦ. οὐθεὶς γὰρ ἂν ὑμῶν τὴν φωνὴν ἀνάσχοιτ' ἂν ἀκούων, [a] νῦν μὲν, ὑπόδικον ἐμαυτὸν καθιστὰς, μαρτυρῶ ὡς ἔστιν ἀδελφὸς ἡμέτερος· ὕστερον δὲ φαινοίμην τούτοις ἀντιλέγων. οὐ μόνον τοίνυν ἡμᾶς, ὦ ἄνδρες δικασταὶ, εἰκός ἐστι τἀληθῆ μεμαρτυρηκέναι, ἀλλὰ καὶ τοὺς ἄλλους συγγενεῖς. ἐνθυμήθητε γὰρ πρῶτον μὲν, ὅτι οἱ τὰς ἀδελφὰς ἡμῶν ἔχοντες, οὐκ ἄν ποτε ἐμαρτύρουν περὶ τούτου τὰ ψευδῆ. μητρυιὰ γὰρ ἡ τούτου μήτηρ ἐγεγένητο ταῖς ἡμετέραις ἀδελφαῖς. εἰώθασι δέ πως, ὡς ἐπὶ τὸ πολὺ, διαφέρεσθαι ἀλλήλαις αἵ τε μητρυιαὶ καὶ αἱ πρόγονοι. ὥστε εἰ οὗτος ἐξ ἄλλου τινὸς ἀνδρὸς ἦν τῇ μητρυιᾷ, καὶ οὐκ ἐκ τοῦ ἡμετέρου πατρὸς, οὐκ ἄν ποτε, ὦ ἄνδρες δικασταὶ, τοὺς ἑαυτῶν ἄνδρας αἱ ἀδελφαὶ μαρτυρεῖν εἴασαν καὶ ἐπέτρεψαν. καὶ μὴν οὐκ ἂν ὁ θεῖος πρὸς μητρὸς ἡμῖν ὢν, τούτῳ δὲ οὐδὲν προσήκων δήπου, τῇ τούτου μητρὶ ἠθέλησεν ἄν, ὦ ἄνδρες δικασταὶ, μαρτυρῆσαι ψευδῆ μαρτυρίαν, δι' ἣν ἡμῖν γίνεται βλάβη περιφανὴς, εἴ περ ξένον ὄντα τοῦτον [b] εἰσποιοῦμεν ἀδελφὸν ἡμῖν αὐτοῖς. ἔτι τοίνυν, ὦ ἄνδρες δικασταὶ, πρὸς τούτοις [c] ἄν τις ἡμῶν καταγνοίη ψευδομαρτυρίαν Δημαράτου τουτουῒ, καὶ Ἡγήμονος, καὶ Νικοστράτου· οἳ πρῶτον μὲν οὐδὲν αἰσχρὸν οὐδέποτε φανήσονται ἐπιτηδεύσαντες, [d] εἰ τάδ', οἰκεῖοι ὄντες ἡμῖν, καὶ εἰδότες ἡμᾶς, ἅπαντα μεμαρτυρήκασιν Εὐφιλήτῳ τούτῳ τὴν αὐτοῦ συγγένειαν ἕκαστος. ὥστε ἡδέως [e] κἂν τῶν ἀντιδικούντων ἡμῖν τοῦ σεμνοτάτου πυθοίμην, εἰ ἄλλοθέν ποθεν ἔχοιεν ἐπιδεῖξαι [f] αὐτὸν Ἀθηναῖον, ἢ ἐκ τούτων ὧν καὶ ἡμεῖς Εὐφίλητον ἐπιδείκνυμεν. ἐγὼ μὲν γὰρ οὐκ οἶμαι ἄλλό τι ἂν αὐτὸν, ἢ ὅτι ἡ μήτηρ αὐτή τέ ἐστι, καὶ ὁ πατήρ· καὶ ὡς ταῦτ' ἀληθῆ λέγει, παρέχοιτ' ἂν αὐτῷ τοὺς συγγενεῖς μάρτυρας. εἶτα, ὦ ἄνδρες δικασταὶ, εἰ μὲν οὗτοι ἐκινδύνευον, ἠξίουν τοῖς αὐτῶν οἰκείοις [g] ὑμᾶς πιστεύειν μαρτυροῦσι μᾶλλον, ἢ τοῖς κατηγόροις· νυνὶ δὲ ἡμῶν πάντα ταῦτα παρεχομένων, ἀξιοῦσιν ὑμᾶς τοῖς αὐτῶν πείθεσθαι λόγοις μᾶλλον, ἢ τῷ πατρὶ τῷ Εὐφιλήτου, καὶ ἐμοὶ, καὶ τῷ ἀδελφῷ, καὶ τοῖς φράτορσι, καὶ πάσῃ τῇ ἡμετέρᾳ συγγενείᾳ. καὶ μὴν οὗτοι μὲν, οὐδὲν οὐδενὶ κινδυνεύοντες, ἰδίας ἔχθρας ἕνεκα ποιοῦσιν· ἡμεῖς δὲ, πάντας ὑποδίκους [h] ἡμᾶς αὐτοὺς καθιστάντες, μαρτυροῦμεν· καὶ πρὸς ταῖς μαρτυρίαις, ὦ ἄνδρες δικασταὶ, πρῶτον μὲν ἡ τοῦ Εὐφιλήτου μήτηρ, ἣν οὗτοι ὁμολογοῦσιν αὐτὴν εἶναι, ὅρκον ὀμόσαι ἐπὶ τοῦ διαιτητοῦ ἐβούλετο ἐπὶ Δελφινίῳ, ἦ μὴν τουτονὶ Εὐφίλητον εἶναι ἐξ αὐτῆς καὶ τοῦ ἡμετέρου πατρός. καίτοι τίνα προσῆκε μᾶλλον αὐτῆς [i] ἐκείνης τοῦτο εἰδέναι; ἔπειτα, ὦ ἄνδρες δικασταὶ, ὁ πατὴρ ὁ ἡμέτερος, ὃν εἰκός ἐστι μετὰ τὴν τούτου μητέρα ἄριστον αὐτοῦ υἱὸν [k] γινώσκειν, οὗτος καὶ τότε καὶ νυνὶ βούλεται ὀμόσαι [l] ἡμῖν Εὐφίλητον τοῦτον υἱὸν εἶναι αὐτοῦ ἐξ αὐτῆς καὶ γαμετῆς γυναικός. πρὸς τούτοις τοίνυν, ὦ ἄνδρες δικασταὶ, ἐγὼ ἐτύγχανον μὲν τρισκαιδεκαέτης ὤν, ὥσπερ καὶ πρῶτον εἶπον, ὅτε οὗτος ἐγένετο· ἕτοιμος δέ εἰμι

ὀμόσαι

a Ante νῦν μὲν deeſt εἰ: & mox optativo fine legendum μαρτυροίην, ut ſtatim ſequitur φαινοίμην. *Sylb.* *b* Legendum εἰσποιοῖμεν, vel εἰσεποιοῦμεν. Sequenti etiam verſu convenientius ὑμῶν *veſtrum*. *Sylb.* *c* In margine *MS. Bodl.* ἴσ. πῶς ἄν τις, *d* Pro εἰ τάδ' omnino legendum εἶτα δ', *deinde vero*. Siquis etiam ſeq. verſ. pro ἅπαντα malit ἅπαντες, non multum refragabor. *Sylb.* *e* Pro κἂν aptius legitur γ' ἄν. *Sylb.* *f* In ora *Cod. Bodl.* ἴσ. αὐτὸν & v. 27. ἴσ. ἄλλοθεν, v. 28. ἴσ. αὕτη. v. 29. ἴσ. αὐτῷ, v. 31. ἴσ. αὐτῶν. Illud αὐτὴ, v. 28. excuſari poſſe cenſet *Sylb.* ei tamen non repugnat, qui malit αὕτη. *g* In exemplari eſt ἡμᾶς. minus congruenter ſic. v. 45. in eodem eſt ἐγίνωσκεν: contra leges ſyntacticas. *Sylb.* *h* Omittit *Cod. MS.* *i* Ἐκείνης ἄμεινον τοῦτο *Bodl.* *k* In *exemplari* & *Cod. Bodl.* ἐγίνωσκεν, contra leges ſyntacticas. *l* Exiſtimarit forſan aliquis legendum ὑμῖν, *vobis*, ut v. 45. ſed procul dubio utrobique legendum ἦ μὴν, ut v. 40. Ibidem pro ἐξ αὐτῆς ſententia requirit ἐξ αὐτοῦ, *ex ſe*, patre ſcilicet. *Sylb.*

*

a Μαρτυρίαν

" ὀμόσαι ὑμῖν, Εὐφίλητον τουτονὶ ἀδελφὸν εἶναι ἐμαυτοῦ ὁμοπάτριον. ὥστε, ὦ ἄνδρες δικασταί, δικαίως ἂν καὶ τοὺς ἡμετέρους ὅρκους πιστοτέρους νομίζοιτε, ἢ τοὺς τούτων λόγους. ἡμεῖς μὲν γὰρ, ἀκριβῶς εἰδότες, ὀμόσαι περὶ αὐτοῦ θέλομεν· οὗτοι
elegantiſſima & maxime ornata. Diotimi vero tempore, qui Calliſtrati Præturam excepit, apud Athenienſes primum eam dixit, quam qui orationum catalogum texerunt; *de Claſſibus* inſcribunt: qua hortatur ne initam cum Rege pacem prius ſolvant, nec priores bellum inferant, quam rem omnem navalem, qua plurimum valebant, commode inſtruxiſſent; apparatuſque rationem ipſe præſcribit. Theodemo Prætore, qui Diotimo ſucceſſit, eam quæ *contra Timocratem* inſcribitur, ſcripſit Diodoro violatæ legis judicanti Timocratem: orationem item *de ſubſidio Megalapolitis mittendo*; quæ tota ſuaſoria eſt, & ab illo recitata. Ariſtodemo mox Archonte, proxime poſt Theodemum, *contra Philippum* orationes ſcribere cœpit, publiceque habuit, de externo milite parando mittendiſque triremibus Gadicenſibus in Macedoniam. Hoc ipſo tempore conſcripſit & alteram *contra Ariſtocratem*, in gratiam Euthyclis, contra leges latum decretum perſequenti. Sub Theëllo Prætore, qui ab Ariſtodemo Præturam proxime geſſit, habuit orator eam, quæ *de Rhodienſibus* inſcripta circumfertur, qua Athenienſibus, ut diſſolvant paucorum ibi dominationem, auctor eſt, populumque Rhodi velint jubeantque liberum eſſe. Callimacho Prætore, qui à Theëllo tertius in Faſtis numeratur, *Suaſorias* tres publice habuit: quibus Athenienſibus ſuadet, ut ſuppetias Olynthiis à Philippo obſeſſis mittant, auxiliumque portent. *Primæ* quidem hoc principium orationis eſt: Ἐπὶ πολλῶν μὲν ἰδεῖν ἄν τις, ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ μοι. *Secundæ* initium eſt: Οὐχὶ ταὐτὰ παρίσταταί μοι γινώσκειν, ὦ ἄνδρες Ἀθηναῖοι. *Tertia* vero ſic incipit: Ἀντὶ πολλῶν ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, χρημάτων. Hoc etiam Archonte ſcripta oratio eſt *contra Midiam*, quam poſt plebiſcitum, quo illum plebs condemnavit, conſcripſit. Duodecim igitur orationes ab illo publicæ ſunt habitæ, quas jam dixi; ſeptem quidem in deliberationibus, quinque vero in judiciis: omnes ante *Rhetoricos Ariſtotelis libros*; ut planum faciam, cum ex iis ſcriptoribus, qui vitam philoſophi reſque geſtas memoriæ prodiderunt, literiſque conſignarunt; tum ex illius ipſius ſcriptis, hinc auſpicatus.

Quo tempore & ordine orationes habuerit Demoſthenes.

V. ARISTOTELES filius fuit Nicomachi, genus artemque referentis ad Machaonem, Æſculapii F. matris vero Phæſtidos, oriundæ è Chalcidenſi quodam, qui Stagira cum colonia migrarat. Natus autem Olympiade nonageſima nona, Prætore Athenis Diotrephe; tredecim quidem annis major Demoſthene.

Ariſtotelis vita breviter deſcripta.

Demoſthene quot annis major.

a Omittit *Cod. Reg.* *b* Rhetoricæ tabulæ fortaſſe eædem hic ſunt quæ tabulæ Pergamenæ; de quibus ſupra ad p. 188. v. 39. *Sylb.* *c* Videtis *Schotti* vitas Parallel. Olymp. CVI. an. III. *d* Θεδήμυ & mox Θεδημον in *Cod. Reg.* Verum (inquit *Sylb.*) Εὔδημον legendum eſſe, ſatis conſtat ex p. 184. v. 45. *e* Pro Γαδικῶν *Morellii* margo habet ταχεῶν; cui *Wolfius* addit ταχυναυτουσῶν: exegema utrumque. Sunt tamen qui φυγαδικῶν legendum exiſtiment. *Sylb.* *f* Qui Θέλλος hic dicitur, & ſupra in *Dinarcho* (p. 186. v. 26.) Θέλλος, veriori nomine appellabitur Θεσσαλος, ut docuimus ad p. 184. v. 46. *Sylb.* *g* Ἐπὶ Ῥοδίων in *Cod. Reg.* Plenus titulus, περὶ Ῥοδίων ἐλευθερίας. vide *Schotti* vitas Parallel. Olymp. CVIII. an. II. *h* Id eſt, Ὀλυνθιακούς. *i* Ordinem Olynthiacarum eſſe ab edito diverſum, obſervandum moneo. Nam quæ vulgo *prima* eſt, ea recte à *Dionyſio* & ordine *tertia* collocatur: ut *ſecunda* primum locum, *tertia* ſecundum obtineat. Qua de re pluribus in *Vitis Parallelis* Olymp. CVII. an. IV. *Schottus.* *k* *Morellii* & *Wolfii* margo habet καταχειροτονίαν. *Sylb.* *l* Κεχειροτόνηκε in *Cod. Reg.* *m* Fortaſſe legendum μέχρι τῶν δώδεκα. *Sylb.* In *Cod. Reg.* μέχρι οὗ τῶν δώδεκα. *n* Conſentiunt hæc cum epigrammate quod *Ammonius* in *Ariſtotelis* vita, & *Henr. Steph.* in *Anthologiæ* additamento referunt, Φαιστίδος ἦν μητρός, καὶ Νικομάχου γενετῆρος "Τῶν Ἀσκληπιαδῶν δῖος Ἀριστοτέλης. *Sylb.* *o* *Wolfius* pro ιγ΄. legit γ΄. detracta ſcilicet decade: & mox nominandi caſu πρεσβύτερος: itidemque vertit, *triennio Demoſthene major.* atque ita legendum eſſe, perſpicuum eſt ex eo quod *Dionyſius* p. 120. v. 44. *Demoſthenem* natum eſſe dicit anno ante centeſimam Olympiadem. aut neceſſe eſt ibi minoris numeri notationem eſſe omiſſam. *Sylb.* In *Cod. Reg.* habemus γ΄. pro ιγ΄. quem numerum etiam reponendum cenſet *Schottus.*

Demoſthene. Prætore vero Polyzelo cum patrem morte amiſiſſet, annum agens ætatis octavum decimum, Athenas venit; & Platoni commendatus, viginti quidem annos operam illi dedit. Platone vero in Prætura Theophili vita functo, profectus ad Hermiam Atarnei tyrannum: atque triennium apud illum moratus, Archonte Eubulo in Mitylenem diſceſſit: inde vero ad Philippum [Macedoniæ regem] ſe contulit ſub Pythodoto Prætore. Annos apud illum octo manſit inſtituens Alexandrum filium. Mortuo Philippo, ſub Euæneto Prætore Athenas rediens duodecim annos docuit in Lyceo. Anno decimo tertio poſt mortem Alexandri, ſub Cephiſodoro Archonte, cum in Chalcidem tranſiiſſet, ex morbo periit, annos natus tres & ſexaginta.

Rhetoricas præceptiones qua ætate ſcripſerit Ariſtoteles.

VI. Hæc fere ſunt, quæ, qui vitam illius conſcripſerunt, nobis tradiderunt. Quæ vero philoſophus de ſe ipſo ſcribit, omnem eis dubitationem eripiens, qui volunt ei gratum facere in his, quæ non decent, (præter alia multa, quæ in præſens commemorare nihil attinet, quæque retulit, *libro primo* hujus operis: exempli gratia, non juvenili, ſed matura jam ætate fuiſſe, cum *Artem Rhetoricam* ſcriberet, editis nimirum jam *Topicis*, *Analyticis* & *Methodicis*) ea certe plus ponderis probationi addunt, quam ſigna. Cum enim propoſitum eſſet oſtendere, quas oratio Rhetorica contineat utilitates, hæc ad verbum refert: "Utilis autem Rhetorica eſt, propterea "quod natura quidem vera & juſta potentiora falſis & injuſtis; ita ut neceſſe ſit, "niſi judicia, quomodo par eſt, exerceantur, "ea nonnunquam vinci: id autem reprehenſione dignum eſt. Præterea ſunt nonnulli, "quibus, etiamſi alicujus rei ſcientiam exquiſitiſſimam animo comprehenſam teneamus, "perſuadere tamen facile non eſt, ſi ductis "ex ea argumentis utamur. Nam oratio, quæ "ex ipſa rei ſcientia ducitur, docendi ratio "quædam eſt. Ipſi autem doceri non queunt: immo neceſſe eſt è communibus rationes & argumenta ducamus; ut & in "*Topicis* diximus, de ratione agendi cum "vulgo.

VII. De exemplis item differens, quod eandem vim habeant cum Inductionibus & Syllogiſmis, hæc de Analyticis & Methodicis poſuit: "Eorum (inquit) quibus eo fides fit, quod & "qui dicit aut demonſtrat aut demonſtrare videatur; ut in *Analyticis*, aliud quidem Inductio eſt, aliud Syllogiſmus, aliud apparens "Syllogiſmus, & hic ſimiliter. Eſt enim exemplum quædam Inductio; Enthymema vero "Syllogiſmus: apparens vero, Syllogiſmus "apparens eſt. Voco enim Enthymema quidem Syllogiſmum oratorium: Exemplum

Δημοσθένους πρεσβυτέρου. ἐπὶ δὲ Πολυζήλου ἄρχοντος, τελευτήσαντος τοῦ πατρὸς, ὀκτωκαιδέκατον ἔτος ἔχων εἰς Ἀθήνας ἦλθε, καὶ συςαθεὶς Πλάτωνι, χρόνον εἰκοσαετῆ διέτριψε σὺν αὐτῷ. ἀποθανόντος δὲ Πλάτωνος, ἐπὶ Θεοφίλου ἄρχοντος, ἀπῆρε πρὸς Ἑρμείαν τὸν Ἀταρνέως τύραννον, καὶ τριετῆ χρόνον παρ' αὐτῷ [a] τρίψας, ἐπ' Εὐβούλου ἄρχοντος εἰς Μιτυλήνην ἐχωρίσθη· [b] ἐκεῖθεν δὲ πρὸς Φίλιππον ἤρχετο, κατὰ Πυθόδοτον ἄρχοντα, καὶ διέτριψε χρόνον ὀκταετῆ παρ' αὐτῷ καθηγούμενος Ἀλεξάνδρου· μετὰ δὲ τὴν Φιλίππου τελευτὴν ἐπ' Εὐαινέτου ἄρχοντος ἀφικόμενος εἰς Ἀθήνας, ἐσχόλαζεν ἐν Λυκείῳ χρόνον ἐτῶν δώδεκα. τῷ δὲ τρισκαιδεκάτῳ μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν, ἐπὶ Κηφισοδώρου ἄρχοντος, ἀπάρας εἰς Χαλκίδα, νόσῳ τελευτᾷ, τρία πρὸς τοῖς ἑξήκοντα βιώσας ἔτη.

ϛʹ. Ταῦτα μὲν οὖν ἐστιν ἃ παραδεδώκασιν ἡμῖν [c] οἱ τὸν βίον τοῦ ἀνδρὸς ἀναγράψαντες. ἃ δὲ αὐτὸς ὁ φιλόσοφος ὑπὲρ ἑαυτοῦ γράφει, πᾶσαν ἀφαιρούμενος ἐπιχείρησιν τῶν χαρίζεσθαι βουλομένων αὐτῷ τὰ μὴ προσήκοντα, πρὸς πολλοῖς ἄλλοις, ὧν οὐδὲν δέομαι μεμνῆσθαι κατὰ τὸ παρὸν, ἃ τέθεικεν ἐν ΤΗ ΠΡΩΤΗ ΒΙΒΛΩ ταύτης τῆς πραγματείας, ὡς οὐ μειράκιον ἦν ὅτε τὰς ΡΗΤΟΡΙΚΑΣ [d] συνετάττετο ΤΕΧΝΑΣ, ἀλλ' ἐν τῇ κρατίστῃ γεγονὼς ἀκμῇ, καὶ προεκδεδωκὼς ἤδη τάς τε ΤΟΠΙΚΑΣ ΣΥΝΤΑΞΕΙΣ καὶ τὰς ΑΝΑΛΥΤΙΚΑΣ καὶ τὰς ΜΕΘΟΔΙΚΑΣ, τεκμηρίων ἐστὶν ἰσχυρότερα. ἀρξάμενος γὰρ τὰς ὠφελείας ἐπιδεικνύειν ἃς περιείληφεν ὁ ῥητορικὸς λόγος, ταῦτα κατὰ λέξιν γράφει· "[e] Χρήσιμος δ' ἐστὶν ἡ ῥητορικὴ, [f] διά γε τὸ φύσει εἶναι κρείττω "τἀληθῆ καὶ τὰ δίκαια τῶν ἐναντίων· ὥστε [g] ἐὰν μὴ κατὰ τὸ προσῆκον αἱ κρίσεις γίνωνται, ἀνάγκη δι' αὐτῶν "ἡττᾶσθαι· τοῦτο δ' ἐστὶν ἄξιον ἐπιτιμήσεως. ἔτι δὲ πρὸς "ἐνίους, οὐδ' εἰ τὴν ἀκριβεςάτην ἔχοιμεν ἐπιστήμην, ῥᾴδιον ἀπ' ἐκείνης πεῖσαι λέγοντας. [h] διδασκαλία γάρ "ἐστιν ὁ κατὰ τὴν ἐπιστήμην λόγος. τοῦτο δὲ ἀδύνατον "ἀλλ' ἀνάγκη διὰ τῶν κοινῶν ποιεῖσθαι τὰς πίστεις καὶ "τοὺς λόγους, ὥσπερ καὶ ἐν τοῖς [i] ΤΟΠΙΚΟΙΣ ἐλέγομεν "περὶ τῆς πρὸς τοὺς πολλοὺς ἐντεύξεως.

ζʹ. Περί τε παραδειγμάτων προελόμενος λέγειν, ὅτι τὴν αὐτὴν ταῦτ' ἔχει δύναμιν ταῖς ἐπαγωγαῖς καὶ τοῖς συλλογισμοῖς, ταῦτα περὶ τῆς ἀναλυτικῆς καὶ μεθοδικῆς πραγματείας τίθησι· "Τῶν δὲ διὰ τοῦ [k] δείκνυσθαι ἢ φαίνεσθαι "δείκνυσθαι, καθάπερ καὶ ἐν τοῖς [l] ΑΝΑΛΥΤΙΚΟΙΣ, "τὸ μὲν ἐπαγωγή ἐστι, τὸ δὲ συλλογισμὸς, (τὸ δὲ φαινόμενος συλλογισμὸς,) καὶ ἐνταῦθα ὁμοίως. ἔστι γάρ τὸ μὲν "παράδειγμα, ἐπαγωγή· τὸ δ' ἐνθύμημα, συλλογισμός· "(τὸ δὲ φαινόμενον, φαινόμενος συλλογισμός.) καλῶ γάρ "ἐνθύμημα μὲν, ῥητορικὸν συλλογισμόν· παράδειγμα δὲ, "ἐπαγωγὴν

a Wolfii margo pro τρίψας habet διατρίψας. *Sylb.* *b* Ἐκεῖθεν δὲ πρὶν ἔχετο mendoſe in *Cod. MS.* In margine, ἴσ. ἤχετο. c Si ante ἃ ex *Wolfii* margine inſeramus οἱ, plana eſt ſententia. *Sylb.* *d* Συνέταξε *MS. Reg.* *e* Locus, quem hic ex *Ariſtotele* citat, exſtat *Rhetoricorum* lib. I. c. I. *f* Διά τι in *Ariſtotelis* exemplaribus. g Pro ἐὰν μὴ *Stephani* & *Morellii* editio habet ἐὰν μὲν: itidemque *Wolfii* verſio, *quando judicia ita fiunt ut decet.* ego *Ariſtotelis* exemplaria ſequi malui. *Sylb.* *h Ariſt.* exemplaria habent διδασκαλίας. *Sylb.* *i Stephani, Morellii, & Wolfii* editio habet πολιτικοῖς λέγομεν. ego *Ariſtotelis* exemplaria ſequi malui: è quibus *Morellius* quoque ac *Wolfius* veriorem lectionem margini adnotarunt. *Sylb.* *k Ariſtotelis* exemplaria habent δεικνύναι ἢ φαίνεσθαι δεικνύναι, *Rhetor.* l. I. c. 2. *l* Pro ἀναλυτικοῖς *Ariſtotelis* exemplaria habent διαλεκτικοῖς. ſed *Dionyſium* ἀναλυτικοῖς legiſſe, ſatis declarat pag. hujus v. 24. Incluſa, quæ mox ibidem ſequuntur, addita ſunt ex *Ariſtot.* exempl. At quæ v. 46. incluſa ſunt, ab iiſdem *Ariſt.* exempl. abſunt. Eadem exemplaria eodem v. 46. pro καλῶ γὰρ habent καλῶ δέ. *Sylb.*

a Incluſa

ἐπαγωγὴν ῥητορικήν. πάντες δὲ τὰς πίστεις ποιοῦνται διὰ τοῦ δεικνύναι, ἢ παραδείγματα λέγοντες ἢ ἐνθυμήματα· καὶ παρὰ ταῦτα, οὐδὲν πως. ὥστ' εἴπερ καὶ ὅλως ἀνάγκη συλλογιζόμενον ἢ ἐπάγοντα δεικνύναι ὁτιοῦν [a](ἢ ὁντιναοῦν·) δῆλον δ' ἡμῖν τοῦτο ἐκ ΤΩΝ ΑΝΑΛΥΤΙΚΩΝ· ἀναγκαῖον ἑκάτερον (αὐτῶν ἑκατέρῳ) τούτων τὸ αὐτὸ εἶναι. τίς δ' ἐστὶ διαφορὰ παραδείγματος καὶ ἐνθυμήματος, φανερὸν ἐκ ΤΩΝ ΤΟΠΙΚΩΝ· ἐκεῖ γὰρ περὶ συλλογισμοῦ καὶ ἐπαγωγῆς εἴρηται πρότερον· ὅτι τὸ μὲν, [b]ἐπὶ πολλῶν καὶ ὁμοίων δείκνυσθαι ὅτι οὕτως ἔχει, ἐκεῖ μὲν ἐπαγωγή ἐστιν, ἐνταῦθα δὲ παράδειγμα· τὸ δὲ, τινῶν ὄντων, [c]ἕτερόν τι διὰ ταῦτα συμβαίνειν, παρὰ τὸ ταῦτ' εἶναι ἢ καθόλου ἢ ὡς ἐπιτοπολὺ, ἐκεῖ μὲν συλλογισμὸς, ἐνταῦθα δὲ ἐνθύμημα καλεῖται. [d]φανερὸν δὲ καὶ ὅτι ἑκάτερον ἔχει ἀγαθὸν [e](τὸ) εἶδος τῆς ῥητορείας· καθάπερ (γὰρ) καὶ ἐν ΤΟΙΣ ΜΕΘΟΔΙΚΟΙΣ εἴρηται, καὶ ἐν τούτοις ὁμοίως ἔχει. Ὁ μὲν οὖν Ἀριστοτέλης ὥσπερ ἑαυτοῦ γέγραφε, μαρτυρόμενος διαρρήδην ὅτι τὰς ΡΗΤΟΡΙΚΑΣ ΤΕΧΝΑΣ συνετάξατο πρεσβύτερος ὢν ἤδη καὶ τὰς κρατίστας συντάξεις προεκδεδωκώς. ταῦτ' ἔστιν ἐξ ὧν [f]προειλόμην ποιῆσαι φανερὸν, ὅτι πρεσβύτεροι οἱ τοῦ ῥήτορος ἀγῶνες τῶν τοῦ φιλοσόφου τεχνῶν, [g]ἱκανῶς ἀποδεδεῖχθαι νομίζω· εἴγε ὁ μὲν εἰκοστὸν καὶ πέμπτον ἔτος ἔχων ἤρξατο πολιτεύεσθαι καὶ δημηγορεῖν, καὶ λόγους εἰς δικαστήρια γράφειν· ὁ δὲ κατὰ τοὺς αὐτοὺς χρόνους ἔτι συνῆν Πλάτωνι, καὶ διέτριψεν ἕως ἐτῶν ἑπτὰ καὶ τριάκοντα, οὔτε σχολῆς ἡγούμενος, οὔτε ἰδίαν πεποιηκὼς αἵρεσιν.

η'. Εἰ δέ τις οὕτως ἔσται δύσερις ὥστε καὶ πρὸς ταῦτα ἀντιλέγειν, ὅτι μὲν ὕστερον ἐγράφησαν αἱ ΡΗΤΟΡΙΚΑΙ ΤΕΧΝΑΙ τῶν ΑΝΑΛΥΤΙΚΩΝ τε καὶ ΜΕΘΟΔΙΚΩΝ καὶ ΤΟΠΙΚΩΝ, ὁμολογῶν ἀληθὲς (εἶναι), οὐδὲν δὲ κωλύειν λέγων, ἁπάσας ταύτας κατεσκευακέναι τὸν φιλόσοφον τὰς πραγματείας, ἔτι παιδευόμενον παρὰ Πλάτωνι, ψυχρὰν μὲν καὶ ἀπίθανον ἐπιχείρησιν εἰσάγων, βιαζόμενος δὲ τὸ [h]κακουργότατον τῶν ἐπιχειρημάτων ποιεῖν πιθανώτατον, ὅτι καὶ τὸ μὴ εἰκὸς γίνεταί ποτε εἰκός. ἀφεὶς ἃ πρὸς ταῦτα λέγειν εἶχον, ἐπὶ τὰς αὐτοῦ τρέψομαι τοῦ φιλοσόφου μαρτυρίας, ἃς ἐν ΤΗ ΤΡΙΤΗ ΒΙΒΛΩ τέθεικε ΤΩΝ ΤΕΧΝΩΝ, περὶ τῆς μεταφορᾶς κατὰ λέξιν οὕτω γράφων· "[i]Τῶν δὲ μεταφορῶν τεττάρων οὐσῶν, εὐδοκιμοῦσι μάλιστα αἱ κατ' ἀναλογίαν· ὡς Περικλῆς ἔφη, Τὴν νεότητα τὴν ἀπολομένην ἐν τῷ πολέμῳ, οὕτως ἠφανίσθαι ἐκ τῆς πόλεως, ὥσπερ εἴ τις τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ ἐξέλοι· καὶ Λεπτίνης περὶ Λακεδαιμονίων, Οὐκ ἐᾶν περιϊδεῖν τὴν Ἑλλάδα ἑτερόφθαλμον [k]γενομένην· καὶ Κηφισόδοτος, σπουδάζοντος Χάρητος εὐθύνας δοῦναι [l](τοῦ) περὶ τὸν Ὀλυνθιακὸν πόλεμον, ἠγανάκτει, φάσκων, Εἰς πνῖγμα τὸν δῆμον [m]ἀγαγόντα, τὰς εὐθύνας πειρᾶσθαι διδόναι οὕτως."

"autem Inductionem oratoriam. Omnes vero demonſtrando fidem faciunt, aut exempla proferentes, aut Enthymemata, neque quicquam fere aliud. Quocirca ſi omnino neceſſe eſt, eum, qui quid demonſtrat, aut Syllogiſmo aut Inductione id facere: (conſtat autem ita eſſe ex *Analyticis*) neceſſe quoque eſt horum utrumque idem eſſe. Quid vero differant exemplum & Enthymema, ex *Topicis* clarum eſt. Ibi enim de Syllogiſmo & Inductione dictum eſt: primum quidem de multis & variis demonſtrare, ſic ſe habere; illic quidem Inductio eſt, hîc autem Exemplum: at vero quibuſdam poſitis evenire præterea aliud quidpiam & quod illa ſint, vel univerſe vel ut plurimum; illic quidem Syllogiſmus vocatur, hîc autem Enthymema. Illud quoque conſtat, ineſſe utrumque horum in oratorio dicendi genere: nam quemadmodum in *Methodicis* dictum eſt, ita hîc quoque ſe res habet". De ſe igitur Ariſtoteles ſcribens teſtatur aperte, ſe jam *Rhetoricam* aggreſſum, optimis ante editis libris. Ex quibus clarum facere placuit, habitas prius ab oratore forenſes illas orationes, quam præceptiones illæ Rhetoricæ in vulgus apparuerunt; quod nunc ſatis demonſtratum eſſe exiſtimo: ſi quidem ille, cum ageret quintum & viceſimum annum, ad rempublicam ſe contulit, apud populum verba facere cœpit, & orationes judiciis ſcribere; Ariſtoteles vero iis ipſis temporibus cum Platone verſabatur ad annum uſque triceſimum ſeptimum, neque ludum aperiens, neque propriam ſectam conſtituens.

Demoſthenis orationes aliquot Ariſtotelis Rhetorica priores eſſe monſtrat:

VIII. At ſi quis pertinaciter contendat, & adhuc repugnans, fateatur quidem poſt *Analyticos* & *Methodicos* & *Topicos* conſcriptos eſſe *Rhetoricorum libros*, nihil tamen impedire dicat, quo minus philoſophus eos omnes conſcripſerit, dum Platoni adhuc operam daret; frigidum ſane & incredibile adferens argumentum; conatus, quod eſt inopinatum, reddere probabile; quia quod veriſimile non eſt, quandoque veriſimile fit. Eſt quod reſpondeam, ſed ſilentio prætereo, meque refero ad ipſius philoſophi teſtimonia è *libro Rhetoricorum tertio* allata; ubi de tranſlatione agens, hæc ad verbum ſcribit: "Tranſlationum quatuor genera cum ſint, præſtantiores ſunt eæ, quæ per Analogiam fiunt: quemadmodum Pericles dixit, Juventutem bello adeo abſumptam urbi periiſſe, ut ſi quis ver ex anno ſuſtulerit: & Leptines de Lacedæmoniis, Non ferendum Græciam altero lumine orbatam: & Cephiſodotus, ſtudente Charete rationes reddere belli Olynthiaci, graviter ferens dixit, Populo in furnum coacto, conari rationes referre."

Ex Ariſtotelis hac de re teſtimonio.

IX. Clare

a Incluſa addita ſunt ex *Ariſtotelis* exemplaribus, itidemque v. ſeq *Sylb.* b *Morellii* margo pro ἐπὶ πολλῶν habet ἐκ πολλῶν. *Sylb.* c *Ariſtotelis* exemplaria habent ἕτερόν τι διὰ ταῦτα συμβαίνειν παρὰ ταῦτα, τῷ ταῦτα εἶναι. *Sylb.* d Φανερὸν δ' ὅτι καὶ ἑκάτερον in *Ariſtotelis* exemplaribus. e Incluſus articulus τὸ additus ex *Ariſtot.* exemplaribus. In iiſdem pro ῥητορείας legitur ῥητορικῆς. Ex iiſdem etiam addita incluſa conjunctio γάρ. *Sylb.* f Ὁ προειλόμενος in *MS. Reg.* g *Wolfius* ante ἱκανῶς inſerit καί: *Stephanus*, omiſſa conjunctione, verbum νομίζω vertendum cenſet in participium νομίζων. *Sylb.* h *Morellii* & *W.* margo habet πανουργότατον: convenientius. *Sylb.* i Exſtat hic locus *Rhetoricorum* l. 3. c. 10. k *Morellius* & *Wolfius* malint γενομένην. *Sylb.* l Pro incluſo τοῦ *Wolfii* margo reponit plur. τῶν. *Ariſtotelis* exemplaria neutrum agnoſcunt. *Sylb.* m *Ariſtotelis* exemplaria pro ἀγαγόντα habent ἔχοντα: & mox δοῦναι pro διδόναι οὕτως. *Sylb.*

Rhetoricen ſuam quando ſcripſerit Ariſtoteles, fuſius oſtendit.

IX. Clare itaque demonſtrat vel ipſe philoſophus, poſt bellum Olynthiacum ſcriptos eſſe *Rhetoricorum libros*: quod bellum geſtum eſſe Callimacho Athenis Prætore, Philochorus teſtatur *libro ſexto rerum Atticarum*, ſic ſcribens: "Callimachus Pergaſæus. "Sub hoc Olynthiis bello preſſis à Philippo, "& legatis Athenas miſſis, Athenienſes ſocietatem inierunt, & auxilio miſerunt "pedites bis mille, triremes vero triginta, "quæ Chareti parebant, quas & impleverunt militibus". Poſt vero paucis, quæ interea geſta ſunt, interjectis, hæc addit: "Eodem ipſo tempore Chalcidenſibus in "Thracia bello oppreſſis, miſſiſque Athenas legatis, miſerunt Athenienſes Charidemum, Helleſponti ducem; qui octodecim triremes & militum quatuor millia, "equites vero centum & quinquaginta decem, auxilium tulit in Pallenen & Bottiæam cum Olynthiis, & regionem omnem diripuit". Mox de tertia belli ſocietate ſic ait: "Miſſis iterum ab Olynthiis Athenas legatis, qui rogarent ne "bello oppugnantes contemnerent, ſed auxilium præter eas copias, quas haberent, "mitterent, non ex peregrinis militibus, "ſed civibus Athenienſibus: miſit ad eos "populus alias triremes ſeptendecim, civium vero armatorum millia duo, equiteſque trecentos hippaginibus impoſitos; "Charetem vero claſſi præficiunt.

Demoſthenis orationes Ariſtotelis Rhetoricam præceſſiſſe, ulterius probat:

X. Hæc ſatis dicta ſint, quibus gloriæ cupiditas detegatur eorum, qui aſſerunt, ab *Ariſtotelis Rhetoricis* mutuatum eſſe Demoſthenem, qui quatuor jam orationes *Philippicas* antea habuerat, tres vero *de rebus Græciæ*. Declarant & orationes, quas judiciis ſcripſit, quaſque jure nemo queat reprehendere, tanquam leves & falſas, nihilque artificii continentes: quandoquidem ante *Rhetoricos libros* ſcriptæ omnes ſunt. Verum enim vero hucuſque progreſſus nondum tamen conquieſcam, quin & alias orationes, quæ ipſæ maxime probantur in vulgus, deinceps oſtendam, partim deliberatorias, partim judiciales, ſcriptas habitaſque antequam *Rhetoricos* ederet *libros*, eodem ipſo philoſopho in teſtimonium adducto. Poſt Callimachum enim, quo Archonte Olynthiis, auctore Demoſthene, Athenienſes auxilium miſerunt, Prætor creatus eſt Theophilus, ſub quo Olyntho potitus eſt Philippus. Dein Themiſtocle Prætore Demoſthenes *quintam in Philippum* dixit, de inſulanorum cuſtodia, & urbium Helleſponti, cujus orationis hoc initium eſt; Ἃ μὲν ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, δεδυνήμεθα εὑρεῖν ταῦτ᾽ ἐστί. Poſt Themiſtoclem prætor Athenis Archias: quo tempore ſuaſit Athenienſibus, non impedire Philippum Amphictyonia uti, neque belli cauſam ut præbeant, nuper inita pace. Principium tale eſt; Ὁρῶ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ παρόντα πράγματα πολλὴν δυσκολίαν ἔχοντα καὶ ταραχήν. Archiæ vero ſucceſſit Eubulus: huic Ly-

θ΄. Εἰ μὲν δὴ σαφῶς αὐτὸς ὁ φιλόσοφος ἀποδεικνύει μετὰ τὸν Ὀλυνθιακὸν πόλεμον γεγραμμένας ὑπ᾽ αὐτοῦ ΤΑΣ ΤΕΧΝΑΣ, [a] οὗτος δ᾽ ἐπὶ Καλλιμάχου γέγονεν ἄρχοντος, ὡς δηλοῖ Φιλόχορος ἐν ΕΚΤΗ ΒΙΒΛΩ ΤΗΣ ΑΤΘΙΔΟΣ, κατὰ λέξιν οὕτω γράφων "Καλλίμαχος Περγασῆθεν. ἐπὶ τούτου, Ὀλυνθίοις πολεμουμένοις ὑπὸ Φιλίππου καὶ πρέσβεις Ἀθήναζε πέμψασιν, οἱ Ἀθηναῖοι "συμμαχίαν τε ἐποιήσαντο καὶ βοήθειαν ἔπεμψαν, πελταστὰς [b] (μὲν) δισχιλίους, τριήρεις δὲ τριάκοντα τὰς μετὰ Χάρητος, ἃς καὶ συνεπλήρωσαν". ἔπειτα διεξελθὼν ὀλίγα τὰ μεταξὺ γενόμενα, τίθησι ταυτί· "Περὶ δὲ τὸν αὐτὸν χρόνον "Χαλκιδέων τῶν ἐπὶ Θρᾴκης θλιβομένων τῷ πολέμῳ, καὶ "πρεσβευσαμένων Ἀθήναζε, Χαρίδημον αὐτοῖς ἔπεμψαν "οἱ Ἀθηναῖοι τὸν ἐν Ἑλλησπόντῳ στρατηγόν· ὃς ἔχων ὀκτωκαίδεκα τριήρεις καὶ πελταστὰς τετρακισχιλίους, ἱππεῖς "δὲ πεντήκοντα καὶ ἑκατὸν, ἦλθεν εἴς τε Παλλήνην καὶ τὴν "Βοττιαίαν μετ᾽ Ὀλυνθίων, καὶ τὴν χώραν ἐπόρθησεν". Ἐπειθ᾽ ὑπὲρ τῆς τρίτης συμμαχίας λέγει ταυτί· "Πάλιν δὲ τῶν Ὀλυνθίων πρέσβεις ἀποστειλάντων εἰς τὰς Ἀθήνας, καὶ δεομένων μὴ περιϊδεῖν αὐτοὺς καταπολεμηθέντας, ἀλλὰ "πρὸς ταῖς ὑπαρχούσαις δυνάμεσι πέμψαι βοήθειαν, "μὴ ξενικὴν, ἀλλ᾽ αὐτῶν Ἀθηναίων, ἔπεμψεν αὐτοῖς ὁ "δῆμος τριήρεις μὲν ἑτέρας ἑπτακαίδεκα, τῶν δὲ πολιτῶν "ὁπλίτας δισχιλίους καὶ ἱππεῖς τριακοσίους, ἐν ναυσὶν ἱππηγοῖς, στρατηγὸν δὲ Χάρητα τοῦ στόλου παντός.

ι΄. Ἀπόχρη μὲν οὖν καὶ ταῦτα ῥηθέντα φανερὰν ποιῆσαι τὴν φιλοτιμίαν τῶν ἀξιούντων ΤΑΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ἐζηλωκέναι ΤΕΧΝΑΣ τὸν Δημοσθένη, ὃς ἤδη τέσσαρας μὲν ἐτύγχανεν εἰρηκὼς δημηγορίας ΦΙΛΙΠΠΙΚΑΣ, τρεῖς δὲ ΕΛΛΗΝΙΚΑΣ. περὶ δὲ λόγους δηλώσω, οὓς εἰς δικαστήρια [c] γέγραφως, οὓς οὐδεὶς ἂν ἔχοι διαβαλεῖν ὡς εὐτελεῖς τινας καὶ φαύλας, καὶ μηδὲν ἐπιφαίνοντας τεχνικὸν, ἐπειδὴ πρὸ ΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ συνετάχθησαν ΤΕΧΝΩΝ. οὐ μὴν ἔγωγε μέχρι τούτου προελθὼν, στήσομαι, ἀλλὰ καὶ τοὺς ἄλλους αὐτοῦ λόγους μάλιστ᾽ εὐδοκιμοῦντας ἐπιδείξω, τούς τε δημηγορικοὺς καὶ τοὺς δικανικοὺς, πρότερον ἀπηγγελμένους τῆς ἐκδόσεως τούτων ΤΩΝ ΤΕΧΝΩΝ, μάρτυρι πάλιν αὐτῷ χρώμενος Ἀριστοτέλει. μετὰ γὰρ ἄρχοντα Καλλίμαχον, ἐφ᾽ οὗ τὰς εἰς Ὄλυνθον βοηθείας ἀπέστειλαν Ἀθηναῖοι πεισθέντες ὑπὸ Δημοσθένους, Θεόφιλός ἐστιν ἄρχων, καθ᾽ ὃν ἐκράτησε τῆς Ὀλυνθίων πόλεως Φίλιππος. ἔπειτα Θεμιστοκλῆς, ἐφ᾽ οὗ τὴν [d] ΕΚΤΗΝ τῶν ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ δημηγοριῶν ἀπήγγελλε Δημοσθένης, περὶ τῆς φυλακῆς τῶν νησιωτῶν καὶ τῶν ἐν Ἑλλησπόντῳ πόλεων, ἧς ἐστιν ἀρχή· "Ἃ μὲν ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, δεδυνήμεθα εὑρεῖν, ταῦτ᾽ ἐστί". μετὰ δὲ Θεμιστοκλέα, Ἀρχίας, ἐφ᾽ οὗ παραινεῖ τοῖς Ἀθηναίοις μὴ κωλύειν Φίλιππον τῆς Ἀμφικτυονίας μετέχειν, μηδὲ ἀφορμὴν διδόναι πολέμου, νεωστὶ πεποιημένους τὴν πρὸς αὐτὸν εἰρήνην. ἀρχὴ [e] καὶ ταύτης τῆς δημηγορίας ἐστὶν ἥδε· "Ὁρῶ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ παρόντα πράγματα". μετὰ δὲ Ἀρχίαν ἐστὶν Εὔβουλος, εἶτα

a *Wolfius* pro οὗτος habet τοῦτο: minus recte. *Sylb.* b Incluſa μὲν addita ex *Wolfii* editione. *Sylb.* c *Morellii* & *Wolfii* margo habet γέγραφεν. ſed ne ſic quidem plana fiunt omnia. *Sylb.* d *Wolfii* & *Morellii* margo pro ἕκτην habet πέμπτην. *Sylb.* quo modo legendum eſſe monuit *Schottus*, in *Vitis Parallelis*. Olymp. CVIII. an. II. & III. e Pro καὶ malim δὲ, contra exemplarium conſenſum. *Sylb.*

a Ορεξας

Λυκίσκος, ἐφ' οὗ ΤΗΝ ΕΒΔΟΜΗΝ τῶν ΦΙΛΙΠΠΙΚΩΝ δημηγοριῶν διέθετο πρὸς τὰς ἐκ Πελοποννήσου πρεσβείας, ταύτην τὴν ἀρχὴν ποιησάμενος· "Οταν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγοι γίγνωνται". μετὰ Λυκίσκον ἐστὶν ἄρχων Πυθόδοτος, ἐφ' οὗ ΤΗΝ ΟΓΔΟΗΝ τῶν ΦΙΛΙΠΠΙΚΩΝ δημηγοριῶν διέθετο πρὸς τοὺς Φιλίππου πρέσβεις, ἧς ἐστιν ἀρχή· "Ω ἄνδρες Ἀθηναῖοι, οὐκ ἔστιν ὅπως αἱ αἰτίαι". καὶ τὸν ΚΑΤ' ΑΙΣΧΙΝΟΥ συνετάξατο λόγον, ὅτε τὰς εὐθύνας ἐδίδου τῆς δευτέρας πρεσβείας τῆς ἐπὶ τοὺς [a] ὅρκους. μετὰ Πυθόδοτόν ἐστι Σωσιγένης, ἐφ' οὗ ΤΗΝ ΕΝΝΑΤΗΝ διελήλυθε ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ δημηγορίαν, περὶ τῶν ἐν Χερρονήσῳ στρατιωτῶν, ἵνα μὴ διαλυθῇ τὸ μετὰ Διοπείθους ξενικόν, ἀρχὴν ἔχουσα ταύτην· "Εδει μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς λέγοντας ἅπαντας ἐν ὑμῖν, μήτε πρὸς ἔχθραν ποιεῖσθαι λόγον μηδένα, μήτε πρὸς χάριν". Καὶ κατὰ τὸν αὐτὸν ἄρχοντα ΤΗΝ ΔΕΚΑΤΗΝ, ἐν ᾗ πειρᾶται διδάσκειν ὅτι λύει τὴν εἰρήνην Φίλιππος, καὶ πρότερος ἐκφέρει τὸν πόλεμον, ἧς ἐστιν ἀρχή· "Πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γινομένων ὀλίγου δεῖν καθ' ἑκάστην ἐκκλησίαν". μετὰ Σωσιγένην ἄρχων ἐστὶ Νικόμαχος, ἐφ' οὗ ΤΗΝ ΕΝΔΕΚΑΤΗΝ δημηγορίαν διελήλυθε, περὶ τοῦ λελυκέναι τὴν εἰρήνην Φίλιππον, καὶ τοὺς Ἀθηναίους πείθει Βυζαντίοις ἀποστεῖλαι βοήθειαν, ἧς ἐστιν ἀρχή· "Καὶ σπουδαῖα νομίζων, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ὧν βουλεύεσθε, καὶ ἀναγκαῖα τῇ πόλει, πειράσομαι περὶ αὐτῶν εἰπεῖν". ἐπὶ Νικομάχῳ Θεόφραστος ἄρχων, ἐφ' οὗ πείθει τοὺς Ἀθηναίους γενναίως ὑπομεῖναι τὸν πόλεμον, ὡς κατηγγελκότος [b] αὐτὸν ἤδη Φιλίππου. καὶ ἔστιν αὕτη ΤΕΛΕΥΤΑΙΑ τῶν ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ δημηγοριῶν, ἀρχὴν ἔχουσα ταύτην· "Οτι μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππος οὐκ ἐποιήσατο τὴν εἰρήνην πρὸς ὑμᾶς, ἀλλ' ἀνεβάλετο τὸν πόλεμον, πᾶσιν ὑμῖν φανερὸν γέγονεν.

ια'. Οτι δὲ δώδεκα τούτους ἅπαντας τοὺς λόγους οὓς κατηρίθμημαι, πρὸ τῆς ἐκδόσεως ΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΤΕΧΝΩΝ ἀπήγγειλεν ὁ Δημοσθένης, αὐτὸν Ἀριστοτέλη παρέξομαι μαρτυροῦντα. ἀρξάμενος γὰρ ἐν ΤΗ ΔΕΥΤΕΡΑ ΒΙΒΛΩ ΤΩΝ ΤΕΧΝΩΝ τοὺς τόπους ὁρίζειν ἀφ' ὧν τὰ ἐνθυμήματα φέρεται, καὶ τὸν ἐκ τοῦ χρόνου παραλαμβάνει, παρατιθεὶς αὐτῷ τὰ παραδείγματα. θήσω δὲ αὐτὴν τὴν τοῦ φιλοσόφου λέξιν· "Ἄλλος [c] εἰς τὸν χρόνον σκοπεῖ· οἷον, ὡς Ἰφικράτης ἐν ΤΗ ΠΡΟΣ ΑΡΜΟΔΙΟΝ, ὅτι Εἰ πρὶν ποιῆσαι, ἠξίουν τῆς εἰκόνος τυχεῖν, ἐὰν ποιήσω, ἔδοτε ἄν· ποιήσαντι δ' [d] (ἆρ') οὐ δώσετε; μὴ τοίνυν [e] μέλλοντες μὲν, ὑπισχνεῖσθε· παθόντες δ', ἀφαιρεῖσθε. καὶ πάλιν, πρὸς τὸ διὰ Θηβαίων διιέναι Φίλιππον εἰς τὴν Ἀττικήν, ὅτι, Εἰ πρὶν βοηθῆσαι Φωκεῖς ἠξίου, ὑπέσχοντο ἄν· ἄτοπον οὖν

ciſcus, ſub quo *ſextam* habuit *Philippicam* ad Peloponneſiacas legationes, ſic ducto initio; *Οταν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγοι γίγνωνται.* Lyciſci Præturam excepit Pythodotus, quo Prætore *ſeptimam* habuit *Philippicam* ad legatos Philippi, quæ ſic incipit; *Ω ἄνδρες Ἀθηναῖοι, οὐκ ἔστιν ὅπως αἰτίαι.* Alteram item *contra Æſchinem* habuit, cum rationem redderet ſecundæ legationis, ad fœdera ineunda. Pythodoto ſucceſſit Soſigenes: ſub quo *octavam* dixit *in Philippum*, de militibus Cherſoneſi, ne externorum exercitus dimitteretur, qui ſub Diopithe merebant. Tale autem initium habet; *Εδει μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς λέγοντας ἅπαντας ἐν ὑμῖν, μήτε πρὸς ἔχθραν ποιεῖσθαι λόγον μηδένα, μήτε πρὸς χάριν.* Eodem Prætore & *nonam* habuit: qua docere conatur, ſolvere Philippum pacis fœdera, primumque inferre bellum: quæ incipit; *Πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γινομένων, ὀλίγου δεῖν καθ' ἑκάστην ἐκκλησίαν.* Poſt Soſigenem Archon fuit Nicomachus, quo Archonte *decimam* habuit, de pace à Philippo rupta; ſuadetque Athenienſibus mature auxilium Byzantinis mittere: quæ oratio ſic inchoatur; *Καὶ σπουδαῖα νομίζων, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ὧν βουλεύεσθε καὶ ἀναγκαῖα τῇ πόλει πειράσομαι περὶ αὐτῶν εἰπεῖν.* Poſt Nicomachum Theophraſtus Prætor fuit: ſub quo Athenienſibus ſuadet fortiter bellum, quod indixerit Philippus, ſuſtinere. Eſtque *Philippicarum orationum poſtrema*, cujus initium eſt; *Οτι μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππος οὐκ ἐποιήσατο τὴν εἰρήνην πρὸς ὑμᾶς, ἀλλ' ἀνεβάλετο τὸν πόλεμον, πᾶσιν ὑμῖν φανερὸν γέγονεν.*

Ex ipſius etiam Ariſtotelis teſtimonio.

XI. Has autem undecim orationes, quas ordine recenſui ante editionem *Rhetoricorum Ariſtotelis* habuiſſe Demoſthenem, vel ipſum philoſophum teſtem laudare poſſum. *Libro* enim *Rhetoricorum ſecundo*, cum locos definire inciperet, è quibus enthymemata ducuntur, locum à tempore complectitur, additis etiam exemplis. Sed verba ipſius adſcribam: "Alius locus eſt incipere, an in ipſo tempore aliquid erui poſſit; ut Iphicrates in oratione *adverſus Harmodium*: Si antequam hæc gererem, ſtatuam mihi poſtulaſſem, ſi ea geſſiſſem, certe decreviſſetis: nunc confectis rebus, eam denegabitis? Nolite igitur committere, ut quod facile polliciti eſſetis, cum à me beneficium exſpectabatis, id nunc beneficio affecti denegetis. Et rurſus, ſi quis ſuadeat Thebanis, ut Philippo per fines ſuos iter in Atticam concedant: Nam ſi hoc petiiſſet, priuſquam iis adverſus Phocenſes auxilium ferret, certe promi-

a Ὅρκους legendum eſſe pro vulgo Ὅρκοις manifeſtum ex p. 180. v. 42. *Sylb.* *b* Αὐτὸν refertur ad τὸν πόλεμον. *Morellii* & *Wolfii* margo mavult reciprocum *αὑτὸν*, *ſeipſum*: ſubaudito ſcilicet *πολέμιον*, *hoſtem*. *Sylb.* *c* Exſtat locus l. 2. c. 24. ubi legitur ἐκ τοῦ τὸν χρόνον σκοπεῖν. *d* Incluſa ἆρ' addita ex vulgatis *Ariſtotelis* exemplaribus. *Sylb.* *e* *Wolfii* editio habet *μέλλοντος*: verſio tamen ejuſdem agnoſcit vulgatum *μέλλοντες*, *accepturi beneficium*. *Morellii* margo, itidemque margo *Wolfii*, poſt hoc ipſum *μέλλοντες μὲν*, addit *εὖ πάσχειν*. quod in verſione expreſſit idem *Wolf*. Ibidem mox *Ariſtot.* exemplaria habent πρὸς τὸ Θηβαίους Φίλιππον διιέναι εἰς τὴν Ἀττ. Seq. v. *Ariſtotelis* exemplaria habent βοηθῆσαι εἰς Φωκεῖς: pro quo *Dionyſ.* paulo poſt, p. 198. v. 4. dicit, *πρὸς Φωκεῖς*, *adverſum Phocenſes*. *Sylb.*

"promiſiſſent: valde igitur abſurdum eſt, ſi, quia prior eos beneficio provocavit, fidemque eorum ſecutus eſt, nunc iter ei denegabunt". Temporis vero hujus ratio, quo Philippus volebat Thebanos dare ſibi tranſitum Athenas, facta mentione auxilii bello Phocenſi miſſi, ex edita hiſtoria clareſcit. Res enim ita geſta eſt. Capta Olynthiorum urbe, Prætore Themiſtocle, pactum iniit Philippus amicitiæ ſocietatiſque cum Athenienſibus. Hæc fœdera ſeptem quidem annos durarunt, ad Nicomachi uſque Præturam: tempore vero Theophraſti, qui poſt Nicomachum Archon fuit, rupta ſunt; Athenienſibus cum Philippo expoſtulantibus, quod bellum ipſe moviſſet: Philippus contra de Athenienſibus querebatur. Cauſas vero, ob quas ad arma ventum eſt, cum utrique injurias ſibi illatas eſſe dicerent; atque tempus, quo pax ſoluta eſt, Philochorus accurate refert, *rerum Atticarum libro ſexto*: cujus ea potiſſimum hîc adferam, quæ ad rem præſentem maxime pertinere videbuntur: "Theophraſtus Allæenſis. Sub hoc Philippus prima expeditione irruit in Perinthum. Cumque non ſatis ſucceſſiſſet ex ſententia, hinc Byzantium obſedit, machinaſque admovit". Poſt vero narratis rebus, ob quas Philippus Athenienſes per epiſtolam accuſabat, & Demoſthene ad bellum hortante, & decreta ſcribente, populum ſciviſſe, inquit, "Columnam dejiciendam, quæ de pace & ſocietate cum Philippo inita poſita eſſet, naves vero implendas, parandaque ea quæ ad bellum neceſſaria eſſent". Hæc autem geſta Theophraſto prætore narrat: mox ſubjicit, quæ in ſequenti anno contigerunt, rupta pace Lyſimachide Archonte. Apponam & hujus loci maxime neceſſaria: "Lyſimachides Acharnenſis. Sub hoc navalium opus, & armamentarium intermiſſa ſunt, ob bellum cum Philippo exortum: pecunias vero omnes decreverunt militiæ impendi, rogationem perferente Demoſthene. Philippus vero Elateam cepit, & Cytinium, miſſiſque ad Thebanos legatis Theſſalorum, Ænianorum, Ætolorum, Dolopum, & Phthiotarum; Athenienſes vero eodem tempore cum legatum illis miſiſſent Demoſthenem, decreverunt ſocietatem inire". Tempore jam patefacto, quo Thebas Athenienſium legati, ſocii Demoſthenis, pervenerunt, Philippi item legati, quod tempus in Lyſimachidæ Præturam incidit, paratiſque jam ab utriſque rebus omnibus, quæ ab bellum opus forent, idem Demoſthenes oſtendit, in ea quæ *de Corona* habita ab illo eſt. Recitabo autem, quæ huc pertinent: "Ita Philippus, concitatis inter ſe urbibus, hiſque decretis editis & reſponſionibus, adventavit cum exercitu, & Elateam occupavit; tanquam, etiamſi quid accidiſſet, non jam conſpiraturis vobis & Thebanis". Verum relatis iis, quæ poſt accide-

"εἰ διότι προεῖτο καὶ [a] διεπίστευσε, μὴ δώσουσιν". ὁ δὲ χρόνος οὗτος ἐν ᾧ Φίλιππος ἠξίου Θηβαίους ἐπὶ τὴν Ἀττικὴν αὐτῷ δοῦναι δίοδον, ὑπομιμνήσκων τῆς ἐν τῷ πρὸς Φωκεῖς πολέμῳ γενομένης βοηθείας, ἐκ τῆς κοινῆς γίνεται φανερὸς ἱστορίας. εἶχε γὰρ οὕτως. μετὰ τὴν Ὀλυνθίων ἅλωσιν, ἄρχοντος Θεμιστοκλέους, συνθῆκαι Φιλίππῳ πρὸς Ἀθηναίους ἐγένοντο περὶ φιλίας καὶ συμμαχίας. αὗται διέμειναν ἑπταετῆ χρόνον ἄχρι Νικομάχου· ἐπὶ δὲ Θεοφράστου τοῦ μετὰ Νικόμαχον ἄρξαντος ἐλύθησαν, Ἀθηναίων μὲν Φίλιππον αἰτιωμένων ἄρχειν τοῦ πολέμου, Φιλίππου δὲ Ἀθηναίοις ἐγκαλοῦντος. τὰς δὲ αἰτίας δι' ἃς εἰς τὸν πόλεμον κατέστησαν, ἀδικεῖσθαι λέγοντες ἀμφότεροι, καὶ τὸν χρόνον ἐν ᾧ τὴν εἰρήνην ἔλυσαν, ἀκριβῶς δηλοῖ Φιλόχορος ἐν ΤΗ ΕΚΤΗ ΑΤΘΙΔΟΣ ΒΙΒΛΩ. θήσω δὲ ἐξ αὐτῆς τὰ ἀναγκαιότατα· "Θεόφραστος [b] Ἀλαιεύς. ἐπὶ τούτου, Φί- 124
λιππος τὸ μὲν πρῶτον ἀναπλεύσας, Περίνθῳ προσέβαλεν· ἀποτυχὼν δ' ἐντεῦθεν Βυζάντιον ἐπολιόρκει, καὶ μηχανήματα προσῆγεν". ἔπειτα διεξελθὼν ὅσα τοῖς Ἀθηναίοις ὁ Φίλιππος ἐνεκάλει διὰ τῆς ἐπιστολῆς, καὶ Δημοσθένους παρακαλέσαντος [c] αὐτοὺς πρὸς τὸν πόλεμον καὶ ψηφίσματα γράψαντος, ἐχειροτόνησε, "Τὴν μὲν στήλην καθελεῖν τὴν περὶ τῆς πρὸς Φίλιππον εἰρήνης καὶ συμμαχίας σταθεῖσαν, ναῦς δὲ πληροῦν, καὶ τὰ ἄλλα ἐνεργεῖν τὰ τοῦ πολέμου". ταῦτα γράψας κατὰ Θεόφραστον ἄρχοντα γεγονέναι, τῷ μετ' ἐκεῖνον ἐν αὐτῷ τὰ πραχθέντα μετὰ τὴν λύσιν τῆς εἰρήνης ἐπὶ Λυσιμαχίδου ἄρχοντος διεξέρχεται. θήσω δὲ καὶ τούτων αὐτῆς τὰ ἀναγκαιότατα· "Λυσιμαχίδης Ἀχαρνεύς. ἐπὶ τούτου, τὰ μὲν ἔργα τὰ περὶ τοὺς νεωσοίκους καὶ τὴν σκευοθήκην ἀνεβάλοντο διὰ τὸν πόλεμον τὸν πρὸς Φίλιππον· τὰ δὲ χρήματ' ἐψηφίσαντο πάντ' εἶναι στρατιωτικά, Δημοσθένους γράψαντος. Φιλίππου δὲ καταλαβόντος Ἐλάτειαν καὶ Κυτίνιον, καὶ πρέσβεις [d] πέμψαντος εἰς Θήβας Θετταλῶν, Αἰνιάνων, Αἰτωλῶν, Δολόπων, Φθιωτῶν· Ἀθηναίων δὲ κατὰ τὸν αὐτὸν χρόνον πρέσβεις ἀποστειλάντων τοὺς περὶ Δημοσθένη, τούτοις συμμαχεῖν ἐψηφίσαντο". φανεροῦ δὲ γεγονότος τοῦ χρόνου καθ' ὃν εἰσῆλθον εἰς Θήβας [e] οἵ τε Ἀθηναίων πρέσβεις οἱ περὶ Δημοσθένη, καὶ οἱ παρὰ Φιλίππου, ὅτι κατὰ Λυσιμαχίδην ἄρχοντα πίπτει, παρεσκευασμένων ἤδη τὰ πρὸς τὸν πόλεμον ἀμφοτέρων, αὐτὸς ὁ Δημοσθένης ποιήσει φανερὸν ἐν τῷ ΠΕΡΙ ΣΤΕΦΑΝΟΥ. θήσω δὲ ἐξ αὐτῆς λαβὼν τῆς ἐκείνου λέξεως τὰ συντείνοντα πρὸς τὸ πρᾶγμα· "Οὕτω διαθεὶς ὁ Φίλιππος τὰς πόλεις πρὸς ἀλλήλας διὰ τούτων, καὶ τούτοις ἐπαρθεὶς τοῖς ψηφίσμασι καὶ ταῖς ἀποκρίσεσιν, ἧκεν ἔχων τὴν δύναμιν, καὶ τὴν Ἐλάτειαν κατέλαβεν, ὡς οὐδ' ἄν, εἴ τι γένοιτο, ἔτι συμπνευσόντων [f] ἡμῶν ἂν καὶ τῶν Θηβαίων". ἀλλὰ μὴν τὰ τότε συμβάντα διεξελθὼν,

διεξελθὼν

a *Ariſtot.* exemplaria pro διεπίστευσε habent ἐπίστευσε, & mox δήσουσι pro δώσουσι. *Sylb.* b Ἀλαιεὺς legendum eſſe docent *Mauſſacus* ad *Harpocr.* v. Ἀλαιεὺς, & *Holſtenius* ad *Steph. Byzant.* v. Ἀλαί. Vide etiam *Meurſii* Atticam Reliquam, lib. 1. pag. 7. c *Steph.* & *Morellius* habent αὐτόν: ego cum *Wolfio* malui plurale αὐτοὺς, *Athenienſes* videlicet. Idem *Wolf.* ſeq. v. ad explendam ſententiam legit, ἐχειροτόνησε Δημοσθένης, φησὶ, τὴν μὲν στήλ. Ego hanc lectionem malim; καὶ ὡς Δημοσθένους παρακαλέσαντος αὐτοὺς πρὸς τὸν πόλεμον, καὶ ψηφίσματα γράψαντος, ἐχειροτόνησεν ὁ δῆμος, τὴν μὲν στήλ. *Sylb.* d Malit fortaſſe aliquis πεμψάντων: ſed à Philippo miſſos eſſe legatos hoſce, indicant ſequentia, v. 39. & p. 199. v. 5. & 15. *Sylb.* e *Morellius* habet οἱ τῶν Ἀθηναίων πρέσβεις. *Sylb.* f Ὑμῶν in libris vulgatis *Demoſthenis.*

Poſt

διεξελθὼν δὲ καὶ τοὺς ῥηθέντας ὑφ' ἑαυτοῦ λόγους ἐπὶ τῆς ἐκκλησίας, καὶ ὡς πρεσβευτὴς ὑπ' Ἀθηναίων εἰς Θήβας ἐπέμφθη, ταῦτα κατὰ λέξιν ἐπιτίθησιν· “Ὡς δ' ἀφικόμεθα εἰς “τὰς Θήβας, κατελαμβάνομεν Φιλίππου καὶ Θετταλῶν καὶ τῶν “ἄλλων συμμάχων παρόντας πρέσβεις, καὶ τοὺς μὲν ἡμετέ-“ρους φίλους ἐν φόβῳ, τοὺς δ' ἐκείνου θρασεῖς”. ἔπειτ' ἐπιστολήν τινα κελεύσας ἀναγνωσθῆναι, ταῦτ' ἐπιτίθησιν· “Ἐ-“πειδὴ τοίνυν ἐποιήσαντο τὴν ἐκκλησίαν, προσῆγον ἐκείνους, “διὰ τὸ τὴν τῶν συμμάχων τάξιν ἐκείνους ἔχειν. καὶ παριόντες ἐδη-“μηγόρουν, πολλὰ μὲν Φίλιππον ἐγκωμιάζοντες, πολλὰ δ' “ὑμῶν ἐγκαλοῦντες, πάνθ' ὅσα πώποτε ἐναντία ἐπράξατε “[a] Θηβαίους, ἀναμιμνήσκοντες. τὸ δ' οὖν κεφάλαιον, ἠξίουν, ὧν “μὲν εὖ πεπόνθεσαν ὑπὸ Φιλίππου, χάριν αὐτοὺς ἀποδοῦναι· “ὧν δ' ὑφ' ὑμῶν ἠδίκηντο, δίκην λαβεῖν, ὁποτέρως βούλονται, “ἢ διιέντας [b] αὐτοὺς ἐφ' ὑμᾶς, ἢ συνεμβαλόντας εἰς τὴν Ἀτ-“τικήν”. εἰ δὴ κατὰ Λυσιμαχίδην μὲν ἄρχοντα τὸν μετὰ Θεόφραστον, λελυμένης ἤδη τῆς εἰρήνης οἱ παρὰ Φιλίππου πρέσβεις εἰς Θήβας ἀπεστάλησαν, παρακαλοῦντες αὐτοὺς μάλιστα μὲν συνεισβάλλειν εἰς τὴν Ἀττικήν, εἰ δὲ μή, δίοδον τῷ Φιλίππῳ παρασχεῖν, μεμνημένους τῶν εὐεργεσιῶν αὐτοῦ τῶν περὶ τὸν Φωκικὸν πόλεμον· ταύτης δὲ μέμνηται τῆς πρεσβείας Ἀριστοτέλης, ὡς ὀλίγῳ πρότερον [c] ἐπέδειξα, τὰς ἐκείνου λέξεις παραθέμενος· [d] ἀναμφιλόγοις ἀποδέδεικται τεκμηρίοις ὅτι πάντες οἱ Δημοσθένους ἀγῶνες οἱ πρὸ τῆς Λυσιμαχίδου ἀρχῆς ἐν ἐκκλησίαις τε καὶ δικαστηρίοις γενόμενοι, πρότεροι τῶν Ἀριστοτέλους ΤΕΧΝΩΝ [e] (εἰσιν.)

ιβʹ. Ἑτέραν προσθήσω μαρτυρίαν παρὰ τοῦ φιλοσόφου λαβών, ἐξ ἧς ἔτι μᾶλλον ἔσται φανερὸν ὅτι μετὰ τὸν πόλεμον τὸν συμβάντα τοῖς Ἀθηναίοις πρὸς Φίλιππον, αἱ ΡΗΤΟΡΙΚΑΙ συνετάχθησαν ὑπ' αὐτοῦ ΤΕΧΝΑΙ, Δημοσθένους ἀκμάζοντος ἤδη κατὰ τὴν πολιτείαν, καὶ πάντας εἰρηκότος τούς τε δημηγορικοὺς καὶ τοὺς δικανικοὺς λόγους, ὧν ὀλίγῳ πρότερον ἐμνήσθην. διεξιὼν γὰρ τοὺς τόπους τῶν ἐνθυμημάτων ὁ φιλόσοφος, καὶ τὸν ἐκ τῆς αἰτίας τίθησι. παρέξομαι δὲ τὴν ἐκείνου λέξιν· “Ἄλλος, παρὰ τὸ ἀναίτιον ὡς αἴτιον· οἷον τῷ ἅμα “ἢ μετὰ τοῦτο γεγονέναι. τὸ γὰρ μετὰ τοῦτο, ὡς διὰ τοῦτο “λαμβάνουσι, καὶ μάλιστα οἱ ἐν ταῖς πολιτείαις· [f] ὡς ὁ Δη-“μάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰ-“τίαν· μετ' ἐκείνην γὰρ συνέβη ὁ πόλεμος”. ποίους γοῦν ὁ Δημοσθένης κατεσκεύασεν ἀγῶνας, ταῖς Ἀριστοτελείοις τέχναις ὁδηγοῖς χρησάμενος, εἰ πάντες οἱ δημόσιοι λόγοι δι' οὓς ἐπαινεῖταί τε καὶ θαυμάζεται, πρὸ τοῦ πολέμου γεγόνασιν, ὡς πρότερον ἐπέδειξα, πλὴν ἑνὸς τοῦ ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ; οὗτος γὰρ μόνος εἰς δικαστήριον εἰσελήλυθεν μετὰ τὸν πόλεμον, ἐπ' Ἀριστοφῶντος ἄρχοντος [f] μὲν ἐνιαυτὸν μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, ὀκτὼ δὲ μετὰ τὴν Φιλίππου τελευτήν, καθ' ὃν
125 χρόνον Ἀλέξανδρος τὴν ἐν Ἀρβήλοις ἐνίκα μάχην. εἰ δέ τις ἐρεῖ τῶν πρὸς ἅπαντα φιλονεικούντων ὅτι τοῦτον ἴσως ἔγραψε τὸν λόγον ΤΑΙΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ἐντετυχηκὼς ΤΕΧΝΑΙΣ, τὸν κράτιστον ἁπάντων λό-

runt, etiam orationibus, quas pro concione habuit, enumeratis, & legatum ſe miſſum ab Athenienſibus ad Thebanos, hæc ad verbum ſcribit: “Simul vero atque Thebas perveni-“mus, Philippi & Theſſalorum & aliorum “ſociorum legatos ibi invenimus; ac noſtros “amicos perterritos, illius confidentes”. Poſt, juſſa recitari epiſtola, hæc addit: “Convo-“cato igitur populo, priores illos produxe-“runt; propterea quod illi ſociorum loco “habebantur: qui progreſſi concionem habe-“bant, multum Philippum laudantes, ac vos “accuſantes; omnia, quæcunque unquam “Thebanis contraria feciſſetis, commemo-“rantes. Sed illud in ſumma petebant, ut “pro acceptis à Philippo beneficiis gratiam “referrent, & veſtras injurias ulciſcerentur, “utro modo mallent, ſive dato eis tranſitu “ad vos, ſive ipſi una in Atticam facta im-“preſſione”. Si igitur Prætore quidem Lyſimachide, qui Theophraſto ſucceſſit, rupta jam pace, miſſi ſunt à Philippo Thebas legati, hortantes potiſſimum, ut in Atticam ſimul irrumperent Thebani; ſin minus, iter Philippo concederent per agros ſuos, memores beneficiorum, quæ bello Phocenſi ab illo accepiſſent: hujus vero legationis meminit Ariſtoteles (ut paullo ante allatis illius verbis oſtendi.) certis itaque indubitatiſque ſignis efficitur, omnes Demoſthenis orationes, cum in concione tum in judiciis verſatas, habitas eſſe ante Præturam Lyſimachidæ, & ante editos ab Ariſtotele *Rhetoricorum libros*.

XII. Aliud teſtimonium adjiciam ex ipſo philoſopho depromptum, quo magis clareſcet *Rhetoricos libros* ab ipſo conſcriptos poſt bellum, quod cum Philippo Athenienſes geſſerunt, Demoſthene jam tum in rep. florente, habitiſque jam orationibus, tam ad populum, quam in ſenatu, quas paulo ante recenſui. Enthymematum autem locos explicans philoſophus etiam locum à cauſa adfert. Verba illius recitabo: “Alius, quæ à cauſa non eſt, “eam ut cauſam ponere: ut quia ſimul, aut “poſtea factum ſit. Quod enim poſtea evenit, “quaſi propterea evenerit, accipiunt, & ma-“xime in reip. tractatione; ut quod Demades “Demoſthenis adminſtrationem malorum o-“mnium cauſam exſtitiſſe: poſtea enim conti-“git, ut bellum excitaretur”. Et quænam igitur certamina Demoſthenes iniit, præceptis inſtructus Ariſtotelis: cum omnes orationes publicæ, ob quas & laudatur vehementer, & in ſumma admiratione eſt, habitæ ſint ante bellum illud, ut paulo ante oſtendimus, una illa excepta quæ *de Corona* eſt? Hoc enim ſolum judicium habitum poſt bellum, Ariſtophonte Prætore, anno octavo poſt pugnam ad Chæroneam, ſexto vero ab exceſſu Philippi: quo tempore victor fuit Alexander pugna in Arbelis commiſſa. At, dixerit quis eorum, qui de re omni contentioſe agunt, hanc ſaltem habitam orationem ab oratore, lectis *Ariſtotelis Rhetoricis*; & quidem optimam omnium

Eadem de re magis adhuc luculentum ex Ariſtotele teſtimonium.

a Poſt Θηβαίους diſtinguunt etiam cæteræ editiones. ſed non minus recte ante id nomen diſtinxerimus: ut accuſativus iſte feratur ad ſequens verbum ἀναμιμνήσκοντες. *Sylb.* In vulgatis *Demoſth.* v. 8. ἐκείνους προτέρους. v. 9. καὶ παρελθόντες. v. 11. ὑμῖν ἐγκαλοῦντες ἅπανθ', ὅσα. v. 12. Θηβαίοις. v. 13. αὐτοῖς. b *Morellii* & *Wolfii* margo habet αὐτὸν, *eum*; recte. ſic enim & *Dionyſ.* pag. præced. v. 3. αὐτῷ δοῦναι δίοδον: & hac ipſa p. v. 19. δίοδον τῷ Φιλίππῳ παρασχεῖν. *Sylb.* c De ἐπέδειξα dicetur infra ad pag. 202. v. 13. d Ἀναμφιβόλοις legitur in *Cod. MS.* e Incluſum εἰσιν additum ex *Ed. Morell.* & *Wolf. Sylb.* f *Ariſtotelis* exemplaria (*Rhetor.* l. 2. c. 24.) pro ὡς habent οἷον ὡς. f *Morellii* & *Wolfii* margo habet ἐνιαυτῷ: unde recte legendum eſſe monuit Cl. *Bentlejus*, ὀγδόῳ μὲν ἐνιαυτῷ —— ἕκτῳ δὲ &c.

a *Ariſtotelis*

orationum: quibus etſi quod reſpondeam ſuppetat, tamen, ne longior ſim, hoc etiam me oſtenſurum recipio, fuiſſe & hanc ſcriptam ante *Rhetoricen Ariſtotelis*; ipſo etiam philoſopho ad teſtimonium advocato. Tractans enim Enthymematum locum ab iis quæ inter ſe conferuntur, ſic ad verbum ſcribit: “Alius locus ex iis quæ inter ſe conferuntur. Si enim alteri ineſt, ut honeſte aut juſte fecerit; alter quoque honeſte perpeſſus eſſe dicetur: &, Si honeſte facit qui mandavit, honeſte etiam qui exſecutus eſt; ut Diomedon publicanus de vectigalibus: Si enim vobis turpe non eſt locare; ne nobis quidem redimere: &, Si quid in quempiam juſte ac honeſte factum eſt, juſte etiam fecit; & contra. Fallit tamen interdum concludendi ratio. Non enim ſi quis juſte quidem perpeſſus eſt, ab hoc juſte etiam pertulit: ut ſi pater morte digna commiſerit, à filio morti addicatur. Quare ſeorſum hæc conſiderare oportet, num qui pertulit, dignus fuerit, qui perferret, & num is qui fecit, dignus qui faceret. Deinde utrum a nobis facit eo uti. Interdum enim nihil vetat, quin hæc diſſideant: ut in *Alcmæone* Theodectis, & ut judicium de Demoſthene, deque iis qui interfecerant Nicanorem.” Quodnam, quæſo, hoc Demoſthenis judicium eſt, eorumque qui Nicanorem trucidarunt, de quo hoc loco philoſophus, (in quo præcipuum controverſiæ caput erat ex loco relatorum) niſi illud adverſus Æſchinem *de Cteſiphonte*, qui decretum tulit, Demoſthenem corona dignum; & accuſatur legum violatarum? In hac enim cauſa quæſtio erat, non in genere; an corona dignus Demoſthenes, præbens de ſua pecunia ſumptus muris ædificandis; ſed ſi, quo tempore accuſatur, interdiceretur lege, ne coronaretur, qui in judicium vocatus eſſet. Hinc enim ductum eſt argumentum ex iis quæ inter ſe conferuntur; Si quemadmodum populo coronam dare licebat, ita & reo accipere. Quare ſic exiſtimo hujus actionis mentionem facere Ariſtotelem: ſin vero quis dicat intelligi actionem *de Donis*, quam Anticle Archonte habuit; qua ſe defendit circa obitum Alexandri, multo ſane poſteriores *Rhetoricos libros Ariſtotelis* fecerit *orationibus Demoſthenis*. Verum non mutuatum oratorem à philoſopho artificium, quo conſcripſit orationes; quin potius contra Demoſthenis aliorumque oratorum exemplis adjutum Ariſtotelem conſcripſiſſe *præceptiones* illas, ſatis jam ſuperque oſtenſum arbitror.

Rhetorica præcepta unde depromſerit Ariſtoteles.

γον· πολλὰ περὶ αὐτὸν εἰπεῖν ἔχων, ἵνα μὴ μακρότερος τοῦ δέοντος ὁ λόγος γένηταί μοι, καὶ τοῦτον ἐπιδείξειν ὑπισχνοῦμαι τὸν ἀγῶνα πρὸ ΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΤΕΧΝΩΝ ἐπιτετελεσμένον, αὐτῷ χρησάμενος τῷ φιλοσόφῳ μάρτυρι. προθεὶς γὰρ τόπον ἐνθυμημάτων τὸν ἐκ τῶν πρὸς ἄλληλα, ταῦτα κατὰ λέξιν γράφει· “Ἄλλος ἐκ τῶν πρὸς ἄλληλα· Εἰ γὰρ θατέρῳ ὑπάρχει τὸ καλῶς [a] καὶ τὸ δικαίως ποιῆσαι, θατέρῳ τὸ πεπονθέναι· καί, Εἰ κελεῦσαι, καὶ τὸ πεποιηκέναι· οἷον, ὡς ὁ τελώνης Διομέδων, περὶ τῶν [b] τελωνῶν· Εἰ γὰρ μηδ᾽ ὑμῖν αἰσχρὸν τὸ πωλεῖν, οὐδὲ ἡμῖν τὸ ὠνεῖσθαι· [c] καί, Εἰ τῷ πεπονθότι τὸ καλῶς καὶ δικαίως ὑπάρχει, τῷ πεπραγμένῳ ὑπάρξει, καὶ τῷ ποιήσαντι ἢ ποιοῦντι. ἔστι δὲ τοῦτο παραλογίσασθαι. Οὐ γὰρ εἰ δικαίως ἔπαθεν ἄν, καὶ δικαίως ὑπὸ τούτου πέπονθεν· ὡς ὁ φόνου ἄξια ποιήσας πατήρ, εἰ ὑπὸ τοῦ υἱοῦ τοῦ ἑαυτοῦ τὴν ἐπὶ θανάτῳ ἀπάγεται, δεῖ σκοπεῖν χωρίς, Εἰ ἄξιος ὁ παθὼν παθεῖν, καὶ ὁ ποιήσας ποιῆσαι· εἶτα χρῆσθαι ὁποτέρως ἂν ἁρμόττῃ. ἐνίοτε γὰρ [d] διαφωνεῖ τὸ τοιοῦτον· ὥσπερ ἐν ΤΩ ΑΛΚΜΑΙΩΝΙ τοῦ Θεοδέκτου, καὶ οἷον ἡ περὶ Δημοσθένους δίκη, καὶ τῶν ἀποκτεινάντων Νικάνορα”. τίς οὖν ἐστιν ἡ Δημοσθένους δίκη, καὶ τῶν ἀποκτεινάντων Νικάνορα, περὶ ἧς ὁ φιλόσοφος γέγραφεν, ἐν ᾗ τὸ κυριώτατον τῆς ἀμφισβητήσεως κεφάλαιον ἦν ἐκ τοῦ πρὸς ἄλληλα τόπου, ἢ ἡ πρὸς Αἰσχίνην, ΥΠΕΡ ΚΤΗΣΙΦΩΝΤΟΣ, τοῦ γράψαντος Δημοσθένει τὸ περὶ τοῦ στεφάνου ψήφισμα, καὶ τὴν τῶν παρανόμων φεύγοντος γραφήν; [e] ἐν ταύτῃ γὰρ τὸ ζητούμενον ἦν, οὐ τὸ κοινόν, εἰ τιμῶν καὶ στεφάνων ἄξιος ἦν Δημοσθένης, ἐπιδιδοὺς ἐκ τῶν ἰδίων κτημάτων τὴν εἰς τὰ τείχη δαπάνην· ἀλλ᾽ εἰ καθ᾽ ὃν χρόνον ὑπεύθυνος ἦν, κωλύοντος τοῦ νόμου τοὺς ὑπευθύνους στεφανοῦν. τὸ γὰρ ἐκ τῶν πρὸς ἄλληλα τοῦτ᾽ ἔστιν, εἰ ὥσπερ τῷ δήμῳ τὸ δοῦναι, οὕτως καὶ τῷ ὑπευθύνῳ τὸ λαβεῖν τὸν στέφανον ἐξῆν. ἐγὼ μὲν οὖν ταύτης οἴομαι τῆς δίκης μεμνῆσθαι τὸν Ἀριστοτέλη. εἰ δέ τις ἐρεῖ ὅτι ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΔΩΡΩΝ, ἣν ἐπ᾽ Ἀντικλέους ἄρχοντος ἀπελογήσατο, περὶ τὴν Ἀλεξάνδρου τελευτήν, πολλῶν νεωτέρας ἔτι ποιήσει ΤΑΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΤΕΧΝΑΣ τῶν ΔΗΜΟΣΘΕΝΟΥΣ ΑΓΩΝΩΝ. ἀλλὰ γὰρ ὅτι μὲν οὐχ ὁ ῥήτωρ παρὰ τοῦ φιλοσόφου τὰς τέχνας παρέλαβεν, ἃς εἰς τοὺς θαυμαστοὺς ἐκείνους κατεσκεύασε λόγους, ἀλλὰ τοὐναντίον τὰ Δημοσθένους [f] καὶ τὰ τῶν ἄλλων ῥητόρων ἔργα παραθέμενος Ἀριστοτέλης, ταύτας ἔγραψε ΤΑΣ ΤΕΧΝΑΣ, ἱκανῶς ἀποδεδεῖχθαι νομίζω.

a *Ariſtotelis* exemplaria (*Rhet.* l. 2. c. 23.) pro copulativa καὶ habent disjunctivam ἤ. *Sylb.* b *Ariſt.* exemplaria habent πλωτῶν: minus convenienter. *Sylb.* In *Cod. MS.* illa περὶ τῶν πλωτῶν deſunt. c In *Ariſtot.* exemplaribus ſic legitur hic locus; καὶ εἰ τῷ πεπονθότι τὸ καλῶς ἢ δικαίως ὑπάρχει. καὶ τῷ ποιήσαντι· καὶ εἰ τῷ ποιήσαντι, καὶ τῷ πεπονθότι. ἔστι δ᾽ ἐν τούτῳ παραλογίσασθαι. εἰ γὰρ δικαίως ἀπέθανε, δικαίως πέπονθεν· ἀλλ᾽ ἴσως οὐχ ὑπὸ σοῦ. διὸ δεῖ σκοπεῖν χωρ. *Sylb.* d Poſt διαφωνεῖ τὸ τοιοῦτον *Ariſt.* exemplaria habent hoc præterea commation, καὶ οὐδὲν κωλύει. *Alcmæonis* quoque *Theodectei* verba, ab *Ariſtotele* relata, *Dionyſius* brevitatis cauſa omiſit. *Sylb.* e *Wolfianæ* edit. margo pro ἐν ταύτῃ habet ἐν τούτῳ. Sed is qui *Morellianæ* editionis διπλογραφίας ex illo margine in *Wolfianæ* editionis marginem tranſcripſit, *Morellianas* notas parum obſervavit, annotatio enim *Morelliana* ἐν τούτῳ refertur ad τοῦτο, quod eſt v. 15. ſignificans ſcilicet, pro *Dionyſiano* τοῦτο, apud *Ariſtot.* legi ἐν τούτῳ. *Sylb.* f *Ariſtotelem* è veteribus *artis Rhetoricæ* ſcriptoribus ſuas præceptiones collegiſſe, teſtatur etiam *Cicero*, l. 2. de Inventione, & l. 2. de Oratore. *Sylb.*

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ
ΠΡΟΣ
ΓΝΑΙΟΝ ΠΟΜΠΗΙΟΝ ΕΠΙΣΤΟΛΗ.

DIONYSII HALICARNASSENSIS
AD
CN. POMPEIUM EPISTOLA. *

ΔΙΟΝΥΣΙΟΣ ΓΝΑΙΩ ΠΟΜΠΗΙΩ ΧΑΙΡΕΙΝ.

ΕΠΙΣΤΟΛΗΝ τινα παρὰ σοῦ κομισθεῖσαν ἐδεξά-
μην, εὐπαίδευτόν τε καὶ πάνυ μοι κεχαρισμένην· ἐν ἧ
γράφεις ὅτι τὰς συντάξεις τὰς ἐμὰς ἐπιχο-
ρηγοῦντός σοι Ζήνωνος τοῦ κοινοῦ φίλου, διαπορευόμενος, καὶ
πάνυ διατιθέμενος οἰκείως ἐν αὐταῖς, τὰ μὲν ἄλλα θαυ-
μάζεις, ἑνὶ δὲ μέρει δυσχεραίνεις τῶν ἐν αὐταῖς κατα-
κεχωρισμένων, τῇ Πλάτωνος κατηγορίᾳ. ὅτι μὲν οὖν
σεβαστικῶς διάκεισαι πρὸς τὸν ἄνδρα, ὀρθῶς ποιεῖς·
ὅτι δὲ περὶ ἡμῶν ταῦτα ὑπείληφας, οὐκ ὀρθῶς. εἰ
γάρ τις ἄλλος ἐκπλήττεται ταῖς Πλατωνικαῖς ἑρ-
μηνείαις, εὖ ἴσθι νῦν κἀγὼ τούτων εἷς εἰμι. ὃ δὲ πέ-
πονθα πρὸς ἅπαντας ὅσοι τὰς αὑτῶν ἐπινοίας εἰς τὴν
κοινὴν φέρουσιν ὠφέλειαν, ἐπανορθοῦντες ἡμῶν βίους τε
καὶ λόγους, ἐρῶ σοι· καὶ πείσω γε νὴ Δία πιστεύειν και-
νὸν οὐδὲν εὑρεῖν οὐδὲ παράδοξον, οὐδ' ὃ μὴ πᾶσιν ὁμοί-
ως δοκεῖ.

Ἐγὼ οὖν νομίζω δεῖν, ὅταν μὲν ἔπαινον προέληται
γράφειν τις πράγματος, εἴτε σώματος ὁποιουγέτινος, τὰς
ἀρετὰς αὐτοῦ καὶ οὐ τὰ ἀτυχήματα, εἴ τι πρόσεστι τῷ πρά-
γματι ἢ τῷ σώματι, δεῖν προφέρειν· ὅταν δὲ βουληθῇ δια-
γνῶναι τί τὸ κράτιστον ἐν ὁτῳδήποτε βίῳ, καὶ τί τὸ βέλτιστον
τῶν ὑπὸ ταὐτὸ γένος ἔργων, τὴν ἀκριβεστάτην ἐξέτασιν προ-
φέρειν, καὶ μηδὲν παραλείπειν τῶν προσόντων αὐτοῖς, εἴτε
κακῶν εἴτε ἀγαθῶν· ἡ γὰρ ἀλήθεια οὕτως εὑρίσκεται
μάλιστα, ἧς οὐδὲν χρῆμα τιμιώτερον. τοῦτο δὲ προ-
θέμενος, ἐκεῖνο λέγω. εἰ μὲν ἐπί μοι κατὰ Πλάτω-
126 νος λόγος τις, καταδρομὴν περιέχων τοῦ ἀνδρὸς,
ὥσπερ Ζωΐλῳ τῷ ῥήτορι, ἀσεβεῖν ὁμολογῶ· καὶ εἴ γε
βουληθεὶς ἐγκώμιον αὐτοῦ γράφειν, λόγους τινὰς συγ-
καταπλέκω τοῖς ἐπαίνοις [b] νόμοις· οὐ γὰρ ὅτι δια-
βολὰς οἴομαι δεῖν γράφειν ἐν αὐτοῖς, ἀλλ' οὐδ' ἀπο-
λογίας. εἰ δὲ χαρακτῆρας λόγου προελόμενος σκο-

DIONYSIUS CN. POMPEIO S.

EPISTOLAM quandam à te miſſam accepi, quæ & docta & mihi valde grata fuit: in qua ſcribis, te meas commentationes, quarum tibi Zeno communis amicus copiam fecit, percurrentem, & amico animo in eis affectum, alia quidem omnia ſuſpicere, ea vero parte offendi, in qua Platonis reprehenſionem collocaverim. Equidem quod tanta reverentia erga virum affectus es, recte facis: quod vero hæc de me ſentis, non recte. Si quis enim alius Platonis eloquentiam cum ſtupore quodam admiratur, tum vel maxime ego. Quo vero animo erga eos omnes affectus ſim, qui ſuas cogitationes in communem utilitatem proferunt, & iis vitam noſtram ac rationem ab errore deducunt, aperiam tibi; faciamque profecto ut credas, nihil me novi attuliſſe, nihil ab opinione hominum alienum, nihil quod à pervagata omnium ſententia abhorreat.

Forma vero elocutionis, partim ſimilis Herodoto, partim non adeo redundans & fluens. Purus quidem ſatis in verbis & apertus, quemadmodum & Herodotus: delegit autem verba uſitata, & rebus ipſis à natura inſita; quæ omnino non minus ſuaviter & jucunde quam Herodotus ipſe componit. Excellentiam vero & ſplendorem, amplitudinem jucundam & ſuavem conformationem hiſtoricam, quemadmodum Herodotus, non habet. non modo enim hoc ab ipſo mutuari non potuit, ſed etiam ſi aliquando voluit ſuam excitare elocutionem, paululum inſpirans, veluti * terrena aura extemplo langueſcit & exſtinguitur. In multis enim plus æquo longior fit; nec adeo feliciter ut Herodotus perſonarum dignitatem attingit & exprimit: ſed in multis, ſiquis recte conſideret & perpendat, eum negligentiorem reperiet.

Judicium de Philiſto.

V. PHILISTUS autem ad Thucydidem magis acceſſiſſe videtur, & ejus exemplo formam orationis, ſeu dicendi ſtylum ornaſſe.

τοι καὶ τῷ [a] φιλτάτῳ Καικιλίῳ δοκεῖ τὰ ἐνθυμήματα αὐτοῦ μάλιστά γε καὶ ζηλῶσαι Δημοσθένης. ἵνα δὲ συνελὼν εἴπω, καλαὶ μὲν αἱ ποιήσεις ἀμφότεραι· οὐ γὰρ ἂν αἰσχυνθείην ποιήσεις αὐτὰς λέγων· διαφέρουσι δὲ κατὰ τοῦτο μάλιστα ἀλλήλων, ὅτι τὸ μὲν Ηροδότου κάλλος ἱλαρόν ἐστι, φοβερὸν δὲ τὸ Θουκυδίδου. ἀπόχρη ταῦτα εἰρῆσθαι περὶ τούτων τῶν συγγραφέων, πολλῶν καὶ ἄλλων ἐνόντων λέγεσθαι, περὶ ὧν καὶ ἕτερος ἔσται καιρός.

δ΄. ΞΕΝΟΦΩΝ δὲ καὶ Φίλιστος, οἱ τούτοις ἐπακμάσαντες, οὔτε φύσεις ὁμοίας εἶχον, οὔτε προαιρέσεις. Ξενοφῶν μὲν γὰρ Ηροδότου ζηλωτὴς ἐγένετο καθ' ἀμφοτέρους τοὺς χαρακτῆρας, τόν τε πραγματικὸν καὶ τὸν λεκτικόν. πρῶτον μὲν γὰρ τὰς ὑποθέσεις τῶν ἱστοριῶν ἐξελέξατο καλὰς καὶ μεγαλοπρεπεῖς καὶ ἀνδρὶ φιλοσόφῳ προσηκούσας· τήν τε ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΝ, εἰκόνα βασιλέως ἀγαθοῦ καὶ εὐδαίμονος· καὶ τὴν ΑΝΑΒΑΣΙΝ ΤΟΥ ΝΕΩΤΕΡΟΥ ΚΥΡΟΥ· ᾧ καὶ αὐτὸς συνανέβη· μέγιστον ἐγκώμιον ἔχουσαν τῶν συστρατευσαμένων Ελλήνων· καὶ τρίτην ἔτι ΤΗΝ ΕΛΛΗΝΙΚΗΝ, καὶ ἣν κατέλιπεν ἀτελῆ Θουκυδίδης· ἐν ᾗ καταλύονταί τε οἱ τριάκοντα, καὶ τὰ τείχη τῶν Αθηναίων, ἃ Λακεδαιμόνιοι καθεῖλον, αὖθις ἀνίστανται. οὐ μόνον δὲ τῶν ὑποθέσεων χάριν ἄξιος ἐπαινεῖσθαι, ζηλωτὴς Ηροδότου γενόμενος, ἀλλὰ καὶ τῆς οἰκονομίας. ταῖς τε γὰρ ἀρχαῖς αὐτῶν ταῖς πρεπωδεστάταις κέχρηται, καὶ τε- 131
λευταῖς ἑκάστῃ τὰς ἐπιτηδειοτάτας ἀποδέδωκε. μεμέρικέ τε καλῶς καὶ τέταχε καὶ πεποίκιλκε τὴν γραφήν. ἦθός τε ἐπιδείκνυται θεοσεβὲς καὶ δίκαιον καὶ καρτερικὸν καὶ εὐπετές, ἁπάσαις τε συλλήβδην κεκοσμημένον ἀρεταῖς· καὶ ὁ μὲν πραγματικὸς τύπος αὐτῷ τοιοῦτος.

Ο δὲ λεκτικός, πῇ μὲν ὅμοιος Ηροδότου, πῇ δὲ ἐνδεέστερος. καθαρὸς μὲν γὰρ τοῖς ὀνόμασιν ἱκανῶς, καὶ σαφής, καθάπερ ἐκεῖνος· ἐκλέγει δὲ ὀνόματα συνήθη τε καὶ προσφυῆ τοῖς πράγμασι, καὶ συντίθησιν [b] αὐτὰ ἡδέως πάνυ καὶ κεχαρισμένως, οὐχ ἧττον Ηροδότου. ὕψος δὲ καὶ κάλλος καὶ μεγαλοπρέπειαν καὶ τὸ λεγόμενον ἰδίως πλάσμα ἱστορικὸν [c] Ηρόδοτος ἔχει. οὐ γὰρ μόνον οὐκ ἴσχυσε τοῦτο παρ' αὐτοῦ λαβεῖν, ἀλλὰ κἄν ποτε διεγεῖραι βουληθείη τὴν φράσιν, ὀλίγον ἐμπνεύσας ὥσπερ ἀπόγειος αὖρα, ταχέως σβέννυται. μακρότερος [d] γὰρ γίνεται τοῦ δέοντος ἐν πολλοῖς καὶ τοῦ πρέποντος, καὶ οὐχ ὡς Ηρόδοτος, ἐφάπτεται τῶν προσώπων εὐτυχῶς, ἀλλ' ἐν πολλοῖς ὀλίγωρός ἐστιν, ἄν τις ὀρθῶς σκοπῇ.

έ. ΦΙΛΙΣΤΟΣ δὲ Θουκυδίδῃ μᾶλλον δόξειεν ἐοικέναι, καὶ κατ' ἐκεῖνον κοσμεῖσθαι τὸν χαρακτῆρα. [e] οὔτε

γὰρ

[a] Ille fuit *Rhetor Siculus*, cujus meminit *Dionyſius Longinus* ſub initium aureoli libelli περὶ ὕψους: & quem, ex hoc ipſo loco, *Dionyſii* familiarem, ſub Julio & Octavio Cæſaribus Romæ vixiſſe conjicit *T. Faber* in notis ad *Longinum*. [b] Πάνυ ἡδέως in *MS. Reg.* [c] *Stephano* videtur legendum Ηροδότου οὐκ ἔχει: vel, ὥσπερ Ηρόδοτος, οὐκ ἔχει. niſi mavis (inquit) particulam quæ ex adverſo reſpondeat τῷ ἧττον, reponere. Sed ſive hoc ſive illo modo legas, deſideratur negatio. *Sylb.* In margine *Cod. Reg.* ἴσ. Ηρόδοτος μεῖζον ἔχει. [d] Pro γὰρ aptius fortaſſe legeris δέ. *Sylb.* [e] In margine *MS. Reg.* ἴσ. ἔτι γὰρ μόνον . . . . ἀλλὰ καὶ μιαν &c. * *Abterranea aura, id eſt, quæ à terra conſurgens per altum pergit: quos altanos ventos Latine nominari docet* Plin. *lib.* 2. *cap.* 43.

a Sane,

γὰρ ὑπόθεσιν εἴληφε πολὺ ἀφελῆ καὶ κοινήν, ὥσπερ Θουκυδίδης, ἀλλὰ μίαν, καὶ ταύτην τοπικήν· διῄρηκε δ᾽ αὐτὴν εἰς ἐπιγραφὰς δύο, ΠΕΡΙ ΣΙΚΕΛΙΑΣ μὲν τὴν προτέραν ἐπιγράφων, ΠΕΡΙ ΔΙΟΝΥΣΙΟΥ δὲ τὴν ὑστέραν. ἔστι δὲ μία· καὶ τοῦτο γνοίης ἂν ἀπὸ τοῦ τέλους ΤΗΣ ΣΙΚΕΛΙΚΗΣ. τάξιν δὲ οὐ τὴν κρατίστην ἀποδέδωκε τοῖς δηλουμένοις, ἀλλὰ δυσπαρακολούθητον, [b] χεῖρον τῆς Θουκυδίδου. καὶ πρᾶγμα ἔξωθεν οὐ βούλεται περιλαμβάνειν, ὥσπερ οὐδὲ Θουκυδίδης, ἀλλ᾽ ἔστιν ὁμοειδής. ἦθός τε κολακικὸν καὶ φιλοτύραννον ἐμφαίνει, καὶ ταπεινὸν καὶ μικρολόγον. τῆς δὲ λέξεως ᾗ Θουκυδίδης κέχρηται, [c] ἡ μὲν σημειῶδες καὶ περίεργον πέφυκε, τὸ δὲ στρογγύλον καὶ πικρὸν καὶ ἐνθυμηματικὸν μέμικται. τῆς μέντοι καλλιλογίας τῆς ἐκείνου καὶ τοῦ πλούτου τῶν ἐνθυμημάτων κατὰ πολὺ ὑστερεῖ. οὐ μόνον δὲ τούτοις, ἀλλὰ καὶ κατὰ τοὺς σχηματισμούς. ἡ μὲν γὰρ, πλήρης σχημάτων· καὶ οὐδὲν οἶμαι περὶ τῶν φανερῶν ἐπιπλέον δεῖν λέγειν· ἡ δὲ Φιλίστου φράσις, ὁμοειδὴς πᾶσα δεινῶς καὶ ἀσχημάτιστός ἐστι· καὶ πολλὰς εὕροι τις ἂν περιόδους ὁμοίως ἐφεξῆς ὑπ᾽ αὐτοῦ σχηματιζομένας, οἷον ἐν ἀρχῇ τῆς δευτέρας τῶν ΠΕΡΙ ΣΙΚΕΛΙΑΣ· "Συρακούσιοι δὲ παραλαβόντες Μεγαρεῖς καὶ Ενναίους, Καμαριναῖοι δὲ Σικελοὺς καὶ τοὺς ἄλλους συμμάχους, πλὴν Γελώων, ἀθροίσαντες, Γελῷοι δὲ [d] Συρακουσίους οὐκ ἔφασαν πολεμήσειν· Συρακούσιοι δὲ πυνθανόμενοι Καμαριναίους τὸν Ὕρμινον διαβάντας". ταῦτα δὲ ἀηδῆ πάνυ ὄντα ἐμοὶ φαίνεται. μικρός τε περὶ πᾶσαν ἰδέαν ἐστὶ καὶ ἀτελὴς, ἐάν τε πολιορκίας διηγῆται, ἐάν τε οἰκισμοὺς, ἐάν τε ἐπαίνους, ἐάν τε ψόγους διαπορεύηται. ἀλλ᾽ οὐδὲ τοῖς μεγέθεσι τῶν ἀνδρῶν συνεξισοῖ τοὺς λόγους, ἀλλὰ ψοφοδεεῖς καὶ τοὺς δημηγοροῦντας καταλείπειν τὰς δυνάμεις καὶ τὰς προαιρέσεις ὁμοίως ἅπαντας ποιεῖ. εὐστομίαν δέ τινα φυσικὴν εἰσφέρεται κατὰ τὴν ἑρμηνείαν, καὶ σύνεσιν ἐπὶ τέχνην τοῦ μετρίου. πρὸς δὲ τοὺς ἀληθινοὺς ἀγῶνας ἐπιτηδειότερος Θουκυδίδου.

neque enim materiam ſumpſit nimis ſimplicem, neque nimis pervagatam, ſicuti & Thucydides; verum unam, * & eam de loco: quam in duas inſcriptiones digeſſit; quarum primam *de Sicilia* inſcripſit; alteram *de Dionyſio.* eſſe vero eas unam & eandem, etiam ex fine *Siculæ hiſtoriæ* cognoſcere poteris. Ordine vero optimo hiſtoriam non ornavit, ſed obſcuro, & quem ſumma cum difficultate animo conſequi poſſis, ac ſane longe pejore quam Thucydides. Res etiam alienas hiſtoriæ ſuæ inſerere noluit, quemadmodum Thucydides: ſed in uno argumento permanet. Mores adulatorios, & tyrannorum ſtudioſos, humiles ac ſordidos præ ſe fert. Dictione eadem utitur qua & Thucydides, nimirum inuſitata & difficili: cæterum rotunditate & acerbitate ac arguto genere temperata eſt. Ab illius bene dicendi ornatu & commentationum divitiis multum abeſt. non ſolum vero ab iis, verumetiam à formationibus & ornamentis. Illius enim elocutio multis figuris & ornamentis referta eſt **: Philiſti vero, uniformis, gravis, ac nullis ornamentis & figuris prædita eſt. cujus etiam multas circumſcriptiones invenire poſſumus, quæ ab ipſo eodem habitu formatæ ſunt; veluti illa in principio ſecundæ inſcriptionis *de Sicilia*: "Syracuſani autem, aſſumptis ſibi ſociis Megarenſibus & Ennæis; Camarinenſes vero, Siculos & alios belli ſocios præter Geloos congregantes: Geloi autem, cum Syracuſanis negarunt ſe bellum geſturos: Syracuſani vero, audientes Camarinenſes Hyrminum trajeciſſe". Hæc mihi omnino nulla jucunditate condita eſſe videntur. Humilis etiam in omni forma ac imperfectus eſt, ſive obſeſſionem exponat, ſive colonias deductas; ſive laudationes, ſive vituperationes perſequatur. Neque ſermones fortitudini & magnitudini virorum aptos adſcribit, ſed ad omnem ſtrepitum expaveſcentes facit: & qui apud eum concionantur, ii ſuas facultates & ſtudia pariter omnes relinquunt. Naturalem autem quandam oris ſuavitatem in elocutione, & prudentiam inducit mediocrem. Cæterum ad vera certamina † exponenda Thucydide accommodatior eſt.

ϛʹ. ΘΕΟΠΟΜΠΟΣ δὲ [e] Χῖος, ἐπιφανέστατος πάντων Ισοκράτους μαθητῶν γενόμενος, καὶ πολλοὺς μὲν πανηγυρικοὺς, πολλοὺς δὲ συμβουλευτικοὺς συνταξάμενος λόγους, ἐπιστολάς τε τὰς [f] ἀρχαϊκὰς γραφομένας καὶ ὑποθήκας ἄλλας, λόγου ἀξίαν ἱστορίαν πεπραγματευμένος, ἄξιος ἐπαινεῖσθαι· πρῶτον μὲν τῆς ὑποθέσεως τῶν ἱστοριῶν· καλαὶ γὰρ ἀμφότεραι· ἡ μὲν, τὰ λοιπὰ τοῦ Πελοποννησιακοῦ πολέμου περιέχουσα· ἡ δὲ, τὰ Φιλίππῳ πεπραγμένα. ἔπειτα τῆς οἰκονομίας· ἀμφότεραι γάρ εἰσιν εὐπαρακολούθητοι καὶ σαφεῖς· μάλιστα

VI. THEOPOMPUS autem Chius, cum ſit clariſſimus inter omnes Iſocratis diſcipulos, & cum multas orationes, tum in genere demonſtrativo tum in deliberativo, conſcripſerit, & epiſtolas ‡ Achaicas, & adhortatorias alias, & memorabilem compoſuerit hiſtoriam, dignus eſt qui laudibus in cœlum feratur: primum quidem, ob materiam hiſtoriarum; (ambæ enim præclaræ ſunt: una quidem, partem belli Peloponneſiaci continet; altera vero res geſtas Philippi comprehendit) deinde etiam propter diſpoſitionem, utræque enim facile percipi poſſunt & apertæ ſunt. Et vel maxime

Judicium de Theopompo.

a Sane pro πολὺ ἀφελῆ rectius, meo judicio, πολυφελῆ: ut infra, p. 161. [juxta *Ed. Sylb.*] Sequentium vero expoſitionem è *Cicerone* habes in Epiſt. ad *Quintum* fratrem, l. 2. qua de re plura *Petr. Vict.* Var. lect. lib. 32. c. 19. *Sylb.* b Forſan rectius χείρονα, & mox παραλαμβάνειν. *Sylb.* c Pro ἡ μὲν convenientius legemus τὸ μέν. Eodem etiam verſu pro πέφυκε legendum videtur πέφυκε: & mox μεμίμηται. pro μέμικται. quæ confer cum p. 125. v. 21. *Sylb.* d *Stephano* legendum videtur Συρακουσίοις οὐκ ἔφασαν πολεμήσειν. *Sylb.* e Supra (p. 125. v. 32.) cum articulo habuimus ὁ Χῖος. *Sylb.* f Pro ἀρχαϊκὰς quidam codices (teſte *Stephano*) habent Ἀχαϊκάς. quæ lectio trahi poſſit ad famoſos libellos ab *Anaximene* ſub *Theopompi* nomine divulgatos; ut ex *Pauſania* annotatum reperies ad p. 178. v. 5. vel ἀρχαϊκαὶ ſunt antiquo ſtilo ſcriptæ: vel de priſci ſæculi virtutibus. *Athenæus* meminit epiſtolæ ad *Alexandrum* ſcriptæ; & alius præterea ad Chios. Forſan etiam compoſite legendum ibidem ἐπιγραφομένας. *Sylb.* * *Eamque localem*, i. e. *unius certi loci.* ** Illa, καὶ οὐδὲν οἶμαι περὶ τῶν φανερῶν ἐπιπλέον δεῖν λέγειν, (i. e. *minimeque neceſſarium puto de manifeſtis plura dicere*) quaſi non ſuo loco poſita, prætermiſit *Interpres.* † *Peragenda.* ‡ al. *Archaïcas, vetere ſtylo.*

maxime laudandus eſt ob diligentiam & ſtudium quod in ſcriptione poſuit. Perſpicuum enim eſt, eum, etiam ſi nihil poſteritati reliquiſſet, multum apparatum huic rei impendiſſe, & maximos ſumptus his colligendis feciſſe. Adhæc multorum ipſe ſpectator fuit, & in multorum hominum, qui tum principatum tenebant, & imperatorum, & oratorum, & philoſophorum * amicitiam veniens, propter conſcriptionem hiſtoriæ, rem omnium maxime neceſſariam ad finem perduxit. Cujus ſtudium & laborem cognoſcere poteris, ſi varietatem ſcriptionis ejus reputaveris. Nam & gentium conſtitutiones retulit, & civitatum exſtructiones narravit; & regum vitas, & mores cujuſque proprios expoſuit: & ſiquid admiratione dignum, aut ab opinione alienum aliqua regio tulit, opere ſuo comprehendit. Nec quiſquam autumet hæc ſolummodo animi oblectationem habere; (non enim ita ſe res habet) ſed omnibus, ut paucis dicam, ſummam utilitatem afferunt.

Ut vero multa alia ſilentio prætaream, quis eſt qui inficias ibit, eos qui philoſophicæ eloquentiæ dant operam, oportere multas gentes & barbarorum & Græcorum cognoſcere, multas leges audire, rerumpublic. formas, vitas virorum atque mortes & fortunam perſpectas habere? His omnibus copiam præbuit Theopompus, non abſtractam à rebus, ſed cohærentem: quæ omnia ad imitationem valent. Adhæc, † quantum ex philoſophia de pietate & de aliis virtutibus, multis pulcris orationibus editis differit? Ultimum eſt ejus opus maxime inſigne, quod à nullo alio eorum qui res geſtas ſcriptura perſecuti ſunt, adeo diligenter elaboratum eſt; nec quiſquam, neque priſcorum neque recentiorum, ejus præſtantiam aſſequi poſſet. Quod vero hoc eſt? illud, inquam, quod in ſingulis rebus non modo ea quæ multis manifeſta ſunt, videat & recenſeat, ſed quod cauſas abditas rerum, & eorum, qui eas effecerunt, animum, quem haud facile eſt multis noſſe, exquirat, & quod omnia ſecreta virtutis fucatæ & vitii latentis detegat ac in apertum proferat. Ac mihi quidem videtur inquiſitio judicum, quæ fit ſcriptis Theopompi, non minus diligens & exacta, quam illa quam fabulantur animis corpore ſolutis apud inferos fieri, ab iis qui illic ſunt judicibus. Proinde etiam obtrectator videtur eſſe, dum nonnullos debitis conviciis afficit, & facta virorum illuſtrium non neceſſaria perſtringit: ſimile quiddam faciens ac medici, qui corruptas corporis partes ſecant & urunt, quam profundiſſime cauteria & ſectiones immittentes, non tamen ſanas corporis partes & bene affectas attingunt. Atque hujuſmodi eſt character Theopompi, qui res continet.

Ea autem forma quæ in elocutione cernitur, maxime ad ſimilitudinem Iſocrateæ accedit. Pura enim dictio, vulgaris, ſimplex,

δὲ τῆς ἐπιμελείας τε καὶ φιλοπονίας τῆς κατὰ τὴν συγγραφήν. δῆλος γάρ ἐστιν, εἰ καὶ μηδὲν ἔγραψεν, πλείστην μὲν παρασκευὴν εἰς ταῦτα παρεσκευασμένος, μεγίστας δὲ δαπάνας εἰς τὴν συναγωγὴν αὐτῶν τετελεκὼς καὶ πρὸς τούτοις, πολλῶν μὲν αὐτόπτης γεγενημένος, [a] πολλοῖς δ' εἰς ὁμιλίαν ἐλθὼν ἀνδράσι τοῖς τότε πρωτεύουσι καὶ στρατηγοῖς δημαγωγοῖς τε καὶ φιλοσόφοις [b] διὰ τὴν συγγραφὴν τῆς ἱστορίας ἐποιήσατο· ἔργον δὲ τὸ πάντων ἀναγκαιότερον. γνοίη δ' ἄν τις αὐτοῦ τὸν πόνον, ἐνθυμηθεὶς τὸ πολύμορφον τῆς γραφῆς. καὶ γὰρ καὶ ἐθνῶν εἴρηκεν οἰκισμοὺς, καὶ πόλεων κτίσεις ἐπελήλυθε, βασιλέων τε βίους καὶ [c] τρόπων ἰδιώματα δεδήλωκε, καὶ εἴ τι θαυμαστὸν ἢ παράδοξον ἑκάστη γῆ καὶ θάλασσα φέρει, συμπεριείληφεν ἐν τῇ πραγματείᾳ. καὶ μηδεὶς ὑπολάβῃ ψυχαγωγίαν ταῦτ' εἶναι μόνον· οὐ γὰρ οὕτως ἔχει· ἀλλὰ πᾶσιν, ὡς ἔπος εἰπεῖν, ὠφέλειαν παρέχει.

Ἵνα δὲ πάντ' ἀφῶ τἄλλα, τίς οὐχ ὁμολογήσει τοῖς 132 ἀσκοῦσι τὴν φιλόσοφον ῥητορικὴν, ἀναγκαῖον εἶναι πολλὰ μὲν ἔθνη καὶ βαρβάρων καὶ Ἑλλήνων ἐκμαθεῖν, πολλοὺς δὲ νόμους ἀκοῦσαι, πολιτειῶν σχήματα, καὶ βίους ἀνδρῶν καὶ πράξεις, καὶ τέλη, καὶ τύχας. τούτοις τοίνυν ἅπασιν ἀφθονίαν δέδωκεν, οὐκ ἀπεσπασμένην τῶν πραγμάτων, ἀλλὰ συμπαροῦσαν· πάντα δὲ ταῦτα ζηλωτὰ τοῦ συγγραφέως. καὶ ἔτι πρὸς τούτοις, ὅσα φιλοσοφεῖ παρ' [d] ὅλην τὴν δικαιοσύνην καὶ εὐσέβειαν, καὶ περὶ τῶν ἄλλων ἀρετῶν πολλοὺς καὶ καλοὺς διεξερχόμενος λόγους; τελευταῖόν ἐστι τῶν ἔργων αὐτοῦ καὶ χαρακτηρικώτατον, ὃ παρ' οὐδενὶ τῶν ἄλλων συγγραφέων οὕτως ἀκριβῶς ἐξείργασται, [e] καὶ δυνάται οὔτε τῶν πρεσβυτέρων, οὔτε τῶν νεωτέρων. τί δὲ τοῦτό ἐστι; τὸ καθ' ἑκάστην πρᾶξιν μὴ μόνον τὰ φανερὰ τοῖς πολλοῖς ὁρᾷν καὶ λέγειν, ἀλλ' ἐξετάζειν καὶ τὰς ἀφανεῖς αἰτίας τῶν πράξεων καὶ τῶν πραξάντων αὐτὰς, καὶ τὰ πάθη τῆς ψυχῆς ἃ μὴ ῥᾴδια τοῖς πολλοῖς εἰδέναι· καὶ πάντα ἐκκαλύπτειν τὰ μυστήρια τῆς τε δοκούσης ἀρετῆς καὶ τῆς ἀγνοουμένης κακίας. καί μοι δοκεῖ ὡς ὁ μυθευόμενος εἶναι τῶν ψυχῶν ἀπολυθεισῶν τοῦ σώματος ἐξετασμὸς ἐπὶ τῶν ἐκεῖ δικαστῶν, οὕτως ἀκριβὴς εἶναι ὁ διὰ τῆς Θεοπόμπου γραφῆς γινόμενος. διὸ καὶ βάσκανος ἔδοξεν εἶναι, προσλαμβάνων τινὰ τοῖς ἀναγκαίοις ὀνειδισμοῖς καὶ τὰ τῶν ἐνδόξων προσώπων οὐκ ἀναγκαῖα πράγματα· ὅμοιόν τι ποιῶν τοῖς ἰατροῖς, οἳ τέμνουσι καὶ καίουσι τὰ διεφθαρμένα τοῦ σώματος, [f] ὡς βάθους τὰ καυτήρια καὶ τὰς τομὰς φέροντες, οὐδὲ τῶν ὑγιαινόντων καὶ κατὰ φύσιν ἐχόντων στοχαζόμενοι. τοιοῦτος μὲν δή τις ὁ πραγματικὸς Θεοπόμπου χαρακτήρ.

Ὁ δὲ λεκτικὸς Ἰσοκράτει μάλιστα ἔοικε. καθαρὰ γὰρ ἡ λέξις, καὶ κοινὴ καὶ σαφὴς, ὑψηλή τε καὶ μεγαλοπρεπὴς,

a Πολλὴν δ' εἰς ὁμιλίαν in *MS. Reg.* *b* Διὰ tollenda videtur: vel addendum ei genitivi caſus nomen τούτων, aut aliud conſimile: vel denique ſic legendum, διὰ τὴν συγγραφὴν, τῆς ἱστορίας ἐποιήσατο. Sequ. v. rectius ſuperl. ἀναγκαιότατον. *Sylb.* *c* Et τρόπων retineri poteſt, & τόπων admitti. *Sylb.* *d* Forſan legendum παρ' ὅλην τὴν ἱστορίαν περὶ δικαιοσύνης καὶ εὐσεβείας, καὶ π. Verſu 29. nota χαρακτηρικώτατον: & p. 215. v. 38. χαρακτηριστικώτατα. *Sylb.* *e* Commation iſtud καὶ δυνάται tollendum eſt: aut pro δυνάται reponendum διαπεπόνηται, διεσκεύασται, vel ſimile quid. *Sylb.* *f* *Hæſchelius* legit εἰς βάθος poſſis etiam legere ὡς οἷόν τε βαθέως. *Sylb.* * *Familiaritatem ſe hiſtoriæ conſcribendæ gratia inſinuavit: rem hiſtoriarum conditori omnium maxime neceſſariam.* † *In quibus philoſophatur de p.*

a De

γαλοπρεπὴς, καὶ τὸ πομπικὸν ἔχουσα πολὺ, συγκειμένη τε κατὰ τὴν μέσην ἁρμονίαν, ἡδέως καὶ μαλακῶς ῥέουσα. διαλλάττει δὲ τῆς Ἰσοκρατείου κατὰ τὴν πικρότητα καὶ τὸν τόνον ἐπ' ἐνίων, ὅταν ἐπιτρέψῃ τοῖς πάθεσι, μάλιστα δ' ὅταν ὀνειδίζῃ πόλεσιν ἢ στρατηγοῖς πονηρὰ βουλεύματα καὶ πράξεις ἀδίκους. πολὺς γὰρ ἐν τούτοις, καὶ τῆς Δημοσθένους δεινότητος οὐδὲ κατὰ μικρὸν διαφέρει, ὡς ἐξ ἄλλων πολλῶν ἄν τις ἴδοι, κἀκ τῶν [a] ἀρχαϊκῶν ἐπιστολῶν, ἃς τῷ πνεύματι ἐπιτρέψας γέγραφεν. εἰ δ' ὑπερεῖδεν ἐν τούτοις ἐφ' οἷς μάλιστα ἂν ἐσπούδακε, τῆς τε συμπλοκῆς τῶν φωνηέντων γραμμάτων, καὶ τῆς κυκλικῆς εὐρυθμίας τῶν περιόδων, καὶ τῆς ὁμοειδείας τῶν σχηματισμῶν, πολὺ ἀμείνων ἂν ἦν αὐτὸς ἑαυτοῦ κατὰ τὴν φράσιν. ἔστι δὲ ἃ καὶ κατὰ τὸν πραγματικὸν [b] τόπον ἁμαρτάνει, καὶ μάλιστα κατὰ τὰς παραβολάς. οὔτε γὰρ ἀναγκαῖαί τινες αὐτῶν, οὔτ' ἐν καιρῷ γινόμεναι, πολὺ δὲ τὸ παιδιῶδες ἐμφαίνουσαι. ἐν οἷς ἐστι καὶ περὶ Σειληνοῦ τοῦ φανέντος ἐν Μακεδονίᾳ, καὶ τὰ περὶ τοῦ δράκοντος τοῦ διαναυμαχήσαντος [c] πρὸς τὴν τριήρη, καὶ ἄλλα τούτοις οὐκ ὀλίγα ὅμοια. [d] τούτοις παραληφθέντες οἱ συγγραφεῖς ἀρκέσουσι τοῖς ἀσκοῦσι τὸν πολιτικὸν λόγον, ἀφορμὰς ἐπιτηδείους παραδειγμάτων παρέχειν εἰς ἅπασαν ἰδέαν.

perſpicua, ſublimis, magnifica, & ſummam pompam præ ſe fert, & quadam harmonia temperata eſt, jucunde & ſuaviter fluens. Differt autem ab elocutione Iſocratis in auſteritate & vehementia in aliquibus; nimirum cum ſe in affectus concitandos dederit, & vel maxime cum urbibus & ducibus improba conſilia & res geſtas exprobrat atque vitio dat. Multus enim eſt in iis, & à Demoſthenis acrimonia ne paululum quidem abeſt: quod tum multis in aliis libris tum ex epiſtolis * Achaicis, quas concitato affectu ſcripſit, perſpici poteſt. Quod ſi in iis, in quibus ſummum ſtudium poſuit, colliſionem vocalium & numeroſas circumſcriptiones ac figuras ſimiles negle-xiſſet, longe melior in elocutione ſe ipſo evaſiſſet. Sunt etiam nonnulla in ea parte hiſtoriæ quæ ad res ſpectat, in quibus deliquit, & potiſſimum in comparationibus. neque enim neceſſariæ quædam earum, neque tempeſtive inducuntur; multas vero ineptias præ ſe fert: ex quo genere illa ſunt quæ de Sileno commemorat, qui in Macedonia apparuit, & quæ de dracone ad triremem pugna navali contendente, & alia nonnulla iis ſimilia. . . . .

a De *Ἀχαϊκῶν* dictum ad pag. 211. v. 41. In ſeq. periodo (inquit *Steph.*) non video quid ſit opus particula *ἂν*. ſed nec illud *ἐν τούτοις* mihi ſatis placet. Senſus autem planus eſt. reprehendit enim *Theopompi* nimiam curam & diligentiam in vitando concurſu & hiatu vocalium: quam etiam *Cicero* & *Quinctilianus* reprehenderunt. *Sylb.* b Et *τύπον* ferri poteſt, & *τύπον* reponi: qua de re ad pag. 2. v. 5. *Sylb.* c In *Cenſura Scriptorum veterum* p. 126. v. 6. (ubi eadem fere habet de *Sileno* & *Dracone*) *πρὸς τῇ τριήρει*. d Senſus eſt, *ταῦτα παραληφθέντα παρὰ τῶν συγγραφέων*. *Sylb.* Verba autem illa & quæ ſequuntur (ut corrupta & mutila) neglexit *Interpres*. * al. *Archaïcis, quas ingenio indulgens ſcripſit.*

ΔΙΟ-

ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ

[a]ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΑΜΜΑΙΟΝ ΔΕΥΤΕΡΑ

ΠΕΡΙ

ΤΩΝ ΘΟΥΚΥΔΙΔΟΥ ΙΔΙΩΜΑΤΩΝ.

DIONYSII HALICARNASSENSIS

EPISTOLA AD AMMÆUM II.

DE

IIS QUÆ THUCYDIDI PROPRIA SUNT.

DIONYSIUS AMMÆO CARISSIMO S.

PUTABAM ſatis ſufficienterque me Thucydidis characterem & ſtylum jam declaraſſe, ut qui maximas & propriiſſimas ejuſdem proprietates ſim proſecutus; in quibus ſane maxime ab iis, quæ ante illum fuere, oratoribus & ſcriptoribus, diſcrepare mihi viſus eſt: primum quidem in commentariolo, quod *de antiquis Oratoribus* compoſui & tibi dedicavi: deinde haud ita multo ante in tractatu, quem *de hoc ipſo Thucydide* edidi, quem Ælio Tuberoni inſcripſi; in quo omnia, quæ dicenda erant, additis exemplis ab ipſo petitis, ſum pro virili proſecutus. Cum vero tibi hæc parum accurate ſcripta eſſe videantur, ubi omnia, quæ characteri huic accidunt, propoſuero, argumentis evidentibus ad oculum tunc confirmabo: cum vero credas accuratiorem demonſtrationem proprietatum characteris futuram, ſi præter ſingulas propoſitiones, ſcriptoris etiam verba apponerem, (quod qui præcepta & inductiones in artem oratoriam conficiunt, præſtant) & mihi animo ſedeat, nihil omnino prætermittere, hoc etiam præſtiti, docentis officio functus, cum demonſtrare potius deberem.

Thucydidis character à Dionyſio tribus in locis expoſitus.

II. Ut vero quæ dicturus ſum facile aſſequaris, ſummatim, quæ de hoc auctore alias ſcripſi, complexus, ſingulas mox propoſitiones reſumam, & reipſa tibi, uti petiiſti, ad oculum demonſtrabo. Quæ vero demonſtraturus ſum, ſequuntur immediate ea quæ de Herodoto alias tradidi. Huic enim & cæteris, quorum ſuperius memini, ſuperveniens Thucydides, cum quas quiſque dicendi virtutes haberet, animadvertiſſet, propriam ipſe dicendi formam, nec eam omnino pedeſtrem,

Thucydidis character in dicendo quis, & unde formatus.

ΔΙΟΝΥΣΙΟΣ ΑΜΜΑΙΩ ΤΩ ΦΙΛΤΑΤΩ ΧΑΙΡΕΙΝ.

ΕΓΩ μὲν ὑπελάμβανον ἀρκούντως δεδηλωκέναι τὸν Θουκυδίδου χαρακτῆρα, τὰ μέγιστα καὶ κυριώτατα τῶν ὑπαρχόντων περὶ αὐτὸν ἰδιωμάτων ἐπεξελθών· ἐν οἷς γε δὴ μάλιστα διαφέρειν ἔδοξέ μοι τῶν πρὸ αὐτοῦ ῥητόρων τε καὶ συγγραφέων· πρότερον μὲν [b] ἐν τοῖς ΠΕΡΙ ΤΩΝ ΑΡΧΑΙΩΝ ΡΗΤΟΡΩΝ πρὸς τὸ σὸν ὄνομα συνταχθεῖσιν ὑπομνηματισμοῖς, ὀλίγοις [c] δὲ πρόσθεν χρόνοις, ἐν τῇ ΠΕΡΙ ΑΥΤΟΥ ΤΟΥ ΘΟΥΚΥΔΙΔΟΥ κατασκευασθείσῃ γραφῇ, προσειπὼν τὸν Αἴλιον Τουβέρωνα· ἐν ᾗ πάντα τὰ δεόμενα λόγου μετὰ τῶν οἰκείων ἀποδείξεων διεξελήλυθα κατὰ τὴν [d] ἐμαυτοῦ δύναμιν. σὺ δὲ ὑπολαμβάνοντος ἧττον ἠκριβῶσθαι τὰς γραφάς, ἐπειδὴ προεκθέμενος ἅπαντα τὰ συμβεβηκότα τῷ χαρακτῆρι, τότε τὰς περὶ αὐτῶν πίστεις παρέχομαι· ἀκριβεστέραν δὲ τὴν δήλωσιν τῶν ἰδιωμάτων τοῦ χαρακτῆρος ἔσεσθαι νομίζοντος, εἰ 133
παρὰ μίαν ἑκάστην τῶν [e] παραθέσεων τὰς λέξεις τοῦ [f] συγγραφέως παρατιθείην· ὃ οἱ τὰς τέχνας καὶ τὰς εἰσαγωγὰς τῶν λόγων πραγματευόμενοι ποιοῦσι· προελόμενος εἰς μηδὲν ἐλλείπειν, καὶ τοῦτο πεποίηκα, τὸ διδασκαλικὸν σχῆμα λαβὼν ἀντὶ τοῦ ἐπιδεικτικοῦ.

β΄. Ἵνα δὲ εὐπαρακολούθητός ὁ λόγος σοι γένηται, προθεὶς κατὰ λέξιν [g] ὅσα περὶ τοῦ συγγραφέως τυγχάνω προειρηκώς, ἐπιτροχάδην ἀναλήψομαι τῶν προθέσεων ἑκάστην, καὶ τὰς ἀποδείξεις παρέξομαι, καθάπερ [h] ἠξίουν. ἕπεται δὲ τοῖς περὶ Ἡροδότου γραφεῖσι τὰ μέλλοντα δηλοῦσθαι. τούτῳ γὰρ Θουκυδίδης τῷ ἀνδρὶ ἐπιβαλών, καὶ τοῖς ἄλλοις ὧν πρότερον ἐμνήσθην, καὶ συνιδὼν ἃς ἕκαστος αὐτῶν ἔσχεν ἀρετάς, ἴδιόν τι γένος χαρακτῆρος, οὔτε πεζὸν αὐτοτελῶς, οὔτε ἔμμετρον

a Verba illa ἐπιστολὴ πρὸς Ἀμμαῖον δευτέρα adjecta eſſe volui ad titulum complendum. *b* Ex hoc etiam loco intelligimus tertiam de *ſcriptoribus Atticis* partem à *Dionyſio* abſolutam fuiſſe: eam ſcilicet qua poſt utriuſque generis oratores egit de philoſophis & hiſtoricis Atticis, ut eſt *Plato* (p.203. v.43.) *Thucydides, aliique. Sylb.* *c* Exemplar habet δὴ. ego *Stephanum* in *Thucydidis* editione ſequi malui. Seq. v. rectius forraſſe περὶ τοῦ αὐτοῦ Θουκ. *de eodem Thuc. Sylb.* *d* Pro vulgato αὐτοῦ legendum vel ἐμαυτοῦ cum *Stephano*, vel reciproce αὐτοῦ. *Sylb.* *e* Haud ſcio convenientiusne παραδόσεων, *traditionum*; an προθέσεων, *propoſitionum*, ut paulo poſt, v. 24. *f* Συγγραφέως *Reg.* 2. *g* Ὅσα περ τοῦ *Reg.* 1. & *Colb.* *h* Fortaſſe rectius ἠξίους, *petiiſti.* Sequentia petita ſunt è tractatu *ad Q. Ælium Tuberonem,* p. 147. juxta *Ed. Sylb.*

a Ut

ἔμμετρον ἀπηρτισμένως, κοινὸν δέ τι καὶ μικτὸν ἐξ ἀμφοῖν εἰργασάμενος, εἰς τὴν ἱστορικὴν πραγματείαν ἐσπούδασεν εἰσαγαγεῖν· ἐπὶ μὲν τῆς ἐκλογῆς τῶν ὀνομάτων τὴν τροπικὴν, καὶ γλωττηματικὴν, καὶ ἀπηρχαιωμένην, καὶ ξένην λέξιν παραλαμβάνων πολλάκις ἀντὶ τῆς κοινῆς καὶ συνήθους τοῖς καθ' ἑαυτὸν ἀνθρώποις· ἐπὶ δὲ τῶν σχηματισμῶν, ἐν οἷς μάλιστα ἐβουλήθη διενεγκεῖν τῶν πρὸ αὐτοῦ, πλείστην εἰσενεγκάμενος πραγματείαν, τοτὲ μὲν λόγον ἐξ ὀνόματος ποιῶν, τοτὲ δὲ εἰς ὄνομα συνάγων τὸν λόγον· καὶ νῦν μὲν τὸ ῥηματικὸν [a] ὀνομαστικῶς ἐκφέρων, αὖθις δὲ τοὔνομα ῥῆμα ποιῶν· καὶ αὐτῶν γε τούτων ἀναστρέφων τὰς χρήσεις, ἵνα τὸ μὲν ὀνοματικὸν, ῥηματικὸν, τὸ δὲ ῥηματικὸν, ὀνοματικὸν [b] λέγηται· καὶ τὰ μὲν παθητικὰ ῥήματα, δραστήρια, τὰ δὲ δραστήρια, παθητικά· πληθυντικῶν δὲ καὶ ἑνικῶν ἀλλάττων τὰς φύσεις, καὶ ἀντικατηγορῶν ταῦτα ἀλλήλων· θηλυκά τε ἀρσενικοῖς, καὶ ἄρρενα θηλυκοῖς, καὶ οὐδέτερα τούτων τισὶ συνάπτων· ἐξ ὧν ἡ κατὰ φύσιν ἀκολουθία πλανᾶται· τὰς δὲ ὀνοματικῶν ἢ μετοχικῶν πτώσεις τοτὲ μὲν πρὸς τὸ σημαινόμενον ἀπὸ τοῦ σημαίνοντος ἀποστρέφων, τοτὲ δὲ πρὸς τὸ σημαῖνον ἀπὸ τοῦ σημαινομένου· ἐν δὲ τοῖς συνδετικοῖς, καὶ τοῖς προθετικοῖς μορίοις, καὶ ἔτι μᾶλλον ἐν τοῖς διαρθροῦσι τὰς τῶν νοημάτων δυνάμεις, ποιητοῦ τρόπον ἐξουσιάζων. πλεῖστα δ' ἄν τις εὕροι παρ' αὐτῷ τῶν σχημάτων προσώπων τε ἀποστροφαῖς, καὶ χρόνων ἐναλλαγαῖς, καὶ τοπικῶν σημειώσεων μεταφοραῖς ἐξηλλαγμένα, καὶ σολοικισμῶν λαμβάνοντα φαντασίαν ἀποστέγειν· ἢ τὰ πράγματα ἀντὶ σωμάτων, ἢ τὰ σώματα ἀντὶ πραγμάτων, καὶ ἐφ' ὧν ἐνθυμημάτων τε καὶ νοημάτων αἱ μεταξὺ παρεμπτώσεις πολλαὶ γινόμεναι, διὰ μακροῦ τὴν ἀκολουθίαν κομίζονται, τά τε σκολιὰ, καὶ [c] πολύπλοκα, καὶ δυσεξέλικτα, καὶ τὰ ἄλλα τὰ συγγενῆ τούτοις. εὕροι δ' ἄν τις οὐκ ὀλίγα καὶ τῶν θεατρικῶν σχημάτων κείμενα παρ' αὐτῷ· τὰς παρισώσεις λέγω, καὶ παρομοιώσεις, καὶ παρονομασίας, καὶ ἀντιθέσεις· ἐν αἷς ἐπλεόνασε Γοργίας ὁ Λεοντῖνος, καὶ οἱ περὶ Πῶλον καὶ Λικύμνιον, καὶ πολλοὶ ἄλλοι τῶν κατ' αὐτὸν ἀκμασάντων. ἐκδηλότατα δὲ αὐτοῦ καὶ χαρακτηριστικώτατά ἐστι [d] πεπειρᾶσθαι δι' ἐλαχίστων ὀνομάτων πλεῖστα σημαίνειν πράγματα, εἰς ἃ καὶ ἔτι προσδεχόμενόν τι τὸν ἀκροατὴν ἀκούσεσθαι καταλείπει. ὑφ' ὧν ἀσαφὲς γίγνεται τὸ βραχύ. ἵνα δὲ συνελὼν εἴπω, τέσσαρα μέν ἐστιν ὥσπερ ὄργανα τῆς Θουκυδίδου λέξεως, τὸ ποιητικὸν τῶν ὀνομάτων, τὸ πολυειδὲς τῶν σχημάτων, τὸ τραχὺ τῆς ἁρμονίας, τὸ τάχος τῆς σημασίας· χρώματα δὲ αὐτῆς, τό, τε στρυφνὸν, καὶ τὸ πικρὸν, καὶ τὸ πυκνὸν, καὶ τὸ αὐστηρὸν, καὶ τὸ ἐμβριθὲς, καὶ τὸ δεινὸν, καὶ τὸ φοβερόν· ὑπὲρ ἅπαντα δὲ αὐτοῦ ταῦτα, τὸ παθητικόν. τοιοῦτοσί μὲν [e] δή τις ἐστὶν ὁ Θουκυδίδης κατὰ τὸν τῆς λέξεως χαρακτῆρα, ᾧ παρὰ τοὺς ἄλλους διήνεγκε.

nec etiam penitus numeroſam, ſed mixtam quandam ex ambabus & novam conſectatus, ad hiſtoricum artificium ſtuduit traducere: in delectu quidem verborum tropicam, gloſſematicam, obſoletam, ac peregrinam dictionem communi ſuaque ætate uſitatæ locutioni antepoſuit: in figuris autem adhibendis, quibus in primis ſuperiores ſuperare contendebat, ſummam diligentiam adhibuit; nunc quidem ex nomine orationem conſtituens, rurſuſque in nomen orationem contrahens, interdum autem verbalia nominatim efferens, ac rurſum nomen verbaliter; atque omnem eorum uſum invertens, ut nominale in verbale, verbale contra in nominale commutaret; atque verba inſuper paſſiva, activa facit; quæ vero actionem denotant, paſſivam iis addit ſignificationem; pluralium etiam & ſingularium naturam & ordinem mutat, & eadem inter ſe libere commiſcet; maſculina inſuper fœmininis, & fœminina maſculinis attribuit; neutra vero ita his connectit, ut tota illa naturalis coaptatio conſtructioque apud illum libera ſit & divagetur; nominum & participiorum caſus ab eo quod ſignificare debet ad id quod ſignificatum eſt, & contra ab eo quod ſignificatum ad ſignificans transfert: in conjunctionibus & præpoſitionibus, iis præſertim quæ ſententiarum robur & vim diſtinguunt, poëtica prorſus utitur licentia. Plurimæ quoque in eo figuræ occurrunt, quæ perſonarum apoſtrophis, temporum commutationibus, & notionum localium diſcrepantia à communi conſuetudine diſcrepant, ac quandam ſolœciſmorum ſpeciem præferunt. Adhæc ſæpius in ipſo res videbis pro corporibus, & vice verſa corpora pro rebus ſumi: in enthymematis vero & ſententiis, (in quibus cum crebræ interjectiones occurrant, longo deinde intervallo ad rem & conſecutionem redit) tortuoſa, perplexa, intricata, aliaque his cognata invenies. Multas quoque figuras theatrales ipſum adhibuiſſe comperies, ut paria, ſimiliter cadentia & deſinentia, & antitheſes: quibus ad nauſeam uſus eſt Gorgias Leontinus, Polus, Licymnius, & alii qui eadem tempeſtate floruere. E quibus autem maxime & potiſſime character illius dignoſci poteſt, hæc fere ſunt: ſtudet ut quam pauciſſimis verbis quamplurima exprimat, ac tum maxime auditorem, cum ſuſpenſus adhuc eſt & exſpectans, deſerat. Atque hinc fit, ut brevitas obſcuritatem quandam inducat. Ut autem paucis complectar, quatuor ſunt in Thucydide velut inſtrumenta & organa dictionis, qua ipſe delectatur; poëtica ſcilicet verborum ſtructura, figurarum multiplex varietas, harmoniæ & concentus aſperitas, & ſignificationis celeritas: colores vero, quibus hic utitur, ſunt acerbus, amarus, denſus, auſterus, vehemens, gravis, & terribilis; & inprimis affectibus majoribus excitandis accommodatior. Talis igitur eſt in charactere dictionis, in quo à cæteris diſcrepat.

Thucydideæ dictionis inſtrumenta & colores.

III. Gloſ-

[a] Ut hic ὀνομαστικῶς ἐκφέρων dicit, ita ὀνομαστικὴν λέξιν infra p. 216. v. 10. itidemque pag. 216. v. 24, 29, 33. ſed verior ſcriptura videtur eſſe ὀνοματικῶς, ut verſu hic proxime ſequenti. & ſupra in libro De compoſitione ſeu collocatione verborum; ut adnotavi ad p. 3. v. 24. atque ita etiam in ſequentibus dicit ῥηματικά, μετοχικά, ἀντωνυμικά. *Sylb.* [b] Forſan rectius γίνηται. *Sylb.* [c] In *Ed. Thucyd.* πολυπλόκα, itidemque infra p. 136. juxta *Ed. Sylb.* [d] Rectius πειρᾶσθαι, præſ. tempore. *Sylb.* [e] Δηλονότι τις *Reg.* 2.

a In

Thucydidearum figurarum exempla in ſequentibus

III. Gloſſematica itaque & obſoleta & populo obſcura ſunt hæc, ἀκραιφνὲς, & περιλογισμὸς, & περιωπὴ, & ἀνακωχὴ, hiſque ſimilia. Poëtica vero ſunt, κωλύμη, & πρεσβευσία, & καταβολὴ, & ἀχθηδὼν, & δικαίωσις, & alia his affinia. Ipſa vero figurarum novitas ac varietas, & à communi loquendi genere diſcrimen, in quo maxime illum ab aliis differre puto, ex his, quæ ſequuntur hîc, fiet manifeſta.

IV. Cum igitur unam dictionem, ſive nominalem ſive verbalem, multis nominibus & verbis, eandem ſententiam varie circumſcribendo, effert, hujuſmodi dictionem conſtituit: Ην γὰρ ὁ Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας, καὶ διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι. Et ſane in *Funebri oratione* ſcripſit, Οὐδ᾽ αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν, ἀξιώματος ἀφανείᾳ κεκώλυται. Nam & in his ſignificatum ipſum orationem facit, uti in Braſida Lacedæmonio, quando circa Pylon pugnando ſaucius è navi delapſus eſt: lapſum vero ejus ita effert, Εἰς τὴν παρεξειρεσίαν ἡ ἀσπὶς περιεῤῥύη εἰς θάλατταν. vult porro hoc ſignificare, Οντος δὲ αὐτοῦ ἔξω τῆς νεὼς ἐπὶ τὰ προέχοντα μέρη τῆς εἰρεσίας.

V. In quibus partes orationis verbales nominaliter effert, hujuſmodi facit phraſin: nam in *primo libro* Corinthius quidam hæc apud Athenienſes eloquitur; Δικαιώματα μὲν οὖν τάδε πρὸς ὑμᾶς ἔχομεν, παραίνεσιν δὲ καὶ ἀξίωσιν χάριτος τοιάνδε. Nam τὸ παραινεῖν & ἀξιοῦν, cum verba ſint, nomina fecit, παραίνεσις & ἀξίωσις. Hujus formæ eſt, οὐκ ἀποτείχισις τοῦ Πλημμυρίου, quam in *ſeptimo libro* in concione quadam uſurpavit. Nam τὸ ἀποτειχίσαι & ἀπολοφύρασθαι, cum verba ſint, ut nomina effert, ἀποτείχισιν & ὀλόφυρσιν.

VI. Cum vero, ambarum ordinem invertens, nomina commutat in verba, hoc modo dictionem effert, uti *libro primo*, de belli cauſa cum ſcribit: Τὴν μὲν οὖν ἀληθεστάτην αἰτίαν, λόγῳ δὲ ἀφανεστάτην, τοὺς Ἀθηναίους οἴομαι μεγάλους γινομένους ἀναγκάσαι εἰς τὸ πολεμεῖν. Oſtendere ſiquidem volens, Athenienſes, majores jam & potentiores factos, belli ineundi neceſſitatem præbuiſſe, ex τῷ ἀνάγκη & πόλεμος, quæ nomina ſunt, verba facit, ἀναγκάσαι & πολεμεῖν.

VII. Cum vero verborum formas paſſivas

γʹ. Γλωσσηματικὰ μὲν οὖν, καὶ ἀπηρχαιωμένα, καὶ δυσείκαστα τοῖς πολλοῖς ἐστιν, τό, τε "Ακραιφνὲς", καὶ ὁ [a] "Περιλογισμὸς", καὶ ἡ "Περιωπὴ", καὶ ἡ "Ανακωχὴ", καὶ τὰ ὅμοια τούτοις. ποιητικὰ δὲ, ἥ τε Κωλύμη", καὶ ἡ "Πρεσβευσία", καὶ ἡ "Καταβολὴ", καὶ ἡ "Αχθηδὼν", καὶ ἡ "Δικαίωσις", καὶ τὰ παραπλήσια. ἡ δ᾽ ἐν τοῖς σχηματισμοῖς καινότης τε καὶ πολυτροπία, καὶ ἡ ἐξαλλαγὴ τῆς συνήθους χρήσεως, ἐν ᾗ μάλιστα διαφέρειν αὐτὸν ἡγούμεθα τῶν ἄλλων, ἐπὶ τούτων γίγνεται τῶν ἔργων φανερά.

δʹ. Οταν μὲν οὖν μίαν λέξιν, εἴτε ὀνομαστικὴν εἴτε ῥηματικὴν, ἐν πλείοσιν ὀνόμασιν ἢ ῥήμασιν ἐκφέρῃ, περιφράζων τὴν αὐτὴν νόησιν, τοιαύτην ποιεῖ τὴν λέξιν· "Ην γὰρ ὁ Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας, καὶ [b] διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι". καὶ μὴν ἐν ΤΩ ΕΠΙΤΑΦΙΩ γέγραφεν· "Οὐδ᾽ αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν, ἀξιώματος [c] ἀφανείᾳ κεκώλυται". καὶ γὰρ ἐν τούτοις τὸ σημαινόμενον ποιεῖ [d] τὸν λόγον, ὡς ἐπὶ τοῦ Λακεδαιμονίου [e] Βρασίδα τέθεικεν, ὅτε 134
μαχόμενος περὶ Πύλον ἀπὸ τῆς νεὼς τραυματίας γενόμενος ἐξέπεσε. πεσόντος δὲ αὐτοῦ, φησὶν, "Εἰς τὴν παρεξειρεσίαν ἡ ἀσπὶς περιεῤῥύη [f] εἰς θάλατταν". βούλεται γὰρ δηλοῦν τὸ [g] "Οντος δὲ αὐτοῦ ἔξω τῆς νεὼς ἐπὶ τὰ προέχοντα μέρη τῆς εἰρεσίας".

εʹ. Εν οἷς δὲ τὰ ῥηματικὰ μόρια τῆς λέξεως [h] ὀνομαστικῶς σχηματίζει, τοιαύτην ποιεῖ τὴν φράσιν· ἔστι δὲ αὐτῷ πρὸς Ἀθηναίους ὁ Κορίνθιος ἐν ΤΗ ΠΡΩΤΗ ΒΙΒΛΩ τάδε λέγων· "Δικαιώματα μὲν οὖν τάδε πρὸς ὑμᾶς ἔχομεν, παραίνεσιν δὲ καὶ ἀξίωσιν χάριτος τοιάνδε". τὸ γὰρ "Παραινεῖν" καὶ "Αξιοῦν", ῥήματα ὄντα, ὀνομαστικῶς γέγονε, "Παραίνεσις" καὶ "Αξίωσις". ταύτης δ᾽ ἐστὶ τῆς ἰδέας ἥ τε "Οὐκ ἀποτείχισις τοῦ Πλημμυρίου", ἣν ἐν ΤΗ ΕΒΔΟΜΗ ΒΙΒΛΩ τέθεικεν ἐν δημηγορίᾳ. τὸ γὰρ "Αποτειχίσαι" καὶ "Απολοφύρασθαι", [i] ῥηματικὰ ὄντα, ὀνομαστικῶς ἐσχημάτικεν, "Αποτείχισιν" καὶ "Ολόφυρσιν".

ϛʹ. Οταν δὲ ἀντιστρέψας ἑκατέρου τούτων τὴν φύσιν, τὰ ὀνόματα ποιῇ ῥήματα, τοῦτον τὸν τρόπον ἐκφέρει τὴν λέξιν, ὡς ἐν ΤΗ ΠΡΩΤΗ ΒΙΒΛΩ περὶ τῆς αἰτίας τοῦ πολέμου γράφει· "Τὴν μὲν [k] οὖν ἀληθεστάτην αἰτίαν, λόγῳ δὲ ἀφανεστάτην, τοὺς Ἀθηναίους οἴομαι μεγάλους γινομένους, ἀναγκάσαι εἰς τὸ πολεμεῖν". βούλεται γὰρ δηλοῦν ὅτι μεγάλοι [l] γινόμενοι οἱ Ἀθηναῖοι ἀνάγκην παρέσχον τοῦ πολέμου· πεποίηκε δὲ ἀντὶ τῆς "Ανάγκης" καὶ τοῦ "Πολέμου", [m] ὀνομαστικῶν ὄντων, ῥηματικὰ, τό, τε "Αναγκάσαι" καὶ τὸ "Πολεμεῖν".

ζʹ. Οταν δὲ τῶν ῥημάτων [n] ἀλλάττῃ τὰ εἴδη τῶν παθητικῶν

a In vulgatis *Thucyd.* ἐπιλογισμός: & ſeq. v. πρέσβευσις. Pro ſequenti autem καταβολὴ legas fortaſſe καταβοή. Porro notandum, ex his, quæ hîc in *Thucydide* velut poëtica notantur, ab ipſo *Dionyſio* in *Antiqu. Rom.* uſurpari nonnulla, ut eſt hoc ipſum καταβοή, cum ſeq. duobus ἀχθηδὼν & δικαίωσις. Sic etiam è præcedentibus, quæ notantur ut gloſſematica, obſoleta, & obſcura, uſurpantur ab eodem in iiſdem *Antiqu.* ἀκραιφνὴς & ἀνακωχή. *Sylb.* Pro περιλογισμὸς in *Reg.* 1. & 2. ἐπιλογισμός. pro ποιητικὰ in *Reg.* 2. ποιητική. pro πρεσβευσία in *Reg.* 2. & *Colb.* πρέσβευσις. & pro καταβολὴ in *Reg.* 2. καταβοή. *b* Διαφερόντως τις αὐτὸν μᾶλλον *Reg.* 2. Sed noſtra lectio (inquit *Sylb.*) & infra reperitur p. 136. [juxta *Ed. Sylb.*] ubi *Scholiaſtes* ἐς αὐτὸ exponit ἐς τὴν ἰσχὺν τῆς φύσεως. *c* Ita in *MSS. Reg.* 1. & 2. & *Colb.* In *Ed. Steph.* ἀφανίᾳ: minus uſitate, ut notavit *Sylb.* *d* Τὸν λόγον τοιοῦτον *Reg.* 1. & *Colb.* *e* Βρασίδου *Reg.* 2. *f* In *Codd.* quibuſdam illa εἰς θάλατταν hic omittuntur, & in ſequentis periodi fine poſt τῆς εἰρεσίας collocantur: in aliis tam hîc quam illic reperiuntur. *g* Pro οντος rectius legi πεσόντος manifeſtum eſt ex hoc ipſo loco *Thucydidis* [p. 221. v. 16. *Ed. Oxon*] ubi quid ſit παρεξειρεσία explicat *Scholiaſtes. Sylb.* *h* Ονοματικῶς *Reg.* 1. 2. & *Colb.* ut & v. 29. in *Reg.* 1. & 2. verum ibi ὀνοματικὰ habet *Colb.* Vide *Var. Lect.* ad p. 215. v. 10. *i* Rectius forſan ῥήματα ὄντα ut v. 29. vel ῥηματικὰ ſunt deflexa à verbis ut v. 42. &c. *Sylb.* *k* In *Thucydidis* exempl. vulgatis pro οὖν legitur γὰρ, & mox πρόφασιν pro αἰτίαν. *l* In *Ed. Steph.* & *MSS. Reg.* 1. & *Colb.* γινόμενοι; quod rectius viſum eſt *Sylburgio*. *m* Ονοματικῶν *Reg.* 1. 2. & *Colb.* & ſic ubique. *n* In *Ed. Steph.* eſt ἀπαλλάττῃ: minus uſitate. *Sylb.* Αλλάττῃ habet *Reg.* 2.

a Καὶ

κῶν [a] καὶ ἐνεργητικῶν, οὕτω σχηματίζει τὸν λόγον· «Οὔτε γὰρ ἐκεῖνο κωλύει τὰς σπονδὰς, οὔτε τόδε». τὸ γὰρ «Κωλύει», ῥῆμα ἐνεργητικὸν ὑπάρχον, ἀντὶ τοῦ «Κωλύεται», παθητικοῦ ὄντος, παρείληπται. ἦν δὲ τὸ σημαινόμενον ὑπὸ τῆς λέξεως [b] τοιοῦτον· «Οὔτε γὰρ ἐκεῖνο κωλύεσθαι τὰς σπονδὰς, οὔτε τόδε». καὶ ἔτι τὰ ἐν ΤΩ ΠΡΟΟΙΜΙΩ λεγόμενα· «Τῆς γὰρ ἐμπορείας οὐκ οὔσης, οὐδ' ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις». καὶ γὰρ ἐν τούτοις, τὸ «Ἐπιμιγνύντες», ἐνεργητικὸν ὑπάρχον ῥῆμα, τοῦ «Ἐπιμιγνύμενοι», παθητικοῦ ὄντος, χώραν ἐπέχει.

η΄. Ὅταν δὲ ἀντὶ τοῦ [c] ἐνεργητικοῦ τὸ παθητικὸν παραλαμβάνῃ, τοῦτον σχηματίζει τὸν τρόπον· «Ἡμῶν δὲ ὅσοι μὲν Ἀθηναίοις ἤδη ἐνηλλάγησαν». βούλεται μὲν γὰρ δηλοῦν, «Ἡμῶν δὲ ὅσοι μὲν Ἀθηναίοις συνήλλαξαν». παρείληφε δὲ τὸ «Ἐνηλλάγησαν», παθητικὸν ὑπάρχον, ἀντὶ ἐνεργητικοῦ τοῦ «Συνήλλαξαν». καὶ τὸ ἐπιφερόμενον τούτῳ, «Τοὺς δ' ἐν τῇ μεσογείᾳ «μᾶλλον κατῳκημένους». ἀντὶ γὰρ τοῦ ἐνεργητικοῦ ῥήματος, τοῦ «Κατῳκηκότας», τὸ παθητικὸν παρείληφε, τὸ «Κατῳκημένους».

θ΄. Παρὰ δὲ τὰς τῶν ἑνικῶν τε καὶ πληθυντικῶν διαφορὰς, ὅταν ἐναλλάττῃ τὴν ἑκατέρου τούτων τάξιν, ἑνικὰ μὲν ἀντὶ πληθυντικῶν οὕτως ἐκφέρει· «Καὶ οὕτως ἄρα παρέστηκε, τὸν μὲν Συρακούσιον, αὐτὸν δὲ οὐ πολέμιον εἶναι [d] τῶν Ἀθηναίων». βούλεται μὲν γὰρ τοὺς Συρακουσίους λέγειν καὶ τοὺς Ἀθηναίους· πεποίηκε δὲ τῶν ὀνομάτων ἑκάτερον ἑνικόν. καὶ ἐν οἷς φησι· «Καὶ τὸν πολέμιον δεινότερον ἕξομεν, μὴ ῥᾳδίας αὐτοῦ πάλιν οὔσης τῆς ἀναχωρήσεως». τοὺς γὰρ «Πολεμίους» ἐσχημάτικεν ἑνικῶς, οὐχὶ πληθυντικῶς. ἀντὶ δὲ τοῦ ἑνικοῦ, τὸ πληθυντικὸν παραλαμβάνῃ, τοῦτον τὸν τρόπον ἐξαλλάττων τὴν συνήθη φράσιν· κεῖται δὲ ἡ λέξις ἐν τῷ προοιμίῳ ΤΟΥ ΕΠΙΤΑΦΙΟΥ· «Μέχρι γὰρ τοῦδε ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λεγόμενοι, εἰς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι ὧν ἤκουσε». τὸ γὰρ «Ἕκαστος» καὶ τὸ «Ἤκουσεν», ἑνικά· τὰ δὲ ἐπιφερόμενα τούτοις πληθυντικῶς ἐξενήνεκται, [e] «Τῷ δὲ ὑπερβάλλοντι αὐτῶν φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν». οὐ καθ' ἑνὸς λέγεσθαι πεφύκασιν, ἀλλὰ κατὰ πολλῶν.

ι΄. Ἀρσενικῶν δὲ καὶ θηλυκῶν καὶ οὐδετέρων ἀντιμεταλήξεις, ἐκβεβηκυῖαι τῶν συνήθων σχημάτων, αἱ τοιαίδε εἰσίν· οἷον, τὴν μὲν ταραχὴν, «Τάραχον» καλεῖ, τὸ θηλυκὸν ἐκφέρων ἀρσενικῶς· καὶ τὴν ὄχλησιν, «Ὄχλον»· τὴν δὲ βούλησιν καὶ τὴν δύναμιν, τὸ «Βουλόμενον» λέγει καὶ τὸ «Δυνάμενον»· ὡς ἐπὶ τῶν Ἀθηναίων τέθεικεν, ὅτε τὴν ἐς Σικελίαν ἀπέστελλον στρατιάν· «Οἱ δὲ Ἀθηναῖοι τὸ μὲν «βουλόμενον οὐκ ἀφῃρέθησαν ὑπὸ τοῦ ὀχλώδους τῆς παρασκευῆς». καὶ ἐν οἷς περὶ τῶν Θετταλῶν εἴρηκεν· «Ὥστε «εἰ μὴ δυναστείᾳ μᾶλλον ἢ ἰσονομίᾳ ἐχρῶντο τῷ ἐπιχωρίῳ «οἱ Θετταλοί». καὶ γὰρ ἐνταῦθα οὐδέτερον πεποίηκε τὸ
135 θηλυκόν. ἦν δὲ τὸ σημαινόμενον [f] ὑπὸ τῆς λέξεως τοιόνδε τι· «Ὥστε εἰ μὴ δυναστείᾳ μᾶλλον ἢ ἰσονομίᾳ ἐχρῶντο τῇ ἐπιχωρείᾳ οἱ Θετταλοί».

& activas commutat, ſic orationem componit: Οὔτε γὰρ ἐκεῖνο κωλύει τὰς σπονδὰς, οὔτε τόδε. nam illud κωλύει, quod verbum activum, pro κωλύεται, quod paſſivum, ſumitur. Ipſa vero ſignificatio talis eſt: Οὔτε γὰρ ἐκεῖνο κωλύεται τὰς σπονδὰς, οὔτε τόδε. Adhæc illa quæ *in proœmio* dicta ſunt: Τῆς γὰρ ἐμπορείας οὐκ οὔσης, οὐδ' ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις. nam & τὸ ἐπιμιγνύντες, quod verbum activum eſt, τοῦ ἐπιμιγνύμενοι, quod paſſivum, locum tenet.

VIII. Dum vero pro activo paſſivum uſurpat, ſic orationem efficit; Ἡμῶν δὲ ὅσοι μὲν Ἀθηναίοις ἤδη ἐνηλλάγησαν. Vult enim ſignificare; Ἡμῶν δὲ ὅσοι μὲν Ἀθηναίοις συνήλλαξαν. Uſurpavit enim verbum ἐνηλλάγησαν, quod paſſivum eſt, pro activo συνήλλαξαν. Et quod his proxime ſubnectitur; Τοὺς δ' ἐν τῇ μεσογείᾳ μᾶλλον κατῳκημένους: nam pro activo κατῳκηκότας paſſivum κατῳκημένους adhibuit.

IX. Quoad ſingularium & pluralium commutationes, quando amborum ordinem invertit, ſingularia loco pluralium ita effert: Καὶ οὕτως ἄρα παρέστηκε, τὸν μὲν Συρακούσιον, αὐτὸν δὲ οὐ πολέμιον εἶναι τὸν Ἀθηναῖον. Vult enim & Syracuſanos & Athenienſes in plurali dicere, & tamen utrumque in ſingulari extulit. Et dum dicit: Καὶ τὸν πολέμιον δεινότερον ἕξομεν, μὴ ῥᾳδίας αὐτοῦ πάλιν οὔσης τῆς ἀναχωρήσεως. ſingulariter enim πολεμίους, non pluraliter poſuit. Pro ſingulari plurale ponens, ita communiter locutionem conſtituit: in exordio enim *Funebris orationis* hæc habet; Μέχρι γὰρ τοῦδε ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λεγόμενοι, εἰς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι ὧν ἤκουσε. nam τὸ ἕκαστος & ἤκουσεν ſingularia: quæ vero his ſubnectuntur, pluraliter prolata ſunt, τῷ δὲ ὑπερβάλλοντι αὐτῶν φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν: non enim de uno ſed de pluribus dici ſolent.

X. Maſculinorum vero & fœmininorum & neutrorum commutationes, quæ à communi loquendi genere alienæ ſunt, hujuſmodi ſunt: ſcilicet, pro ταραχὴ fœminino maſculinum τάραχον dixit, pro ὄχλησιν quidem ὄχλον, & pro βούλησιν & δύναμιν poſuit βουλόμενον & δυνάμενον; uti uſurpavit de Athenienſibus, cum exercitum in Siciliam miſiſſent: Οἱ δὲ Ἀθηναῖοι τὸ μὲν βουλόμενον οὐκ ἀφῃρέθησαν ὑπὸ τοῦ ὀχλώδους τῆς παρασκευῆς. Et in iis quæ de Theſſalis ſcripſit: Ὥστε εἰ μὴ δυναστείᾳ μᾶλλον ἢ ἰσονομίᾳ ἐχρῶντο τῷ ἐπιχωρίῳ οἱ Θεσσαλοί. hîc enim neutrum fœmininum facit. quod vero deſignare vult, hujuſmodi eſt; Ὥστε εἰ μὴ δυναστείᾳ μᾶλλον ἢ ἰσονομίᾳ ἐχρῶντο τῇ ἐπιχωρείᾳ οἱ Θεσσαλοί.

XI. In

a Καὶ ποιητικῶν *Reg.* 2. & *Colb.* b Τοιοῦτο *Reg.* 1. c Ποιητικοῦ pro ἐνεργητικοῦ *Reg.* 2. ut & mox (v. 15.) *Reg.* 2. & *Colb.* d Τῶν Ἀθηναίων *Reg.* 2. & *Colb.* quæ ſcriptura (inquit *Sylb.*) cum ſequenti expoſitione nequaquam congruit. e Τὸ δὲ ὑπερβάλλον (ut in *Codd.* quibuſdam) nec cum ſtructura uſitatiore nec cum *Thucydidis* exemplaribus conſentit. *Sylb.* f *Stephanus* ante ὑπὸ habet καὶ: neſcio quorſum. *Sylb.*

XI. In quibus nominum, & appellativorum, & participiorum, & partium illis conjunctarum caſus à communi alienos & diſcrepantes inducit, ita componit ſuam phraſin: *Σωφροσύνην γὰρ λαβοῦσαι αἱ πόλεις, καὶ ἄδειαν τῶν προστασσομένων, ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς ἐλευθερίαν, τῆς ἀπὸ τῶν Ἀθηναίων ὑπούλου εὐνομίας οὐ προτιμήσαντες.* Qui vero communi loquendi genere utuntur, & vulgatem phraſin conſtructionemque ſectantur, fœminino generi appellativi fœmininam apponunt particulam, & caſum accuſativum participii pro genitivo ponere ſolent, hoc modo: *Σωφροσύνην γὰρ λαβοῦσαι αἱ πόλεις καὶ ἄδειαν τῶν προστασσομένων, ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς ἐλευθερίαν, τὴν ἀπὸ τῶν Ἀθηναίων ὕπουλον εὐνομίαν οὐ προτιμήσασαι.* Alii vero maſculina fœmininis conjunxere, uti hic ipſe præſtitit, genitivos loco accuſativorum uſurpantes. Quin & ſolœciſmos loqui nobis videatur & in aliis ejuſdem generis: *Καὶ μὴ τῷ πλήθει αὐτῶν καταπλαγέντες.* non enim in dandi caſu dictionem conſtrui conveniebat, ſed in accuſativo, *καὶ μὴ τὸ πλῆθος τῶν πολεμίων καταπλαγέντες.* neque enim dicendus eſt aliquis, *τῇ παρὰ τῶν θεῶν ὀργῇ φοβεῖσθαι*, ſed *τὴν τῶν θεῶν ὀργήν.*

XII. Phraſis vero, quæ circa verborum tempora, à compoſitione vulgari convenientique deflectit, hujuſmodi eſt: *Καί τοι εἰ ῥαθυμίᾳ μᾶλλον, ἢ πόνων μελέτῃ, καὶ μὴ μετὰ νόμων τὸ πλέον, ἢ τρόπων ἀνδρείας, ἐθέλοιμεν κινδυνεύειν, περιγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν, καὶ ἐς αὐτὰ ἐλθοῦσι, μὴ ἀτολμοτέροις τῶν ἀεὶ μοχθούντων, φαίνεσθαι.* Hîc enim verbum *ἐθέλοιμεν* futurum tempus ſignificat, at *περιγίγνεται* præſens. Conſequens eſſet & populare, ſi cum *ἐθέλοιμεν* illud *περιέσται* conjunxiſſet: *Τοῦ τε γὰρ χωρίου τὸ δυσέμβατον, ἡμέτερον νομίζω, ὃ, μενόντων μὲν ἡμῶν σύμμαχον γίνεται· ὑποχωρήσασι δὲ, καίπερ χαλεπὸν ὂν, εὔπορον ἔσται.* nam *τὸ γίγνεται* præſentis temporis eſt, *ἔσται* vero futuri. Quin circa caſus ipſos ſchematiſmus hic diſſentaneus & novus eſt; in genitivo enim participium *μενόντων* & pronomen *ἡμῶν* poſuit, in dativo vero *ὑποχωρήσασιν.* Convenientius fuiſſet & magis proprium, ſi & hoc in eodem caſu extuliſſet.

XIII. Quando ad ſignificans à re ſignificata convertitur, vel ad ſignificatum à ſignificato, ita ſtructuram efformat: *Τῶν δὲ Συρακουσίων ὁ δῆμος ἐν πολλῇ πρὸς ἀλλήλους ἔριδι ἦσαν.* Præponens enim nomen ſingularis numeri, *τὸν δῆμον*, orationem ab hoc convertit ad rem ſignificatam, quæ pluralis eſt numeri, ſcilicet *Συρακουσίους.* & ſtatim, *Λεοντῖνοι γὰρ, ἀπελθόντων Ἀθηναίων*

ια′. Ἐν οἷς δὲ τὰς πτώσεις τῶν ὀνομάτων, καὶ τῶν προσηγορειῶν, καὶ τῶν μετοχῶν, καὶ συναπτομένων τούτοις ἄρθρων ἐξαλλάττει τοῦ συνήθους, οὕτω σχηματίζει τὴν φράσιν· „Σωφροσύνην γὰρ λαβοῦσαι αἱ πόλεις, καὶ ἄδειαν τῶν „προστασσομένων, ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς ἐλευθερί„αν, τῆς[a] ἀπὸ τῶν Ἀθηναίων ὑπούλου εὐνομίας οὐ προ„τιμήσαντες”. οἱ μὲν γὰρ ἀκολούθως τῇ κοινῇ συνηθείᾳ σχηματίζοντες τὴν φράσιν, [b] τῷ τε θηλυκῷ γένει τῆς προσηγορείας τὸ θηλυκὸν ἀντέζευξαν μόριον, καὶ πτῶσιν τῆς μετοχῆς τὴν αἰτιατικὴν ἀντὶ τῆς γενικῆς ἔταξαν, τὸν τρόπον τόνδε· „Σωφροσύνην γὰρ λαβοῦσαι αἱ πόλεις, καὶ „ἄδειαν τῶν προστασσομένων, ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς „ἐλευθερίαν, τὴν ἀπὸ τῶν Ἀθηναίων ὕπουλον εὐνομίαν „οὐ προτιμήσασαι”. [c] οἱ δὲ τὰ ἀρσενικὰ τοῖς θηλυκοῖς συνέταττον, ὥσπερ οὗτος πεποίηκε, τὰς γενικὰς ἀντὶ τῶν αἰτιατικῶν πτώσεων παραλαμβάνοντες. σολοικίζειν ἂν ὑφ᾽ ἡμῶν λέγοιτο καὶ ἔτι τὰ τοιαῦτα· „Καὶ μὴ τῷ πλή„θει αὐτῶν καταπλαγέντες”. οὐ γὰρ ἐπὶ τῆς δοτικῆς πτώσεως ἐσχηματίσθαι τὴν λέξιν ἥρμοττεν, ἀλλ᾽ ἐπὶ τῆς αἰτιατικῆς, „Καὶ μὴ τὸ πλῆθος τῶν πολεμίων καταπλα„γέντες”. οὐδὲ γὰρ „Τῇ παρὰ τῶν θεῶν ὀργῇ φοβεῖσθαι” λέγοιτ᾽ ἄν τις, ἀλλὰ „Τὴν τῶν θεῶν ὀργήν”.

ιβ′. Ἡ δὲ περὶ τοὺς χρόνους τῶν ῥημάτων ἐκβεβηκυῖα τὸ κατάλληλον φράσις, τοιαύτη τις ἐστί· „Καίτοι εἰ „ῥαθυμίᾳ μᾶλλον, ἢ πόνων μελέτῃ, καὶ μὴ μετὰ νόμων τὸ „πλέον, ἢ τρόπων ἀνδρείας, ἐθέλοιμεν κινδυνεύειν, [d] [πε„ριγίνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προ„κάμνειν,] καὶ ἐς αὐτὰ ἐλθοῦσι, μὴ ἀτολμοτέροις τῶν ἀεὶ „μοχθούντων, φαίνεσθαι”. ἐνταῦθα γὰρ, τὸ μὲν „Ἐθέλοι„μεν” ῥῆμα, τοῦ μέλλοντός ἐστι χρόνου δηλωτικόν· τὸ δὲ „Περιγίνεται”, τοῦ παρόντος. [e] ἀκόλουθον δ᾽ ἂν ἦν, εἰ συνέζευξε τῷ „Ἐθέλοιμεν” τὸ „Περιέσται”. „Τοῦ τε γὰρ χωρίου τὸ „δυσέμβατον, ἡμέτερον νομίζω, ὃ, μενόντων μὲν ἡμῶν, σύμ„μαχον γίνεται· ὑποχωρήσασι δὲ, καίπερ χαλεπὸν ὂν, „εὔπορον ἔσται”. τὸ μὲν γὰρ „Γίνεται” τοῦ παρόντος ἐστὶ, τὸ δὲ „Ἔσται” τοῦ μέλλοντος χρόνου δηλωτικόν. γέγονε δὲ καὶ περὶ τὰς πτώσεις ὁ σχηματισμὸς ἀκατάλληλος. ἐπὶ μὲν γὰρ τῆς γενικῆς πτώσεως ἐξενήνοχε τό, τε μετοχικὸν ὄνομα τὸ „Μενόντων”, καὶ τὸ [f] ἀντωνυμικὸν τὸ „Ἡ„μῶν”· ἐπὶ δὲ τῆς δοτικῆς τὸ „Ὑποχωρήσασιν”. οἰκειότερον δ᾽ ἦν καὶ τοῦτο κατὰ τὴν αὐτὴν ἐξενηνέχθαι πτῶσιν.

ιγ′. Ὅταν δὲ [g] πρὸς τὸ σημαῖνον ἀπὸ τοῦ σημαινομένου πράγματος τὴν ἀποστροφὴν ποιῆται, ἢ πρὸς τὸ σημαινόμενον ἀπὸ τοῦ σημαίνοντος, οὕτω σχηματίζει τὸν λόγον· „Τῶν δὲ „Συρακουσίων ὁ δῆμος ἐν πολλῇ πρὸς ἀλλήλους ἔριδι ἦ„σαν”. προθεὶς γὰρ ἑνικὸν ὄνομα, „Τὸν δῆμον”, [h] ἀπέστρεψεν ἀπὸ τούτου τὸν λόγον ἐπὶ τὸ σημαινόμενον πρᾶγμα, πληθυντικὸν ὑπάρχον, τοὺς Συρακουσίους”. καὶ αὖθις· „Λε„οντῖνοι γὰρ, ἀπελθόντων Ἀθηναίων ἐκ Σικελίας μετὰ τὴν „σύμβασιν,

a *Thucyd.* ὑπὸ & ὕπουλον εὐνομίαν, p. 502. *Ed. Oxon.* b Τό, τε θηλυκὸν ἀντέζευξαν μόριον, καὶ τὴν πτῶσιν τῆς μετοχ. *Steph.* c *Steph.* ſic habet: εἰ δὲ τὰ ἀρρενικὰ τοῖς θηλυκοῖς συνέταττον, ὥσπερ οὗτος πεποίηκε, τὰς γενικὰς ἀντὶ τῶν αἰτιατικῶν πτώσεων παραλαμβάνοντες, σολοικίζειν ἂν ὑφ᾽ ἡμῶν λέγοιτο. καὶ ἔτι τὰ τοιαῦτα· „Καὶ &c. diverſa ſcilicet periodorum connexione & diſtinctione. *Sylb.* d Incluſa abſunt à *Steph.* editione. *Sylb.* e In exemplari eſt, ἀκόλουθον δ᾽ ἦν, ἂν συνέζ. ego *Stephanum* ſequi malui. *Sylb.* f Idem exemplar habet ἀντωνυματικόν: perperam. *Sylb.* g Structuram, quam hîc velut ἐξηλλαγμένην in *Thucydide* notat, ipſe uſurpat ſupra, p. 119. v. 32. ἑώρα τὸ στρατόπεδον ἀγανακτοῦντας ὑπὲρ Ἀχιλλέως. ibi enim quia τὸ στρατόπεδον ſignificat τοὺς στρατιώτας, propterea pluralis numeri adjectivum ei tribuit, cujus generis alia vide apud *Pauſan. Sylb.* h Ἐπέστρεψεν *Reg.* 1. & *Colb.*

a *Thucyd.*

“συμβάσιν, πολίτας τε ἐπεγράψαντο πολλοὺς, καὶ ὁ δῆμος “ἐπενόει τὴν γῆν ἀναδάσασθαι”. ἀπὸ γὰρ τοῦ πληθυντικοῦ ὀνόματος, τοῦ “Λεοντῖνοι”, ἀπέστρεψε τὸν λόγον ἐπὶ τὸ ἑνικὸν ὄνομα, “Τὸν δῆμον”.

ιδʹ. Πρόσωπα δὲ παρ’ αὐτῷ τὰ πράγματα γίνεται, καθάπερ ἐν τῇ Κορινθίων πρὸς Λακεδαιμονίους δημηγορίᾳ γέγονεν. ἀξιῶν γὰρ ὁ Κορίνθιος τοὺς προεστηκότας τῆς Πελοποννήσου φυλάττειν αὐτῆς τὸ ἀξίωμα πρὸς τὰς ἔξω πόλεις, ὃ παρὰ τῶν πατέρων παρέλαβον, ταῦτα λέγει· “[a] Πρὸς τάδε βουλεύεσθε εὖ, καὶ τὴν Πελοπόννησον πειρᾶσθε μὴ ἐλάττω ἐξηγεῖσθαι, ἢ οἱ πατέρες ὑμῖν παρέδοσαν”. τὸ γὰρ “Ἐξηγεῖσθαι” νῦν τέθεικεν ἐπὶ τοῦ προάγειν ἔξω τὴν Πελοπόννησον ἡγουμένους αὐτῆς. τοῦτο δὲ τῇ χώρᾳ μὲν ἀδύνατον ἦν συμβῆναι, τῇ δὲ δόξῃ, καὶ τοῖς πράγμασι τοῖς περὶ αὐτὴν ὑπάρχουσι, δυνατὸν, καὶ βούλεται τοῦτο δηλοῦν. πράγματα δὲ ἀντὶ σωμάτων τὰ τοιαῦτα ὑπ’ αὐτοῦ γίγνεται. λέγεται δὲ ὑπὸ τοῦ Κορινθίου πρεσβευτοῦ πρὸς Λακεδαιμονίους συγκρίνοντος τά τε Ἀθηναίων καὶ Λακεδαιμονίων· “[b] Οἱ μέν γε, νεωτεροποιοὶ, καὶ ἐπινοῆσαι ὀξεῖς, καὶ ἐπιτελέσαι ἔργῳ ὃ ἂν γνῶσιν· ὑμεῖς δὲ, τὰ ὑπάρχοντά τε σώζειν, καὶ ἐπιγνῶναι μηδὲν, καὶ ἔργῳ οὐδὲ τὰ ἀναγκαῖα ἐξικέσθαι”. μέχρι μὲν οὖν τούτων τὸ σχῆμα τῆς λέξεως σώζει τὴν ἀκολουθίαν, ὡς ἐπὶ προσώπων ἀμφοτέρων κείμενον. ἔπειτα ἀποστρέφεται κατὰ θάτερον τῶν μερῶν ὁ λόγος, καὶ ἀντὶ τῶν σωμάτων πρᾶγμα γίγνεται περὶ τοὺς Λακεδαιμονίους, ὅταν φῇ· “Αὖθις δὲ, [c] οἱ μὲν, καὶ παρὰ δύναμιν τολμηταὶ, καὶ παρὰ γνώμην κινδυνευταὶ, καὶ ἐν τοῖς δεινοῖς εὐέλπιδες· τὸ δὲ ὑμέτερον, τῆς τε δυνάμεως ἐνδεᾶ πρᾶξαι, τῆς τε γνώμης μηδὲ τοῖς βε-
136 βαίοις πιστεῦσαι, τῶν δὲ δεινῶν μηδέποτε οἴεσθαι ἀπολυθήσεσθαι”. τὸ γὰρ “Ὑμέτερον” ἀντὶ τοῦ “Ὑμεῖς” παρείληπται, πρᾶγμα ὑπάρχον ἀντὶ τοῦ σώματος.

ιεʹ. Ἐν δὲ τοῖς ἐνθυμήμασί τε καὶ νοήμασιν, αἱ μεταξὺ παρεμπτώσεις πολλαὶ γινόμεναι, καὶ μόλις ἐπὶ τὸ τέλος ἀφικνούμεναι, δι’ ἃς ἡ φράσις δυσπαρακολούθητος γίνεται, πλεῖσται μέν εἰσι καθ’ ὅλην τὴν ἱστορίαν· ἀρκέσουσι δὲ ἐκ ΤΟΥ ΠΡΟΟΙΜΙΟΥ δύο ληφθεῖσαι μόναι, ἥτε δηλοῦσα τὴν ἀσθένειαν τῶν ἀρχαίων τῆς Ἑλλάδος πραγμάτων, καὶ τὰς αἰτίας ἀποδιδοῦσα· [d] “Τῆς γὰρ ἐμπορείας οὐκ οὔσης, οὐδὲ ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις, οὔτε κατὰ γῆν, οὔτε διὰ θαλάσσης, νεμόμενοί τε τὰ αὑτῶν ἕκαστοι ὅσον ἀποζῆν, καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες, οὔτε γῆν φυτεύοντες· ἄδηλον ὂν, ὁπότε τις ἐπελθὼν, καὶ ἀτειχίστων ἅμα ὄντων, ἄλλος ἀφαιρήσεται· τῆς τε καθ’ ἡμέραν ἀναγκαίου τροφῆς πανταχοῦ ἂν ἡγούμενοι ἐπικρατεῖν, οὐ χαλεπῶς ἀπανίσταντο”. προστεθὲν τῇ πρώτῃ περιόδῳ καὶ σχηματισθὲν οὕτω, “Τῆς γὰρ ἐμπορείας οὐκ οὔσης, οὐδ’ ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις, οὔτε κατὰ γῆν, νεμόμενοι δὲ τὰ ἑαυτῶν ἕκαστοι, ὅσον ἀποζῆν, οὐ χαλεπῶς [e] ἀπανίσταντο”, φανερωτέραν ἂν ἐποίει τὴν διά-

ἐκ Σικελίας μετὰ τὴν σύμβασιν, πολίτας τε ἐπεγράψαντο πολλοὺς, καὶ ὁ δῆμος ἐπενόει τὴν γῆν ἀναδάσασθαι. nam à verbo pluralis numeri, Λεοντῖνοι, orationem convertit ad ſingulare, τὸν δῆμον.

XIV. Perſonæ apud illum interdum res fiunt, uti in Corinthiorum ad Lacedæmonios concione factum. Cupiens enim Corinthius præfectos Peloponneſi illius dignitatem, quam à majoribus acceperant, apud exteras civitates tueri ac protegere, hæc habet: Πρὸς τάδε βουλεύεσθε εὖ, καὶ τὴν Πελοπόννησον πειρᾶσθε μὴ ἐλάττω ἐξηγεῖσθαι, ἢ οἱ πατέρες ὑμῖν παρέδοσαν. Namque ἐξηγεῖσθαι nunc poſuit, cum voluit προάγειν ἔξω τὴν Πελοπόννησον ἡγουμένους αὐτῆς. Illud vero regioni & loco contingere non poterat, gloriæ vero & rebus, quæ ad illam ſpectant, facillime; atque hoc vult dicere. Res vero pro corporibus & perſonis poſitas hujuſmodi efformavit. Dicitur ab eodem Corinthio legato ad Lacedæmonios res Athenienſium & Lacedæmoniorum inter ſe comparante: Οἱ μέν γε, νεωτεροποιοὶ, καὶ ἐπινοῆσαι ὀξεῖς, καὶ ἐπιτελέσαι ἔργῳ ὃ ἂν γνῶσιν· ὑμεῖς δὲ, τὰ ὑπάρχοντά τε σώζειν, καὶ ἐπιγνῶναι μηδὲν, καὶ ἔργῳ οὐδὲ τὰ ἀναγκαῖα ἐξικέσθαι. Huc uſque dictionis ſchema aptam conſequentiam ſervat, ut quod in utraque perſona verſetur; deinde convertitur oratio ad alteram partem, & pro perſonis res prodit circa Lacedæmonios, cum ait: Αὖθις δὲ οἱ μὲν, καὶ παρὰ δύναμιν τολμηταὶ, καὶ παρὰ γνώμην κινδυνευταὶ, καὶ ἐν τοῖς δεινοῖς εὐέλπιδες· τὸ δὲ ὑμέτερον, τῆς τε δυνάμεως ἐνδεᾶ πρᾶξαι, τῆς τε γνώμης μηδὲ τοῖς βεβαίοις πιστεῦσαι, τῶν δὲ δεινῶν μηδέποτε οἴεσθαι ἀπολυθήσεσθαι. nam ὑμέτερον pro ὑμεῖς ſumptum eſt, res quidem pro perſona.

XV. In enthymematis & ſententiis intercurrentes interjectiones, quæ crebræ admodum ſunt, & vix ad finem perveniunt, quibus phraſis ipſa plane turbatur & diſſolvitur, ſæpenumero in univerſa illius hiſtoria occurrunt. Sufficient autem duæ ſolum ex *ipſo procemio* petitæ; quarum prima veterum Græciæ rerum imbecillitatem oſtendit, & ejus rei cauſam reddit: Τῆς γὰρ ἐμπορείας οὐκ οὔσης, οὐδὲ ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις, οὔτε κατὰ γῆν, οὔτε διὰ θαλάσσης, νεμόμενοί τε τὰ αὑτῶν ἕκαστοι ὅσον ἀποζῆν, καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες, οὔτε γῆν φυτεύοντες· ἄδηλον ὂν, ὁπότε τις ἐπελθὼν, καὶ ἀτειχίστων ἅμα ὄντων, ἄλλος ἀφαιρήσεται· τῆς τε καθ’ ἡμέραν ἀναγκαίου τροφῆς πανταχοῦ ἂν ἡγούμενοι ἐπικρατεῖν, οὐ χαλεπῶς ἀπανίσταντο. Additum primæ periodo, & ita ordinatum, Τῆς γὰρ ἐμπορείας οὐκ οὔσης, οὐδ’ ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις, οὔτε κατὰ γῆν, νεμόμενοι δὲ τὰ ἑαυτῶν ἕκαστοι, ὅσον ἀποζῆν, οὐ χαλεπῶς ἀπανίσταντο, clariorem efficeret ſententiam:

a *Thucyd.* p. 40. *Ed. Oxon.* b P. 38. c Locus hic reperitur p. ſeq. v. 44. *Sylb.* d Locus hic citatus etiam ſupra p. 44. v. 3. in auſteræ compoſitionis deſcriptione. exſtat autem in ipſo *Thucydidis* exordio, pag. 2. *Sylb.* e Ἀνίσταντο *Reg.* 1. & *Colb.*

tiam: ſed rerum aliarum multarum interjectio obſcuram & intricatam eam reddidit. Altera vero, de Euryſthei exercitu in Atticam ingreſſo, hæc eſt: Εὐρυσθέως μὲν ἐν τῇ Ἀττικῇ ὑπὸ Ἡρακλειδῶν ἀποθανόντος, Ἀτρέως δὲ μητρὸς ἀδελφοῦ ὄντος αὐτῷ, καὶ ἐπιτρέψαντος Εὐρυσθέως, ὅτ' ἐστράτευε, Μυκήνας τε καὶ τὴν ἀρχὴν, κατὰ τὸ οἰκεῖον, Ἀτρεῖ· τυγχάνειν δὲ αὐτὸν φεύγοντα τὸν πατέρα, διὰ τὸν Χρυσίππου θάνατον· καὶ ὡς οὐκέτι ἀνεχώρησεν Εὐρυσθεὺς, βουλομένων καὶ τῶν Μυκηναίων, φόβῳ τῶν Ἡρακλειδῶν, καὶ ἅμα δυνατὸν δοκοῦντα εἶναι, καὶ τὸ πλῆθος τεθεραπευκότα, τῶν Μυκηναίων τε, καὶ ὅσων Εὐρυσθεὺς ἦρχε τὴν βασιλείαν Ἀτρέα παραλαβεῖν.

XVI. In quibus tortuoſa, implicata, intricataque Enthymematum conſtructio eſt, hoc modo apud illum conſtrui ſolet. In *Funebri* autem *oratione* reperitur hæc dictio: τὴν δὲ τῶν ἐναντίων τιμωρίαν ποθεινοτέραν αὐτῶν λαβόντες, καὶ κινδύνων ἅμα τόνδε κάλλιστον νομίσαντες, ἐβουλήθησαν τοὺς μὲν τιμωρεῖσθαι, τῶν δὲ ἐφίεσθαι, ἐλπίδι μὲν τὸ ἀφανὲς τοῦ κατορθώσειν ἐπιτρέψαντες, ἔργῳ δὲ περὶ τοῦ ἤδη ὁρωμένου σφίσιν αὐτοῖς ἀξιοῦντες πεποιθέναι· ἐν τῷ ἀμύνεσθαι παθεῖν μᾶλλον ἡγησάμενοι, ἢ τῷ ἐνδόντες σώζεσθαι, τὸ μὲν αἰσχρὸν τοῦ λόγου ἔφυγον, τὸ δ' ἔργον τῷ σώματι ὑπέμειναν, καὶ δι' ἐλαχίστου καιροῦ τύχης ἅμα ἀκμῇ τῆς δόξης μᾶλλον ἢ τοῦ δέους ἀπηλλάγησαν. Talia ſunt & ea quæ de Themiſtocle ſcripta ſunt in *libro primo*: Ἦν γὰρ ὁ Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας, καὶ διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι. οἰκείᾳ γὰρ ξυνέσει, καὶ οὔτε προμαθὼν ἐς αὐτὴν οὐδὲν, οὔτ' ἐπιμαθὼν, τῶν τε παραχρῆμα δι' ἐλαχίστης βουλῆς κράτιστος γνώμων, καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησομένου ἄριστος εἰκαστής. καὶ ἃ μὲν μετὰ χεῖρας ἔχοι, καὶ ἐξηγήσασθαι οἷός τε· ὧν δὲ ἄπειρος εἴη, κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο. τό, τε ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀφανεῖ ἔτι προεώρα, καὶ τὸ ξύμπαν εἰπεῖν, φύσεως μὲν δυνάμει, μελέτης δὲ βραχύτητι, κράτιστος δὲ οὗτος αὐτοσχεδιάζειν τὰ δέοντα ἐγένετο.

XVII. Pueriles vero antitheſεων, comparium, ſimiliterque tum cadentium tum deſinentium ſchematiſmi, quibus Gorgias imprimis ſtuduit, qui characteri hujus auſtero & faſtum ſpiranti minime conveniunt, hoc in ſcriptore occurrentes hi ſunt; Φαίνεται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη, οὐ πάλαι βεβαίως οἰκουμένη. quin & hic: Οἱ μὲν, καὶ παρὰ δύναμιν τολμηταὶ, καὶ παρὰ γνώμην κινδυνευταὶ, καὶ ἐν τοῖς δεινοῖς εὐέλπιδες· τὸ δ' ὑμέτερον, τῆς τε δυνάμεως ἐνδεᾶ πρᾶξαι, τῆς τε γνώμης μηδὲ τοῖς βεβαίοις πιστεῦσαι, τῶν δὲ δεινῶν μηδέποτε οἴεσθαι ἀπολυθήσεσθαι. Ubi vero calamitates, Græciam ex ſeditionibus opprimen-

νοιαν· τῇ δὲ παρεμβολῇ τῶν μεταξὺ πραγμάτων πολλῶν ὄντων, ἀσαφῆ καὶ δυσπαρακολούθητον πεποίηκε. καὶ ἡ περὶ τῆς Εὐρυσθέως [a] στρατιᾶς ἐπὶ τὴν Ἀττικὴν, ἥδε, "Εὐρυσθέως μὲν ἐν τῇ Ἀττικῇ ὑπὸ Ἡρακλειδῶν ἀποθανόντος, Ἀτρέως δὲ μητρὸς ἀδελφοῦ ὄντος αὐτῷ, καὶ "ἐπιτρέψαντος Εὐρυσθέως, ὅτ' ἐστράτευε, Μυκήνας τε "καὶ τὴν ἀρχὴν, κατὰ τὸ οἰκεῖον, Ἀτρεῖ· τυγχάνειν δὲ αὐτὸν φεύγοντα τὸν πατέρα, διὰ τὸν Χρυσίππου θάνατον· καὶ ὡς οὐκέτι "ἀνεχώρησεν Εὐρυσθεὺς, βουλομένων καὶ τῶν Μυκηναίων, φόβῳ τῶν Ἡρακλειδῶν, καὶ ἅμα δυνατὸν δοκοῦντα εἶναι, καὶ τὸ "πλῆθος τεθεραπευκότα, τῶν Μυκηναίων τε καὶ ὅσων Εὐρυσθεὺς ἦρχε τὴν βασιλείαν Ἀτρέα παραλαβεῖν".

ιϛ'. Ἐν οἷς δὲ σκολιὰ, καὶ [b] πολύπλοκος, καὶ δυσεξέλικτος ἡ τῶν ἐνθυμημάτων κατασκευὴ γίνεται, τοῦτον τὸν τρόπον ἔχει παρ' αὐτῷ. κεῖται δὲ ἐν ΤΩ ΕΠΙΤΑΦΙΩ ἡ λέξις· "Τὴν δὲ τῶν ἐναντίων τιμωρίαν ποθεινοτέραν "αὐτῶν λαβόντες, καὶ κινδύνων ἅμα τόνδε κάλλιστον νομίσαντες, [c] ἐβουλήθησαν τοὺς μὲν τιμωρεῖσθαι, τῶν δὲ [d] ἐφίεσθαι· ἐλπίδι μὲν τὸ ἀφανὲς τοῦ κατορθώσειν ἐπιτρέψαντες, ἔργῳ δὲ περὶ τοῦ ἤδη ὁρωμένου σφίσιν αὐτοῖς "ἀξιοῦντες πεποιθέναι· [e] ἐν τῷ ἀμύνεσθαι παθεῖν μᾶλλον ἡγησάμενοι, ἢ τῷ ἐνδόντες σώζεσθαι, τὸ μὲν αἰσχρὸν "τοῦ λόγου ἔφυγον, τὸ δ' ἔργον τῷ σώματι ὑπέμειναν, "καὶ δι' ἐλαχίστου καιροῦ τύχης ἅμα ἀκμῇ τῆς δόξης μᾶλλον ἢ τοῦ δέους ἀπηλλάγησαν". τοιαῦτά ἐστι καὶ τὰ περὶ Θεμιστοκλέους [f] εἰρημένα ἐν ΤΗ ΠΡΩΤΗ ΒΙΒΛΩ· "Ἦν "γὰρ ὁ Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας, καὶ διαφερόντως τι ἐς αὐτὸ μᾶλλον ἑτέρου ἄξιος "θαυμάσαι. οἰκείᾳ γὰρ ξυνέσει, καὶ οὔτε προμαθὼν ἐς "αὐτὴν οὐδὲν, οὔτ' ἐπιμαθὼν, τῶν τε παραχρῆμα δι' "ἐλαχίστης βουλῆς κράτιστος γνώμων, καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησομένου ἄριστος εἰκαστής. "καὶ ἃ μὲν μετὰ χεῖρας ἔχοι, καὶ ἐξηγήσασθαι οἷός τε· ὧν "δὲ ἄπειρος [g] εἴη, κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο. τό, "τε ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀφανεῖ ἔτι [h] προεώρα, καὶ "τὸ ξύμπαν εἰπεῖν, φύσεως μὲν δυνάμει, μελέτης δὲ βραχύτητι, κράτιστος δὲ οὗτος αὐτοσχεδιάζειν τὰ δέοντα ἐγένετο".

ιζ'. Οἱ δὲ μειρακιώδεις σχηματισμοὶ τῶν ἀντιθέτων τε καὶ παρομοίων καὶ παρισώσεων, ἐν οἷς οἱ περὶ τὸν Γοργίαν μάλιστα ἐπλεόνασαν, ἥκιστα τῷ χαρακτῆρι τούτῳ προσήκοντες, αὐστηρὰν ἔχοντι τὴν ἀγωγὴν, καὶ τοῦ κομψοῦ πλεῖστον ἀφεστηκότι, τοιοῦτοί τινές εἰσι παρὰ τῷ συγγραφεῖ· "Φαίνεται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη, οὐ πάλαι βεβαίως οἰκουμένη". καὶ ἔτι δὲ, "Οἱ μὲν, [i] καὶ παρὰ δύναμιν "τολμηταὶ, καὶ παρὰ γνώμην κινδυνευταὶ, καὶ ἐν "τοῖς δεινοῖς εὐέλπιδες· τὸ δ' ὑμέτερον, τῆς τε δυνάμεως ἐνδεᾶ πρᾶξαι, τῆς τε γνώμης μηδὲ τοῖς βεβαίοις "πιστεῦσαι, τῶν δὲ δεινῶν μηδέποτε οἴεσθαι ἀπολυθήσεσθαι". καὶ ἐν οἷς τὰς καταλαβούσας τὴν Ἑλλάδα συμφορὰς

a Steph. στρατείας: uſitatius. Idem *Steph.* ſeq. v. habet ἐν μὲν τ. noſtra lectio conſentit cum *Thucyd.* [p. 6. *Ed. Oxon.*] *Sylb.* *b Steph.* πολυπλόκως, ut ſupra dictum ad p. 215. v. 31. *Sylb.* *c Thucydidis* exemplaria habent ἐβουλήθησαν μετ' αὐτοῦ τοὺς μ. *Sylb.* *d* Ὑφίεσθαι *Reg.* 2. *e* In *Thucyd.* [*Ed. Oxon.* p. 77.] καὶ ἐν αὐτῷ τῷ ἀμύνεσθαι καὶ παθεῖν. *Sylb.* *f* Εἰρημένα ὑπὸ τοῦ συγγραφέως *Reg.* 1. *g Steph.* pro εἴη κρῖναι habet ἐπικρῖναι. [atque ita in *Reg.* 1. 2. & *Colb.*] noſtra lectio cum *Thucydidis* exemplaribus conſentit. *Sylb.* *h* In iiſdem exemplaribus cum adverbio legitur προεώρα μάλιστα. *Sylb.* *i* Citatur & hic locus etiam pag. 219. v. 28. *Sylb.*

a In

φορὰς διὰ τὰς στάσεις ἐπεξέρχεται, τοιάδε γράφων· «Τόλμα μὲν γὰρ ἀλόγιστος, [a] ἀνδρεία φιλέταιρος ἐνομίσθη· μέλλησις δὲ προμηθὴς, δειλία εὐπρεπής· τὸ δὲ σῶφρον, πρόσχημα τοῦ ἀνάνδρου, καὶ τὸ εἰσάπαξ συνετὸν, ἐπίπαν ἀργόν». πολλὰ τοιαῦτά τις ἂν εὕροι δι' ὅλης αὐτοῦ τῆς ἱστορίας λεγόμενα. [b] ἱκανὸν δὲ καὶ ταῦτα δείγματος ἕνεκα εἰρῆσθαι. ἔχεις, ὦ φίλε Ἀμμαῖε, τὰ παρατηρήματα καθ' ἕκαστον αὐτῶν, ἐκ τῆς κοινῆς ἐξητασμένα πραγματείας, ὡς ἐπεζήτεις. εὐτυχῶς Ἀμμαίῳ.

tes, exſequitur, hæc habet: Τόλμα μὲν γὰρ ἀλόγιστος, ἀνδρεία φιλέταιρος ἐνομίσθη· μέλλησις δὲ προμηθὴς, δειλία εὐπρεπής· τὸ δὲ σῶφρον, πρόσχημα τοῦ ἀνάνδρου, καὶ τὸ εἰσάπαξ συνετὸν, ἐπίπαν ἀργόν. Plurima hujuſmodi in univerſa illius hiſtoria quis reperiat. Sed ſufficiat hæc, exempli loco demonſtrationiſque gratia, attuliſſe. Habes, cariſſime Ammæe, ipſas de horum ſingulis obſervationes, ex communi tractatu diſquiſitas, uti poſtulaſti. Vale Ammæe.

a In *Thucyd.* (p. 195. *Ed. Oxon.*) ἀνδρεία, & mox (v. 4.) τοῦ ἀνάνδρου πρόσχημα, καὶ τὸ πρὸς ἅπαν ξυνετὸν &c. *b* Ἱκανὰ *Reg.* 1. 2. & *Colb.*

ΔΙΟ-

[a]ΔΙΟΝΥΣΙΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ

ΠΕΡΙ ΤΟΥ ΘΟΥΚΥΔΙΔΟΥ ΧΑΡΑΚΤΗΡΟΣ

ΚΑΙ ΤΩΝ ΛΟΙΠΩΝ ΤΟΥ ΣΥΓΓΡΑΦΕΩΣ ΙΔΙΩΜΑΤΩΝ.

DIONYSII ALEXANDRI HALICARNASSENSIS,

DE THUCYDIDIS CHARACTERE

AC RELIQUIS EJUS PROPRIETATIBUS.

IN iis libris, Q. Æli Tubero, quos jam antea *de Imitatione* conſcriptos emiſimus, tam de iis qui carmine quam qui ſoluta oratione ſcripſerunt, quos quidem præter cæteros putavimus excellere, diſſeruimus; & quas quiſque verborum ac ſententiarum virtutes haberet, breviter oſtendimus. atque illud præterea examinavimus, qua maxime in parte quiſque, à propoſito aberrans, ſe ipſo interdum deterior eſſe videatur; idque, ſive quod, quæ literis mandaret, parum ſcienter delegerit; ſive quod vires ad præſtandum defuerint: ut ii, qui bene ſcribendi ac bene dicendi laudem ſequerentur, rectam & probatam normam haberent, ad quam ſuas exercitationes dirigerent; neque prorſus omnia, quæ apud illos ſcripta reperiuntur, ad imitationem ſibi proponerent; ſed ex illis, ſi quæ ſunt dicendi virtutes, caperent, vitia vero ſtudioſe declinarent. Atque cum de hiſtoricis nonnulla attigiſſem, etiam ea, quæ mihi de Thucydide viderentur, oſtendi, breviter omnia & ſummatim complexus; non contemptu & negligentia, neque quod eorum, quibus propoſitum ſtabilire poſſemus, copia me deficeret; ſed quia iſtam ſcriptionem ad ea quæ maxime ad rem facere viderentur, veluti ad ſcopum, referebam; quemadmodum feci, cum de aliis ſcriptoribus agerem. neque enim fieri poterat, ut, de quibus accurate & copioſe agere ſtatuiſſem, eos ſtrictim ac leviter attingerem. Cum vero cupere te animadvertiſſem, ut ſeparatim *de Thucydide* commentarios conficerem, in quibus omnia animadverſione digna perſequerer, eo libro, quem *de Demoſthene* tum in manibus habebam, rejecto, pollicitus ſum tuæ me voluntati obtemperaturum. nunc vero, re confecta, quod tunc promiſeram, tibi perſolvo.

ΕΝ τοῖς προεκδοθεῖσι ΠΕΡΙ ΤΗΣ ΜΙΜΗΣΕΩΣ ὑπομνηματισμοῖς ἐπεληλυθὼς, οὓς ὑπελάμβανον ἐπιφανεστάτους εἶναι, ποιητάς τε καὶ συγγραφεῖς, ὦ Κόϊντε Αἴλιε Τουβέρων, καὶ δεδηλωκὼς ἐν ὀλίγοις τινὰς, ἃς ἕκαστος αὐτῶν εἰσφέρεται, πραγματικάς τε καὶ λεκτικὰς ἀρετάς· καὶ πῇ μάλιστα χείρων ἑαυτοῦ γίνεται κατὰ τὰς ἀποτυχίας, εἴτε τῆς προαιρέσεως οὐχ ἅπαντα κατὰ τὸν ἀκριβέστατον λογισμὸν ὁρώσης, εἴτε τῆς δυνάμεως οὐκ ἐν ἅπασι τοῖς ἔργοις κατορθούσης· ἵνα τοῖς προαιρουμένοις γράφειν τε καὶ λέγειν εὖ, καλοὶ καὶ δεδοκιμασμένοι κανόνες ὦσιν, ἐφ' ὧν ποιήσονται τὰς κατὰ μέρος γυμνασίας, μὴ πάντα μιμούμενοι τὰ παρ' ἐκείνοις κείμενα τοῖς ἀνδράσιν, ἀλλὰ τὰς μὲν ἀρετὰς αὐτῶν λαμβάνοντες, τὰς δ' ἀποτυχίας φυλαττόμενοι· ἁψάμενός τε τῶν συγγραφέων, ἐδήλωσα καὶ περὶ Θουκυδίδου τὰ δοκοῦντά μοι, συντόμῳ τε καὶ κεφαλαιώδει γραφῇ περιλαβὼν, οὐ δι' ὀλιγωρίαν καὶ ῥαστώνην, οὐδὲ διὰ σπάνιν τῶν δυνησομένων βεβαιῶσαι τὰς προθέσεις, ἀλλὰ τῆς εὐκαιρίας τῶν γραφομένων στοχαζόμενος, ὡς καὶ [b]περὶ τῶν ἄλλων ἐποίησα. οὐ γὰρ τὴν ἀκριβῆ καὶ διεξοδικὴν δήλωσιν ὑπὲρ ἑκάστου τῶν ἀνδρῶν ποιεῖσθαι προελόμενον, εἰς ἐλάχιστον ὄγκον συναγαγεῖν τὴν πραγματείαν. σοῦ δὲ βουληθέντος ἰδίαν συντάξασθαί με ΠΕΡΙ ΘΟΥΚΥΔΙΔΟΥ γραφὴν, ἅπαντα περιειληφυῖαν τὰ δεόμενα λόγων, ἀναβαλόμενος τὴν ΠΕΡΙ ΔΗΜΟΣΘΕΝΟΥΣ πραγματείαν, ἣν εἶχον ἐν χερσὶν, ὑπεσχόμην τε ποιήσειν, ὡς προῄρου· καὶ τελέσας, τὴν ὑπόσχεσιν ἀποδίδωμι. 137

Suam Thucydidis cenſuram excuſat Dionyſius.

II. De ſingulis autem verba facturus, pauca quædam de me ipſo, deque hujus tractationis genere præmittam; non tua ſane, neque tui ſimilium cauſa, qui nihil non optime judicatis, nihilque ducitis veritate præſtantius; ſed

β'. Μέλλων δὲ τῶν κατὰ μέρος ἅπτεσθαι λόγων, ὀλίγα περὶ ἐμαυτοῦ τε καὶ τοῦ γένους τῆς πραγματείας βούλομαι προειπεῖν· οὐ σοῦ, μὰ Δία, καὶ τῶν σοὶ παραπλησίων ἕνεκα, τῶν ἀπὸ παντὸς τοῦ βελτίστου κρινόντων

a Variant codices in *Titulo* exprimendo. nunc quidem Διονυσίου Ἀλεξ. τοῦ Ἁλικαρ. nunc vero ſimplicius Διονυσίου Ἁλικαρ. nunc demum Διονυσίου Ἀλεξ. Ἁλικαρ. b Περὶ hoc loco per ellipſin quandam ſignificat idem quod ἐπὶ ſeu ἐν. Idem enim eſt ac ſi dixiſſet auctor ἐπὶ τῶν ἄλλων, ſeu ἐν τοῖς περὶ τῶν ἄλλων. *Sylb.*

νόντων τὰ πράγματα, καὶ μηδὲν ἡγουμένων χρῆμα τιμιώτερον τῆς ἀληθείας· ἀλλὰ τῶν ἄλλων, [a] ὅσοις τὸ αὐτὸ φιλαίτιον ἔνεστι τῶν ἀρχαίων γινομένων, εἴτε κατὰ τὴν ταῦτα τὰ πάθη, κοινὰ τῆς ἀνθρωπίνης ὄντα φύσεως. ὑποπτεύω γὰρ ἔσεσθαί τινας τῶν ἀναγνωσομένων τὴν γραφὴν, τοὺς [b] ἐπιτιμήσοντας ἡμῖν, ὅτι τολμῶμεν ἀποφαίνειν Θουκυδίδην τὸν ἁπάντων κράτιστον τῶν ἱστοριογράφων, καὶ κατὰ τὴν προαίρεσίν ποτε τῶν λόγων ἁμαρτάνοντα, καὶ κατὰ τὴν δύναμιν ἐξασθενοῦντα. καὶ οὐδ' οὗτος ἡμᾶς ὁ λογισμὸς εἰσῆλθεν, ὅτι παράδοξα καινοτομεῖν πράγματα πρῶτοι καὶ μόνοι δόξομεν, εἴ τι τῶν ὑπὸ Θουκυδίδου γραφέντων συκοφαντεῖν ἐπιβαλοίμεθα· οὐ ταῖς κοιναῖς μόναις ἐναντιούμενοι δόξαις, ἃς ἅπαντες, ἐκ τοῦ μακροῦ χρόνου παραλαβόντες, ἀναφαιρέτους ἔχουσιν, ἀλλὰ καὶ ταῖς ἰδίαις τῶν ἐπιφανεστάτων φιλοσόφων τε καὶ ῥητόρων μαρτυρίαις ἀπιστοῦντες· οἳ κανόνα τῆς ἱστορικῆς πραγματείας ἐκεῖνον ὑποτίθενται τὸν ἄνδρα, καὶ τῆς περὶ τοὺς πολιτικοὺς λόγους δεινότητος ὅρον. ὧν οὔτε προαιρέσεις ἰσχυράς, ταύτας δὴ τὰς ἐπιτιμήσεις ἀπολύσασθαι βουλόμενος, ἐχούσας τι θεατρικὸν, καὶ τὸ τῶν πολλῶν ἀγωγὸν, περὶ μὲν ἐμαυτοῦ τοσοῦτον ἀρκεσθήσομαι μόνον εἰπεῖν, ὅτι τὸ φιλόνεικον τοῦτο καὶ δύσερι, καὶ προσυλακτεῖν εἰκῆ τισιν, ἐν παντὶ πεφυλαγμένος τῷ βίῳ μέχρι τοῦ παρόντος, καὶ οὐδεμίαν ἐκδεδωκὼς γραφὴν ἐν ᾗ κατηγορῶ τινός, ἔξω μιᾶς πραγματείας, ἣν συνεταξάμην ΥΠΕΡ ΤΗΣ ΠΟΛΙΤΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ πρὸς τοὺς κατατρέχοντας αὐτῆς ἀδίκως, οὐκ ἂν ἐπεχείρησα νῦν πρῶτον εἰς τὸν ἐπιφανέστατον τῶν συγγραφέων τὴν οὔτ' ἐλευθέροις ἤθεσι πρέπουσαν, οὔτ' ἐμαυτῷ συνήθη κακοήθειαν ἐναποδείκνυσθαι. περὶ δὲ τοῦ γένους τῆς γραφῆς πλείονα μὲν εἶχον λέγειν, ἀρκεσθήσομαι δ' ὀλίγοις. εἰ δὲ ἀληθεῖς καὶ προσήκοντας ἐμαυτῷ προῄρημαι λόγους, σύ τε κρινεῖς, καὶ τῶν ἄλλων φιλολόγων ἕκαστος.

γ'. Ἔστι δὴ τὸ βούλημά μου τῆς πραγματείας οὐ καταδρομὴ τῆς Θουκυδίδου προαιρέσεώς τε καὶ δυνάμεως· οὐδ' ἐκλογισμὸς τῶν ἁμαρτημάτων, οὐδ' ἐξευτελισμός, οὐδ' ἄλλό τι τοιοῦτον ἔργον οὐδέν, ἐν ᾧ τὰ μὲν κατορθώματα καὶ τὰς ἀρετὰς οὐδενὸς ἠξίω-
138 κα λόγου, τοῖς δὲ μὴ κατὰ τὸ κράτιστον εἰρημένοις ἐπιφύομαι· ἐκλογισμὸς δέ τις τοῦ χαρακτῆρος τῶν λόγων, ἅπαντα περιειληφὼς ὅσα συμβέβηκεν αὐτῷ κοινά τε πρὸς ἑτέρους, καὶ διαφέροντα παρὰ τοὺς ἄλλους. ἐν οἷς ἀναγκαῖον ἦν μὴ τὰς ἀρετὰς λέγεσθαι μόνον, ἀλλὰ καὶ τὰς γειτνιώσας αὐταῖς κακίας. οὐδὲ μία γὰρ αὐτάρκης ἀνθρώπου φύσις, οὔτ' ἐν λόγοις, οὔτ' ἐν ἔργοις, ἀναμάρτητος εἶναι· κρατίστη δέ, ἡ πλεῖστα μὲν ἐπιτυγχάνουσα, ἐλάχιστα δὲ [c] ἀστοχοῦσα. ἐπὶ ταύτην δὴ τὴν ὑπόθεσιν ἀναφέρων ἕκαστος τὰ ῥηθησόμενα, μὴ τῆς προαιρέσεώς μου γενέσθω κατήγορος, ἀλλὰ τῶν ἰδίων τοῦ χαρακτῆρος ἔργων ἐξε-

ad illos ſpectavi, qui veterum ſcripta plus æquo admirantur, ſuam ætatem adſpernatr; quo plerique homines vitio laborant. Suſpicor autem fore nonnullos, qui cum hæc legent, nos reprehendant, quod Thucydidem omnium, qui unquam hiſtorias ſcripſerunt, facile principem, tum in rebus deligendis aberraſſe, tum in narrando defeciſſe, audeamus oſtendere. Neque vero illud quidem nos fugit, ſi Thucydidis ſcripta notare aggrederemur, futurum ut primi ac ſoli res novas, atque ab hominum opinione abhorrentes, tentare videremur: non ſolum adverſantes communi, atque à multis ſæculis receptæ opinioni, quæ vix ex hominum animis evelli poſſit; verum etiam præſtantiſſimorum philoſophorum atque oratorum præclara de illo teſtimonia rejicientes, qui quidem illum veluti regulam quandam ſcribendæ hiſtoriæ proponunt, ac quaſi terminum quendam ſtatuunt, extra quem egredi non liceat iis qui dicendo in republ. volunt excellere. Ad quorum equidem accuſationes refellendas, (quæ theatrale neſcio quid habere, ac ad colligendam multitudinis gratiam peraccommodatæ videntur) illud ſatis fuerit, ſi dixero, ita me totam antea-actam vitam ad hæc uſque tempora inſtituiſſe, ut me à maledicendi ac fruſtra oblatrandi ſtudio quam longiſſime abducerem; neque ullum unquam ſcriptum edidiſſe, quo quenquam inſectarer, præter illud *de Civili philoſophia*, quam, contra eos qui eam immerito oppugnarent, defendi. quod cum ita ſit, non ego nunc primum indignam homine libero, à me vero longe alienam improbitatem, Thucydidis hiſtoricorum omnium clariſſimi ſcripta inſectando, hominibus patefacere ſum aggreſſus. De quo quidem ſcribendi genere multo plura quæ dicerem habebam: ſed ero contentus paucis. nam quam ſint vera quæ attuli, quamque mihi conveniant, & tu ipſe, & qui elegantis doctrinæ ſtudio tenentur, judicabunt.

Quid ſibi in hoc opere propoſitum habuerit Auctor.

III. In Thucydidis vero ſcriptis excutiendis, non id mihi negotii, ut ejus inſtitutum ac dicendi facultatem oppugnarem, ejuſque ſcripta reprehenderem: neque ut vitia ipſius colligerem, aut ejuſmodi aliquid facerem; neque ut, quæ in eo præclare confecta animadverterem, ſilentio præterirem; ea vero quæ non optime dicta eſſent, invaderem: ſed ut, quæ mea de ejus oratione eſſet ſententia, explicarem; atque omnia complectens, quid ille cum aliis commune haberet, qua in re differret, oſtenderem. Quod mihi facere inſtituenti, non virtutes tantum ejus, ſed, quæ virtutibus plerumque annexa ſolent eſſe, vitia quoque perſequi neceſſe fuit. non enim id præſtare poteſt cujuſquam hominis natura, nihil ut neque verbo neque re unquam peccet. illa vero optima eſt exiſtimanda, quæ in plurimis ſcopum attingit, in pauciſſimis aberrat. Ad hanc igitur rationem, ea, quæ dicentur, quiſque examinet; neque meum inſtitutum reprehendat, ſed eorum, quæ de dicendi ratione allaturi

a Vitiatum hoc loco exemplar eſt. *Dudithius* ſic vertit; *ſed ad illos ſpectavi, qui veterum ſcripta plus æquo admirantur ſuam ætatem aſpernentes: quo plerique homines vitio laborant.* ut talis quædam conſtitui poſſit lectio; ὅσοις τὸ αὐτὸ φιλαίτιον ἔνεστι, τὰ μὲν τῶν ἀρχαίων μόνα ἀγάμενοι, τὰ δὲ τῶν κατ' αὐτοὺς παντελῶς περιορῶν· ἃ κοινά ἐστι τῆς ἀνθρωπίνης πάθη φύσεως *Sylb.*

b Scriptus liber habet ἐπιτιμήσοντας: minus recte. Sic v. 29. idem perperam habet συνήθει, dandi caſu. *Sylb.*

c In *Cod. Bodl.* (qui tranſcriptus erat ex exemplario *Dudithiano*) ἀποτυχοῦσα.

Licere veterum cenſuram agere, oſtendit Ariſtotelis exemplo & Platonis.

turi ſumus, æquus ſit æſtimator. Quod vero non ego primus hoc ſcribendi genus aggrediar, ſed multi ante me, & noſtra & veterum memoria, nulla malevolentia ſuffuſi, ſed veritatis ſtudio ducti, in eadem ſe palæſtra exercuerint, poſſum ſexcentis prope teſtibus comprobare. duobus tamen ero contentus, Ariſtotele & Platone. Atque Ariſtoteles quidem non optime omnia à magiſtro ſuo Platone tradita exiſtimat: qualia ſunt quæ Plato de ideis, de ipſo bono, de rep. diſſeruit. Plato etiam ipſe, Parmenidis, Protagoræ, Zenonis, atque aliorum, qui rerum materia conſtantium philoſophiam profiterentur, errores conatur indicare. neque tamen eſt quiſquam, qui hoc illi vitio vertat: cum ſciat, unam veritatis cognitionem recte philoſophantibus eſſe propoſitam; quæ etiam optimam ineundæ vitæ rationem nobis oſtendit. Cum igitur nemo illos, qui in dogmatibus diſſentiunt, propterea reprehendat, quod non omnia veterum dicta probent; quis eſt qui eos reprehendendos exiſtimet, qui cujuſque dicendi generis proprietates explicet? niſi ſiquis tantum veteribus tribuat, ut iis etiam virtutibus eos ornet, quibus omnino caruerunt?

IV. Supereſt unum, quod à nobis refelli oporteat, invidioſum illud quidem & plauſibile in vulgus crimen; ejuſmodi tamen, quod in ſe nihil boni continere, oſtendi facile poſſit. Non enim ſi ea, qua Thucydides aliique viri polluerunt, ingenii vi deficimur; idcirco fit ut eorum judicandi facultate careamus. Nam neque iis, de Apellis, aut Zeuxidis, aut Protogenis, aut aliorum pictorum, qui fama claruerunt, artibus judicare, plane illicitum, qui earum artium ſcientia deſtituti ſunt: neq; de Phidiæ, aut Polycleti, aut Myronis operibus cæteri opifices ſententiam minus ferre poterunt; cum ab eorum tamen laude longe diſtarent. ut illud prætermittam, quod ſæpe uſu contingit, ut homo inſcius atque idiota, ſi quid ſit judicandum iis in rebus quæ ſub ſenſum cadunt, ne artifice quidem ipſo ſit inferior. hoc enim omnis ars intendit, hincque judicandi ſumit initium. Verum ne longiorem hac in parte imprudens ſermonem conſumam, hæc procemii loco ſufficiant.

De Hiſtoricis qui ante Thucydidem, iiſdemque temporibus floruerunt.

V. Sed antequam aggrediar ad ea quæ de Thucydide ſum dicturus, pauca quædam libet commemorare de cæteris hiſtoricis, tum vetuſtioribus, tum iis qui temporibus iiſdem, quibus ille, floruerunt. ex quo & illius in rebus deligendis conſilium, quo ſuperiores vicit; & in exponendis facultas, dilucide patebit. Veteres igitur hiſtorici, ante bellum in Peloponneſo geſtum, & multi & multis in locis fuere: in his Eugeon Samius, & Deiochus Proconneſius, & Eudemus Parius, & Democles Phygeleus, & Hecatæus Mileſius, & A-

ταστὴς δίκαιος. ὅτι δ' οὐκ ἐγὼ τοῦτο πρῶτος ἐπικεχείρηκα ποιεῖν, ἀλλὰ πολλοί, καὶ πάλαι, καὶ καθ' ἡμᾶς, οὐ φιλαπεχθήμονας προελόμενοι γραφάς, ἀλλὰ θεωρητικὰς τῆς ἀληθείας, μυρίους παρασχέσθαι δυνάμενος μάρτυρας, δυσὶν ἀνδράσιν ἀρκεσθήσομαι μόνοις, Ἀριστοτέλει καὶ Πλάτωνι. Ἀριστοτέλης τε γὰρ οὐχ ἅπαντα κατὰ τὸ κράτιστον εἰρῆσθαι πείθεται τῷ καθηγητῇ Πλάτωνι· ὧν ἐστὶ καὶ τὰ περὶ τῆς ἰδέας, καὶ τὰ περὶ τἀγαθοῦ, καὶ τὰ περὶ τῆς πολιτείας. αὐτός τε ὁ Πλάτων Παρμενίδην, καὶ Πρωταγόραν, καὶ Ζήνωνα, καὶ τῶν ἄλλων φυσιολόγων οὐκ ὀλίγους, ἡμαρτηκότας ἀποδεικνύναι βούλεται· καὶ οὐδεὶς αὐτῷ κατ' αὐτό γε τοῦτο ἐπιτιμᾷ· ἐνθυμούμενος ὅτι τῆς φιλοσόφου θεωρίας σκοπός ἐστιν ἡ τῆς ἀληθείας γνῶσις· ἀφ' ἧς καὶ τὸ τοῦ βίου τέλος γίνεται φανερόν. ὅπου δὴ τοὺς περὶ δογμάτων διαφερομένους οὐδεὶς μέμφεται τῆς προαιρέσεως, εἰ μὴ πάντα τὰ τῶν πρεσβυτέρων ἐπαινοῦσιν· ἦ που τούς γε προελομένους χαρακτήρων ἰδιότητα δηλῶσαι, μέμψαιτ' ἄν τις, εἰ μὴ πάσας μαρτυροῦσι τοῖς πρὸ αὐτῶν καὶ τὰς μὴ προσούσας ἀρετάς;

δ'. Ἓν ἔτι λείπεταί μοι μέρος ἀπολογίας δεόμενον, ἐπίφθονον [a] μέν τι κατηγόρημα, καὶ τοῖς πολλοῖς κεχαρισμένον, ῥᾳδίως δ' ἐξελεγχθῆναι δυνησόμενον ὡς οὐκ ἔστιν ὑγιές. οὐ γὰρ εἰ τῇ δυνάμει λειπόμεθα Θουκυδίδου τε καὶ τῶν ἄλλων ἀνδρῶν, καὶ τὸ θεωρητικὸν αὐτῶν ἀπολωλέκαμεν. οὐδὲ γὰρ τὰς [b] Ἀπέλλου, καὶ Ζεύξιδος, καὶ Πρωτογένους, καὶ τῶν ἄλλων γραφέων τῶν διωνομασμένων τέχνας, οἱ μὴ τὰς αὐτὰς ἔχοντες ἐκείνοις ἀρετάς, κρίνειν κεκώλυνται· οὐδὲ τὰ Φειδίου, καὶ Πολυκλείτου, καὶ Μύρωνος ἔργα οἱ μὴ τηλικοῦτοι δημιουργοί. ἐῶ γὰρ λέγειν ὅτι πολλῶν ἔργων οὐχ ἥττων τοῦ τεχνίτου κριτὴς ὁ ἰδιώτης, τῶν τε δι' αἰσθήσεως ἀλόγου [c] τοῖς πάθεσι καταλαμβανομένων· καὶ ὅτι πᾶσα τέχνη τούτων στοχάζεται τῶν κριτηρίων, καὶ ἀπὸ τούτων λαμβάνει τὴν ἀρχήν. ἅλις ἔστω μοι προοιμίων, ἵνα μὴ λάθω περὶ ταῦτα κατατρίψας τὸν λόγον.

ε'. Μέλλων δὲ ἄρχεσθαι τῆς περὶ Θουκυδίδου γραφῆς, ὀλίγα βούλομαι περὶ τῶν ἄλλων συγγραφέων εἰπεῖν, τῶν τε πρεσβυτέρων, καὶ τῶν κατὰ τοὺς αὐτοὺς ἀκμασάντων ἐκείνῳ χρόνους. ἐξ ὧν ἔσται καταφανὴς ἥ τε προαίρεσις τοῦ ἀνδρός, ᾗ χρησάμενος διήλλαξε τῶν πρὸ αὐτοῦ, καὶ ἡ δύναμις. ἀρχαῖοι μὲν οὖν συγγραφεῖς πολλοί, καὶ κατὰ πολλοὺς τόπους ἐγένοντο πρὸ τοῦ [d] Πελοποννησιακοῦ πολέμου· ἐν οἷς ἐστιν [e] Εὐγέων τε ὁ Σάμιος, καὶ Δηΐοχος ὁ [f] Προικονήσιος, καὶ Εὔδημος ὁ Πάριος, καὶ Δημοκλῆς ὁ [g] Φυγελεύς, καὶ Ἑκα-

ταῖος

a In ſcripto libro particula poſt μὲν pinguiori litura eſt obſcurata; ita ut neſcias τι ne ſit, an τε, an mixta ex hiſce τι. ſed cum accentus habeat encliſin, videtur referre voluiſſe μέν τι aut μέν τοι. *Sylb.* b Frequentius Ἀπελλοῦ, ut cum alibi, tum ſupra p. 183. v. 46. etiam in manuſcripto. *Sylb.* c Καὶ τοῖς πάθεσι. *H. Steph.* d Nota hîc Πελοποννησιακοῦ ſimplici ν ſcriptum, in ſequentibus autem gemino: quam poſteriorem ſcripturam agnoſcit apud *Dionyſium Periegeten* etiam *Euſtathius. Sylb.* Malim geminare liquidam auctoritate *Strabonis*, l. 13. p. 618. *Ed. Pariſ.* e Apud *Suidam* diphthongus habemus Εὐγαίων. An is ipſe ſit cujus hîc loci meminit *Dionyſius*, plane incertum. Sed de eo non opus eſt ut contendamus, quum & γέα & γαῖα dicatur. f Gentile eſt Προκονήσιος apud *Steph. Byzant.* verum *Straboni* cum duplici ν Προκοννήσιος, l. 13. p. 618. g Vera lectio eſt Φυγαλεύς. De prima quidem ſyllaba diſcrepant ſcriptores: quia alii Φυγάλεια malunt, ut *Polybius* l. 5. alii item Φιγάλεια ut eſt apud *Steph. Byzant.* alii Φιγαλία ut apud *Athenæum* l. 11. Sed tamen de ſecunda vocali omnes conſpirant. *Voſſ.*

a Heſychio

ταῖος ὁ Μιλήσιος, ὅ,τε Ἀργεῖος Ἀκουσίλαος, καὶ ὁ Λαμψακηνὸς Χάρων, καὶ ὁ Χαλκηδόνιος [a] Ἀμελησαγόρας. ὀλίγῳ δὲ πρεσβύτεροι τῶν Πελοποννησιακῶν, καὶ μέχρι τῆς Θουκυδίδου παρεκτείναντες ἡλικίας, Ἑλλάνικός τε ὁ Λέσβιος, καὶ Δαμάστης ὁ [b] Σιγεύς, καὶ Ξενομήδης ὁ Χῖος, καὶ Ξάνθος ὁ Λυδός, καὶ ἄλλοι συχνοί. οὗτοι προαιρέσει τε ὁμοίᾳ ἐχρήσαντο περὶ τὴν ἐκλογὴν τῶν ὑποθέσεων· καὶ δυνάμεις οὐ πολύ τι διαφερούσας ἔσχον ἀλλήλων. οἱ μὲν, τὰς Ἑλληνικὰς ἀναγράφοντες ἱστορίας· οἱ δὲ, τὰς βαρβαρικάς· [c] καὶ αὐτάς τε ταύτας οὐ συνάπτοντες ἀλλήλαις, ἀλλὰ κατ' ἔθνη καὶ κατὰ πόλεις διαιροῦντες, καὶ χωρὶς ἀλλήλων ἐκφέροντες, ἕνα καὶ τὸν αὐτὸν φυλάττοντες σκοπὸν, ὅσαι διεσώζοντο παρὰ τοῖς ἐπιχωρίοις μνῆμαι κατὰ ἔθνη τε καὶ κατὰ πόλεις, εἴτ' ἐν ἱεροῖς, εἴτ' ἐν βεβήλοις ἀποκείμεναι [d] γραφαὶ, ταύτας εἰς τὴν κοινὴν ἁπάντων γνῶσιν ἐξενεγκεῖν, οἵας παρέλαβον· μήτε προστιθέντες αὐταῖς τι, μήτε ἀφαιροῦντες· ἐν αἷς καὶ μῦθοί τινες ἐνῆσαν ὑπὸ τοῦ πολλοῦ πεπιστευμένοι χρόνου, καὶ θεατρικαί τινες περιπέτειαι, πολὺ τὸ ἠλίθιον ἔχειν τοῖς νῦν δοκοῦσαι. λέξιν τε ὡς ἐπὶ τὸ πολὺ τὴν αὐτὴν ἅπαντες ἐπετήδευσαν, ὅσοι τοὺς αὐτοὺς προείλοντο τῶν διαλέκτων χαρακτῆρας, τὴν σαφῆ καὶ κοινὴν, καὶ καθαρὰν, καὶ σύντομον, καὶ τοῖς πράγμασι προσφυῆ, καὶ μηδεμίαν σκευωρίαν ἐπιφαίνουσαν τεχνικήν. ἐπιτρέχει μέντοι τις
139 ὥρα τοῖς ἔργοις αὐτῶν· καὶ χάρις τοῖς μὲν πλείων, τοῖς δ' ἐλάττων· δι' ἣν ἔτι μένουσιν αὐτῶν αἱ γραφαί. ὁ δ' Ἀλικαρνασσεὺς Ἡρόδοτος, γενόμενος [e] ὀλίγῳ πρότερον τῶν Περσικῶν, παρεκτείνας δὲ μέχρι τῶν Πελοποννησιακῶν, τήν τε πραγματικὴν προαίρεσιν ἐπὶ τὸ μεῖζον ἐξήνεγκε καὶ λαμπρότερον, οὔτε πόλεως μιᾶς, οὔτ' ἔθνους ἑνὸς ἱστορίαν προελόμενος ἀναγράψαι· πολλὰς δὲ καὶ διαφόρους πράξεις ἔκ τε τῆς Εὐρώπης, ἔκ τε τῆς Ἀσίας, ἐς μίαν περιγραφὴν πραγματείας ἀγαγεῖν. ἀρξάμενος οὖν ἀπὸ τῆς τῶν Λυδῶν δυναστείας, μέχρι τοῦ Περσικοῦ πολέμου κατεβίβασε τὴν ἱστορίαν, πάσας τὰς ἐν τοῖς [f] τεσσαράκοντα καὶ διακοσίοις ἔτεσι γενομένας πράξεις ἐπιφανεῖς Ἑλλήνων τε καὶ βαρβάρων, μιᾷ συντάξει περιλαβών· καὶ τῇ λέξει προσεπέδωκε τὰς [g] παραληφθείσας ὑπὸ τῶν πρὸ αὐτοῦ συγγραφέων ἀρετάς.

ϛʹ. Τούτοις ἐπιγενόμενος Θουκυδίδης, οὔτ' ἐφ' ἑνὸς ἐβουλήθη τόπου καθιδρύσαι τὴν ἱστορίαν, ὡς οἱ περὶ τὸν Ἑλλάνικον ἐποίησαν, οὔτε τὰς ἐξ ἁπάσης χώρας Ἕλλησιν ἢ βαρβάροις ἐπιτελεσθείσας πράξεις εἰς μίαν ἱστορίαν συναγαγεῖν, μιμησάμενος Ἡρόδοτον· τῆς μὲν προτέρας ὑπεριδὼν, ὡς εὐτελοῦς καὶ ταπεινῆς, [h] καὶ πολλὰ οὐ δυνησομένης τοὺς ἀναγινώσκοντας ὠφελῆσαι· τῆς δὲ [i] ὑστεραίας, ὡς μείζονος ἢ δυνατῆς πεσεῖν εἰς σύνοψιν ἀνθρωπίνου λογισμοῦ, κατὰ τὸ ἀκριβέστατον τῶν τρόπων· ἕνα δὲ προχειρισάμενος πόλεμον, ὃν ἐπολέμησαν Ἀθηναῖοι καὶ Πελοποννήσιοι

cuſilaus Argivus,& Charon Lampſacenus, & Ameleſagoras Chalcedonius. qui autem paulo ante Peloponneſiaca tempora vixerunt, & ad uſque Thucydidis ætatem proceſſerunt, Hellanicus Lesbius, & Damaſtes Sigieus, & Xenomedes Chius, & Xanthus Lydus, & alii complures; quorum & conſilium in deligendo argumento non diſſimillimum fuit, & facultas pene par. Hiſtorias porro alii Græcas, alii barbaricas conſcripſere; neque has ipſas mutuo inter ſe connectere, ſed per nationes & urbes dividere, & ſeparatim placuit emittere; ſcopo ſcilicet eodem ſibi propoſito, ut, quæ apud incolas monumenta rerum per nationes atque urbes, ſive in ſacris locis ſive in profanis, aſſervata jacebant, ea ipſa, qualia plane accepiſſent, nulla re addita, nulla detracta, ad communem omnium ſcientiam emitterent. atque in iis monumentis tum fabulæ quædam inerant, quibus à vetuſtate fides acceſſerat; tum theatrales nonnullæ caſuum viciſſitudines, quæ fatuitatis multum noſtri temporis hominibus habere videantur. Genus autem dicendi, qui eadem lingua ſcripſerunt, omnes idem fere ſecuti ſunt; perſpicuum, uſitatum, purum,breve, ad rerum ipſarum naturam accommodatum, nullo prorſus, quod quidem emineat, artificio elaboratum. quorum ſcripta ſpecies quædam exornat: & venuſtatis quidem in aliis plus, in aliis minus elucet. quo fit, ut adhuc eorum ſcripta vigeant. Herodotus autem Halicarnaſſeus, qui ad Peloponneſiaca tempora vitam perduxit, cum paulo ante Perſica natus eſſet, tum materiam hiſtoriæ paulo altius extulit atque illuſtravit; neque unius tantum urbis,aut unius gentis, ſed Europæ Aſiæque res geſtas, eaſque multas & varias, uno in libro complexus eſt: (nam à Lydorum imperio exorſus, ad uſque bellum Perſicum opere perducto, quæcunque per annos ducentos & quadraginta geſta à Græcis & à barbaris erant, ex iis illuſtriora quæque delegit, & in unum quaſi corpus hiſtoriæ contulit) tum omiſſas à ſuperioribus dicendi virtutes ad ſuam orationem adjunxit.

VI. Succeſſit Thucydides: qui neque,ut Hellanicus,quaſi deſidem eſſe hiſtoriam,& in uno loco conſiſtere paſſus eſt; neque, Herodoti exemplo, Græcorum barbarorumque facta ex omni regione in unum eſſe colligenda exiſtimavit: cum quidem inſtitutum illud Hellanici ob eam cauſam contemneret, quod abjectum & humile videretur,planeque ejuſmodi, quod legentibus haud multum utilitatis afferre poſſet: Herodoti autem rationem ideo non probaret,quod latior ac fuſior eſſet,quam ut eam humana cogitatio perfecte poſſet univerſam comprehendere. unum autem bellum, quod inter Athenienſes & Peloponnenſes geſtum

a Heſychio, Clementi Alex. & *Max. Tyrio* Μελησαγόρας. *Antigonus Caryſtius* meminit Ameleſagoræ, ſed Athenienſis. Utrum rectius, non facile dixerim. *Voſſ.* *b Al.* Σιγειεύς. *c* Poſſis etiam legere, καὶ αὐτὰς δὲ ταύτας, repoſita ſcilicet δὲ pro τε. & mox pro ἕνα perperam in exemplari eſt ἵνα. *Sylb.* *d* Rectius γραφαῖς, dandi caſu. *Sylb.* *e* Hæc verba non ἁπλῶς de bello Perſico, ſed de expeditione Xerxis in Græciam, vera ſunt. *Voſſ.* de *Hiſt. Gr.* l. 1. c. 3. Non opus ideo eſt conjectura *T. Fabri*, qui, in notis ad *Dionyſ. Longinum*, ὀλίγῳ ὕστερον reponit pro ὀλίγῳ πρότερον. Vide *Scaligeri* Animadverſiones in *Euſebium*, ad an. MDLXXII. *f* Pro τεσσαράκοντα ſupra (p. 209. v. 2.) legitur εἴκοσι, per librariorum incuriam confuſis notis numeralibus κʹ. & μʹ. *Sylb.* Atque ρκʹ. non ρμʹ. legendum eſſe docuit *Scalig.* in *Animadverſionibus* ad *Euſebium*, an. MCCCXVIII. *g Dudithius* mavult παραλειφθείσας, *omiſſas*. videtur tamen & hæc ferri poſſe lectio: ſicut ſcilicet infra dicit auctor, [p. 147. juxta *Ed. Sylb.*] συνιδὼν ἃς ἑκάστη αὐτῶν ἔχει ἀρετάς. *Sylb.* *h* Poſſis etiam tranſpoſita negativa legere, καὶ οὐ πολλὰ δυν. *Sylb.* *i* Ὑστεραίας poſitum pro ὑστέρας, ut infra p. 144. juxta *Ed. Sylb.*

a De

ſtum eſt, animo complexus, in eo componendo, cum & corpore & animo æque valeret, ſuum ſtudium induſtriamque collocavit: cumque ad exitum belli vita proceſſiſſet, non quæcunq; in ſermonibus audiſſet, ſed quibus ipſe affuiſſet, quæque eſſet expertus, in ſua ſcripta retulit; quæ vero propter exſilium ſuum noſſe minus potuit, ea ſumpſit ab iis qui optime ipſi cognoviſſent. Ac ſuperiores quidem hiſtoricos duabus rebus excelluit: una, quod ſcribendi argumentum delegit neque ſimplex omnino, ex uno tantum quaſi membro formatum, neque valde permixtum, in multa atque incongrua capita diſſectum: altera, quod fabuloſum in ſuos libros nihil induxit, neque in eam partem deflexit, ut multitudini fraudem & tanquam impoſturam faceret. quo in genere ſuperiores omnes peccaverant: qui Lamias commemorarunt neſcio quas in ſilvis & ſaltibus, è terra prodeuntes; & Naïdas in terra atque aqua pariter degentes ab inferis profectas, pelago innatantes, ſemiferas, cum hominibus coëuntes, & ex mortali divinoque concubitu ſemideam ſobolem, & alia quædam, quæ noſtra ætas, ut incredibilia planeque delira, contemnat.

Quibus rebus ſuperiores hiſtoricos excelluerit.

VII. Neque vero ut hæc dicerem, eo ſum adductus, quod illos viros accuſem: quibus etiam veniæ multum tribuo, ſi, cum in explicanda nationum & locorum hiſtoria verſarentur, fabuloſa figmenta receperint: quandoquidem apud omnes homines, tum communiter de locis, tum proprie de urbibus, monumenta quædam ſervabantur hujuſmodi, quas dixi, rerum auditione perceptarum: quas filii à patribus acceptas, ſuis deinde poſteris ut traderent, elaborarunt. quod ſi qui literis eas conſignare vellent, ab his ut ita plane exponerentur quo modo de veteribus acceperant, dignum putabant. quapropter illos viros, ut locorum deſcriptiones fabuloſis additamentis variarent, neceſſitas compulit. Thucydidem autem, qui materiam unam ad ſcribendum cepiſſet eorum quibus ipſe affuerat, theatrales ludificationes inducere non decebat; neque ſe ad eum errorem, quem ejuſmodi ſcripta parere conſueverunt, ſed potius ad utilitatem legentium accommodare: quod ipſe in hiſtoriæ *prooemio* teſtatum reliquit; in quo hæc ſcripſit ad verbum: "Et auditu quidem, "ut quæque pars fabularum expers, ita minus jucunda videbitur. quicunque autem "& præteritas res, &, * quantum humano "conſilio licet, etiam futuras, præteritis ſimiles, conſiderare planeque inſpicere voluerint, his, dum illa utilitatem pariant, ſatis erit. emolumentumque potius, quod ſemper idem ſit, quam ſpectaculum, quod in "præſens oblectet, in ſcribendo cogitamus.

VIII. Ac de ipſo quidem & philoſophi & oratores omnes, aut, ſi non omnes, plerique certe, ita conſentiunt; de retinenda veritate, cui conſecratam eſſe hiſtoriam volumus, plurimum laboraſſe; nihil addidiſſe re-

πρὸς ἀλλήλους, τοῦτον ἐσπούδασεν ἀναγράψαι· ἐρρωμένος τε τὸ σῶμα, καὶ τὴν διάνοιαν ὑγιαίνων, καὶ μέχρι παντὸς αὐτοῦ βιώσας· καὶ οὐκ ἐκ τῶν ἐπιτυχόντων ἀκουσμάτων, τὰς πράξεις συνθείς· ἀλλ' οἷς μὲν αὐτὸς παρῆν, ἐξ ἐμπειρίας· ὧν δ' ἀπελείφθη διὰ τὴν φυγὴν, παρὰ τῶν ἄριστα γινωσκόντων πυνθανόμενος. πρῶτον μὲν δὴ κατὰ τοῦτο διήλλαξε τῶν πρὸ αὐτοῦ συγγραφέων, λέγω δὲ κατὰ τὸ λαβεῖν ὑπόθεσιν, μήτε μονόκωλον παντάπασιν, μηδ' εἰς πολλὰ μεμερισμένην καὶ ἀσυνάρτητα κεφάλαια· ἔπειτα κατὰ τὸ μηδὲν αὐτῇ μυθῶδες προσάψαι, μηδ' εἰς ἀπάτην καὶ γοητείαν τῶν πολλῶν ἐντρέψαι τὴν γραφὴν, ὡς [a] οἱ πρὸ αὐτοῦ πάντες ἐποίησαν, λαμίας τινὰς ἱστοροῦντες ἐν ὕλαις καὶ νάπαις ἐκ γῆς ἀνιεμένας, καὶ ναΐδας ἀμφιβίους ἐκ ταρτάρων ἐξιούσας, καὶ διὰ πελάγους νηχομένας καὶ μιξοθήρας, καὶ ταύτας εἰς ὁμιλίαν ἀνθρώποις συνερχομένας, καὶ ἐκ θνητῶν καὶ θείων συνουσιῶν γονὰς ἡμιθέους, καὶ ἄλλας τινὰς ἀπίστους τῷ καθ' ἡμᾶς βίῳ, καὶ πολὺ τὸ ἀνόητον ἔχειν δοκούσας ἱστορίας.

ζ'. Ταῦτα δ' εἰπεῖν προήχθην, οὐκ ἐπιτιμῶν ἐκείνοις τοῖς ἀνδράσιν, ἀλλὰ καὶ πολλὴν ἔχων συγγνώμην, εἰ καὶ τῶν μυθικῶν ἥψαντο πλασμάτων, ἐθνικὰς καὶ τοπικὰς ἐκφέροντες ἱστορίας· ἐν ἅπασι γὰρ ἀνθρώποις, καὶ κοινῇ κατὰ τόπους, καὶ κατὰ πόλεις ἰδίᾳ, μνῆμαί τινες ἐσώζοντο καὶ τῶν τοιούτων ἀκουσμάτων, ὥσπερ ἔφην· ἃς διαδεχόμενοι παῖδες παρὰ πατέρων, ἐπιμελὲς ἐποιοῦντο παραδιδόναι τοῖς ἐκγόνοις· καὶ τοὺς βουλομένους αὐτὰς εἰς τὸ κοινὸν ἐκφέρειν, οὕτως ἠξίουν συγγράφειν, ὡς παρὰ τῶν ἀρχαίων ἐδέξαντο. ἐκείνοις μὲν οὖν τοῖς ἀνδράσιν ἀναγκαῖον ἦν ποικίλλειν τοῖς μυθώδεσιν ἐπεισοδίοις τὰς τοπικὰς ἀναγραφάς. Θουκυδίδῃ δὲ, τῷ προελομένῳ μίαν ὑπόθεσιν, ᾗ παρεγένετο αὐτὸς, οὐχ ἥρμοττεν ἐγκαταμιγνύειν τῇ διηγήσει τὰς θεατρικὰς γοητείας, οὐδὲ πρὸς τὴν ἀπάτην ἁρμόττεσθαι τῶν ἀναγνωσομένων, ἣν ἐκεῖναι πεφύκασι φέρειν αἱ συντάξεις· ἀλλὰ πρὸς τὴν ὠφέλειαν, ὡς αὐτὸς ἐν ΤΩ ΠΡΟΟΙΜΙΩ τῆς ἱστορίας δεδήλωκε, κατὰ λέξιν οὕτω γράφων· "Καὶ "ἐς μὲν ἀκρόασιν ἴσως τὸ μὴ μυθῶδες αὐτῶν ἀτερ"πέστερον φανεῖται· ὅσοι δὲ βουλήσονται τῶν τε γε"νομένων τὸ σαφὲς σκοπεῖν, καὶ τῶν μελλόντων ποτὲ "αὖθις κατὰ τὸ ἀνθρώπινον, τοιούτων καὶ παραπλη"σίων ἔσεσθαι, ὠφέλιμα κρίνειν αὐτὰ, ἀρκούντως ἕξει· "[a] κτῆμά τε ἐς αἰεὶ μᾶλλον, ἢ ἀγώνισμα ἐς τὸ παρα"χρῆμα ἀκούειν ξύγκειται".

η'. Μαρτυρεῖται δὲ τῷ ἀνδρὶ τάχα μὲν ὑπὸ πάντων φιλοσόφων τε καὶ ῥητόρων, εἰ δὲ μὴ, τῶν γε πλείστων, ὅτι καὶ τῆς ἀληθείας, ἧς [b] ἱερὰν εἶναι τὴν ἱστορίαν βουλόμεθα, πλείστην ἐποιήσατο πρόνοιαν· οὔτε προστιθεὶς

a De hoc loco ita *Plinius* Ep. lib. 5. ep. 8. *Nam plurimum refert, ut Thucydides ait, κτῆμα ſit an ἀγώνισμα: quorum alterum oratio, alterum hiſtoria eſt.* Κτῆμα res perpetuæ poſſeſſionis eſt, ut memoria hiſtoriarum: ἀγώνισμα conflictus ut in contentione oratorum. *Quinctilianus* l. 10. c. 1. huc videtur reſpexiſſe. *Hiſtoria*, (inquit) *ſcribitur ad narrandum, non ad probandum: totumque opus non ad actum rei pugnamque præſentem, ſed ad memoriam poſteritatis & ingenii famam componitur. Cellarius.* b In margine *Cod. Bodl.* ἱσ. ἱερὰν. * *Ut res humanæ ferunt.*

a Malim

προστιθεὶς τοῖς πράγμασιν οὐδὲν ὃ μὴ δίκαιον, οὐδὲ ἀφαιρῶν, οὐδὲ ἐνεξουσιάζων τῇ γραφῇ· ἀνέγκλητον δὲ καὶ καθαρὰν τὴν προαίρεσιν ἀπὸ παντὸς φθόνου, καὶ πάσης κολακείας φυλάττων, μάλιστα δ' ἐν ταῖς περὶ τῶν ἀγαθῶν ἀνδρῶν γνώμαις. καὶ γὰρ Θεμιστοκλέους ἐν ΤΗ ΠΡΩΤΗ ΒΙΒΛΩ μνησθεὶς, τὰς ὑπαρχούσας αὐτῷ ἀρετὰς ἀφθό-
140 νως ἐπελήλυθε· καὶ τῶν Περικλέους πολιτευμάτων ἁψάμενος ἐν ΤΗ ΔΕΥΤΕΡΑ ΒΙΒΛΩ, τῆς διαβεβοημένης περὶ αὐτοῦ δόξης ἄξιον εἴρηκεν ἐγκώμιον· περί τε Δημοσθένους τοῦ στρατηγοῦ, καὶ Νικίου τοῦ [a] Νικοστράτου, καὶ Ἀλκιβιάδου τοῦ Κλεινίου, καὶ ἄλλων στρατηγῶν τε καὶ ῥητόρων ἀναγκασθεὶς λέγειν, ὅσα προσήκοντα ἦν ἑκάστῳ, δεδήλωκε. παραδείγματα δὲ περὶ αὐτῶν φέρειν οὐ δέομαι τοῖς διεληλυθόσιν αὐτοῦ τὰς ἱστορίας. ταῦτα μὲν οὖν ἂν ἔχοι τις εἰπεῖν, ἃ περὶ τὸν πραγματικὸν τόπον ὁ συγγραφεὺς κατορθοῖ, καλὰ, καὶ μιμήσεως ἄξια. κράτιστον δὲ πάντων, τὸ μηδὲν ἑκουσίως ψεύδεσθαι, μηδὲ μιαίνειν τὴν αὐτοῦ συνείδησιν.

θ'. Ἃ δ' ἐλλιπέστερον κατεσκεύασε, καὶ ἐφ' οἷς ἐγκαλοῦσιν αὐτῷ τινὲς, περὶ τὸ τεχνικώτερον μέρος ἐστὶ τοῦ πραγματικοῦ, τὸ λεγόμενον μὲν οἰκονομικὸν, ἐν ἁπάσαις δὲ γραφαῖς ἐπιζητούμενον, ἐάν τε φιλοσόφους προέληταί τις ὑποθέσεις, ἐάν τε ῥητορικάς. ταῦτα δέ ἐστι τὰ περὶ τὴν διαίρεσιν, καὶ τὰ [b] περὶ τάξιν, καὶ τὰ περὶ τὰς ἐξεργασίας. ἄρξομαι δ' ἀπὸ τῆς διαιρέσεως, προειπὼν, ὅτι τῶν πρὸ αὐτοῦ γενομένων συγγραφέων, ἢ κατὰ τόπους μεριζόντων τὰς ἀναγραφὰς, ἢ κατὰ χρόνους εὐπαρακολουθήτους, ἐκεῖνος οὐδετέραν τούτων τῶν διαιρέσεων ἐδοκίμασεν. οὔτε γὰρ τοῖς τόποις, ἐν οἷς αἱ πράξεις ἐπετελέσθησαν, ἀκολουθῶν ἐμέρισε τὰς διηγήσεις, ὡς Ἡρόδοτός τε καὶ Ἑλλάνικος καὶ ἄλλοι τινὲς τῶν πρὸ αὐτοῦ συγγραφέων ἐποίησαν· οὔτε τοῖς χρόνοις, ὡς οἱ τὴν τοπικὴν ἐκδόντες ἱστορίαν, προείλοντο, ἤτοι ταῖς διαδοχαῖς τῶν βασιλέων μερίζοντες τὰς ἀναγραφὰς, ἢ ταῖς τῶν ἱερέων, ἢ ταῖς περιόδοις τῶν ὀλυμπιάδων, ἢ τοῖς ἀποδεικνυμένοις ἄρχουσιν ἐπὶ τὰς ἐνιαυσίους ἀρχάς. καινὴν δέ τινα καὶ ἀτριβῆ τοῖς ἄλλοις πορευθῆναι βουληθεὶς ὁδὸν, θερείαις καὶ χειμερείαις ἐμέρισε τὴν ἱστορίαν. ἐκ δὲ τούτου συμβέβηκεν αὐτῷ τοὐναντίον ἢ προσεδόκησεν. οὐ γὰρ σαφεστέρα γέγονεν ἡ διαίρεσις τῶν χρόνων, ἀλλὰ δυσπαρακολουθητοτέρα κατὰ τὰς ὥρας. ἐφ' ᾧ θαυμάζειν ἄξιον, πῶς αὐτὸν ἔλαθεν, ὅτι πολλῶν ἅμα πραγμάτων κατὰ πολλοὺς τόπους γινομένων, εἰς μικρὰς κατακερματιζομένη τομὰς ἡ διήγησις, οὐκ ἀπολήψεται τὸ τηλαυγὲς φῶς ἐκεῖνο καὶ καθαρὸν, ὡς ἐξ αὐτῶν γίνεται τῶν πραγμάτων φανερόν. ἐν γοῦν ΤΗ ΤΡΙΤΗ ΒΙΒΛΩ· ταύτῃ γὰρ ἀρκεσθήσομαι μόνον· τὰ περὶ Μιτυληναίους ἀρξάμενος γράφειν, πρὶν ὅλην ἐκπληρῶσαι τὴν διήγησιν, ἐπὶ τὰ Λακεδαιμονίων ἄπεισιν ἔργα· καὶ οὐδὲ ταῦτα συγκορυφώσας, τῆς Πλαταιέων μέμνηται πολιορκίας. ἀφεὶς δὲ καὶ ταύτην ἀτελῆ, τοῦ Μιτυληναϊκοῦ μέμνηται πολέμου· εἶτ' ἐκεῖθεν ἄγει τὴν

bus, quod juſtum non eſſet, nihil detraxiſſe, * nihil ad ſuam libidinem ſcripſiſſe; viam ſecutum eſſe, quæ ab omni prorſus invidia, omnique aſſentatione, præſertim ubi de inſignibus ad laudem viris judicat, longiſſime abeſſet. Nam cum in *primo libro* de Themiſtocle loqueretur, virtutes, quibus ille floruit, copioſe admodum commemoravit: cum vero de Periclis in adminiſtranda rep. conſiliis mentionem in *ſecundo libro* faceret, laudes in eum effudit, quas tanti viri gloria poſtulabat. eodemque modo cum de Demoſthene duce, cum de Nicia Nicerati, de Alcibiade Cliniæ filio, deque aliis, & ducibus & oratoribus, dicendum ei neceſſario eſſet; quæ cuique conveniebant, expoſuit. quæ probare exemplis non puto mihi opus eſſe apud eos, qui hiſtorias ejus peragrarunt. Hæc igitur, quæ Thucydides, quod ad res attinet, egregie præſtet, poſſit aliquis dicere. Quæ cum præclara ſint, atque imitatione digna; tamen hoc in illo ſummum eſt, quod neque mendacium voluntario dicit, neque ſuam ipſe conſcientiam contaminat.

Quæ in Thucydide deſiderentur.

IX. Quæ autem in eo minus abſoluta videntur, & in quibus carpitur à nonnullis, in ea hiſtoricæ materiæ parte ſunt poſita, quæ plus habet artificii, atque œconomiæ nomine appellata, in omnibus, ſive quis philoſophicam ſive oratoriam materiem ſumpſerit, inprimis requiritur. Hæc vero ea ſunt, quæ ad diſtributionem, ad ordinem, ad amplificandi ſtudium pertinent. Ordiar autem ab ipſa diviſione; præfatus illud, quod, cum ſuperiores hiſtorici ſua ſcripta, vel locis vel temporibus apte continuatis, diſtinxerint; unus hic ex his diviſionibus neutram probarit. narrationes enim ita diſpoſuit, ut neque loca perſequeretur, ubi geſtæ res erant; (quod Herodotus, Hellanicuſque, & alii nonnulli ante illius ætatem hiſtorici fecerant) neque tempora, quod eos, qui agentem de locis hiſtoriam edidere, ſecutos eſſe conſtat: quibus vel ad regum aut ſacerdotum ſucceſſiones, vel ad Olympiadum ambitus, vel ad Archontum annuos principatus, ſuorum librorum diviſionem placuit accommodare. Cumque novam quandam, neque ab aliis tritam viam inire voluiſſet, in æſtates & hiemes hiſtoriam partitus eſt. cujus conſilii non is, quem ipſe putaverat, exitus eſt conſecutus. factum eſt enim, non ut apertior fuerit temporum diſtributio ad anni partes facta; ſed ejuſmodi, quam animi minus facile aſſequerentur. Qua in re licet illum jure mirari, qui non viderit futurum, ut, cum multæ ſimul res multis in locis gererentur, brevibus quaſi ſegmentis conciſa narratio, præclarum illud purumque lumen capere nequiret. quod ipſis ex rebus perſpicue patet. Nam in *tertio libro* (ut hoc uno exemplo contentus ſim) de Mitylenæis aggreſſus ſcribere, narrationem prius quam univerſam abſolveret, ad Lacedæmoniorum res geſtas divertit: quibus nondum impoſito fine, Platæenſium obſidionem commemorat. eamque mox imperfectam dimittens, Mitylenenſis belli mentionem infert: deinde ſermonem eo convertit, ut

Partitionem hiſtoriæ non recte inſtituit.

[a] Omnino cum *Thucydidis* exemplaribus ſcribendum Νικηράτου. Sylb. [b] Malim cum articulo περὶ τὴν τάξιν, ut in præced. & ſeq. commate. *Sylb.*

* *Nulla in ſcribendo licentia uſum eſſe.*

a Bary-

ut quo modo Corcyræ, ſeditione facta, alii Lacedæmonios, alii Athenienſes accerſiverint, exponat. Hanc vero partem omittens inchoatam, de Athenienſium priori expeditione in Siciliam pauca narrat. poſtea, cum Athenienſium in Peloponneſum navigationem & Lacedæmoniorum adverſus Dorienſes expeditionem demonſtrare eſſet exorſus, ad ea quæ ad Leucadem à Demoſthene duce geſta ſunt, & ad Ætolorum bellum tranſit. inde Naupactum abit. nec, * Epiroticis bellis ad exitum perductis, Siciliam rurſus attingit. poſtea, quemadmodum Delus expurgaretur, oſtendit; Argoſque Amphilochicos, ab Ambraciotis oppugnatos, relinquit. Quid multis opus eſt? totus enim liber ita conciſus perpetuam hiſtoriæ ſeriem amiſit. Accidit autem, id quod conſentaneum eſt, ut vagemur, nec facile, quæ traduntur, ſtudio conſequamur; cum ex divulſione rerum perturbata mens, imperfectas notitias ipſa ſibi commode perfecteve referre non poſſit. hiſtoricam enim narrationem perpetuo veluti filo ductam & colligatam oportet eſſe; præſertim ubi res exponuntur & multæ & quæ percipi non facile queant. Non eſſe autem rectam, qua ille uſus eſt, neque aptam hiſtoriæ regulam, ſatis conſtat. neque enim de poſterioribus hiſtoricis, qui ſua ſcripta in æſtates & hiemes diſtribueret, quiſquam fuit: omneſque potius id maluerunt, ut ad perſpicuas rerum intelligentias tritis itineribus narrationem perducerent.

Ordo ejus & diſpoſitio reprehenditur.

X. Sunt etiam qui, quod ad ordinem ſpectat, illum accuſent; quod hiſtoriam neque, quo opus erat, principio ſit ingreſſus; neque, quo decebat, fine concluſerit: cum ita dicant, diſponendi laudem non eſſe minimam, principium, quo non aliquid ſit prius, capere, & fine, cui nihil videatur deeſſe, comprehenſam narrationē terminare: quarum rerum ab ipſo neutram ſatis accurate animadverſam eſſe. Occaſionem porro hujus accuſationis hiſtoricus præbuit, qui cum ita propoſuiſſet; omnium bellorum, & temporum diuturnitate & multarum calamitatum eventis, illud fuiſſe maximum quod in Peloponneſo geſtum eſt, in extremo *prooemio* cauſas primum, unde principium duxit, aggreditur explicare. duaſque cum oſtendiſſet, unam veram, nec tamen vulgo notam, Athenienſium civitatis incrementum; alteram falſam, quam tamen Lacedæmonii fingerent, ſubſidium Corcyræis adverſus Corinthios ab Athenienſibus miſſum: non à vera cauſa, neque ab ea quam ipſe probaret, ſed ab altera ſumpſit initium. ſcripſit enim hæc ad verbum: "Origo autem ipſius ab "Athenienſibus & Peloponneſiis, ſoluto, "quod in annos triginta poſt captam Eubœam "percuſſum erat, fœdere, manavit. qui cur "initum fœdus diremerint, & cauſas, & diſſenſiones, primum oſtendi; ne quis, unde tantum inter Græcos bellum exſtiterit, aliquando poſſet exquirere. Veriſſimam enim cauſam, licet in ſermonibus occultam, opinor

διήγησιν ἐπὶ τὰ περὶ Κέρκυραν, ὡς ἐστασίασαν, ὧν μὲν Λακεδαιμονίους, οἱ δ' Ἀθηναίους ἐπαγόμενοι. ἀφεὶς δὲ καὶ ταῦτα ἡμιτελῆ, περὶ τῆς εἰς Σικελίαν στρατείας τῆς προτέρας Ἀθηναίων ὀλίγα λέγει. εἶτα Ἀθηναίων ἔκπλουν ἐπὶ Πελοπόννησον ἀρξάμενος λέγειν, καὶ Λακεδαιμονίων τὴν ἐπὶ Δωριεῖς στρατείαν, τὰ περὶ Λευκάδα πραχθέντα ὑπὸ Δημοσθένους τοῦ στρατηγοῦ, καὶ τὸν πρὸς Αἰτωλοὺς πόλεμον ἐπιπορεύεται· ἐκεῖθεν δὲ ἄπεισιν ἐπὶ Ναύπακτον. ἀτελεῖς δὲ καὶ τοὺς ἠπειρωτικοὺς πολέμους καταλιπὼν, Σικελίας ἅπτεται πάλιν, καὶ μετὰ τοῦτο Δῆλον [a] καθαιρεῖ, καὶ τὸ Ἀμφιλοχικὸν Ἄργος πολεμούμενον ὑπὸ Ἀμβρακιωτῶν, καταλείπει. καὶ τί δεῖ πλείω λέγειν; ὅλη γὰρ ἡ βίβλος οὕτω συγκέκοπται, καὶ τὸ συνεχὲς τῆς ἀπαγγελίας ἀπολώλεκε. πλανώμεθα δὴ, καθάπερ εἰκὸς, καὶ δυσκόλως τοῖς δηλουμένοις παρακολουθοῦμεν; ταραττομένης ἐν τῷ διασπᾶσθαι τὰ πράγματα τῆς διανοίας, καὶ τὰς ἡμιτελεῖς τῶν ἀκουσθέντων μνήμας οὐ ῥαδίως οὐδ' ἀκριβῶς ἀναφερούσης. χρὴ δὲ τὴν ἱστορικὴν πραγματείαν εἰρομένην καὶ ἀπερίσπαστον εἶναι, ἄλλως τε ἐπειδὰν περὶ πολλῶν γίνηται πραγμάτων καὶ δυσκαταμαθήτων. ὅτι δὲ οὐκ ὀρθὸς ὁ κανὼν οὗτος, οὐδ' οἰκεῖος ἱστορίᾳ, δῆλον. οὐδεὶς γὰρ τῶν μεταγενεστέρων συγγραφέων θερείαις καὶ χειμῶσι διεῖλε τὴν ἱστορίαν· ἀλλὰ πάντες [b] τὰς τετριμμένας ἄγειν ἐπὶ τὴν σαφήνειαν μετῆλθον.

ι'. Αἰτιῶνται δὲ καὶ τὴν τάξιν αὐτοῦ τινὲς, ὡς οὔτε ἀρχὴν τῆς ἱστορίας εἰληφότος, ἣν ἐχρῆν, οὔτε τέλος ἐφηρμοκότος αὐτῇ τὸ πρέπον· οὐκ ἐλάχιστον μέρος εἶναι λέγοντες οἰκονομίας ἀγαθῆς, ἀρχήν τε λαβεῖν, ἧς οὐκ ἂν εἴη τι πρότερον, καὶ τέλει περιλαβεῖν τὴν πραγματείαν, ᾧ δόξῃ μηδὲν ἐνδεῖν· ὧν οὐδετέρου πρόνοιαν αὐτὸν πεποιῆσθαι τὴν προσήκουσαν. τὴν δὲ ἀφορμὴν αὐτοῖς τῆς κατηγορίας ταύτης ὁ συγγραφεὺς παρέσχηται· προειπὼν γὰρ, ὡς μέγιστος ἐγένετο τῶν πρὸ αὐτοῦ πολέμων ὁ Πελοποννησιακὸς, χρόνου τε μήκει, καὶ παθημάτων πολλῶν συντυχίαις, τελευτῶν ΤΟΥ ΠΡΟΟΙΜΙΟΥ τὰς αἰτίας βούλεται προτοῦ 141 εἰπεῖν, ἀφ' ὧν τὴν ἀρχὴν [c] ἔλαβε. διττὰς δὲ ταύτας ὑποθέμενος, τήν τε ἀληθῆ μὲν, οὐκ εἰς ἅπαντας δὲ λεγομένην, τὴν αὔξησιν τῆς Ἀθηναίων πόλεως· καὶ τὴν οὐκ ἀληθῆ μὲν, ὑπὸ δὲ Λακεδαιμονίων πλαττομένην, τὴν Ἀθήνηθεν ἀποσταλεῖσαν Κερκυραίοις κατὰ Κορινθίων συμμαχίαν, οὐκ ἀπὸ τῆς ἀληθοῦς καὶ αὐτῷ δοκούσης, τὴν ἀρχὴν πεποίηται τῆς διηγήσεως, ἀλλ' ἀπὸ τῆς ἑτέρας, κατὰ λέξιν οὕτω γράφων· [d] "Ἤρξαντο δὲ Ἀθηναῖοι αὐτοῦ "καὶ Πελοποννήσιοι, λύσαντες τὰς τριακοντούτεις σπονδὰς, αἳ αὐτοῖς ἐγένοντο [e] μετὰ τὴν Εὐβοίας ἅλωσιν. "διότι δὲ ἔλυσαν, τὰς αἰτίας προέγραψα πρῶτον, "καὶ τὰς διαφορὰς τοῦ μή τινας ζητῆσαί ποτε, ἐξ "ὅτου τοσοῦτος πόλεμος τοῖς Ἕλλησι κατέστη. "τὴν μὲν γὰρ ἀληθεστάτην πρόφασιν, ἀφανεστάτην

δὲ

[a] Barytonωs legendum *καθαίρει, purgat, expiat*: ut manifeſtum eſt ex his *Thucyd.* [p. 207. *Ed. Oxon.*] τοῦ δ' αὐτοῦ χειμῶνος καὶ Δῆλον ἐκάθηραν Ἀθηναῖοι, κατὰ χρησμὸν δή τινα. *Sylb.* [b] *Sc.* ὁδούς. [c] *Sc.* ὁ πόλεμος. [d] In *Thucyd.* [*Ed. Oxon.* p. 14.] tranſpoſito pronomine ſic legitur, ἤρξαντο δὲ αὐτοῦ Ἀθ. καὶ Πελ. itidemque infra p. 146. [juxta *Ed. Sylb.*] *Sylb.* [e] Μετὰ Εὐβοίας ἅλωσιν in *Thucyd.* exemplaribus, & mox δ' ἔλυσαν & ἔγραψα. * *Abſolutis bellis quæ per continentem gerebantur. Sic. r.*

In

"δὲ λόγῳ, τοὺς Ἀθηναίους ἡγοῦμαι, μεγάλους γινομένους, "καὶ φόβον παρέχοντας τοῖς Λακεδαιμονίοις, ἀναγκάσαι ἐς "τὸ πολεμεῖν. αἱ δὲ ἐς τὸ φανερὸν λεγόμεναι αἰτίαι, "αἵδ' ἦσαν ἑκατέρων· ἀφ' ὧν λύσαντες τὰς σπονδὰς, ἐς "τὸν πόλεμον κατέστησαν. Ἐπίδαμνός ἐστι πόλις ἐν δε-"ξιᾷ ἐσπλέοντι τὸν Ἰόνιον κόλπον. προσοικοῦσι δ' αὐ-"τὴν Ταυλάντιοι βάρβαροι, Ἰλλυρικὸν ἔθνος". καὶ μετὰ τοῦτο διεξέρχεται τὰ περὶ Ἐπίδαμνον, καὶ τὰ περὶ Κέρκυραν, καὶ τὰ περὶ Ποτίδαιαν, καὶ τὴν Πελοποννησίων σύνοδον εἰς Σπάρτην, καὶ τοὺς ῥηθέντας ἐκεῖ κατὰ τῆς Ἀθηναίων πόλεως λόγους. ταῦτα δὲ μέχρι δισχιλίων ἐκμηκύνας στίχων, τότε περὶ τῆς ἑτέρας αἰτίας τὸν λόγον ἀποδίδωσι τῆς ἀληθοῦς τε καὶ αὐτῷ δοκούσης, ἐνθένδε ἀρξάμενος· "Ἐψηφίσαντο δὲ οἱ Λακεδαιμόνιοι τὰς σπονδὰς "λελύσθαι καὶ [a] πολεμεῖν Ἀθηναίοις, οὐ τοσοῦτον τῶν συμμά-"χων πεισθέντες τοῖς λόγοις, ὅσον φοβούμενοι τοὺς Ἀθη-"ναίους, μὴ [b] ἐπὶ μεῖζον δυνηθῶσιν, ὁρῶντες αὐτοῖς τὰ "πολλὰ τῆς Ἑλλάδος ὑποχείρια ἤδη ὄντα. οἱ γὰρ Ἀθηναῖοι "τρόπῳ τοιῷδε ἦλθον ἐπὶ τὰ πράγματα, ἐν οἷς ηὐξή-"θησαν". οἷς ἐπιτίθησι τὰ ἔργα τῆς πόλεως, ὅσα μετὰ τὸν Περσικὸν πόλεμον ἕως τοῦ Πελοποννησιακοῦ διεπρά-ξατο, κεφαλαιωδῶς καὶ ἐπιτροχάδην ἐν ἐλάττοσιν ἢ πεντακοσίοις στίχοις. ἀναμνησθεὶς δ' ὅτι πρότερα τῶν Κερκυραϊκῶν ἦν, καὶ οὐκ ἀπ' ἐκείνων ἔλαβε τὴν ἀρχὴν ὁ πόλεμος, ἀλλ' ἀπὸ τούτων, ταῦτα πάλιν κατὰ λέξιν γράφει· "Μετὰ ταῦτα δὲ ἤδη γίνεται οὐ πολλοῖς ἔτεσιν ὕστε-"ρον τὰ προειρημένα, τά τε Κερκυραϊκὰ καὶ τὰ Ποτι-"δαιατικὰ, καὶ ὅσα πρόφασις [c] (μεταξὺ) τοῦδε τοῦ πολέ-"μου κατέστη. ταῦτα δὲ ξύμπαντα, ὅσα ἔπραξαν οἱ "Ἕλληνες πρός τε ἀλλήλους καὶ (πρὸς) τὸν βάρβαρον, ἐγένετο "ἐν ἔτεσι πεντήκοντα μάλιστα, μεταξὺ τῆς τε Ξέρξου ἀνα-"χωρήσεως, καὶ τῆς ἀρχῆς τοῦδε τοῦ πολέμου· ἐν οἷς οἱ Ἀθηναῖοι "τήν τε ἀρχὴν ἐγκρατεστέραν κατεστήσαντο, καὶ αὐτοὶ ἐπὶ "μέγα ἐχώρησαν δυνάμεως· οἱ δὲ Λακεδαιμόνιοι, αἰσθόμε-"νοι, οὔτε ἐκώλυον, εἰ μὴ ἐπὶ βραχὺ, [d] ἡσυχάζοντες τὸ "πλέον τοῦ χρόνου, ὄντες μὲν καὶ πρὸ τοῦ μὴ ταχεῖς ἰέναι "ἐς τοὺς πολέμους, εἰ μὴ ἀναγκάζοιντο, τὸ δέ τι καὶ πο-"λέμοις οἰκείοις ἐξειργόμενοι· πρὶν δὴ ἡ δύναμις τῶν Ἀθη-"ναίων σαφῶς ἤρετο, καὶ τῆς ξυμμαχίας αὐτῶν ἥπτοντο· "τότε δὲ οὐκέτι ἀνασχετὸν ἐποιοῦντο, ἀλλ' ἐπιχειρητέα "ἐδόκει (εἶναι) πάσῃ προθυμίᾳ, καὶ καθαιρετέα ἡ ἰσχὺς, [e] ἢν "δύνωνται, ἀραμένοις τόνδε τὸν πόλεμον".

"hanc fuiſſe, quod, Athenienſibus eas vires "adeptis, ut Lacedæmoniis formidabiles eſ-"ſent, bellum neceſſario ſit excitatum. quæ "vero palam jactabantur cauſæ, quibus fa-"ctum eſt ut fœdera rumperentur & bellum "inter eos gereretur, hujuſmodi erant. Epi-"damnus eſt urbs ad dexteram ſita navi-"gantibus in Jonium ſinum. incolunt autem "ipſam, Illyrica natio, barbari Taulantii". Mox, quæ ad Epidamnum, ad Corcyram, ad Potidæam geſta ſunt, & Peloponnenſium conventum in urbem Spartam, & orationes illic habitas adverſus Athenienſium civitatem, commemorat; atque hæc ita producit, ut ad verſuum duo millia conſumat. quo demum in loco altera de cauſa, quæ & eſt & ipſi videtur eſſe vera, diſſerit; hinc exorſus: "De-"creverunt autem Lacedæmonii, ſolutum eſſe "fœdus, atque Athenienſibus inferri bellum "oportere: non tam ſociorum ſermonibus "in eam mentem adducti, quam metu ne ni-"mium creſcerent vires Athenienſium, quo-"rum ditioni jam ſubjectam Græciæ majorem "partem viderent. Athenienſes enim ad eas "res, quæ incrementum illis attulerunt, hu-"juſmodi ratio perduxit". Deinde ea, quæ à Perſico bello ad Peloponneſiacum civitas geſſit, per capita curſimque ſubjungit, in paucioribus quam quingentis verſibus. Rurſus, cum illa rebus Corcyræis anteire, neque ab illis ſed ab his manaſſe principium belli recordatus eſſet; ſcribit hæc ad verbum: "Poſt "hæc autem, quæ jam expoſuimus, haud mul-"tis poſt annis, conſecutæ ſunt * inter Cor-"cyram & Potidæam diſſenſiones, & quæcun-"que hoc bellum ſuſcitarunt. quæ ſimul o-"mnia, & quæ inter ipſos, & quæ adverſus "barbarum Græci geſſerunt, annis ſummum "quinquaginta perfecta ſunt; quot à diſceſſu "Xerxis ad hujus belli principium numeran-"tur: cum interim Athenienſes & principa-"tum confirmarunt, & majores opes ipſi ſibi "compararunt. quod Lacedæmonii cum in-"telligerent, non tamen, ut obſiſterent, niſi "ad breve ſpatium, adducebantur; & majorem "temporis partem quieſcebant: quippe qui "nec antea, niſi neceſſitas cogeret, facile bella "ſuſciperent; & tunc domeſticis etiam con-"tentionibus diſtinerentur. † Verum enim-"vero cum Athenienſes opibus manifeſto "creſcerent, initamque inter eos ſocietatem "læderent: tunc non jam eſſe ultra ferendum "cenſuerunt, ſed omni ſtudio conandum, ut "eorum potentiam, ſumptis armis, ſi fieri "poſſet, everterent".

ια'. Ἐχρῆν δὲ αὐτὸν, ἀρξάμενον τὰς αἰτίας τοῦ πολέμου ζητεῖν, προτέραν ἀποδοῦναι τὴν ἀληθῆ καὶ ἑαυτῷ δοκοῦσαν. ἥ τε γὰρ φύσις ἀπῄτει τὰ πρότερα τῶν ὑστέρων ἄρχειν, καὶ τἀληθῆ πρὸ τῶν ψευδῶν λέγεσθαι· ἥ τε τῆς διηγήσεως εἰσβολὴ κρείττων ἂν ἐγίνετο μακρῷ, τοιαύτης οἰκονομίας τυχοῦσα. οὐδὲ γὰρ ἐκεῖνό τις ἂν εἰπεῖν ἔχοι, τῶν ἀπολογεῖσθαι περὶ αὐτοῦ βουλομένων, ὅτι μικρὰ καὶ οὐκ ἄξια λόγου τὰ πράγματα ἦν, ἢ κοι-

XI. Oportebat autem illum, cum belli cauſas indagare cœpiſſet, eam, quæ vera eſſet quæque ipſi probaretur, primo loco tradere: cum & natura poſtulabat ut priora poſterioribus anteirent, vera prius quam falſa dicerentur; & ipſe narrationis ingreſſus, ſi ejuſmodi ordine inſtitutus eſſet, longe futurus erat præſtantior. non enim, ſi quis partem illius tueri velit, ea ratione poſſit uti, quod vel parvæ res eſſent, nec ſatis dignæ oratione; vel

a In *Thucyd.* p. 49. *Ed. Oxon.* πολεμητέα εἶναι pro πολεμεῖν. b In margine *Cod. Bodl.* ἰσ. ἐπ. c Incluſum μεταξὺ additum è vulg. editionibus. & rurſum ab eiſdem abeſt incluſa πρὸς v. 30. Exſtat autem locus [*Ed. Oxon.* p. 64.] *Sylb.* d In *Thucyd.* & *Cod. Bodl.* ἡσύχαζόν τε *quieſcebantque.* ſeq. v. 37. (ut notavit *Sylb.*) τὸ δέ τι ſignificat *partim etiam.* e Pro ἢν ſcriptus liber habet articulum ἣν: perperam. *Sylb.* * *Res Corcyraïcæ ac Potidæaticæ, & quæcunque huic bello anſam præbuere.* † *Interea.*

vel communes, & ab aliis antea ſic protritæ, ut nihil opus eſſet ab his initium ducere. ipſe enim hunc locum, ut à veteribus prætermiſſum, hiſtoria dignum exiſtimavit, qui ad verbum ita ſcripſerit: "Scripſi autem ea, & ab "inſtituto ſermone propterea diverti, quod "ſuperiores omnes hunc locum omiſerunt,& "aut res Græcas ante Medicas, aut Medicas "duntaxat compoſuerunt. Eas autem res,quas "& Hellanicus in Attica hiſtoria perſecutus "eſt, neque copioſe, neque temporibus ſatis "accurate diſtinctis, explicavit: ſimul etiam "quod Athenienſium principatus qua ratione "ſit conſtitutus, declarat".

XII. Satis igitur & hinc aperte colligitur, narrationem ab ipſo non optime, id eſt, non ut natura poſtulat, eſſe digeſtam. Huc accedit, quod nec hiſtoriam quo debuit fine concluſit. cum enim annos VII & XX bellum comprehenderit; atque, hoc quantum temporis eſt, uſque ad belli exitum ipſe vixerit; tamen uſque ad annum XXII hiſtoria perducta, octavum librum maritima illa pugna, quæ ad eum locum quē Cynoſſema appellant,eſt commiſſa, terminavit. * Adde quod, cum in *proœmio*, quæcunque hoc in bello geſta ſunt, omnia ſe eſſe perſcripturum affirmaſſet; itemque in *quinto libro* tempora collegiſſet, & unde ortum bellum eſt,& quouſque proceſſit, ſcripſit hæc ad verbum: "Hoc ſolum exitu "comprobatum ex iis quæ futura ex oraculis "affirmabantur. ſemper enim, & initio belli, "& uſque ad extrema tempora, recordor à "multis eſſe nunciatum, oportere ad annos "XXVII bellum perdurare. mihi autem per to"tum illud tempus vita ſuppeditavit: cum & "id ætatis eſſem, ut rerum ſenſum haberem, "& in eam curam animum intenderem, ut "ſingulas notitias optime conſequerer. cum"que † anno XX poſt Amphipolitanam expe"ditionem patria mea exſularem, & apud u"troſque, dum res agerentur, nec minus apud "Peloponnenſes ob exſilium, verſatus eſſem; "factum eſt ut aliquid ego peritius ipſis po"tuerim in otio cognoſcere.Diſſenſionem igi"tur poſt decem annos exortam, & fœderum "perturbationem, & quæ deinde in bello con"ſecuta ſunt, explicabo".

a capitum tractatione non ſatis accuratus eſt.

XIII. Præterea & ubi amplificationibus res perſequitur, minus illum eſſe diligentem; & vel ea, quæ brevitatem poſtulant, verboſius exponere; vel, quæ longiori ſunt oratione pertractanda, leviter nimis attingere, multis argumentis probare poſſim: ſed paucis tamen utar, & à navalibus primum Athenienſium Peloponnenſiumque pugnis, quæ in extremo *ſecundo libro* narrantur, initium capiam: cum

να καὶ [a] κατημαξευμένα τοῖς περὶ αὐτοῦ, ὥστε μηδὲν δεῖν ἀπὸ τούτων ἀρχὴν ποιεῖσθαι. αὐτὸς γὰρ ὡς ἐκλειφθέντα τὸν τόπον τοῦτον ὑπὸ τῶν ἀρχαίων, ἄξιον ἱστορίας ὑπείληφεν, αὐταῖς λέξεσιν οὕτω γράφων· "Ἔγραψα δὲ "αὐτὰ, καὶ τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην διὰ τόδε, ὅτι "τοῖς πρὸ ἐμοῦ ἅπασιν [b] ἐκλιπὲς τὸ χωρίον τοῦτο ἦν· καὶ ἢ "τὰ πρὸ τῶν Μηδικῶν Ἑλληνικὰ ξυνετίθεσαν, ἢ αὐτὰ τὰ "Μηδικά. τούτων δὲ, ὧν περ καὶ ἥψατο ἐν τῇ Ἀττικῇ "ξυγγραφῇ Ἑλλάνικος, βραχέως τε καὶ τοῖς χρόνοις οὐκ "ἀκριβῶς ἐπεμνήσθη· ἅμα δὲ καὶ τῆς ἀρχῆς ἀπόδειξιν ἔχει "τῆς τῶν Ἀθηναίων, ἐν οἵῳ τρόπῳ κατέστη".

ιβʹ. Ἱκανὸν μὲν οὖν καὶ τοῦτο τεκμήριον ἦν τοῦ μὴ κατὰ τὸν ἄριστον τρόπον ᾠκονομῆσθαι τὴν διήγησιν ὑπ᾽ αὐτοῦ· λέγω 142 δὴ τὸ μὴ κατὰ φύσιν ἔχειν· προσέστι δὲ τούτῳ καὶ τὸ μὴ, εἰς ἃ δεῖ κεφάλαια, τετελευτηκέναι τὴν ἱστορίαν. ἔτη γὰρ ἑπτὰ καὶ εἴκοσι περιειληφότος τοῦ πολέμου, πάντα τὸν χρόνον τοῦτον ἕως τῆς καταλύσεως αὐτοῦ βιώσας, μέχρι τοῦ δευτέρου καὶ εἰκοστοῦ κατεβίβασεν ἔτους τὴν ἱστορίαν, τῇ περὶ Κυνὸς σῆμα ναυμαχίᾳ τὴν ὀγδόην βίβλον παρεκτείνας· καὶ ταῦτα προειρηκὼς ἐν ΤΩ ΠΡΟΟΙΜΙΩ, πάντα περιλήψεσθαι τὰ πραχθέντα κατὰ τόνδε τὸν πόλεμον· καὶ ἐν ΤΗ ΠΕΜΠΤΗ ΒΙΒΛΩ πάλιν συνανακεφαλαιῶν τε τοὺς χρόνους ἀφ᾽ οὗ τε ἤρξατο, καὶ μέχρις οὗ προελθὼν κατελύθη, ταῦτα κατὰ λέξιν γέγραφε· "Καὶ τοῖς [c] (ἀπὸ) χρησμῶν τι ἰσχυρισα"μένοις, μόνον δὴ τοῦτο ὀχυρῶς ξυμβάν. ἀεὶ γὰρ ἐγὼ "μέμνημαι, καὶ ἀρχομένου τοῦ πολέμου, καὶ μέχρις "οὗ ἐτελεύτησε, προφερόμενον ὑπὸ πολλῶν, ὅτι τρὶς "ἐννέα ἔτη δέοι γενέσθαι αὐτόν. ἐπεβίων δὲ διὰ παντὸς "αὐτοῦ, αἰσθανόμενός τε τῇ ἡλικίᾳ, καὶ προσέχων τὴν γνώ"μην, ὅπως ἀκριβῶς τι εἴσομαι· καὶ ξυνέβη μοι φεύγειν τὴν "ἐμαυτοῦ, ἔτη εἴκοσι μετὰ τὴν ἐς Ἀμφίπολιν στρατηγίαν· καὶ "γενομένῳ παρ᾽ ἀμφοτέροις τοῖς πράγμασι, καὶ οὐχ ἧσ"σον [d] τοῖς Πελοποννησίοις διὰ τὴν φυγὴν, καθ᾽ ἡσυχίαν "τι αὐτῶν μᾶλλον αἰσθέσθαι. τὴν οὖν μετὰ (τὰ) δέκα ἔτη δια"φορὰν τε καὶ ξύγχυσιν τῶν σπονδῶν, καὶ τὰ ἔπειτα, ὡς ἐπο"λεμήθη, ἐξηγήσομαι.

ιγʹ. Ὅτι δὲ καὶ περὶ τὰς ἐξεργασίας τῶν κεφαλαίων ἧττόν ἐπιμελής ἐστιν, ἢ πλείονας τοῦ δέοντος λόγους ἀποδιδοὺς τοῖς ἐλαττόνων δεομένοις, [e] ἢ ῥαθυμότερον ἐπιτρέχων τὰ δεόμενα πλείονος ἐξεργασίας, πολλοῖς τεκμηρίοις βεβαιῶσαι δυνάμενος, [f] ὀλίγοις χρήσομαι, τὰς μὲν πρώτας Ἀθηναίων καὶ Πελοποννησίων ναυμαχίας ἀμφοτέρας περὶ τὴν τελευτὴν ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΒΙΒΛΟΥ γράφειν ἀρξάμενος· [f] ἐν

αἷς

a Κατημαξευμένα legitur etiam apud *Heſychium*; apud *Suidam* vero καθημαξευμένα: ſicut etiam ἅμαξαν alii malunt, alii ἄμαξαν: hi, quaſi ἅμα ἄγουσαν; illi, velut ἅμα ἀγουσαν τὰ ἐπιτιθέμενα. *Sylb.* b In *Thucyd.* p. 54. *Ed. Oxon.* ἐκλιπὲς τοῦτο ἦν τὸ χωρίον, & v. 8. ὥσπερ. In *Editis* tamen quibuſdam ὥσπερ. c Incluſa præpoſitio ἀπὸ addita ex vulgatis *Thucydidis* exemplaribus. in iiſdem ſeq. v. pro ὀχυρῶς legitur ἰσχυρῶς: & mox ἔγωγε pro ἐγώ. Iidem libri v. 31. habent ἀκριβές τι. alioqui ἀκριβῶς τι ſic accipiendum foret ut διαφερόντως τι ſupra p. 216. v. 14. *Sylb.* d Iidem libri habent τοῖς Πελοποννησίων, ſc. πράγμασι. Ex iiſdem ſequenti verſu inſertus eſt incluſus articulus τά. Exſtat autem locus [p. 306, 307. *Ed. Oxon.*] *Sylb.* e Scriptus liber copulative habet καὶ ῥαθυμότερον. ſed disjunctivam ἢ ſenſus ipſe poſtulat; & ſic legendum eſſe declarant etiam ſequentia, p. 231. v. 11. & p. 233. v. 11. *Sylb.* f Mutilatus eſt locus, & hoc fere modo complendus. primum poſt ὀλίγοις χρήσομαι, ponenda eſt diſtinctio periodica. deinde poſt μένοι, p. 231. v. 2. tale quidpiam inſerendum; ἐμαχέσαντο, μακρᾷ καὶ διεξοδικῇ χρῆται διηγήσει· τοὐναντίον δὲ ἐν τῇ ὀγδόῃ βίβλῳ, βραχέως πάνυ ἐπιτρέχει τήν τε πεζομαχίαν, καὶ τὴν ναυμαχίαν, ἐν ᾗ οἱ Ἀθηναῖοι πρὸς κτλ. τ. β. Significare enim vult, alterum navale prælium, in quo minorem virtutis ſplendorem cum Peloponneſiis dimicatum fuit, prolixius à *Thucydide* denarratum eſſe: alterum vero, quo terra marique, uno eodemque die, ſumma cum gloria *Perſæ* ſuperati fuerunt, admodum breviter ab eo eſſe perſtrictum. *Sylb.* * *Præſertim cum.* † *Annum, poſtquam ad Amphipolim dux fuiſſem, vigeſimum primum.*

a Illud

αἷς πρὸς ἑπτὰ καὶ τετταράκοντα ναῦς Πελοποννησίων εἴκοσι ναυσὶν Ἀθηναῖοι μόνοι πρὸς πολλαπλασίους τῶν βαρβάρων ναυμαχήσαντες, ἃς μὲν διέφθειραν, ἃς δὲ αὐτάνδρους ἔλαβον οὐκ ἐλάττους ἢ ὅσας ἔστειλαν ἐπὶ τὸν πόλεμον. θήσω δὲ καὶ τὴν λέξιν αὐτοῦ· "Ἐγένετο [a] (δὲ) μετὰ ταῦτα καὶ ἡ ἐπ' Εὐρυμέδοντι ποταμῷ ἐν Παμφυλίᾳ πεζομαχία, καὶ ναυμαχία "Ἀθηναίων καὶ τῶν ξυμμάχων πρὸς Μήδους· καὶ ἐνίκων τῇ "αὐτῇ ἡμέρᾳ ἀμφότερα Ἀθηναῖοι, Κίμωνος τοῦ Μιλτιάδου "στρατηγοῦντος, καὶ εἷλον τριήρεις Φοινίκων, καὶ διέφθειραν τὰς "πάσας ἐς διακοσίας". ὅμοια δ' ἐστὶ παρ' αὐτῷ καὶ τὰ κατὰ τὰς πεζικὰς μάχας, ἢ μηκυνόμενα πέρα τοῦ δέοντος, ἢ συναγόμενα εἰς ἔλαττον τοῦ μετρίου. τὰ μέν γε περὶ Πύλον Ἀθηναίοις πραχθέντα, καὶ τὰ περὶ τὴν Σφακτηρίαν καλουμένην νῆσον, ἐν ᾗ Λακεδαιμονίους κατακλείσαντες ἐξεπολιόρκησαν, ἀρξάμενος ἐν ΤΗ ΤΕΤΑΡΤΗ ΒΙΒΛΩ διηγεῖσθαι, καὶ μεταξὺ τοῦ πολέμου τοῦδε πράξεις τινὰς ἑτέρας παραδιηγησάμενος· εἶτ' αὖθις ἐπιστρέψας ἐπὶ τὴν ἀπόδοσιν τῶν ἑξῆς, ἅπαντα τὰ γενόμενα κατὰ τὰς μάχας ὑπ' ἀμφοτέρων διελήλυθεν ἀκριβῶς καὶ δυνατῶς· πλείους ἢ τριακοσίους στίχους [b] αὐτοῖς ἀποδεδωκὼς ταῖς μάχαις· καὶ ταῦτα οὐ πολλῶν ὄντων, οὔτε τῶν ἀπολομένων, οὔτε τῶν παραδόντων τὰ ὅπλα. αὐτός γέ τοι συγκεφαλαιούμενος τὰ περὶ τὴν μάχην, κατὰ λέξιν οὕτω γράφει· "Ἀπέθανον δὲ ἐν τῇ νήσῳ, καὶ ζῶντες ἐλήφθησαν "τοσοίδε· εἴκοσι μὲν ὁπλῖται διέβησαν καὶ τετρακόσιοι οἱ πάν"τες. τούτων ζῶντες ἐκομίσθησαν ὀκτὼ ἀποδέοντες τριακόσιοι· "οἱ δ' ἄλλοι, ἀπέθανον. καὶ Σπαρτιᾶται τούτων ἦσαν τῶν ζών"των [c] (περὶ) εἴκοσι καὶ ἑκατόν· Ἀθηναίων δὲ οὐ πολλοὶ δι"εφθάρησαν".

ιδʹ. Τῆς δὲ Νικίου στρατηγίας μνησθείς, ὅτι ναῦς ἑξήκοντα καὶ δισχιλίους ὁπλίτας Ἀθηναίων ἐπαγόμενος, ἐπὶ Πελοπόννησον ἔπλευσε· κατακλείσας δὲ Λακεδαιμονίους εἰς τὰ φρούρια, τοὺς ἐν [d] Κυθάροις κατοικοῦντας ἐξεπολιόρκησε, καὶ τῆς ἄλλης Πελοποννήσου πολλὴν ἐδῄωσεν· ἐξ ἧς αἰχμαλώτων πλῆθος [e] ἐπαγόμενος, ἀπέπλευσεν εἰς τὰς Ἀθήνας· οὕτως εἴρηκεν ἐπιτροχάδην, περὶ μὲν τῶν ἐν Κυθήροις πραγμάτων· [f] "Καὶ μάχης γενομένης, ὀλίγον μέν τινα χρόνον "ὑπέστησαν οἱ Κυθήριοι· ἔπειτα τραπόμενοι, κατέφυγον εἰς τὴν "ἄνω πόλιν· καὶ ὕστερον ξυνέβησαν πρὸς Νικίαν καὶ τοὺς ξυνάρ"χοντας, Ἀθηναίοις ἐπιτρέψαι περὶ σφῶν αὐτῶν, πλὴν "θανάτου". περὶ δὲ τῆς Αἰγινητῶν ἁλώσεως τῶν ἐν Θυρέᾳ· [g] "Ἐν τούτῳ δ' οἱ Ἀθηναῖοι κατασχόντες, καὶ χωρήσαντες εὐ"θὺς πάσῃ τῇ στρατιᾷ, αἱροῦσι τὴν Θυρέαν· καὶ τήν τε πόλιν "κατέκαυσαν, καὶ τὰ ἐνόντα ἐξεπόρθησαν. τούς τε Αἰγινήτας, "ὅσοι μὴ ἐν χερσὶ διεφθάρησαν, ἄγοντες, ἀφίκοντο εἰς τὰς Ἀθή"νας". γενομένων δὲ περὶ τὰς [h] πόλεις ἀμφοτέρας εὐθὺς ἐν
143 ἀρχῇ τοῦ πολέμου μεγάλων συμφορῶν, δι' ἃς ἐπεθύμησαν ἀμφότεραι τῆς εἰρήνης, περὶ μὲν τῆς [i] προτέρας, ὅτε Ἀθηναῖοι, τετμημένης μὲν αὐτοῖς τῆς χώρας, [k] οἰκοφθορημένης δὲ τῆς πόλεως ὑπὸ λοιμοῦ, πάσας ἀπογνόντες βοηθείας ἄλλην, ἀπέστειλαν πρεσβείαν εἰς Σπάρτην, εἰρήνης τυχεῖν δεόμενοι· οὔτε τοὺς ἀπο-

Athenienſes, contra naves Peloponnenſium XLVII ſoli XX navium claſſe * adverſus barbaros multis partibus plures, ita maritimo prœlio decertarunt, ut, quot ad bellum naves emiſerant, totidem plane alias depreſſerint, alias cum ipſis hominibus ceperint. qua de re ipſius verba ſubjiciam: "Poſtea ſimul "cum ſociis Athenienſium, apud flumen Eu"rymedontem in Pamphylia, terreſtri nava"lique certamine adverſus Medos pugnarunt: "eodemque die bis Athenienſes, duce Cimone, "Miltiadis filio, victoria potiti ſunt, captis ac "depreſſis omnibus Phœnicum navibus ad "ducentas". Atque his quidem non diſſimilia ſunt ea, quibus de terreſtribus prœliis agit: nam aut longius, quam par ſit, provehitur; aut rem præter modum contrahit. Cum enim ea quæ ab Athenienſibus circa Pylum & Sphacteriam inſulam geſta ſunt, cum obſeſſos in ea Lacedæmonios Athenienſes expugnarunt, in *quarto libro* narrare cœpiſſet, atque interim pauca quædam leviter attigiſſet, ad ea tum demum, quæ ſunt poſt conſecuta, ſermonem convertit; atque omnes utrinque commiſſas pugnas, cum neque multi in illis cecidiſſent, & perpauci ſeſe dedidiſſent, diligenter & accurate pluribus quam verſibus CCC eſt perſecutus. quam quidem pugnam ipſe ſummatim explicans, hæc ad verbum ſcribit: "In inſula quidem cæſi, aut vivi "capti, tot fuerunt. armati in eam traje"cerant CCCCXX. ex his vivi capti CCXCII, reliqui "occiſi. ac ex illis quidem, qui vivi capti fu"erant, Spartani erant numero CXX: ex A"thenienſibus, pauci ſunt interempti".

XIV. De Niciæ autem imperio illata mentione, qui ſexaginta navibus & duobus Athenienſium gravis armaturæ millibus in Peloponneſum ductis, ac Lacedæmoniis in caſtella concluſis, Cytherios expugnavit; magnamque Peloponneſi partem depopulatus, ingenti captivorum multitudine abducta, Athenas renavigavit, ſic curſim de rebus ad Cythera geſtis ait: "Pugna commiſſa, Cy"therii, cum non diu reſtitiſſent, fuga ſe in "ſuperiorem urbis partem receperunt; ac "poſt, cum Nicia & collegis ſalutem pacti, ſe "cum rebus omnibus ei dediderunt". De Æginetis vero captis, qui Thyreæ erant, ita ſcribit: "Interea Athenienſes, cum appuliſ"ſent, ſtatim omni exercitu admoto, Thy"ream capiunt, oppidum incendunt, omnia "diripiunt. Æginetis autem, ſiqui à cæde "ſervati erant, abductis, Athenas reverte"runt". Cum autem magnis utraque civitas in ipſo ſtatim belli initio calamitatibus conflictaretur, fiebat ut pacis utraque cupiditate teneretur. Jam de priori verba faciens, cum Athenienſes, omni ſua regione vaſtata, civitate vero propter peſtilentiam exhauſta, auxilium prorſus omne deſperantes, Spartam legatos miſerunt, † qui pacem, qua maxime egebant, poſcerent, non modo legatorum nomina prætermiſit,

a Illud δὲ additum ex *Thucyd.* exemplar. p. 55. *Ed. Oxon.* *b* Pro αὐτοῖς rectius fortaſſe legerimus ταύταις, *hiſce. Sylb.* *c* Incluſa περὶ addita ex vulg. libr. *Thucyd.* [p. 238. *Ed. Oxon.*] *Sylb.* *d* Nota hic Κυθάροις: & mox v. 35. Κυθήροις: vereor ne librariorum vitio. alioquin illud Doricæ, hoc communi linguæ adſcribendum foret. *Sylb.* *e* In margine *Cod. Bodl.* ἴσ. ἀπαγόμενος. *f Thucyd.* pag. 244. *Ed. Oxon.* *g* Exſtat locus, pag. 246. *ejuſdem Editionis.* *h Id eſt*, Spartam & Athenas. *i* Referri poteſt ad Athenas. *k* Nota hic οἰκοφθορημένης ſine augmento initiali: at non item ᾠκονομημένος, p. 230. v. 13. *Sylb.*
* *Locus in Græco mutilatus.* † Al. *pacem conſequi poſtulantes.*

a Exſtat

termiſit, ſed illud ſimul, quam apud eos orationem habuerint, quique eorum petitioni adverſantes effecerint ut fœdus Lacedæmonii rejicerent. quæ leviter ac negligenter, quaſi contemnenda, his verbis expoſuit: “Poſt ſecundum Peloponneſiorum irruptionem, Athenienſes, cum jam iterum eorum vaſtata eſſet regio, ac bello & morbo vexarentur, mutata voluntate, Periclem, quod bellum ſuaſiſſet, incuſabant, illius effectum opera exiſtimantes, ut in tot calamitates inciderent: ac cum cedere Lacedæmoniis ſtatuiſſent, miſſis eo de re legatis, nihil apud eos effecerunt”. De poſteriore vero verba faciens, cum Lacedæmonii captos ad Pylum trecentos, miſſa Athenas legatione, recuperare quam maxime vellent, eam orationem, quam Spartanus ad Athenienſes habuit, & cauſas, cur pactionibus non ſteterint, percenſet.

XV. Quod ſi ergo capita rerum ab Athenienſium legatis geſtarum perſequi ſatis fuiſſet; neque adhortationes, neque orationes, quibus uſi ſunt, aut qui ſuaſerunt, aut qui fœdus admiſerunt, commemorare opus eſſet: cur non idē in iis, qui Lacedæmone Athenas venerunt, inſtitutum ſervavit, cum illi quoque pace infecta diſceſſerint? Sin autem & hîc diligentia opus eſſe non ignoravit, cur illa per negligentiam prætermiſit? neque enim putandum, eum facultatis imbecillitate prohibitum, ne aut invenire, aut, quæ utrobique rebus ipſis convenirent; eloqui poſſet. Quod ſi, ſuis rationibus quibuſdam adductus, alteram legationem exaggerare maluit; nequeo ſane conjicere, cur Laconicam Atticæ, hoc eſt, eam quæ poſterior eſſet, ei quæ præiret tempore, anteferret; cur propriam alienæ; cur eam denique quæ minorum, quam quæ majorum calamitatum cauſa miſſa fuerat. Cum vero urbium expugnationes & everſiones, & hominum ſervitutem, aliaque id genus ſcribere cogitur, ita interdum animos crudelium, gravium, & miſerabilium commemoratione perturbat, ut nullam reliquis hiſtoricis, nullam poëtis rei altius extollendæ facultatem relinquat: interdum vero adeo puſilla, adeoque humilia nobis oſtendit, ut eorum cognitio ne leviter quidem animos afficiat. Cum autem de Platæenſium, cum de Mitylenenſium ac Melienſium civitatibus ageret, ſummam in illarum calamitatibus deſcribendis vim adhibuit. ac verba quidem, quibus calamitates eorum ſummis viribus exaggeravit, non puto neceſſarium eſſe nunc in medium adducere. ea vero loca, in quibus hanc diligentiam vitavit, & ærumnas eorum propemodum extenuat, quod in hiſtoria ſua non raro fecit, afferam: “Iiſdem temporibus Athenienſes, Scionæis expugnatis, omnem juventutem deleverunt; &, pueris ac mulieribus in ſervitutem abductis, regionem ipſam Platæenſibus utendam dederunt”. “Et Athenienſes rurſum cum in Eubœam duce Pe-

σταλέντας ἄνδρας εἴρηκεν, οὔτε τοὺς ῥηθέντας ἐκεῖ λόγους ὑπ' αὐτῶν, οὔτε τοὺς ἐναντιωθέντας ὑφ' ὧν πεισθέντες Λακεδαιμόνιοι τὰς διαλλαγὰς ἀπεψηφίσαντο. φαύλως δέ πως καὶ ῥαθύμως, ὡς περὶ μικρῶν καὶ ἀδόξων πραγμάτων, ταῦτα εἴρηκε· [a] “Μετὰ δὲ τὴν δευτέραν εἰσβολὴν τῶν Πελοποννησίων, οἱ Ἀθηναῖοι, ὡς ἥ τε γῆ αὐτῶν ἐτέτμητο τὸ δεύτερον, καὶ ἡ νόσος ἐπέκειτο ἅμα καὶ ὁ πόλεμος, ἠλλοίωντο τὰς γνώμας· καὶ τὸν Περικλέα ἐν αἰτίᾳ εἶχον, ὡς πείσαντα σφᾶς πολεμεῖν, καὶ δι' ἐκεῖνον ταῖς συμφοραῖς περιπεπτωκότες· πρὸς δὲ τοὺς Λακεδαιμονίους ὥρμηντο ξυγχωρεῖν. καὶ πρέσβεις τινὰς πέμψαντες [b] πρὸς αὐτοὺς, ἄπρακτοι ἐγένοντο”. περὶ δὲ τῆς [c] ὑστέρας, ὅτε Λακεδαιμόνιοι τοὺς περὶ Πύλον ἁλόντας τριακοσίους κομίσασθαι προθέμενοι, πρεσβείας ἀπέστειλαν εἰς τὰς Ἀθήνας· καὶ τοὺς λόγους εἴρηκε τοὺς ὑπὸ τοῦ Λακεδαιμονίου ῥηθέντας τότε, καὶ τὰς αἰτίας [d] ὑπελήλυθε, δι' ἃς οὐκ ἐπετελέσθησαν αἱ σπονδαί.

ιε'. Εἰ μὲν οὖν ἡ ἐπὶ τῆς Ἀθηναίων πρεσβείας τὰ κεφάλαια τῶν γινομένων περιειληφυῖα δήλωσις, ἤρκει· λόγων δὲ καὶ παρακλήσεων, αἷς ἐχρήσαντο οἱ πρέσβεις, οὐδὲν ἔδει, μήτε πεισθέντων μήτε δεξαμένων τὰς σπονδὰς Λακεδαιμονίων· τί δή ποτε οὐ τὴν αὐτὴν προαίρεσιν ἐφύλαξε καὶ ἐπὶ τῶν ἐκ τῆς Σπάρτης ἀφικομένων εἰς τὰς Ἀθήνας; οὐδὲ γὰρ ἐκεῖνοι διαπραξάμενοι τὴν εἰρήνην ἀπῆλθον. εἰ δ' ἀκριβῶς δεῖ ταῦτα εἰρῆσθαι, διὰ τί παρέλιπε ῥαθύμως ἐκεῖνα; οὐ γὰρ δή γε ἀσθενείᾳ δυνάμεως ἐξείργετο περὶ ἀμφοτέρων τοὺς ἐνόντας εὑρεῖν τε καὶ ἐξειπεῖν λόγους. εἰ δὲ δὴ κατὰ λογισμόν τινα τὴν ἑτέραν προείλετο πρεσβείαν ἐξεργάσασθαι, οὐκ ἔχω συμβαλεῖν, κατὰ τί τὴν Λακωνικὴν προέκρινε τῆς Ἀττικῆς μᾶλλον, τὴν ὑστέραν τοῖς χρόνοις ἀντὶ τῆς προτέρας, καὶ τὴν ἀλλοτρίαν ἀντὶ τῆς ἰδίας, καὶ τὴν ἐπ' ἐλάττοσι κακοῖς γενομένην, ἀντὶ τῆς ἐπὶ μείζοσι. πόλεων δὲ ἁλώσεις καὶ κατασκαφὰς, καὶ ἀνδραποδισμοὺς, καὶ ἄλλας τοιαύτας συμφορὰς πολλάκις ἀναγκασθεὶς γράφειν, ποτὲ μὲν οὕτως ὠμὰ, καὶ δεινὰ, καὶ οἴκτων ἄξια φαίνεσθαι ποιεῖ τὰ πάθη, ὥστε μηδεμίαν ὑπερβολὴν μήτε ἱστοριογράφοις μήτε ποιηταῖς καταλιπεῖν· ποτὲ δὲ οὕτω ταπεινὰ καὶ μικρὰ, ὥστε μηδ' εἰς αἴσθησιν ἡμῶν τι πεσεῖν γνώρισμα τοῖς ἀναγινώσκουσι τοῦ ἀνδρὸς. λέγων τε ἃ περὶ τῆς Πλαταιέων πόλεως εἴρηκε, καὶ περὶ τῆς Μιτυληναίων, καὶ περὶ τῆς Μηλίων, οὐδὲν δέομαι τὰς λέξεις ἐκείνας φέρειν, ἐν αἷς ἀπὸ τῆς ἄκρας δυνάμεως ἐξείργασται τὰς συμφορὰς αὐτῶν· ἐν αἷς δ' ὑποτρέχει καὶ μικρὰ ποιεῖ τὰ πάθη αὐτῶν, κατὰ πολλοὺς τόπους τῆς ἱστορίας, τούτων μνησθήσομαι· “Περὶ δὲ τοὺς αὐτοὺς χρόνους [e] τούτους Σικυωνείους Ἀθηναῖοι ἐκπολιορκήσαντες, ἀπέκτειναν τοὺς ἡβῶντας· παῖδας δὲ καὶ γυναῖκας ἠνδραπόδισαν· καὶ τὴν γῆν Πλαταιεῦσιν [f] ἔδωκαν νέμεσθαι”. “Καὶ Ἀθηναῖοι πάλιν ἐς Εὔβοιαν διαβάντες, Περικλέους στρατηγοῦντος,

a Exſtat locus *Thucyd.* p. 116. *Ed. Oxon.* *b* In vulgatis *Thucydidis* ὡς αὐτούς. *c* Spartam quidem innuit. *d* Rectius forſan ἐπελήλυθε: itidemque paulo infra, v. 43. ἐπιτρέχει. ſic enim & pag. 230. v. 40. dicit ῥαθυμότερον ἐπιτρέχων, & pagina quidem proxima, v. 11. ῥαθύμως ἐπιτετροχασμένα, *negligenter percurſa, leviter perſtricta. Sylb.* *e* Pro τούτους in *Thucyd.* [p. 310. *Ed. Oxon.*] legitur τοῦ θέρους τούτου, & mox Σκιωναίους μέν: quam vocis Σκιωναίους ſcripturam confirmat diphthongus αι in corrupto Σικυωνείους. *Sylb.* *f* In *Thucydidis* exemplaribus ἔδοσαν: in margine tamen ἔδωκαν.

"στρατηγοῦντος, κατεστρέψαντο πᾶσαν· καὶ τὴν μὲν ἄλλην ὁμολογίᾳ [a] κατέστησαν. Ἑστιαιεῖς δ' ἐξοικίσαντες, αὐτοὶ τὴν γῆν ἔσχον". [b] "Ἀνέστησαν δὲ Αἰγινήτας τῷ αὐτῷ θέρει τούτῳ ἐξ Αἰγίνης Ἀθηναῖοι, αὐτούς τε, καὶ γυναῖκας, καὶ παῖδας· ἐπικαλέσαντες, οὐχ ἥκιστα τοῦ πολέμου σφίσιν αἰτίους εἶναι· καὶ τὴν Αἴγιναν [c] ἀσφαλέστερον ἂν φαινόμενον, τῇ Πελοποννήσῳ ἐπικειμένην, αὐτῶν πέμψαντες ἐποίκους, ἔχειν".

ιϛ'. Πολλὰ καὶ ἄλλα τις ἂν εὕροι δι' ὅλης τῆς ἱστορίας, ἢ τῆς ἄκρας ἐξεργασίας τετυχηκότα, καὶ μήτε πρόσθεσιν δεχόμενα, μήτ' ἀφαίρεσιν· ἢ ῥαθύμως ἐπιτετροχασμένα, καὶ οὐδὲ τὴν ἐλαχίστην ἔμφασιν ἔχοντα τῆς δεινότητος ἐκείνης, μάλιστα δὲ ἐν ταῖς δημηγορίαις, καὶ ἐν τοῖς διαλόγοις, καὶ ἐν ταῖς ἄλλαις ῥητορείαις. ὧν προνοούμενος, ἔοικεν ἀτελῆ τὴν ἱστορίαν καταλιπεῖν, ὡς καὶ Κράτιππος, ὁ συνακμάσας αὐτῷ, καὶ τὰ [d] παραλειφθέντα ὑπ' αὐτοῦ συναγαγών, γέγραφεν οὐ μόνον ταῖς πράξεσιν αὐταῖς ἐμποδὼν γεγενῆσθαι λέγων, ἀλλὰ καὶ τοῖς ἀκούουσιν ὀχληρὰς εἶναι. τοῦτό γέ τοι συνέντα αὐτόν, ἐν τοῖς τελευταίοις τῆς ἱστορίας φησὶ μηδεμίαν τάξαι ῥητορείαν, πολλῶν μὲν κατὰ τὴν Ἰωνίαν γενομένων, πολλῶν δ' ἐν ταῖς Ἀθήναις, ὅσα [e] διὰ λόγων καὶ δημηγοριῶν ἐπράχθη. εἰ γέ τοι ΤΗΝ ΠΡΩΤΗΝ καὶ ΤΗΝ ΟΓΔΟΗΝ ΒΙΒΛΟΝ ἀντιπαρεξετάζοι τις ἀλλήλαις, οὔτε τῆς αὐτῆς ἂν προαιρέσεως δόξειεν ἀμφοτέρας ὑπάρχειν, οὔτε τῆς αὐτῆς δυνάμεως· ἡ μὲν γάρ, ὀλίγα πρά-
144 γματα καὶ μικρὰ περιέχουσα, πλήθει τῶν ῥητορειῶν· ἡ δέ, περὶ πολλὰς καὶ μεγάλας συνταχθεῖσα πράξεις, δημηγορικῶν σπανίζει λόγων.

ιζ'. Ἤδη δὲ ἔγωγε καὶ ἐν αὐταῖς ἔδοξα ταῖς ῥητορείαις τοῦτο συμβεβηκέναι τῷ ἀνδρὶ τὸ πάθος, ὥστε περὶ τὴν αὐτὴν ὑπόθεσιν, καὶ ἐν τῷ αὐτῷ χρόνῳ τεθεῖναι μέν, ἃς οὐκ ἔδει, παραλιπεῖν δέ, ἃς ἔδει λέγεσθαι. οἷόν τι καὶ περὶ τὸ Μιτυληναίων πόλεως ἐν ΤΗ ΤΡΙΤΗ ΒΙΒΛΩ πεποίηκε. μετὰ γὰρ τὴν ἅλωσιν αὐτῆς, καὶ τὴν τῶν αἰχμαλώτων ἄφιξιν, οὓς ἀπέστειλεν ὁ στρατηγὸς Πάχης, διττῶν ἐκκλησιῶν γενομένων ἐν ταῖς Ἀθήναις, τοὺς μὲν ἐν τῇ προτέρᾳ ῥηθέντας ὑπὸ τῶν δημαγωγῶν λόγους παρέλειπεν, ὡς οὐκ ἀναγκαίους· ἐν ᾗ τούς τε αἰχμαλώτους ἀποκτεῖναι ὁ δῆμος ἐψηφίσατο, καὶ τοὺς ἄλλους Μιτυληναίους ἡβηδόν, γυναῖκας δὲ καὶ παῖδας ἀνδραποδίσαι· τοὺς δ' ἐν τῇ ὑστεραίᾳ πάλιν ὑπὸ τῶν αὐτῶν ῥηθέντας, ἐν ᾗ μετάνοιά τις ὑπεισῆλθε τοὺς πολλούς, περὶ τὴν αὐτὴν συνταχθέντας ὑπόθεσιν, παρέλαβεν ὡς ἀναγκαίους.

ιη'. Ὁ δὲ περιβόητος ἐπιτάφιος, ὃν ἐν ΤΗ ΔΕΥΤΕΡΑ ΒΙΒΛΩ διελήλυθε, κατὰ τίνα δὴ ποτὲ λογισμὸν ἐν τούτῳ κεῖται τῷ τόπῳ μᾶλλον, ἢ οὐκ ἐν ἑτέρῳ; εἴτε γὰρ ἐν ταῖς μεγάλαις συμφοραῖς τῆς πόλεως, ἐν αἷς Ἀθηναίων πολλοὶ καὶ ἀγαθοὶ μα-

"ricle pertranſiſſent, univerſam ſubegerunt: ac reliqua quidem ejus regionis parte pactionibus in deditionem recepta, Heſtiæis vero ſedibus ſuis ejectis, eorum terram ipſi occuparunt". "Æginetas quoq; eodem tempore Athenienſes, una cum uxoribus ac liberis, Ægina ejecerunt; incuſantes, quod belli cauſam potiſſimum præbuiſſent; atque exiſtimantes, ſi ex ſuis incolas eo mitterent, propterea quod Ægina Peloponneſo adjaceret, tutius ſe Æginæ imperium habituros".

XVI. Nec vero pauca præterea in illius hiſtoria liceat invenire, quorum aliis ſummam in ſcribendo amplificationem adhibuit, ut neque addi quidquam, neque detrahi poſſit: alia ita ſunt negligenter decurſa, ut eximiam illius in dicendo facultatem ne nimium quidem præ ſe ferant; potiſſimum in concionibus, in colloquiis, atque aliis ejuſmodi elaboratis orationibus. quæ cum diligenter curaſſet, hiſtoriam ipſam reliquiſſe videtur imperfectam; uti Cratippus (qui & ejus fuit æqualis, & quæ ipſe omiſerat in unum coëgit) ſcriptum reliquit; eas orationes ita adhibitas dicens, ut non modo rebus ipſis ſint impedimento, verum etiam auditoribus permoleſtæ: idque ſentientem Thucydidem, nullas in ultima hiſtoriæ parte orationes adjunxiſſe, etſi multa in Ionia ac multa Athenis eveniſſent, quæ ſermonum & orationum interventu tranſigerentur. Quod ſiquis *primum* cum *octavo libro* conferat, neque idem in illis inſtitutum, neque eandem in explicando vim ineſſe judicabit. alter enim, cum paucas admodum, nec magni momenti res habeat, totus concionibus ad artem factis abundat: in altero contra, & multis & magnis rebus referto, magna eſt concionum infrequentia.

XVII. Jam vero & in ipſis concionibus lapſum illum in hunc errorem videor animadvertiſſe, ut in eodem argumento, eodemque tempore, quæ ad rem facerent, omiſerit; quæ vero maxime aliena eſſent, in orationem induxerit. cujus generis illud in *tertio libro*, ubi de Mitylenenſium civitate verba facit, videtur eſſe. Nam poſt urbem captam, ac poſt captivorum adventum, quos Paches dux miſerat, cum bis conventus Athenis ageretur, orationes ab iis, qui populi factionum principes erant, habitas, quaſi minime neceſſarias, omiſit: in quo quidem conventu populus decreverat, ut captivi atque omnis Mitylenæorum juventus trucidaretur, ac mulieres cum pueris in captivitatem abducerentur. ea vero, quæ in ſecundo conventu ab iiſdem eſſent dicta, tanquam maxime neceſſaria, aſſumpſit; in quo conventu populum, qui eadem de re iterum coactus erat, prioris decreti pœnituit.

XVIII. Illa vero tam celebrata Funebris laudatio, quam in *ſecundo libro* collocavit, qua factum eſt ratione, ut eum potius quam alium locum occupaverit? Nam ſive id factum eſt quod in magnis urbis calamitatibus, in quibus multi fortesque ex Athenienſibus viri pugnantes

a Locus occurrit *Thucyd.* p. 62. *Ed. Oxon.* ubi pro κατέστησαν media forma ſcriptum κατεστήσαντο, & mox Ἑστιαιᾶς δὲ ἐξ.
b *Thucyd.* p. 100. legitur, ἀνέστησαν δὲ καὶ Αἰγινήτας τῷ αὐτῷ θέρει τούτῳ ἐξ Αἰγίνης Ἀθηναῖοι, αὐτούς τε καὶ παῖδας καὶ γυναῖκας.
c Apud *Thucyd.* ibid. ἀσφαλέστερον ἐφαίνετο τῇ Πελοποννήσῳ. Poſſes etiam (inquit *Sylb.*) conjuncte legere ἀνφαινόμενον: vel ἂν cum infinitivo ἔχειν juncta futuri ſignificationem efficit. d Scriptus liber habet παραληφθέντα: parum apte. In eodem, v. 20. perperam ſcriptum αὐτῶν. *Sylb.* e In margine *Cod. Bodl.* ἴσ. διαλόγων.

* Incluſum

nantes occubuerunt, uſitatos luctus commemorare neceſſe fuit; ſive quod eos qui cecidiſſent, propter magnas res feliciter geſtas, ex quibus civitati ipſi & vires acceſſerunt & gloria eſt parta, laudationibus Funebribus proſequendos exiſtimavit: hæc profecto Funebris laudatio cuivis alii potius, quam huic loco convenire videatur: ſiquidem qui in prima Peloponnenſium irruptione cecidiſſe in hoc libro memorantur, perpauci numero Athenienſes erant; neque ita memorabile facinus ullum, ut ipſe teſtatur Thucydides, ediderant. nam cum antea de Pericle dixiſſet: Quod nimirum is cu“ſtodia civitatem contineret, ac, quantum quidem poſſet, quietam conſervaret, ita tamen, ut frequenter equites aliquot emitteret, qui hoſtium emiſſarios ab agris, qui vicini urbi erant, prohiberent, nequid ipſis agris damni inferretur; deinde brevem quandam pugnam ab Athenienſium equitum turma, una cum Theſſalis, in Phrygiis (ait) eſſe commiſſam cum Bœotorum equitibus: in quo conflictu Athenienſes & Theſſalos nihilo fuiſſe inferiores, quoad, gravis armaturæ militibus ſubſidio Bœotis miſſis, in fugam ſint converſi. qua in pugna Theſſali atque Athenienſes occubuere pauci: quos tamen illi eodem die ſine ulla pactione receperunt: ſequenti vero die Peloponnenſes trophæum erexerunt”. At illi quorum in *quarto libro* meminit, qui, Demoſthene duce, circa Pylum & terra & mari contra Lacedæmoniorum exercitum dimicarunt, ac utriuſque pugnæ victoriam reportarunt, quæ amplam civitati attulit gloriandi materiam, multo profecto illis & numero & virtute ſuperiores erant. Quid igitur venit in mentem Thucydidi, ut cum paucis iſtis equitibus, qui neque gloriam ullam, neque potentiam civitati pepererunt, publica monumenta aperuerit, ac clariſſimum oratorem Periclem arduam illam tragœdiam induxerit agentem; illis vero, qui & plures & fortiores erant, quorum opera factum eſt, ut, qui bellum Athenienſibus intulerant, ii ſe ad illorum pedes abjicerent, quique longe, ut hoc honore afficerentur, digniores erant, cur (inquam) nullam iis Funebrem laudationem ſcriberet? Ac, ut omnes alias & terreſtres & navales pugnas præteream, in quibus multi ſunt interempti, quos quidem multo juſtius Funebribus illis laudationibus exornaſſet, quam * plebem illam ex Attico agro collectam, qui vix decem aut quindecim equitum numerum explerent; nonne illi Athenienſes, eorumque ſocii, qui in Sicilia cum Nicia & Demoſthene in pugnis, quæ terra marique fierent, ac poſtremo in illa infelici fuga ceciderunt: nonne, inquam, hi, quibus ne ſepultura quidem legitima contigit, cum paullo eſſent quadraginta millibus pauciores, multo erant digniores quos & luctu & ornamentis Funebribus proſequeretur? quos tamen viros ita ille con-

χόμενοι διεφθάρησαν, τοὺς εἰωθότας ὀλοφυρμοὺς ἐπ' αὐτοῖς ἔχρην λέγεσθαι· εἴτ' ἐπὶ ταῖς μεγάλαις εὐπραγίαις, ἐξ ὧν δόξα τις ἐπιφανὴς ἢ δύναμις ἐγένετο τῇ πόλει, τιμᾶσθαι τοῖς ἐπιταφίοις ἐπαίνοις τοὺς ἀποθανόντας· ἐν ᾗ βούλεταί τις μᾶλλον βίβλῳ, ἢ ἐν ταύτῃ, τὸν ἐπιτάφιον ἥρμοττεν εἰρῆσθαι. ἐν ταύτῃ μὲν γὰρ, ὁ κατὰ τὴν προτέραν τῶν Πελοποννησίων εἰσβολὴν πεσόντες Ἀθηναῖοι, κομιδῇ τινες ἦσαν ὀλίγοι, καὶ οὐδ' οὗτοι λαμπρόν τι πράξαντες ἔργον, ὡς αὐτὸς ὁ Θουκυδίδης γράφει. προειπὼν γὰρ περὶ τοῦ Περικλέους, ὅτι τὴν πόλιν ἐφύλασσε, καὶ δι' ἡσυχίας μάλιστα, ὅσον ἐδύνατο, εἶχεν· “Ἱππέας μέν τοι [a] (τινὰς) ἐξέπεμπεν ἀεὶ, τοῦ μὴ προδρόμους ἀπὸ τῆς στρατιᾶς ἐπιπίπτοντας ἐς τοὺς ἀγροὺς τοὺς ἐγγὺς τῆς πόλεως, κακουργεῖν· καὶ ἱππομαχίαν, φησὶ, γενέσθαι βραχεῖαν ἐν Φρυγίοις, τῶν τε Ἀθηναίων τέλει ἑνὶ τῶν ἱππέων, καὶ Θεσσαλοῖς μετ' αὐτῶν, πρὸς τοὺς Βοιωτῶν ἱππέας· ἐν ᾗ οὐκ ἔλαττον ἔσχον οἱ Θεσσαλοὶ καὶ Ἀθηναῖοι, μέχρις οὗ προσβοηθησάντων τοῖς Βοιωτοῖς τῶν ὁπλιτῶν, τροπὴ ἐγένετο αὐτῶν· καὶ ἀπέθανον τῶν Θεσσαλῶν καὶ Ἀθηναίων οὐ πολλοί· ἀνείλοντο μέν τοι αὐτοὺς αὐθημερὸν ἀσπόνδους· καὶ οἱ Πελοποννήσιοι τρόπαιον τῇ ὑστεραίᾳ ἔστησαν. ἐν δὲ ΤΗ ΤΕΤΑΡΤΗ ΒΙΒΛΩ οἱ μετὰ Δημοσθένους, περὶ Πύλον, ἀγωνισάμενοι πρὸς Λακεδαιμονίων δύναμιν καὶ ἐκ γῆς καὶ ἐκ θαλάττης, καὶ νικήσαντες ἐν ἀμφοτέραις ταῖς μάχαις, δι' οὓς ἡ πόλις αὐχήματος ἐπληρώθη, πολλῷ πλείους τε καὶ κρείττους ἦσαν ἐκείνων. τί δή ποτε οὖν ἐπὶ μὲν τοῖς ὀλίγοις ἱππεῦσι, καὶ οὐδεμίαν οὔτε δόξαν οὔτε δύναμιν τῇ πόλει κτησαμένοις, τάς τε ταφὰς ἀνοίγει τὰς δημοσίας ὁ συγγραφεὺς, καὶ τὸν ἐπιφανέστατον τῶν δημαγωγῶν Περικλέα, τὴν ὑψηλὴν τραγῳδίαν ἐκείνην εἰσάγει διατιθέμενον· ἐπὶ δὲ τοῖς πλείοσι καὶ κρείττοσι, δι' οὓς ὑπέπεσον Ἀθηναίοις οἱ τὸν πόλεμον ἐξενέγκαντες κατ' αὐτῶν, ἐπιτηδειοτέροις οὖσι ταύτης τῆς τιμῆς τυγχάνειν, οὐκ ἐποίησε τὸν ἐπιτάφιον; ἵνα δὲ πάσας ἀφῶ τὰς ἄλλας μάχας, τάς τε κατὰ γῆν καὶ κατὰ θάλατταν, ἐν αἷς πολλοὶ διεφθάρησαν, οὓς πολὺ δικαιότερον ἦν κοσμεῖσθαι τοῖς ἐπιταφίοις ἐπαίνοις, ἢ τοὺς [b] πολλοὺς τῆς Ἀττικῆς, ἱππεῖς δέκα, ἢ πεντεκαίδεκα ὄντας· οἱ ἐν Σικελίᾳ μετὰ Νικίου καὶ Δημοσθένους ἀποθανόντες Ἀθηναίων καὶ τῶν συμμάχων, ἔν τε ταῖς ναυμαχίαις, ἔν τε τοῖς κατὰ γῆν ἀγῶσι, καὶ τὸ τελευταῖον ἐν τῇ δυστήνῳ φυγῇ τετρακις μυρίων οὐκ ἐλάττους ὄντες, καὶ οὐδὲ ταφῆς δυνηθέντες τυχεῖν τῆς νομίμου, πόσῳ μᾶλλον ἦσαν ἐπιτηδειότεροι τυγχάνειν οἴκτων τε καὶ κόσμων ἐπιταφίων; ὁ δ' οὕτως ἠμέληκε

a Incluſum τινὰς abeſt à vulg. exemplaribus *Thucydidis*: & ſeq. v. in iiſdem legitur ἐσπίπτοντας: [p. 98, 99. *Ed. Oxon.*] *Sylb.*
b Pro πολλοὺς rectius cum *Dudithio* legemus περιπόλους, *circuitores*: quo vocabulo utitur etiam *Thucyd.* lib. 4. p. 252. ubi *Scholiaſtes* adnotat duo eſſe φυλάκων genera. nam alteros vocari ἱδρυμένους, qui ſcilicet perpetuo unum eundemque locum inſident vel obſident: alteros autem περιπόλους dici, qui agros & caſtella obeunt, ad hoſtiles incurſiones vel arcendas vel ſignificandas. Sic *Ariſtoph.* in *Avib.* περιπόλους ἔχρην πέμψαι. & *Simocatus* apud *Suidam*, τῆς περιπόλου δυνάμεως. Ejuſmodi περιπόλους intelligit etiam *Dionyſius* ipſe *Antiq. Rom.* p. 172. v. 22. & alibi, at p. 130. v. 2. περιπόλους ἀγρῶν tales circuitores vocat, qui obſervant an agri diligenter à ruſticis colantur. *Sylb.*
* *Atticæ regionis circuitores, quod.*

ἠμέληκε τῶν ἀνδρῶν, ὥστε μηδὲ τοῦτο αὐτὸ εἰπεῖν, ὅτι πένθος δημοσίᾳ προὔθετο ἡ πόλις, καὶ τοὺς εἰωθότας ἐναγισμοὺς τοῖς ἐπὶ ξένης ἀποθανοῦσιν, ἐπετέλεσε, καὶ τὸν ἐροῦντα ἐπ' αὐτοῖς ἀπέδειξεν, ὃς τῶν τότε ῥητόρων λέγειν ἦν ἱκανώτατος. οὐ γὰρ δὴ εἰκὸς ἦν Ἀθηναίους ἐπὶ μὲν τοῖς πεντεκαίδεκα ἱππεῦσι δημοσίᾳ πενθεῖν· τῶν δ' ἐκ καταλόγου πλείους διαφθαρέντας ἢ πεντακισχιλίους μηδὲ μιᾶς ἀξιῶσαι τιμῆς. ἀλλ' ἔοικεν ὁ συγγραφεύς· εἰρήσεται γὰρ ἃ φρονῶ· τῷ Περικλέους προσώπῳ βουλόμενος ἀποχρήσασθαι, καὶ τὸν ἐπιτάφιον ἔπαινον ὡς ὑπ' ἐκείνου ῥηθέντα συνθεῖναι· ἐπεὶ [a] δὲ κατὰ τὸ δεύτερον ἔτος ἐτελεύτησεν ἀνὴρ τοῦδε τοῦ πολέμου, καὶ οὐδὲ μιᾶς τῶν μετὰ ταῦτα γενομένων
145 τῇ πόλει συμφορῶν παρεγένετο, εἰς ἐκεῖνο τὸ μικρὸν, καὶ οὐκ ἄξιον σπουδῆς ἔργον, τὸν ὑπὲρ τὴν ἀξίαν τοῦ πράγματος ἔπαινον ἀποθέσθαι.

ιθ'. Ἔτι δὲ μᾶλλον ἴδοι τις ἂν τὸ περὶ τὰς ἐξεργασίας τοῦ συγγραφέως ἀνώμαλον, ἐπιλογισάμενος, ὅτι πολλὰ καὶ μεγάλα πράγματα παραλιπὼν, προοίμιον τῆς ἱστορίας μέχρι πεντακοσίων ἐκμηκύνει στίχων, τὰ πρὸ τοῦδε τοῦ πολέμου πραχθέντα τοῖς Ἕλλησι, μικρὰ βουλόμενος ἀποδεῖξαι, καὶ οὐκ ἄξια τῷδε παραβάλλεσθαι. οὔτε γὰρ τἀληθὲς οὕτως εἶχεν, ὡς ἐκ πολλῶν ἐστι παραδεῖξαι πραγμάτων· οὔτε ὁ τῆς τέχνης ὑπαγορεύει λόγος, οὕτω μεθοδεύειν τὰς αὐξήσεις. οὐ γὰρ εἴ τι τῶν μικρῶν μεῖζόν ἐστι, διὰ τοῦτό ἐστιν ἤδη μέγα· ἀλλ' εἴ τι τῶν μεγάλων ὑπερέχει. γέγονέ τε αὐτῷ τὸ προοίμιον τοσαύτας εἰληφὸς ἀποδεικτικὰς τῆς προθέσεως ἐξεργασίας, ἱστορία τις αὐτὴ καθ' αὑτήν. οἱ δὲ τὰς ῥητορικὰς συνταξάμενοι τέχνας, παραγγέλλουσι δείγματα τῶν λόγων τὰ προοίμια ποιεῖν, αὐτὰ τὰ κεφάλαια τῶν μελλόντων δηλοῦσθαι προσλαμβάνοντας. ὃ δὴ καὶ πεποίηκεν ὁ ἀνὴρ ἐπὶ τῷ τέλει ΤΟΥ ΠΡΟΟΙΜΙΟΥ, μέλλων ἄρχεσθαι τῆς διηγήσεως, ἐν ἐλάττοσιν ἢ πεντήκοντα στίχοις. ὥστε τὰ πολλὰ ἐκεῖνα καὶ καταβλητικὰ τοῦ μεγέθους τῆς Ἑλλάδος, οὐκ ἀναγκαίως αὐτῷ παρέλκεσθαι· ὅτι κατὰ τὸν Τρωϊκὸν πόλεμον οὔπω σύμπασα ἐκαλεῖτο ἑνὶ ὀνόματι ἡ Ἑλλάς· καὶ ὅτι περαιοῦσθαι ναυσὶν ἐπ' ἀλλήλους, οἱ τροφῆς ἀπορούμενοι ἤρξαντο· καὶ προσπίπτοντες πόλεσιν ἀτειχίστοις καὶ κατὰ κώμας οἰκουμέναις, ἥρπαζον, καὶ τὸ πλεῖστον τοῦ βίου ἐντεῦθεν ἐποιοῦντο. τί δ' ἦν ἀναγκαῖον περὶ τῆς Ἀθηναίων τρυφῆς, ᾗ τὸ παλαιὸν ἐχρῶντο, λέγειν; ὅτι κρωβύλους τε ἀνεπλέκοντο, καὶ χρυσοῦς τέττιγας εἶχον ἐπὶ ταῖς κεφαλαῖς· καὶ ὅτι Λακεδαιμόνιοι ἐγυμνώθησάν τε πρῶτοι, καὶ εἰς τὸ φανερὸν ἀποδύντες, λίπα μετὰ τοῦ γυμνάζεσθαι ἠλείφοντο; ὁ δὲ δὴ ναυπηγὸς ὁ Κορίνθιος Ἀμεινοκλῆς, ὁ κατασκευάσας Σαμίοις πρῶτος τέτταρας τριήρεις· καὶ ὁ Σάμου τύραννος Πολυκράτης ὁ Ῥήνειαν ἑλὼν, καὶ ἀναθεὶς τῷ Ἀπόλλωνι τῷ Δηλίῳ· καὶ οἱ Φωκαεῖς οἱ Μασσαλίαν [b] οἰκίσαντες, ὅτι ναυμαχίᾳ Καρ-

temptui habuit, ut ne hoc quidem diceret; civitatem publice eos luxiſſe, ac, quæ in peregrina terra cadentibus juſta fieri ſolent, perſolviſſe: ac in illis alteris talem laudationem fingit, ut, qui illam haberet, omnium oratorum præſtantiſſimũ eligeret. Ac ſane non decebat Athenienſes publice xv hominum caſum lugere; *iis vero, quos vel ex tabulis, in quibus militum nomina ſcribebantur, amplius quinque millibus occiſos conſtat, nullum honorem impertiri. Verum cum Periclis perſonam ad ſuum uſum vellet accommodare, (dicam enim quod ſentio) ideo Funebrem laudationem, ut ab ipſo Pericle habitam, compoſuiſſe videtur. ac, quoniam is ſecundo illius belli anno vita functus eſt, nec ullis aliis urbis calamitatibus ſuperſtes fuit, idcirco in res tam minutas, quæque infra operæ pretium, tantas, præter illarum dignitatem, laudes contulit.

Proœmii vitia.

XIX. Porro quam inæquali ſit ratione uſus in amplificando, facile quis animadvertat, ſi conſideret, multis eum magniſque rebus prætermiſſis hiſtoriæ ſuæ proœmium ad D verſus protraxiſſe, ut, quæ ante hoc bellum geſta à Græcis, non magnum habuiſſe momentum, neque ejuſmodi fuiſſe, ut conferri cum hoc debeant, monſtraret. Nam præterquam quod hæc veritatem non habent, ut ex multis rebus oſtendi poteſt; non hæc eſt ratio ſecunda iis qui ex arte rem exaggerare volunt. non enim, quæ res inter minimas excellit, ſed quæ magnas exſuperat, vera magna eſt judicanda. Ipſius vero proœmium ita eſt comparatum, itaque multas ad inſtitutum ſuum demonſtrandum exaggerationes habet, ut ipſum per ſe hiſtoria quædam eſſe videatur. At qui de arte dicendi præcepta tradiderunt, proœmia veluti notas quaſdam volunt eſſe, quibus capita rerum, de quibus eſt dicendum, commonſtremus. quod quidem & ille in extremo *proœmio*, cum narrationem exordiri vellet, videtur paucioribus quam L verſibus feciſſe. ut ſatis appareat, nihil opus fuiſſe ut multa illa, quæ de Græciæ dignitate detraherent, in medium proferret: quod ſcilicet Trojani belli tempore nondum uno nomine univerſa Græcia appellaretur: quod illi primum, qui cibi inopia laborarent, navibus inter ſe ultro citroque commeare cœperint; qui ſi in civitates nondum muris ſeptas, quæque vicatim habitabantur, incidiſſent, eas diripiebant, hincque majorem ſibi victus partem petebant. Quid autem hîc de Athenienſium luxu, quo illorum majores diffluebant, meminiſſe neceſſe fuit? quod nimirum illi capillos cincinnis intorquerent; quod aureas cicadas in capite geſtarent: quod primi Lacedæmonii in publico, veſtibus detractis, nudati in palæſtra ſe oleo inunxerint: quod Aminocles Corinthius, navium fabricator, primus Samiis quatuor triremes exſtruxerit: quod Sami tyrannus Polycrates Rheniam à ſe captam Apollini Delio dedicaverit: quod Phocaënſes, qui Maſſiliam condidere, navali prœlio

[a] Δὲ redditive accipienda: vel legendum ἐπειδή. atque mox malim ὁ ἀνὴρ, cum articulo. *Sylb.* [b] Scriptus liber habet οἰκήσαντες: & mox Καλχηδονίους: ego impreſſos ſequi malui. Exſtat autem locus in *proœmio*, [pag. 6. *Ed. Oxon.*] Porro ſequens proœmium à *Dionyſio* correctum hoc uno diſcrepat à *Thucydideo*, quod *Dionyſius* ea omnia quæ à paginæ primæ verſu 9. uſque ad pag. 12. v. 17. interjecta ſunt, omittit. *Sylb.* * *At quinque millibus & amplius, ſolenni delectu conſcriptis, & prœlio cæſis, nullum honorem impertiri.*

lio Carthaginenſes ſuperarint: atque alia, quæ his ſunt ſimilia, cur ante narrationem commemoranda eſſe voluit?

XX. Quod ſi, quæ mea ſit ſententia, fas eſt dicere; optime proœmium inſtituiſſet, ſi, omnibus, quæ in medio ſunt poſita, ſublatis, extremaque ejus parte cum propoſitione conjuncta, in hunc modum confeciſſet: “Thucydides Athenienſis bellum, quod inter ſe Peloponnenſes & Athenienſes geſſerunt, conſcripſit, incipiens ſtatim exorto eo, & magnum, atque omnium, quæ unquam antea geſta ſint, memoratu digniſſimum exiſtimans: hac conjectura ductus, quod utraque pars, rebus maxime florentibus, omni cum apparatu id geſſerit; cum videret aliam quidem Græciæ partem ſtatim alteri parti adhærere, aliam id facere cogitare. Hic autem fuit Græcis maximus motus, neque vero illis ſolum, ſed & barbaris, atque adeo pleriſque mortalibus. Ac ea quidem quæ ante hæc geſta eſſent, quæque his vetuſtiora, plane in apertum produci, propter vetuſtatem, nulla ratione potuerunt: ſed, quantum ex ſignis quibuſdam colligere licet, equidem, cum hæc ab ultima origine repeto, non puto illorum res neque in bellis, neque aliis in rebus inſignes fuiſſe. in his vero neque magnam poëtis, qui res plerumque extollunt, fidem adhibui; neque hiſtoricis, qui ſe totos in rebus non optime examinatis ad demulcendas aures magis, quam ad veritatem tradendam, compoſuerunt. quarum quidem rerum maxima pars temporis diuturnitate in fabularum naturam abiit: ſed tamen, ut in rebus obſoletis fieri potuit, ſatis ex clariſſimis conjecturis rem ſibi videtur in apertum produxiſſe. Atque hoc quidem bellum; etſi homines, quibus ipſi bellis interſunt atque depugnant, ea omnium arbitrantur eſſe maxima; abſoluta vero cum ſunt, vetera admirantur; tamen oſtendet iis qui ex rebus geſtis judicabunt, longe maximum exſtitiſſe. Ac omnia quidem, quæ dicerent ſinguli, qui aut geſturi bellum eſſent, aut jam gererent, quæ aut ipſe audivi, aut aliis narrantibus cognovi, difficile fuerit exacte memorare. verum, ut quiſque ſemper de rebus præſentibus maxime conſentanea dicere mihi videbatur, & proxime ad veritatem accedere, ita à me commemorata ſunt. Res vero in bello geſtas, non quas à quocunque audivi, hiſtoria dignas exiſtimavi, nec ut mihi libitum eſſet; ſed eas quibus ipſe interfui, quaſque ex aliis quam potui diligentiſſime perquiſivi. nec facillima fuit inventio: propterea quod qui ſingulis rebus affuerant, non eadem de eiſdem affirmabant; ſed ut quiſque aut in alterutram partem ſtudio propenſior erat, aut reminiſcebatur. Et auditu quidem, ut quæque pars fabularum expers in ipſis eſt, ita minus jucunda fortaſſe videbitur. quicunque autem & præteritas res, &, quantum humano conſilio licet, etiam futuras, præteritis ſimiles, conſiderare planeque inſpi-

χειδονίους ἐνίκων· καὶ τὰ ἄλλα ὅσα τούτοις ἐστὶν ὅμοια, τίνα χρείαν εἶχε πρὸ τῆς διηγήσεως λέγεσθαι;

κʹ. Εἰ δ' ἔστιν ὅσιόν μοι καὶ θεμιτὸν εἰπεῖν ἃ φρονῶ, δοκεῖ μοι κράτιστον ἂν γενέσθαι προοίμιον, εἰ τὸ τελευταῖον αὐτοῦ μέρος τῇ προθέσει προσήρμοσε, πάντα τὰ ἐν μέσῳ παραλιπών· καὶ τοῦτον τὸν τρόπον αὐτὸ κατεσκεύασε· “Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους· ἀρξάμενος εὐθὺς καθισταμένου, καὶ ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προγεγενημένων· τεκμαιρόμενος, ὅτι ἀκμάζοντές τε ἦσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ, καὶ τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκατέρους, τὸ μὲν εὐθύς, τὸ δὲ καὶ διανοούμενον. κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλλησιν ἐγένετο, καὶ μέρει τινὶ τῶν βαρβάρων, ὡς δ' εἰπεῖν, καὶ ἐπιπλεῖστον ἀνθρώπων. τὰ γὰρ πρὸ αὐτῶν, καὶ τὰ ἔτι παλαιότερα, σαφῶς μὲν εὑρεῖν διὰ χρόνου πλῆθος ἀδύνατον ἦν· ἐκ δὲ τεκμηρίων, [a] ὧν ἐπὶ μακρότατον σκοποῦντί μοι πιστεῦσαι ξυμβαίνει, οὐ μεγάλα νομίζω γενέσθαι, οὔτε κατὰ τοὺς πολέμους, οὔτε ἐς τὰ ἄλλα· οὔτε, ὡς ποιηταὶ ὑμνήκασι περὶ αὐτῶν, ἐπὶ τὸ μεῖζον κοσμοῦντες, μᾶλλον πιστεύων· οὔτε, ὡς λογογράφοι ξυνέθεσαν ἐπὶ τὸ προσαγωγότερον τῇ ἀκροάσει ἢ ἀληθέστερον, ὄντα ἀνεξέλεγκτα, καὶ τὰ πολλὰ ὑπὸ χρόνου αὐτῶν ἀπίστως ἐπὶ τὸ μυθῶδες ἐκνενικηκότα· εὑρῆσθαι δὲ ἡγησάμενος ἐκ τῶν ἐπιφανεστάτων σημείων, ὡς παλαιὰ εἶναι, ἀποχρώντως. καὶ ὁ πόλεμος οὗτος, καίπερ τῶν ἀνθρώπων, ἐν ᾧ μὲν ἂν πολεμῶσι, τὸν παρόντα ἀεὶ μέγιστον κρινόντων, παυσαμένων δὲ, τὰ ἀρχαῖα μᾶλλον θαυμαζόντων, ἀπ' αὐτῶν τῶν ἔργων σκοποῦσι, δηλώσει ὅμως μείζων γεγενημένος αὐτῶν. καὶ ὅσα μὲν λόγῳ εἶπον ἕκαστοι, ἢ μέλλοντες πολεμήσειν, ἢ ἐν αὐτῷ ἤδη ὄντες, χαλεπὸν τὴν [b] (ἀκρίβειαν) αὐτὴν τῶν λεχθέντων (διαμνημονεῦσαι) ἦν, ἐμοί τε ὧν αὐτὸς ἤκουσα, καὶ τοῖς ἄλλοθέν ποθεν ἐμοὶ [c] ἀπαγγέλλουσιν. ὡς δ' ἂν ἐδόκουν μοι ἕκαστοι περὶ τῶν ἀεὶ παρόντων τὰ δέοντα μάλιστα εἰπεῖν, ἐχομένῳ ὅτι ἐγγύτατα τῆς ξυμπάσης γνώμης τῶν ἀληθῶς λεχθέντων, οὕτως εἴρηται. τὰ δ' ἔργα τῶν πραχθέντων ἐν τῷ πολέμῳ, οὐκ ἐκ τοῦ παρατυχόντος πυνθανόμενος ἠξίωσα γράφειν, οὐδ' ὡς ἐμοὶ ἐδόκει· ἀλλ' οἷς τε αὐτὸς παρῆν, καὶ παρὰ τῶν ἄλλων, ὅσον δυνατὸν, ἀκριβείᾳ περὶ ἑκάστου [d] ἐπεξελθών. ἐπιπόνως δὲ εὑρίσκετο, διότι οἱ παρόντες τοῖς ἔργοις ἑκάστοις, οὐ ταὐτὰ περὶ τῶν αὐτῶν ἔλεγον, ἀλλ' ὡς ἑκατέρων τις εὐνοίας ἢ μνήμης ἔχοι. καὶ ἐς μὲν ἀκρόασιν ἴσως τὸ μὴ μυθῶδες αὐτῶν ἀτερπέστερον φανεῖται· ὅσοι δὲ βουλήσονται τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν, καὶ τῶν μελλόντων ποτὲ αὖθις κατὰ τὸ ἀνθρώπινον, τοιούτων καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα κρίνειν αὐτὰ, ἀρκούντως

a Ὡς pro ὧν in margine *Cod. Bodl.* b Incluſa in ſcripto libro deſunt. *Sylb.* c Ἀπαγγέλλουσι legitur etiam in vulg. libris: cum aptius eſſe videatur præteritum ἀπαγγείλασιν, *Sylb.* d Participium ἐπεξελθὼν agnoſcit etiam ſcholiaſtes *Thucydidis*, qui exp. ἐρευνῶν *inveſtigans. Sylb.*

a Incluſa

“ἀρκούντως ἕξει· κτῆμά τε ἐς αἰεὶ μᾶλλον, ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα ἀκούειν ξύγκειται. τῶν δὲ πρότερον ἔργων μέγιστον ἐπράχθη τὸ Μηδικόν· καὶ τοῦτο ὅμως δυεῖν ναυμαχίαιν [a](καὶ πεζομαχίαιν ταχεῖαν) τὴν κρίσιν ἔσχε· τούτου δὲ τοῦ πολέμου μῆκός τε μέγα προὔβη, παθήματά τε ξυνηνέχθη γενέσθαι ἐν αὐτῷ τῇ Ἑλλάδι, οἷα οὐχ ἕτερα ἐν ἴσῳ χρόνῳ. οὔτε γὰρ πόλεις τοσαίδε ληφθεῖσαι ἠρημώθησαν, αἱ μὲν ὑπὸ βαρβάρων, αἱ δ' ὑπὸ σφῶν αὐτῶν ἀντιπολεμούντων· εἰσὶ δὲ αἳ καὶ οἰκήτορας μετέβαλον ἁλισκόμεναι· οὔτε φυγαὶ τοσαίδε ἀνθρώπων, καὶ φόνος, ὁ μὲν κατ' αὐτὸν (τὸν) πόλεμον, ὁ δὲ διὰ τὸ στασιάζειν. τά τε πρότερον ἀκοῇ μὲν λεγόμενα, ἔργῳ δὲ σπανιώτερον βεβαιούμενα, οὐκ ἄπιστα κατέστη, σεισμῶν τε πέρι, οἳ ἐπὶ πλεῖστον ἅμα μέρος γῆς καὶ ἰσχυρότατοι (οἱ) αὐτοὶ ἐπέσχον, ἡλίου τε ἐκλείψεις, αἳ πυκνότεραι [b]παρὰ τὰς ἐκ τοῦ πρὶν χρόνου μνημονευομένας ξυνέβησαν· αὐχμοί τε ἔστι παρ' οἷς μεγάλοι, καὶ ἀπ' αὐτῶν καὶ λιμοί· καὶ ἡ οὐχ ἥκιστα βλάψασα, καὶ μέρος τι φθείρασα, ἡ λοιμώδης νόσος· ταῦτα γὰρ πάντα μετὰ τοῦδε τοῦ πολέμου ἅμα [c]ξυνεπέθετο. ἤρξαντο δὲ αὐτοῦ Ἀθηναῖοι καὶ Πελοποννήσιοι, λύσαντες τὰς τριακοντούτεις σπονδάς, αἳ αὐτοῖς ἐγένοντο μετὰ Εὐβοίας ἅλωσιν. διότι δὲ ἔλυσαν, τὰς αἰτίας [d]προέγραψα πρῶτον, καὶ τὰς διαφορὰς τοῦ μή τινας ζητῆσαί ποτε, ἐξ ὅτου τοσοῦτος πόλεμος τοῖς Ἕλλησι κατέστη”.

“cere voluerint, his, dum illa utilitatem pariant, ſatis erit; emolumentumque potius, quod ſemper idem ſit, quam ſpectaculum, quod in præſenti tantum oblectet, in ſcribendo cogitamus. Ac earum quidem rerum, quæ ſuperiore ætate geſtæ ſunt, maximæ erant Medicæ; quæ tamen duobus navalibus prœliis, totidemque pedeſtribus, ad exitum pervenerunt. Hujus vero belli tum longitudo in immenſum proceſſit, tum magnas in univerſam Græciam calamitates invexit; quales eodem ſpatio temporis nulle unquam contigerunt. nam neque tot urbes expugnatæ vaſtatæque ſunt, vel barbarorum impetu, vel domeſticis contentionibus; (ſunt etiam quæ incolas captæ mutaverunt) neque tot exitia, totve neces audivit quiſquam, vel belli vel ſeditionum cauſa. Atque ſuperiora illa, quæ auditione quidem percipiuntur, re autem ipſa rariſſime confirmantur, fidem tamen acceperunt: qualia narrantur de terræ motibus qui hoc in bello pleriſq; orbis terræ partibus exſtiterunt; quæ de ſolis defectionibus crebrioribus quã unquã antea; quæ de ſiccitatibus, unde fames ingens, ex fame vero peſtilentia exorta; quæ non mediocribus civitatem malis afflixit: quæ ſimul omnia cum hoc bello civitatem invaſerunt. Origo autem ipſius ab Athenienſibus & Peloponneſiis, ſoluto, quod in annos xxx poſt captam Eubœam percuſſum erat, fœdere, manavit. qui cur initam fœderis ſocietatem diremerint, & cauſas & diſſenſiones, primum oſtendi; ne quis, unde tantum inter Græcos bellum, aliquando poſſet exquirere”.

κα'. Τὰ μὲν δὴ περὶ τὸ πραγματικὸν μέρος ἁμαρτήματά τε καὶ κατορθώματα τοῦ συγγραφέως, ταῦτά ἐστι· τὰ δὲ περὶ τὸ λεκτικόν, ἐν ᾧ μάλιστα ὁ χαρακτὴρ αὐτοῦ διάδηλός ἐστι, μέλλω νυνὶ λέγειν. ἀνάγκη δὲ ἴσως καὶ περὶ ταύτης τῆς ἰδέας προειπεῖν, εἰς πόσα μέρη διαιρεῖσθαι πέφυκεν ἡ λέξις, καὶ τίνας περιείληφεν ἀρετάς· ἔπειτα δηλῶσαι, πῶς ἔχουσαν αὐτὴν ὁ Θουκυδίδης παρὰ τῶν πρὸ αὐτοῦ γενομένων συγγραφέων παρέλαβε· καὶ τίνα μέρη πρῶτος ἁπάντων ἐκαίνωσεν, εἴτ' ἐπὶ τὸ κρεῖττον, εἴτ' ἐπὶ τὸ χεῖρον, μηδὲν [e]ἀποκρυψάμενος.

XXI. Hæc ſunt quæ in Thucydidis ſcriptis recte, quæque male, quod ad eam partem ſpectat quæ res continet, compoſita arbitramur. nunc ad eam partem, quæ in elocutione eſt poſita, aggrediamur: in qua quidem, qualis ſit ejus dicendi ratio, conſpicitur. Quod ante quam faciamus, non abs re fortaſſe fuerit, ſi hoc de genere nonnulla prius attingamus; quotque in partes ipſa diſtribuatur dictio, quaſque in ſe habeat virtutes, indicemus; tum qualis illa fuerit, quam à vetuſtioribus uſurpatam aſſumpſit Thucydides; qualeſque illas partes, aut in melius aut in deterius, commutarit, nihil occultantes oſtendamus.

Thucydideæ dictionis character.

κβ'. Ὅτι μὲν οὖν ἅπασα λέξις εἰς δύο μέρη διαιρεῖται τὰ πρῶτα, εἴς τε τὴν ἐκλογὴν τῶν ὀνομάτων, ὑφ' ὧν δηλοῦται τὰ πράγματα, καὶ εἰς τὴν σύνθεσιν τῶν ἐλαττόνων τε καὶ μειζόνων μορίων· καὶ ὅτι τούτων αὖθις ἑκάτερον εἰς ἕτερα μόρια διαιρεῖται· ἡ μὲν ἐκλογὴ τῶν στοιχειωδῶν μορίων, ὀνοματικῶν λέγω καὶ ῥηματικῶν καὶ συνδετικῶν, εἴς τε τὴν κυρίαν φράσιν, καὶ εἰς τὴν τροπικήν· ἡ δὲ σύνθεσις εἴς τε τὰ κόμματα, καὶ τὰ κῶλα, καὶ τὰς περιόδους· καὶ ὅτι τούτοις ἀμφοτέροις συμβέβηκε, λέγω δὴ τοῖς τε ἁπλοῖς καὶ ἀτόμοις ὀνόμασι, καὶ τοῖς ἐκ τούτων συνθέτοις, τὰ καλούμενα σχήματα· καὶ ὅτι τῶν καλουμένων ἀρετῶν αἱ μέν εἰσιν ἀναγκαῖαι, καὶ ἐν ἅπασιν ὀφείλουσι παρεῖναι τοῖς λόγοις· αἱ δ' ἐπίθετοι, καὶ ὅταν [f]ὑφιστῶσιν αἱ πρῶται,

XXII. Primum illud perſpicuum eſt, omnem dictionem in duas diſtribui partes; in verborum delectum, per quæ ipſæ res explicantur; atque in partium majorum vel minorum compoſitionem: atq; horum unumquodque rurſus in alias particulas diſpertitur; delectus particularum (ut ita dicam) elementarium, i. e. nominalium, verbalium, & conjunctivarum, in propriam elocutionem, aut in figuratam; compoſitio vero in inciſa, membra, circuitus: atque huic quidem utrique parti, hoc eſt, tam ſimplicibus inſectilibuſque, quam ex his compoſitis nominibus, inſunt figuræ quædam, quæ ſchemata vocantur; atque earum quæ virtutes appellantur, aliæ ſunt neceſſariæ, quas quidem in omnibus adhiberi ſermonibus oporteat; aliæ vero adjectitiæ, quas tum primum

vires

a Incluſa deſunt in ſcripto libro: itidemque articulus τοῦ v. 11. *Sylb.* b Vulgati libri *Thucydidis* habent παρὰ τὰ μνημονευόμενα. *Sylb.* c In ſcripto libro ξυνεπίθετο: minus apte. *Sylb.* d Vulgati libri *Thucydidis* habent ἔγραψα, ſine præpoſitione. *Sylb.* e Convenientius ἀποκρυψάμενον, vel pluraliter ἀποκρυψαμένους. *Sylb.* f Ὑφιστῶσι poſitum hic videtur pro ὑποστῶσι. *Sylb.*

α Προηγ-

vires aſſumere, cum primæ illæ ſubſiſtunt, uberius antea oſtendimus. Adeo ut nihil ſit neceſſe nunc de illis denuo orationem inſtituere: neque vero quibus ex præceptis aut rebus harum virtutum quælibet enaſcatur, cum multæ illæ ſint, meminiſſe oportet: cum hæc jam à nobis omnia ſint quam diligentiſſime pertractata.

XXIII. Quo vero dicendi genere ſint uſi qui ante Thucydidem hiſtorias ſcripſere, quaſque ex his leviter attigerint partes, ab initio, ut eram pollicitus, rem repetens, ſummatim percurram. ſic enim proprium hujus viri characterem pernoſcere cuivis licebit. Ac veteres quidem illi, qui multo antea fuerunt, quique non niſi ex ipſis ſunt nominibus noti, quam ſint dicendi rationem ſecuti, non ſatis queo conjicere, ſimplex ne illa fuerit & inornata, ac nihil ſupervacaneum, nihil non utile, non neceſſarium habuerit; aut contra magnifica fuerit, & plena dignitatis & opificii rhetorici, varioque ornamentorum fuco depicta. maximæ enim partis ſcripta ad noſtra tempora non pervenerunt; aut, ſi qua ſervata ſunt, non omnes eſſe illorum, quibus tribuuntur, exiſtimant: ut ſunt illa quæ Cadmo Mileſio, quæque Ariſtæo Proconneſio & ejuſmodi aliis adſcribuntur. Scriptores autem qui ante Peloponneſiacum bellum fuerunt, atque ad Thucydidis uſque ætatem pervenerunt, omnes fere idem conſilium ſecuti ſunt. quos quidem aut Ionica lingua, ut quæ illis temporibus maxime floreret; aut Attica illa vetus, non admodum ei diſſimilis, oblectavit. Hi ſane omnes, ut eſt ante dictum, ſermonis proprietatem magis, quam dicendi tropos adamaverunt; tropos vero velut condimenta orationi inſperſerunt. verborum autem compoſitionem omnes eandem fere affectarunt, ſimplicem & minime affectatam: neque vero in ſententiis figura aliqua exornandis tantum diligentiæ poſuerunt, ut ſupra communem vulgoque tritam, atque ab omnibus uſurpatam dicendi rationem efferrent. Itaque virtutes neceſſarias illorum omnium habet dictio. eſt enim & pura, & perſpicua, & brevis, ſatis proprium cujuſque dialecti characterem ſervans. virtutes autem adjectitias, quibus omnis oratoria vis maxime fit perſpicua, neque omnes, neque ſummas adhibuerunt, ſed paucas, ac modice: ſublimitatem videlicet, elegantiam, gravitatem, magnificentiam: neque item contentionem, neque pondus, neque affectum ullum, quo animi excitarentur; neque ſpiritus illos magnos & certaminibus aptos, ex quibus illa (quæ dicitur) admiranda dicendi vis; uno Herodoto excepto. Is enim & in verborum delectu, & in compoſitione, atque in ipſa figurarum varietate, longe cæteris antecelluit; & ita orationem inſtituit, ut vel optimæ poëſi ſimilem faciat, propter ſuadelam illam & venuſtatem, ac ad ſummam uſque perductam voluptatem: qui ne illas quidem maximas, & præclariſſimas dicendi virtutes omiſit, præter genus illud certaminibus aptum; idque ſive

τότε τὴν ἑαυτῆς ἰσχὺν λαμβάνουσιν, εἴρηται πολλοῖς πρότερον. ὥστε οὐδὲν δεῖ περὶ αὐτῆς ἐμὲ νυνὶ λέγειν· οὐδ' ἐξ ὧν θεωρημάτων τε καὶ πραγμάτων τούτων τῆς ἀρετῆς ἑκάστη γίνεται, πολλῶν ὄντων· καὶ γὰρ ταῦτα τῆς ἀκριβεστάτης τέτευχεν ἐξεργασίας.

κγ'. Τίσι δὲ αὐτῆς ἐχρήσαντο πάντες οἱ πρὸ Θουκυδίδου γενόμενοι συγγραφεῖς, καὶ τίνων ἐπὶ μικρὸν ἥψαντο, ἐξ ἀρχῆς ἀναλαβὼν ὥσπερ ὑπεσχόμην, κεφαλαιωδῶς διέξειμι. ἀκριβέστερον γὰρ οὕτω γνώσεταί τις τὸν ἴδιον τοῦ ἀνδρὸς χαρακτῆρα. οἱ μὲν οὖν ἀρχαῖοι πάνυ, καὶ ἀπ' αὐτῆς μόνον γινωσκόμενοι τῶν ὀνομάτων, ποίαν τε λέξιν ἐπετήδευσαν, οὐκ ἔχω συμβαλεῖν, πότερα τὴν λιτὴν, καὶ ἀκόσμητον, καὶ μηδὲν ἔχουσαν περιττὸν, ἀλλ' αὐτὰ τὰ χρήσιμα καὶ ἀναγκαῖα· ἢ τὴν πομπικὴν καὶ ἀξιωματικὴν, καὶ ἐγκατάσκευον, καὶ τοὺς ἐπιθέτους προσειληφυῖαν κόσμους. οὔτε γὰρ διασώζονται τῶν πλειόνων αἱ γραφαὶ μέχρι τῶν καθ' ἡμᾶς χρόνων· οὔθ' αἱ διασωζόμεναι, παρὰ πᾶσιν, ὡς ἐκείνων οὖσαι τῶν ἀνδρῶν, πιστεύονται· ἐν αἷς εἰσιν αἵ τε Κάδμου τοῦ Μιλησίου, καὶ Ἀριστέου τοῦ [a] Προικοννησίου, καὶ τῶν παραπλησίων τούτοις. οἱ δὲ πρὸ τοῦ Πελοποννησιακοῦ γενόμενοι πολέμου, καὶ μέχρι τῆς Θουκυδίδου παρεκτείναντες ἡλικίας, ὁμοίας ἔσχον ἅπαντες ὡς ἐπὶ τὸ πολὺ προαιρέσεις· οἵ τε τὴν Ἰάδα προαιρούμενοι διάλεκτον, [b] τήν 147 τε τοῖς τότε χρόνοις μάλιστα ἀνθοῦσαν, καὶ οἱ τὴν ἀρχαίαν Ἀτθίδα, μικράς τινας ἔχουσαν διαφορὰς παρὰ τὴν Ἰάδα. πάντες γὰρ οὗτοι, καθάπερ ἔφην, περὶ τὴν κυρίαν λέξιν μᾶλλον ἐσπούδασαν, ἢ περὶ τὴν τροπικήν· ταύτην δὲ ὥσπερ ἥδυσμα παρελάμβανον. σύνθεσίν τε ὀνομάτων ὁμοίαν ἅπαντες ἐπετήδευσαν, τὴν ἀφελῆ καὶ ἀνεπιτήδευτον· καὶ οὐδ' ἐν τῷ σχηματίζειν τὰς λέξεις, τὰς νοήσεις ἐξέβησαν ἐπὶ πολὺ τῆς τετριμμένης καὶ κοινῆς καὶ συνήθους ἅπασι διαλέκτου. τὰς μὲν οὖν ἀναγκαίας ἀρετὰς ἡ λέξις αὐτῶν πάντων ἔχει· καὶ γὰρ καθαρὰ, καὶ σαφὴς, καὶ σύντομός ἐστιν, ἀποχρώντως σώζουσα τὸν ἴδιον ἑκάστης διαλέκτου χαρακτῆρα· τὰς δ' ἐπιθέτους, ἐξ ὧν μάλιστα διάδηλος ἡ τοῦ ῥήτορος γίνεται δύναμις, οὔτε ἁπάσας, οὔτε εἰς ἄκρον ἡκούσας, ἀλλ' ὀλίγας καὶ ἐπὶ βραχύ· ὕψος λέγω, καὶ [c] καλλιρρημοσύνην, καὶ σεμνολογίαν, καὶ μεγαλοπρέπειαν· οὐδὲ δὴ τόνον, οὐδὲ βάρος, οὐδὲ πάθος, διεγεῖρον τὸν νοῦν· οὐδὲ τὸ ἐρρωμένον καὶ ἐναγώνιον πνεῦμα, ἐξ ὧν ἡ καλουμένη γίνεται δεινότης, πλὴν ἑνὸς Ἡροδότου. οὗτος δὲ κατὰ τὴν ἐκλογὴν τῶν ὀνομάτων, καὶ κατὰ τὴν σύνθεσιν, καὶ κατὰ τὴν τῶν σχηματισμῶν ποικιλίαν, μακρῷ δή τινι τοὺς ἄλλους ὑπερεβάλετο, καὶ παρεσκεύασε τῇ κρατίστῃ ποιήσει τὴν πεζὴν φράσιν ὁμοίαν γενέσθαι, πειθοῦς τε, καὶ χαρίτων, καὶ τῆς εἰς ἄκρον ἡκούσης ἡδονῆς ἕνεκα· ἀρετάς τε τὰς μεγίστας καὶ λαμπροτάτας, ἔξω τῶν ἐναγωνίων οὐδὲν ἐν ταύταις ἐνέλιπεν· εἴτε

οὐκ

a Προικοννήσιος ſupra quoque diphthongo ſcriptum, p. 224. v. 45. ſed unico ο apud *Herodotum* p. 143. legitur Ἀριστέης Προκοννήσιος, aliquoties: apud *Suidam* Ἀριστέας Προικοννήσιος, ut hic. *Sylb.* b Illud τε poſt articulum τὴν rectius expungendum. *Sylb.* c Scriptus codex habet καλιρρημοσύνην, uno λ: contra morem. *Sylb.*

a Hic

οὐκ εὖ πεφυκὼς πρὸς αὐτὰς, εἴτε κατὰ λογισμόν τινα ἑκουσίως ὑπεριδὼν, ὡς οὐχ ἁρμοττούσας ἱστορίαις. οὐδὲ γὰρ δημηγορίαις πολλαῖς ὁ ἀνὴρ, οὐδ' ἐναγωνίοις κέχρηται λόγοις, οὐδ' ἐν τῷ παθαίνειν καὶ δεινοποιεῖν τὰ πράγματα, τὴν ἀλκὴν ἔχει.

κδ'. Τούτῳ δὲ δὴ τῷ ἀνδρὶ Θουκυδίδης ἐπιβαλὼν, καὶ τοῖς ἄλλοις, [a] ὧν πρότερον ἐμνήσθην, καὶ συνιδὼν ἃς ἕκαστος αὐτῶν εἶχεν ἀρετὰς, ἴδιόν τινα χαρακτῆρα, καὶ παρεωραμένον ἅπασι, πρῶτος εἰς τὴν ἱστορικὴν πραγματείαν ἐσπούδασεν ἀγαγεῖν· ἐπὶ μὲν τῆς ἐκλογῆς τῶν ὀνομάτων τὴν τροπικὴν, καὶ γλωττηματικὴν, καὶ ἀπηρχαιωμένην, καὶ ξένην λέξιν προελόμενος ἀντὶ τῆς κοινῆς καὶ συνήθους τοῖς καθ' αὐτὸν ἀνθρώποις· ἐπὶ δὲ τῆς συνθέσεως τῶν τ' ἐλαττόνων καὶ τῶν μειζόνων μορίων, τὴν ἀξιωματικὴν, καὶ αὐστηρὰν, καὶ στιβαρὰν, καὶ βεβηκυῖαν καὶ τραχύνουσαν ταῖς τῶν γραμμάτων ἀντιτυπίαις τὰς ἀκοὰς, ἀντὶ τῆς λιγυρᾶς, καὶ μαλακῆς, καὶ συνεξεσμένης, καὶ μηδὲν ἐχούσης ἀντίτυπον· ἐπὶ δὲ τῶν σχηματισμῶν, ἐν οἷς μάλιστα ἐβουλήθη διενέγκαι τῶν πρὸ αὐτοῦ, πλείστην εἰσενεγκάμενος σπουδήν. διετέλεσε γέ τοι τὸν ἑπτακαιεικοσαετῆ χρόνον τοῦ πολέμου ἀπὸ τῆς ἀρχῆς ἕως τῆς τελευτῆς, τὰς ὀκτὼ βίβλους, ἃς μόνας κατέλιπεν, στρέφων ἄνω καὶ κάτω, καὶ καθ' ἓν ἕκαστον τῶν τῆς φράσεως μορίων ῥινῶν καὶ τορεύων· καὶ τοτὲ μὲν λόγον ἐξ ὀνόματος ποιῶν, τοτὲ δ' εἰς ὄνομα συνάγων τὸν λόγον· καὶ νῦν μὲν τὸ ῥηματικὸν [b] ὀνομαστικῶς ἐκφέρων, αὖθις δὲ τοὔνομα ῥῆμα ποιῶν, καὶ αὐτῶν γε τούτων ἀναστρέφων τὰς χρήσεις, ἵνα τὸ μὲν ὀνομαστικὸν προσηγορικὸν γένηται, τὸ δὲ προσηγορικὸν ὀνομαστικῶς λέγηται· καὶ τὰ μὲν παθητικὰ ῥήματα, δραστήρια, τὰ δὲ δραστήρια, παθητικά· πληθυντικῶν τε καὶ ἑνικῶν ἐναλλάττων τὰς φύσεις, καὶ [c] ἀντικατηγορῶν ταῦτα ἀλλήλων· θηλυκά τε ἀρσενικοῖς, καὶ ἀρσενικὰ θηλυκοῖς, καὶ οὐδέτερα τούτων τισὶ συνάπτων, ἐξ ὧν ἡ κατὰ φύσιν ἀκολουθία πλανᾶται· τὰς δὲ τῶν ὀνοματικῶν ἢ μετοχικῶν πτώσεις ποτὲ μὲν πρὸς τὸ σημαινόμενον ἀπὸ τοῦ σημαίνοντος ἀποστρέφων, ποτὲ δὲ πρὸς τὸ σημαῖνον ἀπὸ τοῦ σημαινομένου· ἐν δὲ τοῖς συνδετικοῖς καὶ τοῖς προθετικοῖς μορίοις, καὶ ἔτι μᾶλλον ἐν τοῖς διαρθροῦσι τὰς τῶν ὀνομάτων δυνάμεις, ποιητοῦ τρόπον ἐνεξουσιάζων. πλεῖστα δ' ἄν τις εὕροι παρ' αὐτῷ σχήματα, προσώπων τε ἀποστροφαῖς, καὶ χρόνων ἐναλλαγαῖς, καὶ τοπικῶν σημειώσεων διαφοραῖς ἐξηλλαγμένα τῶν συνήθων, καὶ σολοικισμῶν λαμβάνοντα φαντασίας· ὁπόσα τε γίνεται πράγματα ἀντὶ σωμάτων, ἢ σώματα ἀντὶ πραγμάτων· καὶ ἐφ' ὧν ἐνθυμημάτων αἱ μεταξὺ παρεμπτώσεις πολλαὶ γινόμεναι, διὰ πολλοῦ τὴν ἀκολουθίαν κομίζονται· τά τε σκολιὰ, καὶ πολύπλοκα, καὶ [d] δυσεξέλικτα, καὶ τὰ ἄλλα τὰ συγγενῆ τούτοις. εὕροι δ' ἄν τις οὐκ ὀλίγα καὶ τῶν θεατρικῶν σχημάτων κείμενα παρ' αὐτῷ· τὰς παρισώσεις λέγω, καὶ παρονομασίας, καὶ ἀντιθέσεις· ἐν αἷς ἐπλεό-
148 νασε Γοργίας ὁ Λεοντῖνος, καὶ οἱ περὶ Πῶλον, καὶ

quod natura ab eo abhorrebat, ſive quod rationibus quibuſdam adductus, ſponte illud, tanquam hiſtoriis minus aptum, contempſit. is enim neque concionibus multis, neque aliis ad contentionem accommodatis orationibus utitur; neque ullam ad concitandos affectus & res amplificandas vim habet.

XXIV. * Huic, & cæteris quorum ſuperius eſt facta mentio, ſuperveniens Thucydides, cum, quas quiſque dicendi virtutes haberet, vidiſſet, ipſe propriam quandam dicendi formam, ab aliis non animadverſam, primus in hiſtoriam induxit; in electione quidem verborum, figuratam, cuique genti peculiarem, & obſoletam ac peregrinam dictionem, communi ſuoque tempore uſitatæ linguæ anteponens; in jungendis autem majoribus & minoribus particulis, grandem, auſteram, nervoſam, firmam, & literarum aſperitate aures ferientem compoſitionem, pro ſuavi, molli, & polita, nihilque in ſe aſperitatis habente, conſectatus eſt; in figuris autem adhibendis, quibus in primis vetuſtiores ſuperare contendebat, nimiam diligentiam poſuit. Totos certe XXVII annos in illis octo libris, quos ſolos reliquit, immutandis conſumpſit; quos ſurſum deorſum volutans, ſingulas locutionum particulas limabat, nunc ex uno nomine orationem conficiens, rurſuſque in nomen orationem contrahens: interdum autem verbalia nominaliter proferens, ac rurſus nomen verbum faciens, atque omnem eorum uſum pervertens; ita ut, quod proprium eſt, eo pro appellativo abutatur; quod vero eſt appellativum, pro nomine proprio uſurpet: inſuper verba patiendi, activa facit; quæ vero actionem notant, iis ipſe paſſionem attribuit: eorum item quæ multitudinis, quæve unius numero efferri debent, naturam commutat, atque alia de aliis dici cogit: maſculina fœmininis conjungit; & fœminina rurſus maſculinis attribuit; quæ autem neutrius ſunt generis, ita his connectit, ut tota naturalis illa coaptatio & conſecutio divagetur: nominum & participiorum caſus ab eo quod ſignificare debet, ad id quod eſt ſignificatum; & contra, quod eſt ſignificatum, ad ſignificans transfert: in conjunctivis autem ac præpoſitivis particulis, iis præſertim quæ vocabulorum vires diſtinguunt, poëtica prorſus utitur licentia. Plurimas etiam in eo figuras invenias, quæ perſonarum apoſtrophis, temporum commutationibus, & localium notationum diſcrepantia, à communi conſuetudine ſint deflexæ, ac ſolœciſmorum ſpeciem præferant: præterea, quot in ipſo res videas pro corporibus, & corpora viciſſim pro rebus ſumi? in enthymematibus vero (in quibus interpoſitiones cum multæ ſint, longo intervallo conſecutionem ſuam recuperant) adſunt tortuoſa illa, & perplexa, & inextricabilia, atque alia his ſimilia Nec paucas item figuras theatrales ab eo uſurpatas invenias, ut paria paribus relata, adnominationes, oppoſitiones; quibus nimio frequenter uſus eſt Gorgias Leontinus, Polus, Licymnius,

a Hic locus ſupra citatur à *Dionyſio* iiſdem prope verbis, p. 215. v. 2. *Sylb.* b De ὀνομαστικῶς ſupra dictum ad ejuſdem p. 215. v. 10. c Scriptus codex habet ἐγκατηγορῶν: parum convenienter. *Sylb.* d Δυσέλικτα in *Cod. Bodl.* vitioſe, ut puto: quum & antea habuerimus δυσεξέλικτα, p. 215. v. 31. * *In hunc & cæteros conjectis oculis, Thucyd.*

a Rectius

Licymnius, & multi alii, qui eodem tempore floruerunt. Maxime vero inſignia, & ex quibus character ejus præcipue cognoſcitur, hæc ſunt; ſtudere, ut pauciſſimis verbis quamplurimas res comprehendat, multaſque in unum ſententias cogat, ac tum maxime auditorem, cum exſpectat adhuc aliquid, relinquat: quo fit ut brevitas obſcuritatem pariat. Sed ut hæc paucis complectar, quatuor eſſe animadverto veluti inſtrumenta Thucydideæ dictionis; poëticam verborum ſtructuram, in figuris multiplicem varietatem, concentus aſperitatem quandam, & ſignificationis celeritatem. Colores autem quibus utitur, ſunt acerbus, denſus, amarus, auſterus, vehemens, gravis, & terribilis; atque in primis † affectionibus movendis peraccommodatus. Talis quidem eſt Thucydides in ſuo illo charactere dicendi, quo cæteros anteivit. Cum autem & inſtitutum ejus & facultas una decurrunt, perfectam abſolutamque, atque adeo divinam orationem efficit. cum vero non eſt par viribus, quippe cum nervi illi ob dicendi celeritatem non uſquequaque perdurent, oratio fit obſcura; vitia quædam, quæ minime deceant, ſecum afferens. Nam præclara illa, rebuſque in omnibus neceſſaria præcepta, quibus traditur qua ratione ſit peregrinis ac novatis utendum, ac quatenus illa ſint aſſumenda, non per omnes hiſtoriæ partes ſervavit.

Λικύμνιον, καὶ πολλοὶ ἄλλοι τῶν κατ' αὐτὸν ἀκμασάντων. ἐκδηλότατα δὲ αὐτοῦ καὶ [a] χαρακτηρικώτατά ἐστι, τό, τε πειρᾶσθαι δι' ἐλαχίστων ὀνομάτων πλεῖστα σημαίνειν πράγματα, καὶ πολλὰ συντιθέναι νοήματα εἰς ἕν, καὶ ἔτι προσδεχόμενόν τι τὸν ἀκροατὴν ἀκούσεσθαι, καταλιπεῖν· ὑφ' ὧν ἀσαφὲς γίνεται τὸ βραχύ. ἵνα δὲ συνελὼν εἴπω, τέτταρα μέν ἐστιν ὥσπερ ὄργανα τῆς Θουκυδίδου λέξεως· τὸ ποιητικὸν τῶν ὀνομάτων, τὸ πολυειδὲς τῶν σχημάτων, τὸ τραχὺ τῆς ἁρμονίας, τὸ τάχος [b] τῶν σχημάτων. χρώματα δὲ αὐτῆς, τό, τε στρυφνὸν, καὶ τὸ πυκνὸν, καὶ τὸ πικρὸν, καὶ τὸ αὐστηρὸν, καὶ τὸ ἐμβριθὲς, καὶ τὸ δεινὸν, καὶ τὸ φοβερόν· ὑπὲρ ἅπαντα δὲ ταῦτα τὸ παθητικόν. τοιοῦτος μὲν δή τίς ἐστιν ὁ Θουκυδίδης κατὰ τὸν τῆς λέξεως χαρακτῆρα, ᾧ περὶ τοὺς ἄλλους διήνεγκεν. ὅταν μὲν οὖν ἥ τε προαίρεσις αὐτοῦ καὶ ἡ δύναμις συνεκδράμῃ, τέλεια γίνεται κατορθώματα καὶ δαιμόνια· ὅταν δὲ ἐλλείπῃ τὸ τῆς δυνάμεως, οὐ παραμένοντος μέχρι πάντων τοῦ τόνου διὰ τὸ τάχος τῆς ἐπαγγελίας, ἀσαφής τε ἡ λέξις γίνεται, καὶ ἄλλας τινὰς ἐπιφέρει κῆρας οὐκ εὐπρεπεῖς. τὸ γὰρ ἐν ᾧ δεῖ [c] τρόπῳ τὰ ξένα καὶ πεποιημένα λέγεσθαι, καὶ μέχρι πόσου προελθόντα πεπαῦσθαι, καλὰ καὶ ἀναγκαῖα θεωρήματα ἐν πᾶσιν ὄντα τοῖς ἔργοις, οὐ διὰ πάσης τῆς ἱστορίας φυλάττει.

XXV. Jam, cum hæc per capita attigerimus, ſupereſt ut jã ad ea demonſtranda deveniamus. Non autem de ſingulis ſeparatim Thucydidis dicendi formis ſermonem faciemus, illius verba ſubjungendo; ſed diverſis ex locis particulas quaſdã ſumendo narrationis & orationũ, hiſq; cauſas apponendo, ex quibus facile appareat, quibus in locis, tam in rebus quam verbis, bene maleve ſe geſſerit: illud iterum abs te, Q. Æli, atque ab aliis philologis, ſiqui forte hæc legent, enixe petentes, ut conſilium noſtrum perpendant; nihil enim aliud conamur, quam ut characterem Thucydidis oſtendamus, ac ſimul omnia animadverſione digna, quæ illi contigerint, comprehendamus; nihil omnino, præter eorum, qui ad hujus ſe viri imitationem componere volunt, utilitatem, propoſitum habentes. Itaque in ipſo ſtatim *proœmii* exordio hac utens propoſitione, bellum Peloponneſiacum, de quo ſcripturus erat, omnium, quæ antea geſta eſſent, fuiſſe maximum, hæc ad verbum ſcribit: "Ac bella quidem ante geſta, "atque his vetuſtiora, in apertum produci, "temporis longinquitas vetuit. ſed, quantum "ex ſignis colligere licet, equidem, hæc à vetuſtiſſima origine repetens, magnas fuiſſe "illorum res, neque in bello, neque aliis in rebus, exiſtimo. Nam in ea quæ nunc Græcia "appellatur, perpetuum olim incolas domicilium habuiſſe, non videtur. nam cum à majore aliqua multitudine coactus, ſuam quiſque patriam facile relinqueret, perſæpe migrationes fiebant: quippe cum nulla adhuc "inter eos negotiatio eſſet, neque ullum citra

κέ. Προειρημένων δὲ τούτων κεφαλαιωδῶς, ἐπὶ τὰς ἀποδείξεις αὐτῶν ὥρα τρέπεσθαι· ποιήσομαι δὲ οὐ χωρὶς ὑπὲρ ἑκάστης ἰδέας τὸν λόγον, ὑποτάττων αὐταῖς τὴν Θουκυδίδου λέξιν, ἀλλὰ κατὰ περιοχάς τινας καὶ τόπους, μέρη λαμβάνων τῆς τε διηγήσεως καὶ τῶν ῥητορειῶν, καὶ παρατιθεὶς τοῖς τε πραγματικοῖς καὶ τοῖς λεκτικοῖς κατορθώμασιν ἢ ἁμαρτήμασι τὰς αἰτίας, δι' ἃς τοιαῦτά ἐστι· δεηθείς σου πάλιν, καὶ τῶν ἄλλων φιλολόγων, τῶν ἐντευξομένων [d] τῇ γραφῇ, τὸ βούλημά μου τῆς ὑποθέσεως, ἧς προῄρημαι, σκοπεῖν, ὅτι χαρακτῆρός ἐστι δήλωσις, ἅπαντα περιειληφυῖα τὰ συμβεβηκότα αὐτῷ καὶ δεόμενα λόγου, σκοπὸν ἔχουσα τὴν ὠφέλειαν αὐτῶν τῶν βουλησομένων μιμεῖσθαι τὸν ἄνδρα. ἐν ἀρχῇ μὲν οὖν ΤΟΥ ΠΡΟΟΙΜΙΟΥ προθέσει χρησάμενος, ὅτι μέγιστος ἐγένετο τῶν πρὸ αὐτοῦ πολέμων ὁ Πελοποννησιακὸς, κατὰ λέξιν οὕτω γράφει· "Τὰ γὰρ πρὸ "αὐτῶν, καὶ τὰ ἔτι παλαιότερα, σαφῶς μὲν εὑρεῖν "διὰ χρόνου πλῆθος ἀδύνατον ἦν· ἐκ δὲ τεκμηρίων, ὧν ἐπὶ μακρότατον σκοποῦντί μοι πιστεῦσαι ξυμβαίνει, οὐ μεγάλα νομίζω γενέσθαι, οὔτε κατὰ τοὺς πολέμους, οὔτε ἐς τὰ ἄλλα. φαίνεται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη, οὐ πάλαι βεβαίως οἰκουμένη· ἀλλὰ "μεταναστάσεις τε οὖσαι τὰ πρότερα, καὶ ῥᾳδίως ἕκαστος τὴν ἑαυτῶν ἀπολείποντες, βιαζόμενοι ὑπό "τινων ἀεὶ πλειόνων. τῆς γὰρ [e] ἐμπορίας οὐκ οὔσης, οὐδ'

"ἐπιμιγνύντες

a Rectius χαρακτηριστικώτατα ut ſupra p. 215. v. 38. ſed & alibi tamen χαρακτηρικώτατα legitur perſæpe. *Sylb.* *b* Pro τῶν σχημάτων congruentius legemus τῆς σημασίας, ut ſupra p. 215. v. 45. quo modo etiam paulo poſt, v. 18. hic ſequitur, τὸ τάχος τῆς ἀπαγγελίας *enunciationis celeritas*. Sic etiam v. 14. pro περὶ rectius legemus παρὰ, ut ſupra p. 215. v. 50. & p. 238. v. 27. *Sylb.* *c* Τρόπῳ agnoſcit etiam *Dudithii* verſio. ſiquis malit τόπῳ, per me licet. *Sylb.* *d* Τῇ γραφῇ ταύτῃ in *Cod. Bodl.* *e* Scriptus codex habet ἐμπειρίας: minus apte. ἐμπορίας legitur non tantum in vulg. editionibus *Thucydidis* p. 1. ſed etiam ſupra p. 44. v. 43. & p. 217. v. 7. & p. 219. v. 41. *Sylb.* † Al. *affectibus majoribus excitandis peraccom.*

a Thucydi-

“ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις, οὔτε κατὰ γῆν, οὔτε
“διὰ θαλάσσης, νεμόμενοί τε τὰ αὑτῶν ἕκαστοι ὅσον
“ἀποζῆν, καὶ περιουσίαν χρημάτων οὐκ ἔχοντες, οὐδὲ γῆν
“φυτεύοντες[a] . . . .
. . . . (τῶν δὲ
“Λακεδαιμονίων οὐκέτι ὀξέως ἐπεκθεῖν, ᾗ προσπίπτοιεν,
“δυναμένων, γνόντες αὐτοὺς οἱ ψιλοὶ βραδυτέρους ἤδη ὄν-
“τας τῷ ἀμύνασθαι, καὶ αὐτοὶ τῇ ὄψει τοῦ θαρσεῖν τὸ
“πλεῖστον εἰληφότες, πολλαπλάσιοι φαινόμενοι, καὶ
“ξυνειθισμένοι μᾶλλον μηκέτι δεινοὺς αὐτοὺς ὁμοίως
“σφίσι φαίνεσθαι, ὅτι οὐκ εὐθὺς ἄξια τῆς προσδοκίας
“ἐπεπόνθεσαν, ὥσπερ ὅτε πρῶτον ἀπέβαινον τῇ γνώ-
“μῃ) δεδουλωμένοι ὡς ἐπὶ Λακεδαιμονίους. καταφρο-
“νήσαντες (οὖν αὐτῶν,) καὶ ἐμβοήσαντες, ἀθρόοι ὥρμησαν
“ἐπ᾽ αὐτούς”. ἦν δ᾽ ἡ περιοχὴ ὠφελίμη κατεσκευάσθαι
μὴ τοῦτον ὑπ᾽ αὐτοῦ τὸν τρόπον, ἀλλὰ κοινότερον μᾶλ-
λον καὶ ὠφελιμώτερον, τοῦ τελευταίου μορίου τῷ πρώ-
τῳ προστεθέντος, τῶν δὲ διὰ μέσου, τὴν μετὰ ταῦτα
χώραν λαβόντων. ἀγκυλωτέρα μὲν οὖν ἡ φράσις οὕτω σχη-
ματισθεῖσα γέγονε, καὶ δεινοτέρα· σαφεστέρα δὲ καὶ ἡδίων
ἐκείνως ἂν κατασκευασθεῖσα· “Τῶν δὲ Λακεδαιμο-
“νίων οὐκέτι ἀπελθεῖν ἢ προσπίπτειν δυναμένων, γνόν-
“τες αὐτοὺς οἱ ψιλοὶ βραδυτέρους ἤδη, συστραφέντες
“καὶ ἐμβοήσαντες, ὥρμησαν ἐπ᾽ αὐτοὺς ἀθρόοι· ἔκ τε
“τῆς ὄψεως τὸ θαρρεῖν προσειληφότες, ὅτι πολλαπλά-
“σιοι ἦσαν· καί, ἐκ τοῦ μηκέτι δεινοὺς αὐτοὺς ὁμοίως
“σφίσιν φαίνεσθαι, καταφρονήσαντες, ἐπειδὴ οὐκ εὐθὺς
“ἄξια τῆς προσδοκίας ἐπεπόνθεσαν, ἣν εἶχον ὑπόλη-
149 “ψιν ὅτι πρῶτον ἀπέβαινον, τῇ γνώμῃ δεδουλωμένοι,
“ὡς ἐπὶ Λακεδαιμονίους”.

κϛʹ. Ὑπεξαιρουμένης δὲ τῆς περιγραφῆς πάσης, τἆλλα πάν-
τα ὠνόμασται τοῖς προσφυεστάτοις ὀνόμασι, καὶ περιεί-
ληπται τοῖς ἐπιτηδειοτάτοις σχηματισμοῖς. ἀρετῆς τε οὐ-
δεμιᾶς, ὡς εἰπεῖν, οὔτε λεκτικῆς, οὔτε πραγματικῆς ἐν-
δεῶς ἔσχηκεν ἃς οὐδὲν δέομαι πάλιν ἐξαριθμεῖσθαι. ἐν δὲ
ΤΗ ΕΒΔΟΜΗ ΒΙΒΛΩ τὴν ἐσχάτην ναυμαχίαν Ἀθη-
ναίων καὶ Συρακουσίων ἀφηγούμενος, οὕτως ὠνόμακέ τε καὶ
ἐσχημάτικε τὰ πραχθέντα· “Ὁ δὲ Δημοσθένης καὶ Μέ-
“νανδρος καὶ [b] Εὐθύδημος· οὗτοι γὰρ ἐπὶ τὰς ναῦς τῶν Ἀθηναίων
“στρατηγοὶ ἐπέβησαν· ἄραντες ἀπὸ τοῦ ἑαυτῶν στρατοπέδου,
“εὐθὺς ἔπλεον πρὸς τὸ ζεῦγμα τοῦ λιμένος· καὶ τὸ [c] παρα-
“λειφθέντα διέκπλουν βουλόμενοι βιάσασθαι ἐς τὸ ἔξω. προ-
“εξαναγόμενοι δὲ Συρακούσιοι καὶ οἱ ξύμμαχοι ναυσὶ πα-
“ραπλησίαις τὸν ἀριθμόν, καὶ πρότερον κατά τε τὸν ἔκπλουν,
“μέρει αὐτῶν ἐφύλασσον, καὶ κατὰ τὸν ἄλλον κύκλῳ λιμένα,
“ὅπως πανταχόθεν ἅμα προσπίπτοιεν τοῖς Ἀθηναίοις· καὶ ὁ
“πεζὸς αὐτοῖς ἅμα παρεβοήθει, ᾗπερ καὶ αἱ νῆες κατίσχοιεν.
“ἦρχον δὲ τοῦ ναυτικοῦ τοῖς Συρακουσίοις [d] Σικανὸς μὲν καὶ Ἀγά-

“formidinem vel terra vel mari commerci-
“um haberent; ſed ita ſuis rebus uterentur,
“quatenus ad vitam exiliter traducendam ſa-
“tis eſſe exiſtimarent; pecuniæ copiam non
“habentes, neque terram ſerentes. . . . .
. . . . “(Sed cum La-
“cedæmonii non amplius irruere poſſent,
“qua impetum feciſſent; milites levitèr ar-
“mati, cum ipſos ſemet defendendo fatigatos
“animadvertiſſent, & ipſi ſpectaculo animis
“magis confirmati, quod longe plures eſſent,
“& jam aſſueti minus illos formidabiles exiſti-
“mare, quia non tam gravia perpeſſi fuerant,
“ac ſperaverant, quum primum egreſſi ſunt)
“abjecto ſervilique animo, ut qui contra La-
“cedæmonios proficiſcerentur. eos igitur con-
“temnentes, ſublato clamore, confertim im-
“petum in eos fecere”. Multo autem hæc
comprehenſio erat utilior futura, ſi ipſe non
hoc modo eam comprehendiſſet, ſed commu-
niorem & utiliorem ſecutus fuiſſet rationem;
atque ita hæc verba collocaſſet, ut extremam
cum prima parte conjungeret, quæ vero in
medio, ea rejiceret in ſequentem locum. hoc
ſane pacto contorta & gravior eſt oratio;
multo vero fuiſſet clarior & jucundior, hoc
ordine collocata: “Cum Lacedæmonii non
“jam amplius abire, aut irruere in illos poſ-
“ſent, levis armaturæ milites, tardiores eos
“eſſe factos animadvertentes, facto globo ac
“clamore ſublato, confertum in illos impetum
“fecerunt. ex quo fiebat ut, cum ſe plurimos
“eſſe cernerent, animus etiam accederet; &,
“cum non æque ac prius eſſe terribiles illos
“arbitrarentur, contemptu haberent: cum
“non ſtatim, quæ exſpectaverant, experti
“ſunt, ut, cum primum in terram deſcende-
“rent, putabant, dejecti animo tanquam ad-
“verſus Lacedæmonios pugnaturi”.

XXVI. Detracta hac tota circumſcriptione, reliqua omnia nominibus ac figuris maxime accommodatis comprehendit. neque ullam, prope dixerim, aut ad dictionem, aut ad res ſpectantem, virtutem prætermiſit: quas quidem virtutes denuo enumerare nihil neceſſe eſt. In *ſeptimo* autem *libro* extremam Athenienſium & Syracuſanorum navalem pugnam narrans, ſic & verbis & figuris in explicandis rebus uſus eſt: “Demoſthenes autem & Me-
“nander & Euthydemus, qui duces Atheni-
“enſium naves conſcenderant, cum ſe loco
“moviſſent, ſine mora ad portus fauces, ca-
“ptas jam & occupatas, adnavigarunt, ut per
“vim ſibi exitum pararent. quibus Syracuſani
“eorumque ſocii cum totidem navibus oc-
“currerunt: ac primum partem illarum ad
“exitum cuſtodiendum collocarunt, altera to-
“tum undique portum tutabantur. quod eo
“faciebant, ut omni ex parte à peditatu ad-
“juti, quocunque in loco naves conſtituiſſent,
“in Athenienſes irruerent. Præerant autem
“claſſi apud Syracuſanos Sicanus & Aga-
“tharchus,

[a] *Thucydidis* verba, ſententiæ explendæ deſunt, facile potuiſſent è vulgatis libris addi. ſed quia non conſtat quo-uſque locum citarit *Lyſias*, & qua phraſi planiore *Thucydidis* mentem expreſſerit, ideo manca hæc relinquere malui. In ſequenti autem loco *Thucydide* addenda putavi, ſine quibus *Dionyſiana* non potuiſſent intelligi; ea ſcilicet quæ à v. 5. uſque ad 12. his ſignis ( ) incluſa ſunt. Quæ vero mox verſu 14. iiſdem ſignis incluſa ſunt, οὖν & αὐτῶν, a vulgatis *Thucydidis* exemplaribus ſunt. *Sylb.* Exſtat autem locus apud *Thucyd.* p. 235. *Ed. Oxon.* [b] In *Thucydide* p 455. *Ed. Oxon.* Εὔδημος. Vide notas quæ illi ſubjectas. [c] Apud *Thucyd.* καταλειφθέντα. *Dudithius* legit καταληφθέντα, *occupatum.* Seq. v. *Thucyd.* exempl. habet προεξαναγόμενοι: & v. 47. παρεβοήθει, præſ. temp. *Sylb.* [d] Scriptus liber habet Εἰκανός: perperam. *Sylb.*

tharchus, alterum uterque totius exercitus cornu tenens: Pythen & Corinthii medium habebant. Atque Athenienſes quidem alii, poſtquam ad fauces ſubiere, primo impetu navium, quæ ad eum locum erant, potiti, clauſtra conabantur aperire. ſed mox, invectis in eos undique Syracuſanis ac ſociis, non jam pro anguſtiis exitus tantum, ſed etiam intra portum navale prælium gerebatur: quod quidem omnium, quæ ante facta eſſent, atrociſſimum fuit. Magnum enim erat utriuſque partis nautarum ſtudium ad naves in hoſtes impellendas, cum juberentur: magna gubernatorum artis æmulatio, mutuaque contentio. eorum qui naves conſcenderant, hæc erat cura, ut, ſi navis in navem incurreret, ne ii, qui in tabulatis inſiſtebant, reliquorum deſtituerentur artificio: ac quiſque, in eo quem ſortitus erat loco, primus eſſe contendebat. Cæterum, multis non magno in ſpatio navibus inter ſe concurſantibus, ac prælio decertantibus, cum paulo ducentis eſſent pauciores, rari fiebant excurſus; propterea quod neque progredi neque inhiberi naves poſſent; ſed frequentiores implicationes erant, ut quæque, ſive fugiendo ſive alteram incurſando, in alteram incidiſſet. Interea vero dum naves mutuo ſibi occurrerent, ii qui in tabulatis erant, miſſilium, ſagittarum, ſaxorum ingentem in illos vim conjiciebant: cum vero conſerebantur, milites, commiſſa pugna, in adverſariorum naves inſilire conabantur. Fiebat autem locorum anguſtiis, ut, dum alterutri una ex parte hoſtes adorirentur, ipſi altera ex parte invaderentur; ac duæ interdum naves cum una, alicubi etiam plures, neceſſario inter ſe complicarentur; cum gubernatores partim adoriendis aliis, partim ſibi cavendo, idque non una in parte, ſed undequaque, occuparentur. Magnus autem erat multarum inter ſe concurſantium navium ſtrepitus, qui & terrorem nautis incutiebat, & earum rerum, quæ à præfectis juberentur, auditum auferebat. multa enim utraque ex parte adhortatio, & ingens præfectorum clamor exaudiebatur, tum ex arte gubernatoria, tum ex præſenti contentione vincendi: cum Athenienſes quidem ſuos, ut exitum ſibi per vim pararent, clamore incitarent, utque, ſi unquam alias, nunc majore contentione pro incolumi in patriam reditu elaborarent: Syracuſanis vero ac ſociis pulcrum videretur, prohibere ne ſui fugam caperent, ſed vincendo ſuam quiſque patriam honeſtaret. Præterea vero duces ipſi utriuſque partis, ſi quam navem ulla neceſſitate coactam cedere animadvertiſſent, trierarchum nomine appellabant: atque Athenienſes quidem ita percunctabantur, num terram inimiciſſimam magis hoſpitalem, quam mare non exiguo labore partum, arbitraren-

θαρχος, κέρας ἑκάτερος τοῦ παντὸς ἔχων, Πυθὴν δὲ καὶ οἱ Κορίνθιοι τὸ μέσον. [a] ἐπειδὴ καὶ οἱ ἄλλοι Ἀθηναῖοι προσέμισγον τῷ ζεύγματι, τῇ μὲν πρώτῃ ῥύμῃ ἐπιπλέοντες, ἐκράτουν τῶν τεταγμένων νεῶν πρὸς αὐτῷ, καὶ ἐπειρῶντο λύειν τὰς κλείσεις· μετὰ δὲ τοῦτο, πανταχόθεν σφίσι τῶν Συρακουσίων [b] καὶ τῶν ξυμμάχων ἐπιφερομένων, οὐ μόνον πρὸς τῷ ζεύγματι ἡ ναυμαχία, ἀλλὰ καὶ κατὰ τὸν λιμένα ἐγίνετο· καὶ ἦν καρτερά, καὶ οἵα οὐχ ἑτέρα τῶν προτέρων. πολλὴ μὲν γὰρ ἑκατέροις προθυμία ἀπὸ τῶν ναυτῶν ἐς τὸ ἐπιπλεῖν ὁπότε κελευσθείη ἐγίνετο, πολλὴ δ' ἡ ἀντιτέχνησις τῶν κυβερνητῶν, καὶ ἀγωνισμὸς πρὸς ἀλλήλους. οἵ τε ἐπιβάται ἐθεράπευον, ὅτε προσπέσοι ναῦς νηΐ, μὴ λείπεσθαι τὰ ἀπὸ τοῦ καταστρώματος τῆς ἄλλης τέχνης· πᾶς τέ τις, ἐν ᾧ προσετέτακτο, αὐτὸς ἕκαστος ἠπείγετο πρῶτος φαίνεσθαι. ξυμπεσουσῶν δ' ἐν ὀλίγῳ πολλῶν νεῶν· πλεῖσται γὰρ δὴ αὗται [c] ἐν ἐλαχίστῳ ἐναυμάχησαν· βραχὺ γὰρ ἀπέλιπον ξυναμφότεραι διακόσιαι γενέσθαι· αἱ μὲν [d] ἐκβολαί, διὰ τὸ μὴ εἶναι τὰς ἀνακρούσεις καὶ διέκπλους, ὀλίγαι ἐγίνοντο· αἱ δὲ προσβολαί, ὡς τύχοι ναῦς νηῒ προσπεσοῦσα, ἢ διὰ τὸ φυγεῖν, ἢ ἄλλῃ ἐπιπλέουσα, πυκνότεραι ἦσαν. καὶ ὅσον μὲν χρόνον προσφέροιτο ναῦς, οἱ ἀπὸ τῶν καταστρωμάτων τοῖς ἀκοντίοις καὶ τοξεύμασι καὶ λίθοις ἀφθόνως ἐπ' αὐτὴν ἐχρῶντο· ἐπειδὴ δὲ προσμίξειαν, οἱ ἐπιβάται εἰς χεῖρας ἰόντες ἐπειρῶντο ταῖς ἀλλήλων ναυσὶν ἐπιβαίνειν. ξυνετύγχανέ τε πολλαχοῦ, διὰ τὴν στενοχωρίαν τὰ μὲν, ἄλλοις ἐμβεβληκέναι, τὰ δέ, αὐτοὺς ἐμβεβλῆσθαι, δύο τε περὶ μίαν, καὶ ἔστιν ᾗ καὶ πλείους ναῦς κατ' ἀνάγκην ξυνηρτῆσθαι· καὶ τοῖς κυβερνήταις τῶν μὲν φυλακήν, τῶν δ' ἐπιβουλήν, μὴ καθ' ἓν ἕκαστον, κατὰ πολλὰ δὲ πανταχόθεν περιεστάναι· καὶ τὸν κτύπον [e] (μέγαν) ἀπὸ πολλῶν (τῶν) νεῶν ξυμπιπτουσῶν, ἔκπληξίν τε ἅμα καὶ ἀποστέρησιν τῆς ἀκοῆς ὧν οἱ κελευσταὶ ἐφθέγγοντο παρέχειν. πολλὴ γὰρ δὴ ἡ παρακέλευσις καὶ (ἡ) βοὴ ἀφ' ἑκατέρων τοῖς κελευσταῖς κατά τε τὴν τέχνην καὶ πρὸς τὴν αὐτίκα φιλονεικίαν ἐγίγνετο· τοῖς μὲν Ἀθηναίοις βιάζεσθαί τε τὸν ἔκπλουν ἐπιβοῶντες, καὶ περὶ τῆς ἐς τὴν πατρίδα σωτηρίας νῦν, εἴ ποτε καὶ αὖθις, προθύμως [f] ἀντιλαμβάνεσθαι· τοῖς δὲ Συρακουσίοις καὶ ξυμμάχοις, καλὸν εἶναι κωλῦσαί τε αὐτοὺς διαφυγεῖν, καὶ τὴν οἰκείαν ἑκάστου πατρίδα νικήσαντας ἐπαυξῆσαι. καὶ οἱ στρατηγοὶ προσέτι ἑκατέρων, εἴ τινά που ὁρῷεν μὴ κατ' ἀνάγκην πρύμναν κρουόμενον, ἀνακαλοῦντες ὀνομαστὶ τὸν τριήραρχον, ἠρώτων· οἱ μὲν Ἀθηναῖοι, εἰ τὴν πολεμιωτάτην [g] (γῆν) οἰκειοτέραν τῆς οὐ δι' ὀλίγου (πόνου) κεκτημένης θαλάσσης ἡγούμενοι ἀποχωροῦσιν· οἱ δὲ

a In *Thucyd.* exempl (p.456.) ἐπειδὴ δ' οἱ Αθ. omiſſo καὶ & ἄλλοι. eadem v.5. habent κλήσεις: quod quoque *Thucydidi* cum tragicis commune eſſe adnotat. *Sylb.* b In *Thucyd.* καὶ ξυμμ. & mox οὐ πρὸς τῷ ζεύγματι ἔτι μόνον ἡ ναυμαχία. c Script. lib. h. ἐν ὀλίγῳ, ut in præced. membro. mihi vulgata ſcriptura viſa eſt magis conſentanea. *Sylb.* d Vu. *Thucyd.* exempl. habent ἐμβολαί: & v.21. φεύγειν, pr. temp. *Sylb.* e Incluſa addita ſunt è vulg. ex. V.35. eadem habent ...ἐστα: & mox omittunt incluſum articulum ἡ. *Sylb.* f Eadem habent ἀντιλαβέσθαι: & v. 43. ἑκάστους, ſingulos. *Sylb.* g ...uſum γῆν additum ex iiſdem. Ex iiſdem etiam mox τῆς οὐ δι' ὀλίγου repoſitum pro eo quod in ſcripto libro vitioſe legitur οὐδ' ὀλίγου. Sequens incluſum πόνου abeſt quidem à vulg. exemplaribus: ſed agnoſcit illud cum ſcripto *Dudithii* librum ſcholiaſtes *Thucydidis*, cum ait τῆς μετὰ πόνου κεκτημένης θαλάσσης. *Sylb.*

“δὲ Συρακούσιοι, εἰ οὓς σαφῶς ἴσασι προθυμουμένους Ἀθηναίους παντὶ τρόπῳ διαφυγεῖν, τούτους αὐτοὶ φεύγοντας φεύγουσιν. ὅ, τ' ἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων, ἰσορρόπου τῆς ναυμαχίας καθεστηκυίας, πολὺν τὸν ἀγῶνα καὶ ξύστασιν τῆς γνώμης εἶχε· φιλονεικῶν μὲν ὁ αὐτόθεν περὶ τοῦ πλείονος ἤδη καλοῦ· δεδιότες δὲ ὁ ἐπελθόντες μὴ τῶν παρόντων ἔτι χείρω πράξωσι. πάντων γὰρ δὴ ἀνακειμένων τοῖς Ἀθηναίοις ἐς τὰς ναῦς, ὅ, τε φόβος ἦν ὑπὲρ τοῦ μέλλοντος οὐδενὶ ἐοικώς, καὶ [a] διὰ τὸ, ἀνώμαλον καὶ τὴν ἔποψιν τῆς ναυμαχίας ἐκ τῆς γῆς ἠναγκάζοντο ἔχειν· δι' ὀλίγου γὰρ οὔσης τῆς θέας, καὶ οὐ πάντων ἅμα ἐς τὸ αὐτὸ σκοπούντων, εἰ μέν τινες ἴδοιέν πῃ τοὺς σφετέρους ἐπικρατοῦντας, ἀνεθάρσησάν τε ἄν, καὶ πρὸς ἀνάκλησιν θεῶν, μὴ στερῆσαι σφᾶς τῆς σωτηρίας, ἐτρέποντο· [b] οἱ δὲ, ἐπὶ τὸ ἡσσώμενον βλέψαντες, ὀλοφυρμῷ τε ἅμα μετὰ βοῆς ἐχρῶντο· καὶ ἀπὸ τῶν δρωμένων τῆς ὄψεως, καὶ τὴν γνώμην μᾶλλον τῶν ἐν τῷ ἔργῳ ἐδουλοῦντο· ἄλλοι δὲ, καὶ πρὸς [c] ἀντίπαλόν τι τῆς ναυμαχίας ἀπιδόντες, διὰ τὸ ἀκρίτως ξυνεχὲς τῆς ἁμίλλης, καὶ τοῖς σώμασιν αὐτοῖς ἴσα τῇ δόξῃ περιδεῶς ξυναπονεύοντες, ἐν τοῖς χαλεπώτατα διῆγον· ἀεὶ γὰρ παρ' ὀλίγον ἢ διέφευγον, ἢ ἀπώλλυντο· ἦν τε ἐν τῷ στρατεύματι τῶν Ἀθηναίων, ἕως ἀγχώμαλα ἐναυμάχουν, πάντα ὁμοῦ ἀκοῦσαι, ὀλοφυρμὸς, βοὴ, νικῶντες, κρατούμενοι, ἄλλα ὅσα ἐν μεγάλῳ κινδύνῳ μέγα στρατόπεδον πολυειδῆ ἀναγκάζοιτο φθέγγεσθαι. παραπλήσια δὲ καὶ οἱ ἐπὶ τῶν νεῶν αὐτοῖς ἔπασχον· πρίν γε δὴ οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι, ἐπὶ πολὺ ἀντισχούσης τῆς ναυ-

150 μαχίας, ἔτρεψάν τε τοὺς Ἀθηναίους, καὶ ἐπικείμενοι λαμπρῶς, πολλῇ κραυγῇ καὶ διακελευσμῷ χρώμενοι, κατεδίωκον ἐς τὴν γῆν. τότε δὴ ὁ μὲν ναυτικὸς στρατὸς, ἄλλος ἄλλῃ, ὅσοι μὴ μετέωροι ἑάλωσαν, κατενεχθέντες, ἐξέπεσον ἐς τὸ στρατόπεδον. ὁ δὲ πεζὸς, οὐκέτι διαφόρως, ἀλλ' ἀπὸ μιᾶς ὁρμῆς, οἰμωγῇ τε καὶ στόνῳ, πάντες δυσανασχετοῦντες τὰ γιγνόμενα, οἱ μὲν ἐπὶ τὰς ναῦς παρεβοήθουν, οἱ δὲ, πρὸς τὸ λοιπὸν τοῦ τείχους ἐς φυλακήν· ἄλλοι δὲ, καὶ οἱ πλεῖστοι ἤδη, περὶ σφᾶς αὐτοὺς καὶ ὅπῃ σωθήσονται διεσκόπουν. ἦν τε ἐν τῷ παραυτίκα οὐδεμιᾶς δὴ τῶν ξυμπασῶν ἐλάσσων ἔκπληξις· παραπλήσιά τε ἐπεπόνθεσαν καὶ ἔδρασαν αὐτοὶ ἐν Πύλῳ. διαφθαρεισῶν γὰρ τῶν νεῶν τοῖς Λακεδαιμονίοις, προσαπώλλυντο [d] αὐτοῖς καὶ οἱ ἐν τῇ νήσῳ ἄνδρες διαβεβηκότες. καὶ τότε τοῖς Ἀθηναίοις ἀνέλπιστον ἦν τὸ κατὰ γῆν σωθήσεσθαι, ἢν μή τι παρὰ λόγον γίγνηται. γενομένης δ' ἰσχυρᾶς τῆς ναυμαχίας, πολλῶν νεῶν ἀμφοτέροις καὶ ἀνδρῶν ἀπολομένων, οἱ Συρακούσιοι καὶ οἱ ξύμμαχοι [e] ἐπικρατοῦντες, τά τε ναυάγια τοὺς νεκροὺς ἀνείλοντο· καὶ ἀποπλεύσαντες πρὸς τὴν πόλιν τρόπαιον ἔστησαν.

ιζʹ. Ἐμοὶ μὲν δὴ ταῦτα καὶ τὰ παραπλήσια τού-

“tur: Syracuſani vero, num Athenienſes, quos certo ſcirent de fuga cogitare, hos fugientes ipſi fugerent. Interea dum iſti æquo marte navali pugna decertant, utrorumque peditatum, qui in terra ſtabat, ingens certamen & contentio tenebat; Syracuſanis quidem, majoris gloriæ cupiditate incenſis; Athenienſibus vero, ne ſecum pejus quam ante ageretur, metuentibus. Nam cum omnis in navibus Athenienſium ſpes eſſet, ſummus de rei exitu erat timor; quippe cum pugna videretur anceps, & eam illi è terra ſpectare cogerentur: nam cum eſſet propinquum ſpectaculum, & non omnes pariter eodem intuerentur, ſiqui ſuos alicubi vincentes aſpexiſſent, animos attollebant, & ad deorum opem implorandam, ne ſe dereſerent, convertebantur: qui vero ſuos ſuperari videbant, ii magno cum ejulatu lugebant; adeo ut magis ex earum rerum aſpectu, quam illi ipſi qui in opere verſarentur, animum abjicerent: alii autem cum anceps certamen viderent, adverſariis acriter reſiſtentibus, ipſo corporum motu animi affectionem imitarentur, præque metu modo huc modo illuc nutarent, & magna ex eo moleſtia afficerentur; aſſidue enim exiguum intra ſpatium aut fugiebant, aut trucidabantur: licebatque ex Athenienſium exercitu, quam diu æquo marte pugnabatur, omnia ſimul exaudire; lamentationes, clamores; victores, victos; & alia ejuſmodi quæ magno in periculo magnus exercitus multis modis clamare cogitur. His æqualia & iis eveniebant qui in navibus erant: donec Syracuſani ac ſocii, cum inter eos diu pugnatum eſſet, Athenienſium claſſem in fugam vertunt; ſtrenueque invecti, magno clamore & inhortatione terram verſus perſequuntur. Tunc ex nautico exercitu, alia atque alia parte, quicunque in alto capti non erant, in caſtra ſe receperunt. pedites autem non jam diverſi, ſed uno eodemque impetu, ea quæ jam evenerant, & luctu & gemitu proſequentes, partim ad ſubveniendum navibus, partim ad reliquam murorum partem tuendam contendunt: alii, quorum maxima erat pars, jam, qua ſibi ſalutem parent, pro ſe ipſis circumſpectant. Fuit autem eo tempore tantus pavor, ut major nunquam exſtiterit: ac tale quiddam perpeſſi ſunt, quale ipſi fecerant ad Pylum. nam cum Lacedæmonii naves amiſiſſent, homines etiam ipſos, qui in inſulam deſcenderant, una perdiderunt. ac tum quidem Athenienſes, niſi quid inopinatum divinitus accideret, omnem in terra ſalutem deſperabant. Poſt decertatam acerrime hanc navalem pugnam, in qua multæ naves utrinque & multi viri perierunt, Syracuſani eorumque ſocii, victoria potiti, navium etiam fragmenta & cæſorum corpora obtinuerunt; revectique ad urbem, trophæum erexerunt.

XXVII. Hæc quidem, hiſque ſimilia, digna mihi

[a] Ad διὰ τὸ, in ſcripti exemplaris margine, appoſitum hoc exegema, διὰ τοῦτο. *Sylb.* [b] Idem exemplar habet ἐδὴ. rectius in libris vulg. οἱ δὲ. *Sylb.* [c] ...m libri habent ἀντιπάλου τι. & mox (v. 24.) τῷ αὐτῷ στρατ. *Sylb.* [d] Codices nonnulli habent αὐταῖς. V. 45. ſcriptus ...r pro ἢν habet εἰ. ſed cum ea conjunctione mutato verbi modo legendum eſſet γένοιτο, vel γίγνοιτο. Ibidem vulg. libri ...mpoſite habent παράλογον: & v. 47. ἀνθρώπων, pro ἀνδρῶν. *Sylb.* [e] In vulgatis *Thucydidis* exemplaribus legitur ἐπικρατήσαντες, præt. aor. *Sylb.*

mihi imitatione viſa ſunt; in quibus & magnificentiam ſcriptoris, & venuſtatem, & gravitatem, atque alias virtutes in hiſce perfectiſſime adhibitas judicavi; conjectura inde ducta, quod omnium hominum mentes hoc dicendi genus maxime afficit, neque vero expers illud rationis judicium, quo jucunda moleſtave percipimus, hoc averſatur, neque alterum rationis particeps, qua, quid in quaque ſit arte pulcrum, dignoſcimus: neque eſt quiſquam, aut ex iis qui non admodum ſunt in civilibus orationibus exercitati, qui dicere poſſit quibus aut verbis aut figuris offendatur; aut ex iis qui ſunt exquiſiti, quique promiſcuæ multitudinis inſcitiam contemnunt, qui dictionis hujus apparatum incuſare queat: ſed eadem erit & multitudinis & peritorum ſententia. ille enim ex imperita multitudine homo idiota & inſcius, moleſto illo & tortuoſo atque obſcuro dicendi genere non offendetur: ille autem qui raro invenitur, ac non ex vulgari aliqua diſciplina factus artifex, humile illud, minimeque generoſum, & incompoſitum genus non damnabit. quo fit, ut tam illud quod rationis eſt expers, quam quod ejuſdem eſt particeps, judicium conſentiat. à quorum utroque omnia quæ ad artes attinent, judicari volumus. . . .

τοις, ἄξια ζήλου τε καὶ μιμήσεως ἐφάνη· τήν τε μεγαληγορίαν τοῦ ἀνδρὸς, καὶ τὴν καλλιλογίαν, καὶ τὴν δεινότητα, καὶ τὰς ἄλλας ἀρετὰς, ἐν τούτοις τοῖς ἔργοις ἐπείσθην τελειοτάτας εἶναι· τεκμαιρόμενος ὅτι πᾶσα ψυχὴ τούτῳ τῷ γένει τῆς λέξεως ἄγεται, καὶ οὔτε τὸ ἄλογον τῆς διανοίας κριτήριον, ᾧ πεφύκαμεν ἀντιλαμβάνεσθαι τῶν ἡδέων ἢ ἀνιαρῶν, ἀλλοτριοῦται πρὸς αὐτό· οὔτε τὸ λογικὸν, ὑφ' οὗ διαγιγνώσκεται τὸ ἐν ἑκάστῃ τέχνῃ καλόν· οὐδ' ἂν ἔχοιεν οὐδ' οἱ μὴ πάνυ λόγων ἔμπειροι πολιτικῶν, εἰπεῖν ἐφ' ὅτῳ δυσχεραίνουσιν ὀνόματι ἢ σχήματι· οὐδ' οἱ πάνυ περιττοί, καὶ τῆς τῶν πολλῶν ὑπερφρονοῦντες ἀμαθίας, μέμψασθαι τὴν κατασκευὴν ταύτης τῆς λέξεως· ἀλλὰ καὶ τὸ τῶν πολλῶν καὶ τῶν [a] ἀλόγων τὴν αὐτὴν ὑπόληψιν ἕξει. ὁ μέν γε πολὺς ἐκεῖνος ἰδιώτης οὐ δυσχεραίνει τὸ φορτικὸν τῆς λέξεως καὶ σκολιὸν καὶ δυσπαρακολούθητον· ὁ δὲ σπάνιος, καὶ οὐδ' ἐκ τῆς τυχούσης ἀγωγῆς γινόμενος τεχνίτης, οὐ μέμψεται τὸ ἀγενὲς καὶ χαμαιτυπὲς καὶ ἀκατάσκευον· ἀλλὰ συνῳδὸν ἔσται τό, τε λογικὸν καὶ τὸ ἄλογον κριτήριον· ὑφ' ὧν ἀμφοτέρων ἀξιοῦμεν ἅπαντα κρίνεσθαι κατὰ τὰς τέχνας [b] ἐργάσηται θάτερον οὐκέτι καλὸν οὐδὲ τέλειον ἀποδίδωσι τὸ ἕτερον.

XXVIII. Ego vero non video quo pacto illa quæ magna atque admirabilia quibuſdam videntur, laudibus afficiam; quæ tantum abeſt ut primas illas maximeque communes habeant virtutes, ut, cum & nimiam & inanem diligentiam præ ſe ferant, neque jucunditatem neque fructum afferant. ex quibus pauca quædam exempla afferam; ſimul & cauſas, cur à virtutibus ad vitia declinarint, commonſtrabo. Atque in *tertio* quidem *libro*, ubi crudelia illa atque nefaria, quæ in Corcyrenſi ſeditione contra potentiſſimos quoſque à populo commiſſa ſunt, enarrat, quouſque intra communis uſitatæque linguæ terminos manſit, perſpicue omnia, breviter, pleneque dixit: ſed ſimul atque tragico more communes Græcorum calamitates exaggerare incipit, animoque extra conſueta evagatur, longe ſe ipſo fit deterior. Sunt autem de illo priore genere hæc; quæ vix errata eſſe quiſquam opinetur: "Corcyrenſes vero, ubi inimicas diſcedentes, "& Atticas naves adventantes ſenſere, in "urbem Meſſenios, qui prius extra erant, in"ducunt; navibuſque, quas expleverant, juſſis "Hyllaïcum adire portum, dum circumve"huntur, ſiquem hoſtium nacti eſſent, occide"bant. illis vero, quibus ut in naves ingrede"rentur perſuaſerant, ejectis, abierunt; atque "in Junonis templum delati, cum ex ſuppli"cibus circiter triginta, ut judicium ſubirent, "perſuaſiſſent, omnes morte damnarunt. Quæ "cum cæteri ſupplices vidiſſent, qui perſuaſi "non fuerant, in eodem ſe fano mutuo inter"emerunt; quidam ſe ex arboribus laqueis

κή. Ἐγὼ γοῦν οὐκ ἔχω πῶς ἐκεῖνα ἐπαινέσω τὰ δοκοῦντα μεγάλα καὶ θαυμαστὰ εἶναί τισιν, ὅσα μηδὲ τὰς πρώτας ἀρετὰς ἔχει καὶ κοινοτάτας, ἀλλ' ἐκνενίκηται τῷ περιέργῳ καὶ περιττῷ, μήτε ἡδέα εἶναι μήτε ὠφέλιμα· ὧν ὀλίγα παρέξομαι δείγματα, προσθεὶς εὐθὺς ἑκάστοις τὰς αἰτίας δι' ἃς περιέστηκεν εἰς τὰς ἐναντίας ταῖς ἀρεταῖς κακίας. ἐν μὲν οὖν τῇ ΤΡΙΤΗ ΒΙΒΛΩ τὰ περὶ Κέρκυραν ὠμὰ καὶ ἀνόσια ἔργα διὰ τὴν στάσιν εἰς τοὺς δυνατωτάτους ἐκ τοῦ δήμου γενόμενα διεξιὼν, ἕως μὲν ἐν τῷ κοινῷ καὶ συνήθει τῆς διαλέκτου τρόπῳ τὰ πραχθέντα δηλοῖ, σαφῶς τε καὶ συντόμως καὶ δυνατῶς ἅπαντα εἴρηκεν· ἀρξάμενος δὲ ἐπιτραγῳδεῖν τὰς κοινὰς τῶν Ἑλλήνων συμφορὰς, καὶ τὴν διάνοιαν ἐξαλλάττειν ἐκ τοῦ ἐν ἔθει, μακρῷ τινι γίγνεται χείρων αὐτὸς ἑαυτοῦ. ἔστι δὲ τὰ μὲν πρῶτα, ὧν οὐδεὶς ἂν ὡς ἡμαρτημένων ἐπιλάβοιτο, ταῦτα· "Κερκυραῖοι δὲ, [c] αἰ"σθανόμενοι τάς τε Ἀττικὰς ναῦς προσπλεούσας, τὰς "τε τῶν πολεμίων οἰχομένας, λαβόντες τούς τε Μεσση"νίους ἐς τὴν πόλιν ἤγαγον, πρότερον ἔξω ὄντας· καὶ τὰς "ναῦς περιπλεῦσαι κελεύσαντες ἃς ἐπλήρωσαν, ἐς τὸν "[d] Ὑλλαϊκὸν λιμένα, ἐν ὅσῳ περιεκομίζοντο, τῶν ἐχθρῶν "εἴ τινα λάβοιεν, ἀπέκτεινον. καὶ ἐκ τῶν νεῶν ὅσους ἔπει"σαν ἐσβῆναι, ἐκβιβάζοντες, ἀνεχώρησαν· ἐς τὸ Ἡραιόν τε "ἐλθόντες, τῶν ἱκετῶν ὡς πεντήκοντα ἄνδρας δίκην ὑπο"σχεῖν ἔπεισαν, καὶ κατέγνωσαν ἁπάντων θάνατον. οἱ δὲ πολ"λοὶ τῶν [e] ἱκετῶν, ὅσοι οὐκ ἐπείσθησαν, ὡς ἑώρων τὰ γιγνόμενα, "διέφθειραν αὐτοῦ ἐν τῷ ἱερῷ ἀλλήλους· καὶ ἐκ τῶν δένδρων τινὲς

a Pro ἀλόγων legendum fortaſſe ἀκριβολόγων. V. 10. dicit λόγων πολιτικῶν ἔμπειροι & mox περιττοί. *Sylb.* *b* Mutilus eſt locus: & aliquis quidem elici poteſt ſenſus, ſi pro ἐργάσηται reponantur hæc, ἐρεῖ γὰρ ἁμάρτοι θάτ'. Sed vereor ne majus ſubſit mendum. *Sylb.* *c* Vulgata *Thucydidis* exemplaria (p. 193. *Ed. Oxon.*) hab. αἰσθόμενοι. Ibid. ſcriptus liber habet τοὺς τε: & tamen mox fœm. gen. οἰχομένας. *Sylb.* *d* In libris vulgatis Ὑλλαϊκόν, genere m. V. 44. eadem ex. habent ἀπεχώρησαν, & mox Ἥραιόν τι. Apud *Suid.* quoque legitur Ἡραῖον, ὁ τῆς Ἥρας ναός. ſed agnoſcit tamen idem etiam Ἡραιον. *Stephanus Byzantius* hoc videtur ſtatuere diſcriminis, ut adjective quidem dicatur Ἡραιον ὄρος, ſubſtantive autem Ἡραῖον, ſive oppidi nomen ſit, ſive Junonis ædem ſignificet. *Sylb.* *e* Scriptus liber habet οἰκετῶν, ſed verius eſſe ἱκετῶν, ſatis tum præcedentia declarant, tum ſequentia. *Sylb.*

a Idem

"νὲς ἀπήγχοντο· οἱ δ', ὡς ἕκαστοι ἐδύναντο, ἀνηλοῦντο. ἡμέρας τε ἑπτά, ἃς ἀφικόμενος ὁ Εὐρυμέδων ταῖς ἑξήκοντα ναυσὶ παρέμεινεν, οἱ Κερκυραῖοι σφῶν αὐτῶν τοὺς ἐχθροὺς [a] δοκοῦντας εἶναι ἐφόνευον, τὴν μὲν αἰτίαν ἐπιφέροντες τοῖς τὸν δῆμον καταλύουσιν· ἀπέθανον δέ τινες καὶ ἰδίας ἔχθρας ἕνεκα, καὶ ἄλλοι χρημάτων σφίσιν ὀφειλομένων ὑπὸ τῶν λαβόντων. πᾶσά τε ἰδέα κατέστη θανάτου· καὶ, οἷον φιλεῖ ἐν τῷ τοιούτῳ γίνεσθαι, οὐδὲν ὅ,τι οὐ ξυνέβη, καὶ ἔτι περαιτέρω. καὶ γὰρ πατὴρ παῖδα ἀπέκτεινε, καὶ ἀπὸ τῶν ἱερῶν ἀπεσπῶντο, καὶ πρὸς αὐτοῖς ἐκτείνοντο· οἱ δέ τινες καὶ [b] (οἱ) περιοικοδομηθέντες ἐν τοῦ Διονύσου τῷ ἱερῷ ἀπέθανον. οὕτως ὠμὴ στάσις προὐχώρησε, καὶ ἔδοξε μᾶλλον, διότι ἐν τοῖς πρώτη ἐγένετο· ἐπεὶ ὕστερόν γε καὶ πᾶν, ὡς εἰπεῖν, τὸ Ἑλληνικὸν ἐκινήθη, διαφορῶν οὐσῶν ἑκασταχοῦ, τοῖς τε τῶν δήμων προστάταις τοὺς Ἀθηναίους ἐπάγεσθαι, καὶ τοῖς ὀλίγοις τοὺς Λακεδαιμονίους".

κθ'. Ἃ δὲ τούτοις ἐπιφέρει, σκολιὰ καὶ δυσπαρακολούθητα, καὶ τὰς τῶν σχηματισμῶν πλοκὰς σολοικοφανεῖς ἔχοντα· καὶ οὔτε τοῖς κατ' ἐκεῖνον τὸν βίον γενομένοις ἐπιτηδευθέντα, οὔτε τοῖς ὕστερον ὅτε μάλιστα ἤκμασεν ἡ πολιτικὴ δύναμις· ἃ μέλλω νυνὶ λέγειν· [c] "Ἐστασίαζόν τε οὖν τὰ τῶν πόλεων, καὶ τὰ ἐφυστερίζοντά που, πύστει τῶν προγενομένων, πολὺ ἐπέφερε τὴν ὑπερβολὴν τοῦ καινοῦσθαι τὰς διανοίας, τῶν τ' ἐπιχειρήσεων περιτεχνήσει, καὶ τῶν τιμωριῶν ἀτοπίᾳ". ἐν τούτοις τὸ μὲν πρῶτον
151 τῶν κώλων περιπέφρασται πρὸς οὐδὲν ἀναγκαῖον· [d] "Ἐστασίαζετο οὖν τὰ τῶν πόλεων". ὑγιέστερον γὰρ ἦν εἰπεῖν, "Ἐστασίαζον αἱ πόλεις". τὸ δ' ἐπὶ τούτῳ λεγόμενον, "Καὶ τὰ ἐφυστερίζοντά που", δυσείκαστόν ἐστι. σαφέστερον δ' ἂν ἐγένετο ῥηθὲν οὕτω· "Αἱ δ' ὑστεροῦσαι πόλεις". οἷς ἐπικεῖται, [e] "Ἐπὶ πύστει τῶν προγεγενημένων, πολλὴν ἐπέφερε τὴν ὑπερβολὴν ἐς τὸ καινοῦσθαι τὰς διανοίας". βούλεται μὲν γὰρ λέγειν· Οἱ δὲ ὑστερίζοντες, ἐπιπυνθανόμενοι τὰ γεγενημένα παρ' ἑτέρων, ἐλάμβανον ὑπερβολὴν ἐπὶ τὸ διανοεῖσθαί τι καινότερον. χωρὶς δὲ τῆς πλοκῆς, οὐδὲ οἱ τῶν ὀνομάτων σχηματισμοὶ ταῖς ἀκοαῖς εἰσιν ἡδεῖς. τούτοις ἐπιφέρει κεφάλαιον ἄλλο ποιητικῆς, μᾶλλον δὲ διθυραμβικῆς σκευωρίας οἰκειότερον· "Τῶν τ' ἐπιχειρήσεων [f] ἐπιτεχνήσει, καὶ τῶν τιμωριῶν ἀτοπίᾳ· καὶ τὴν εἰωθυῖαν τῶν ὀνομάτων ἀξίωσιν ἐς τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει". ὃ γὰρ βούλεται δηλοῦν ἐν τῇ δυσεξελίκτῳ πλοκῇ, τοιοῦτόν ἐστι· "Πολλὴν τὴν ἐπίδοσιν ἐλάμβανον εἰς τὸ διανοεῖσθαί τι καινότερον περὶ τὰς τέχνας τῶν ἐγχειρημάτων, καὶ περὶ τὰς ὑπερβολὰς τῶν τιμωριῶν· τά τε εἰωθότα ὀνόματα ἐπὶ τοῖς πράγμασιν λέγεσθαι μεταθέντες, ἄλλως ἠξίουν αὐτὰ καλεῖν". [g] ἡ δ' "Ἐπιτέχνησις" καὶ ἡ "τῶν τιμωριῶν ἀτοπία", καὶ ἡ "Εἰωθυῖα τῶν ὀνομάτων ἀξίωσις", καὶ ἡ "Εἰς τὰ ἔργα ἀντηλλαγμένη δικαίωσις", περι-

"ſuſpenderunt: omnes, ut cuique licuit, ſibi mortem conſciverunt. Corcyrenſeſque ſeptem intra dies, quibus Eurymedon cum ſexaginta navibus eſt commoratus, quos ex ſuis inimicos ſuſpicarentur, occiderunt; crimini dantes, quod ſtatum popularem diſſolverent: quidam etiam ob privatas inimicitias; quidam & à debitoribus, creditarum pecuniarum cauſa, interfecti. nullum denique mortis genus non viſebatur: nec fieri quidquam in hujuſmodi caſu ſolet, quod tum non evenerit; immo vero & majora. nam pater filium trucidabat: abſtractique à templis ſupplices, ad ea ipſa necabantur: quidam etiam, in Bacchi templo ædificiis circumſepti, in eo mortem obierunt. Eo uſque cruenta hæc ſeditio proceſſit; ob id quoque viſa major, quod prima hæc apud eos exſtitit. nam poſtea in omni prope Græcia graſſata eſt, ubique factionibus exortis, cum ii qui in populo eſſent principes, Athenienſes; optimates vero, Lacedæmonios accerſerent".

XXIX. Quæ vero his adjungit, perplexa ſunt, & quæ facile percipi nequeunt, quæque figurarum nexus quoſdam ſolœciſmis ſimiles habent: quorum nec illa ætate, neque vero poſt, cum maxime civilis floreret eloquentia & dicendi vis, ullus erat uſus. atque ea nunc oſtendam: Ἐστασίαζόν τε οὖν τὰ τῶν πόλεων, καὶ τὰ ἐφυστερίζοντά που, πύστει τῶν προγενομένων, πολὺ ἐπέφερε τὴν ὑπερβολὴν τοῦ καινοῦσθαι τὰς διανοίας, τῶν τ' ἐπιχειρήσεων περιτεχνήσει, καὶ τῶν τιμωριῶν ἀτοπίᾳ. In his in prima membri parte, ſine neceſſitate, circumlocutione uſus eſt, cum dixit; ἐστασίαζετο οὖν τὰ τῶν πόλεων. quod multo ſane melius erat hoc modo: ἐστασίαζον αἱ πόλεις. Quod deinde ſequitur, καὶ τὰ ἐφυστερίζοντά που, difficulter conjectare licet quid ſibi velit. ſic vero magis fuiſſet perſpicuum, αἱ δὲ ὑστεροῦσαι πόλεις. Quibus ſubjungit, ἐπὶ πύστει τῶν προγεγενημένων, πολλὴν ἐπέφερε τὴν ὑπερβολὴν ἐς τὸ καινοῦσθαι τὰς διανοίας. Vult enim ita dicere; "Ii vero qui poſteriores fuerunt, cum res ab aliis geſtas audirent, magis ad res novas excogitandas incitabantur". In quibus, ſi ſtructuram demas, ne verborum quidem figuræ audientibus jucundæ ſunt. His poſtea aliud caput adjungit, quod poëtico, vel potius dithyrambico apparatui magis, quam huic loco, videtur convenire: Τῶν τ' ἐπιχειρήσεων περιτεχνήσει, καὶ τῶν τιμωριῶν ἀτοπίᾳ· καὶ τὴν εἰωθυῖαν τῶν ὀνομάτων ἀξίωσιν ἐς τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει. Quod autem in hoc perplexo ac difficili nexu intelligi vult, tale eſt: "Multa illis eſt facta acceſſio ad cognoſcendam rem aliquam novam, quæ ad aggreſſionum artes & ad exquiſitas pœnas valeret: quæ vero vulgo rebus vocabula tribuebantur, ea ipſi immutantes, alia nomina rebus impoſuerunt". nam illa τῶν τ' ἐπιχειρήσεων περιτέχνησις, & illa τῶν τιμωριῶν ἀτοπία, & illa εἰωθυῖα τῶν ὀνομάτων ἀξίωσις, & illa εἰς τὰ ἔργα ἀντηλλαγμένη δικαίωσις, periphraſi cuidam

a Idem liber habet δοκοῦντες, nominandi caſu: quod retinere ſi velis, accipiendum erit pro νομίζοντες. *Sylb.* b Incluſus articulus οἱ abeſt à vulgatis libris. *Sylb.* c Iidem libri ſingulari fine habent ἐστασίαζέ τε οὖν: more Attico. *Sylb.* d Rectius ἐστασίαζέ τε οὖν: ut modo dictum eſt. *Sylb.* e Præpoſitio ἐπὶ ante πύστει nec in vulgatis *Thucydidis* exemplaribus [p. 194. *Ed. Oxon.*] nec paulo ante v. 23. Pro προγεγενημένων etiam habemus προγενομένων: & pro πολλὴν ibid. πολύ. *Sylb.* f Rectius περιτέχνησις ut v. 25. *Sylb.* g Rectius ἡ δὲ τῶν ἐπιχειρήσεων περιτέχνησις. *Sylb.*

cuidam poëticæ ſunt accommodatiores. Quibus addit etiam figuras iſtas theatrales, *Τόλμα μὲν γὰρ ἀλόγιστος, ἀνδρία φιλέταιρος ἐνομίσθη· μέλλησις δὲ προμηθής, δειλία εὐπρεπής*. Hæc utraque eas figuras habent, quæ paria paribus, ſimilia ſimilibus referunt; quibus epitheta fuci cauſa accedunt. talis autem fuiſſet neceſſaria, minimeque theatrica figura: "Audaciam illi fortitudinem; cunctationem, timiditatem nominabant". Atque his quidem ea etiam quæ ſubſequuntur, ſimilia ſunt: *Τὸ δὲ σῶφρον, τοῦ ἀνάνδρου πρόσχημα· καὶ τὸ πρὸς ἅπαν ξυνετὸν, ἐπὶ πᾶν ἀργόν*. Magis autem proprie ſic dixiſſet: "Qui prudentes, ii parū viriles: qui ad omnia ſe caute comparant, in omnibus ignavi vocantur".

XXX. Quod ſi hucuſque, partim orationem fucando, partim vero duriter tractando, progreſſus, ceſſaſſet, non ita moleſtum ſe fortaſſe præbuiſſet. ſed alia etiam his adjungit: *Ἀσφάλεια δὲ τὸ ἐπιβουλεύσασθαι, ἀποτροπῆς πρόφασις εὔλογος. καὶ ὁ μὲν χαλεπαίνων, πιστὸς ἀεί· ὁ δ' ἀντιλέγων αὐτῷ, ὕποπτος*. In his rurſus illud incertum eſt, cui vocabulum *χαλεπαίνων* accommodari, aut de quo dici velit; ita illud *ἀντιλέγων*, ad quem referatur, & qua de re ſit dictum. Deinde ait; *Ἐπιβουλεύσας δέ τις, τυχών τε, ξυνετός· καὶ ὑπονοήσας, ἔτι δεινότερος· προβουλεύσας δὲ ὅπως μηδὲν αὐτῶν δεήσει, τῆς τε ἑταιρείας διαλυτής, καὶ τοὺς ἐναντίους ἐκπεπληγμένος*. Hîc quid ſibi *τυχὼν* velit, non apparet; neque cognoſcitur an ad unum eundemque hæc duo verba, *τυχὼν* & *ὑπονοήσας*, ſint referenda. Quod ſi *τυχὼν* ad eum referri debet, qui, re bene geſta, quod ſperaverat eſt conſecutus; illud autem *ὑπονοήσας*, ad eum qui rem nondum effectam ante præſenſerit: res adhuc pejus habebit. purus autem, atque undique conſpicuus horum verborum talis eſſe poterat intellectus: "Qui ſociis inſidiantur, ſi rem bene geſſiſſent, ingenioſi; qui inſidias præſentientes, ſibi caviſſent, ingenioſiores dicebantur: qui ita cavebat, ut nec inſidiis nec cautione opus eſſet, is amicitias diſſolvere & inimicos horreſcere videbatur".

XXXI. His unam contorte, potenter, perſpicueque prolatam periodum adjungit: *Ἁπλῶς δὲ ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾷν, ἐπῃνεῖτο· καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον*. mox poëtica uſus eſt metalepſi: *Καὶ μὴν καὶ τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ ἀλλοτριώτερον ἐγένετο, διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾷν*. Hoc in exemplo *ξυγγενὲς*, & *ἑταιρικὸν* commutata inter ſe ſunt: illud autem, *ἀπροφασίστως τολμᾷν*, incertum eſt, ad *ξυγγενὲς* an ad *ἑταιρικὸν* referri debeat. Nam, cum cauſam afferat cur propinquos ac neceſſarios amicis judicarent eſſe alieniores; addit, quod audaciam, nulla allata excuſatione, afferebant. Perſpicua fuiſſet oratio, ſi ſic eam protuliſſet, ſuis, quibuſcunque libuiſſet, figuris eam exornans: *Καὶ μὴν καὶ τὸ ἑταιρικὸν, οἰκειότερον ἐγένετο τοῦ συγγενοῦς, διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾷν*. Quod enim ſequitur, per circuitionem enun-

φράσεως ποιητικῆς ἐστὶν οἰκειοτέρα· οἷς ἐπιτίθησι τὰ θεατρικὰ σχήματα ταυτί· [a] "Τόλμα μὲν γὰρ ἀλόγιστος, ἀνδρία φιλέταιρος ἐνομίσθη· μέλλησις δὲ προμηθής, δειλία εὐπρεπής". παρομοιώσεις γὰρ ἀμφότερα ταῦτα καὶ παρισώσεις περιέχει, καὶ τὰ ἐπίθετα καλλωπισμοῦ χάριν κεῖται· τὸ γὰρ οὔτε θεατρικὸν ἀλλ' ἀναγκαῖον τῆς λέξεως σχῆμα, τοιοῦτ' ἂν ἦν· "Τὴν μὲν γὰρ τόλμαν, ἀνδρίαν ἐκάλουν· τὴν δὲ μέλλησιν, δειλίαν". ὅμοια δὲ τούτοις ἐστὶ καὶ τὰ συναπτόμενα· "Τὸ δὲ σῶφρον, τοῦ ἀνάνδρου πρόσχημα· καὶ τὸ πρὸς ἅπαν ξυνετὸν, ἐπὶ πᾶν ἀργόν". κυριώτερον δ' ἂν οὕτως ἐλέχθη· "Οἱ δὲ σώφρονες, ἄνανδροι· καὶ οἱ συνετοὶ πρὸς ἅπαντα, ἐν ἅπασιν ἀργοί.

λ'. Εἰ μέχρι τούτων προελθὼν ἐπαύσατο, τὰ μὲν καλλωπίζων, τὰ δὲ σκληραγωγῶν τὴν λέξιν, ἧττον ἂν ὀχληρὸς ἦν. νῦν δ' ἐπιτίθησιν [b] ἀσφαλείᾳ· "Ἀσφάλεια δὲ τὸ ἐπιβουλεύσασθαι, ἀποτροπῆς πρόφασις εὔλογος. καὶ ὁ μὲν χαλεπαίνων, πιστὸς ἀεί· ὁ δ' ἀντιλέγων αὐτῷ, ὕποπτος". καὶ γὰρ ἐν τούτοις πάλιν ἄδηλον μέν ἐστι τίνα βούλεται δηλοῦν τὸν χαλεπαίνοντα καὶ περὶ τίνος· τίνα δὲ τὸν ἀντιλέγοντα, καὶ ἐφ' ὅτῳ. "Ἐπιβουλεύσας δέ [c] τι, φησὶ, τυχών τε, ξυνετός· καὶ ὑπονοήσας, ἔτι δεινότερος· προβουλεύσας δὲ ὅπως μηδὲν αὐτῶν [d] δεήσῃ, τῆς τε ἑταιρείας διαλυτής, καὶ τοὺς ἐναντίους ἐκπεπληγμένος". οὔτε γὰρ ὁ "Τυχὼν" ἐμφαίνει μᾶλλον ὃ βούλεται δηλοῦν, οὔτε ὁ αὐτὸς "Τυχών" τε καὶ "Ἐπινοήσας" ἅμα [e] νοῆσθαι δύναται· εἴ γε ὁ μὲν "Τυχὼν" ἐπὶ τοῦ κατορθώσαντος καὶ ἐπιτυχόντος οὗ ἤλπισε λέγεται· ὁ δὲ "Νοήσας" ἐπὶ τοῦ προαισθομένου τὸ μήπω πραχθὲν ἀλλ' ἔτι μᾶλλον κακόν. καθαρὸς δὲ καὶ τηλαυγὴς ὁ νοῦς οὕτως ἂν ἦν· "Οἵ τ' ἐπιβουλεύοντες ἑτέροις, εἰ κατορθώσειαν, δεινοί· καὶ οἱ τὰς ἐπιβουλὰς προεπινοοῦντες, εἰ φυλάξαιντο, ἔτι δεινότεροι· ὁ δὲ προειδόμενος, ὅπως μηδὲν αὐτῷ δεήσει μήτ' ἐπιβουλῆς, μήτε φυλακῆς, τάς τε ἑταιρείας διαλύειν ἐδόκει, καὶ τοὺς ἐναντίους ἐκπεπλῆχθαι".

λα'. Μίαν δὲ τούτοις ἐπιθεὶς περίοδον ἀγκύλως εἰρημένην καὶ δυνατῶς μετὰ τοῦ σαφῶς· "Ἁπλῶς δὲ ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾷν, ἐπῃνεῖτο· καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον". ποιητικῇ πάλιν ἐχρήσατο μεταλήψει· "Καὶ μὴν καὶ τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ ἀλλοτριώτερον ἐγένετο, διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾷν". τὸ γὰρ "Συγγενὲς" καὶ τὸ "Ἑταιρικὸν" κείμενον μετείληπται· τό,τε "Ἀπροφασίστως τολμᾷν", ἄδηλον, εἴτε ἐπὶ τῶν φίλων κεῖται νῦν, εἴτε ἐπὶ τῶν συγγενῶν. αἰτίαν γὰρ ἀποδιδοὺς, δι' ἣν τοὺς συγγενεῖς ἀλλοτριωτέρους ἔκρινον τῶν φίλων, ἐπιτίθησιν ὅτι τόλμαν ἀπρόφασιστον παρείχοντο. σαφὴς δ' ἂν ἦν λόγος, εἰ τοῦτον ἐξήνεγκε τὸν τρόπον, κατὰ τὴν ἑαυτοῦ βούλησιν σχηματίζων· "Καὶ μὴν καὶ τὸ ἑταιρικὸν, οἰκειότερον ἐγένετο τοῦ συγγενοῦς, διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾷν", περιπέφρασται δὲ καὶ τὰ ἐπὶ τούτοις, καὶ οὔτε

a Hic locus etiam exſtat *Thucyd.* p. 195. *Ed. Oxon.* *b* Poſterius *ἀσφάλεια* nominandi caſu legitur etiam in vulg. ex. *Thucyd.* Sed cum *Scholiaſtes* ſic exponat, *τὸ ἐπὶ πολὺ βουλεύσασθαι δι' ἀσφάλειαν*, videtur & ille dandi caſu legiſſe *ἀσφαλείᾳ*, & is qui hæc tranſcripſit, utramque lectionem in contextum inſerſiſſe. veriorque ſcriptura videtur eſſe hæc; *νῦν δ' ἐπιτίθησιν· "Ἀσφαλείᾳ δὲ τὸ ἐπιβ.* *Sylb.* *c* Rectius *τις*, ut in vulg. libris eſt, & infra [p. 146. juxta *Ed. Sylb*] Seq. v. conjunctio *τε* poſt *τυχὼν*, abeſt à vulg. libris; ſed infra quoque in altero exemplari ſcripto exſtat, [p. 164. juxta *Ed. Sylb.*] & ſenſum magis explet. *Sylb.* *d* Vulg. libri habet *δεήσοι*, opt. verbi modo. noſtrum *δεήσῃ* legitur etiam infra] pag. 164. juxta *Ed. Sylb.*] *e* In *νοῆσθαι* ambiguus eſt error. convenientius tamen eſſe videtur *νοεῖσθαι* quam *νοῆσαι*. Seq. etiam v. legendum fortaſſe *ὁ δ' ὑπονοήσας*, ut v. 21. *Sylb.*

a Apud

οὔτε ἰσχυρῶς οὔτε σαφῶς ἀπήγγελται· “Οὐ γὰρ μετὰ τῶν “κειμένων νόμων ὠφελείας αἱ τοιαῦται ξύνοδοι, ἀλλὰ “παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ”. ὁ μὲν νοῦς ἐστὶ τοιόσδε· “Οὐ γὰρ ἐπὶ ταῖς κατὰ νόμον ὠφελείαις αἱ τῶν ἑταιρειῶν ἐ-“γίγνοντο σύνοδοι, ἀλλ’ ἐπὶ τῷ παρὰ τοὺς νόμους τι “πλεονεκτεῖν”. “Καὶ ὅρκοι, φησὶν, εἴ πυ ἄρα [a]ἐγίγνοντο “ξυναλλαγῆς, ἐν τῷ αὐτίκα πρὸς τὸ ἄπορον ἑκατέρῳ
52 “διδόμενοι, ἴσχυον, οὐκ ἐχόντων ἄλλοθεν δύναμιν”. ἐν τού-τοις ὑπέρβατόν τε καὶ περίφρασις· οἱ μὲν γὰρ “Ορκοι τῆς συν-αλλαγῆς” τὸ σημαινόμενον ἔχουσι τοιοῦτον, “Οἱ δὲ περὶ τῆς φιλίας ὅρκοι εἴ πυ ἄρα γένοιντο”. τὸ δὲ “Ισχυον, δι’ [b]ὑπερβάτου κείμενον, τῷ “Αὐτίκα” ἕπεται· βούλεται γὰρ δηλοῦν, “Εν τῷ παραυτίκα ἴσχυον”. τὸ δὲ, “Πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι, οὐκ ἐχόντων ἄλλοθεν δύναμιν”, σαφέστερον ἂν ἦν οὕτως ἐξενεχθέν· “Διὰ τὸ μηδὲ μίαν ἄλλην “ἔχειν δύναμιν, κατὰ τὸ ἄπορον ἑκατέρῳ [c]διδόμενοι”. τὸ δὲ κατάλληλον τῆς διανοίας ἦν ἂν τοιοῦτο· “Οἱ δὲ περὶ τῆς φι-“λίας ὅρκοι, εἴ πυ ἄρα γένοιντο, ἀπορίᾳ πίστεως ἄλλης, “ἑκατέρῳ διδόμενοι, ἐν τῷ παραχρῆμα ἴσχυον”.

λβ′. Σκολιώτερα δὲ τούτων ἐστὶ καὶ ἃ μετὰ ταῦτα τίθη-σιν· [d]“Εν δὲ τῷ παρατυχόντι ὁ φθάσας θαῤῥῆσαι, εἰ ἴδοι “ἄφρακτον, ἥδιον διὰ τὴν πίστιν ἐτιμωρεῖτο, ἢ ἀπὸ τοῦ “προφανοῦς· καὶ τό, τε ἀσφαλὲς ἐλογίζετο, καὶ ὅτι “ἀπάτῃ περιγενόμενος, ξυνέσεως ἀγώνισμα προσε-“λάμβανε”. τὸ δὲ “Παρατυχὸν” ἀντὶ τοῦ “Παραχρῆ-μα” κεῖται· τό, τε “Αφρακτον” ἀντὶ τοῦ “Αφυλάκτου”· καὶ τό, “Ηδιον τιμωρεῖσθαι διὰ τὴν πίστιν μᾶλλον, ἢ ἀπὸ τοῦ προφανοῦς”, σκοτεινῶς περιπέφρασται, καὶ ἐλλεί-πει τι μόριον εἰς τὸ συμπληρωθῆναι τὴν νόησιν. εἰκά-ζειν δέ ἐστιν ὅτι τοῦτο βούλεται λέγειν· “Εἰ δέ πυ πα-“ρατύχοι τινὶ καιρὸς, καὶ μάθοι τὸν ἐχθρὸν ἀφύλακτον, “ἥδιον ἐτιμωρεῖτο, ὅτι πιστεύσαντι ἐπέθετο μᾶλλον ἢ φυ-“λαττομένῳ· καὶ συνέσεως δόξαν προσελάμβανε, τό, τε “ἀσφαλὲς λογιζόμενος, καὶ ὅτι διὰ τὴν ἀπάτην αὐτοῦ “περιεγένετο”. “Ρᾷον δ’ οἱ πολλοὶ κακοῦργοι, φησὶν, “ὄντες, δεξιοὶ κέκληνται, ἢ ἀμαθεῖς ἀγαθοί· καὶ τῷ “μὲν αἰσχύνονται· ἐπὶ δὲ τῷ, ἀγάλλονται”. ταῦτα γὰρ ἀγκύλως μὲν εἴρηται καὶ βραχέως, ἐν ἀφανεῖ δὲ κεί-μενον ἔχει τὸ σημαινόμενον. χαλεπὸν γὰρ μαθεῖν, τίνας δή ποτε νοεῖ τοὺς ἀμαθεῖς τε καὶ ἀγαθούς. εἴτε γὰρ ἀν-τιδιαστέλλεται πρὸς τοὺς κακούργους, οὐκ ἂν εἴησαν ἀμα-θεῖς οἱ μὴ κακοί· εἴτ’ ἐπὶ τῶν ἀνοήτων καὶ ἀφρόνων τίθησι τοὺς ἀμαθεῖς, κατὰ τί δή ποτε τούτους ἀγαθοὺς καλεῖ; “Καὶ τῷ μὲν αἰσχύνονται”, τίνες; ἄδηλον γὰρ, πότεροι ἀμφό-τεροι, ἢ οἱ ἀμαθεῖς. “Ἐπὶ δὲ τῷ, ἀγάλλονται”· κἀνταῦθα ἄδηλον τίνες. εἰ μὲν γὰρ ἐπ’ ἀμφοτέρων τίθησιν, οὐκ ἔχει νοῦν· οὔτε γὰρ ἐπὶ τοῖς κακούργοις οἱ ἀγαθοὶ ἀγάλλονται, οὔτ’ ἐπὶ τοῖς ἀμαθέσιν οἱ κακοῦργοι αἰσχύνονται.

λγ′. Οὗτος ὁ χαρακτὴρ τῆς ἀσαφοῦς καὶ πε-πλεγμένης λέξεως, ἐν ᾗ πλείων ἔνεστι τῆς λέξεως ἡ σκοτίζουσα τὴν διάνοιαν ὄχλησις, ἕως ἑκατὸν ἐκ-

ciatum, neque vim ullam neque perſpicuitatem habet: οὐ γὰρ μετὰ τῶν κειμένων νόμων ὠφελείας αἱ τοιαῦται ξύνοδοι, ἀλλὰ παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ. Sententia vero eſt hujuſmodi; “Neque vero ad utilitates legibus conſtitu-“tas ſocietatum fiebant coitiones; ſed eo, ut “quiſque aliquid contra legum præſcriptum “poſſet adipiſci”. Deinde ait: Καὶ ὅρκοι, εἴ πυ ἄρα ἐγίγνοντο, ξυναλλαγῆς, ἐν τῷ αὐτίκα πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι, ἴσχυον, οὐκ ἐχόντων ἄλλοθεν δύναμιν. In his ineſt & hyperbatum & periphraſis: nam ὅρκοι τῆς συναλλαγῆς ſignificant, οἱ δὲ περὶ τῆς φιλίας ὅρκοι εἴ πυ ἄρα γένοιντο. Illud autem ἴσχυον, quod cum αὐτίκα conjungi debet, per hyperbaton dictum eſt. hoc enim vult ſignificare, ἐν τῷ παραυτίκα ἴσχυον. Illud autem, πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι, οὐκ ἐχόντων ἄλλοθεν δύναμιν, clarius ſic prolatum fuiſſet; διὰ τὸ μηδὲ μίαν ἄλλην ἔχειν δύναμιν, κατὰ τὸ ἄπορον ἑκατέρῳ διδόμενοι. Quod autem ſententiæ optime reſpondiſſet, tale fuiſſet: “Jusjurandum ſi quod inter utroſ-“que de amicitia fiebat, quod omni alia fide “carerent, eo tempore vim obtinebat”.

XXXII. His autem duriora etiam ſunt quæ ſequuntur: Ἐν δὲ τῷ παρατυχόντι ὁ φθάσας θαῤῥῆσαι, εἰ ἴδοι ἄφρακτον, ἥδιον διὰ τὴν πίστιν ἐτιμωρεῖτο, ἢ ἀπὸ τοῦ προφανοῦς· καὶ τό, τε ἀσφαλὲς ἐλογίζετο, καὶ ὅτι ἀπάτῃ περιγενόμενος, ξυνέσεως ἀγώνισμα προσελάμβανε. Hîc παρατυχὸν pro παραχρῆμα poſitum eſt; ἄφρακτον pro ἀφύλακτον; atque illud, ἥδιον τιμωρεῖσθαι διὰ τὴν πίστιν μᾶλλον ἢ ἀπὸ τοῦ προφανοῦς, circuitione eſt obſcuratum, ſimulque aliqua ad ſententiam abſolvendam particula deeſt. quantum autem conjicere licet, hoc voluit dicere: “Quod “ſi cui talis occaſio objiciebatur, ut inimicum “imparatum animadverteret, majori cum vo-“luptate pœnas ab eo ſumebat, quod fiden-“tem & imparatum inſidiis circumveniſſet: “ideoq; prudentiæ opinionem conſequebatur, “quod ſuam animo ſecuritatem providiſſet, “quodque adverſarium per dolum viciſſet”. Deinde ita ait: Ῥᾷον δ’ οἱ πολλοὶ κακοῦργοι ὄντες, δεξιοὶ κέκληνται, ἢ ἀμαθεῖς ἀγαθοί· καὶ τῷ μὲν, αἰσχύνονται· ἐπὶ δὲ τῷ, ἀγάλλονται. Hæc, contorte ac breviter dicta cum ſint, in obſcuro latentem habent ſententiam. non enim facile eſt intelligere, quos indoctos, quoſque bonos eſſe ſignificet. Nam ſi imperitos malis opponit; certe, qui probi non ſunt, minime erunt imperiti: quod ſi pro amentibus atque inſipientibus indoctos ponit, cur hos ipſos bonos vocet? inquit autem, καὶ τῷ μὲν αἰσχύνονται. qui, quæſo? dubium eſt enim; utrique ne, an indocti tantum. Ἐπὶ δὲ τῷ, ἀγάλλονται: hîc quoque, qui ſint iſti, incertum eſt. Nam, ſi hæc, de utriſque accipi vult, nullum illius verba habebunt ſenſum. neque enim improbis boni lætantur; neque ob imperitos mali erubeſcunt.

XXXIII. Atque hîc quidem obſcuræ ac perplexæ dictionis eſt character, in quo magna eſt toti ſententiæ tenebras offundens orationis perturbatio; quæ quidem ad centum uſque

a Apud *Thucyd.* (p. 195. *Ed. Oxon*) γένοιτο: itidemque v. 11. & 18. & infra p. 164. juxta *Ed. Sylb.* b Nota hîc (inquit *Sylb.*) ὑπερβάτου, cum v. 9. ſcriptus liber habeat ὑπερβατόν, oxytonως: itidemque infra p. 162. juxta *Ed. Sylb.* c Idem exemplar habet διδόμενοι: at non item v. 14. & v. 19. *Sylb.* d *Thucyd.* p. 196. *Ed. Oxon.*

a Pag.

uſque verſus porrigitur. apponam autem & ea quæ ſequuntur, nihil jam de meo adjiciens: “Quarum rerum omnium cauſa eſt principatus ob avaritiam & ambitionem: quæ faciunt ut homines ad contentionem reddantur alacriores. Nam qui in civitatibus erant principes, honeſto utrique nomine, alteri ſtatum popularem, æqualitatem; alteri, paucorum imperium, optimatum appellantes, præferebant; cum populum verbis paſcerent, ipſi vero inter ſe contenderent. Et cum omni modo alii alios ſuperare vellent, graviſſima quæque audebant, ac pœnas atrociores irrogabant: non ex juſtitia, aut ex utilitate civitatis; ſed ſua illos voluptate metientes. atq; illam voluptatem, ſive per iniqua ſuffragia condemnatis, ſive vi oppreſſis civibus, in hoc certamine explere cupiebant. neutri pietatem adhibebant: ſed, qui aliquid colore verborum, cum alterius injuria tranſigebant, ii melius audiebant ſiquis autem inter utroſq; medius, is ab utraque parte, vel quod ab altera non ſtaret, vel * quod malorum immunis, ob invidiam occidebatur. Ita propter ſeditiones omne facinoris genus in Græcia extitit: & ſimplicitas, cujus plurimum generoſitas participat, cum ludibrio, exterminabatur; mutuo vero inter ſe ſententiis pugnare, præclarum putabatur. nulla enim res, neque oratio; nec ullius jusjurandi terror apud eos quicquam valebat. cumque omnes cogitatione ad diffidendum potius quam ad fidendum eſſent propenſiores, eo intendebant, ut cavere potius ne quid mali caperent, quam credere cuiquam mallent. & qui conſilio inferiores erant, ut plurimum vincebant: quippe qui & ſuæ imbecillitatis conſcii & adverſariorum prudentiæ, veriti ne illorum & diſertæ orationi eſſent impares, & ingenii præſtantia ſuperarentur, audacter ad res gerendas aggrediebantur. at illi, tum præ horum contemptu, quod longius providerent, tum quia non oportebat ea quæ conſilio agere licet, facto aggredi, incauti magis opprimebantur”. Poſſem equidem multis præterea exemplis perſpicuum facere, hunc noſtrum, cum communem uſitatamque dicendi formam in narrationibus retinet, majorem laudem mereri; tum vero, cum abducit à conſuetudine ſermonem, ac ad peregrina vocabula, & quaſi per vim figuras fertur, quarum nonnullæ etiam ſolœciſmi præbent ſpeciem, multo deteriorem fieri. ſed, ne noſtra longius labatur oratio, his ero contentus.

μηκύνεται στίχων. θήσω δὴ καὶ τὰ ἑξῆς, οὐδὲ μίαν ἔτι λέξιν ἐμαυτοῦ προστιθείς· “[a] Πάντων δ' αὐτῶν αἴτιον ἡ ἀρχὴ ἡ διὰ πλεονεξίαν καὶ φιλοτιμίαν· ἐκ δ' αὐτῶν καὶ ἐς τὸ φιλονεικεῖν καθισταμένων τὸ πρόθυμον. οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες, μετ' ὀνόματος ἑκάτεροι εὐπρεποῦς, πλήθους τε ἰσονομίας πολιτικῆς, καὶ ἀριστοκρατίας σώφρονος προτιμήσει, τὰ μὲν κοινὰ λόγῳ θεραπεύοντες ἆθλα ἐποιοῦντο· παντὶ δὲ τρόπῳ ἀγωνιζόμενοι ἀλλήλων περιγίγνεσθαι, ἐτόλμησάν τε τὰ δεινότατα, ἐπεξήεσάν τε, τὰς τιμωρίας ἔτι μείζους, οὐ μέχρι τοῦ δικαίου καὶ τῇ πόλει ξυμφόρου, προστιθέντες, ἐς δὲ τὸ ἑκατέροις που αἰεὶ ἡδονὴν ἔχον ὁρίζοντες· καὶ ἢ μετὰ ψήφου ἀδίκου καταγνώσεως, ἢ χειρὶ κτώμενοι τὸ κρατεῖν, ἕτοιμοι ἦσαν τὴν αὐτίκα φιλονεικίαν ἐκπιμπλάναι. ὥστ' εὐσεβείᾳ μὲν οὐδέτεροι ἐνόμιζον, εὐπρεπείᾳ δὲ λόγου, οἷς ξυμβαίη ἐπιφθόνως τι διαπράξασθαι, ἄμεινον ἤκουον· τὰ δὲ μέσα τῶν πολιτῶν ὑπ' ἀμφοτέρων, ἢ ὅτι οὐ ξυνηγωνίζοντο, ἢ φθόνῳ τοῦ περιεῖναι, διεφθείροντο. οὕτω πᾶσα ἰδέα κατέστη κακοτροπίας, διὰ τὰς στάσεις, τῷ Ἑλληνικῷ· καὶ τὸ εὔηθες, οὗ τὸ γενναῖον πλεῖστον μετέχει, καταγελασθὲν ἠφανίσθη· τὸ δὲ ἀντιτετάχθαι ἀλλήλοις τῇ γνώμῃ ἀπίστως, ἐπὶ πολὺ διήνεγκεν. οὐ γὰρ ἦν ὁ διαλύσων οὔτε λόγος ἐχυρὸς, οὔτε ὅρκος φοβερός. [b] κρείττους δὲ ὄντες ἅπαντες λογισμῷ ἐς τὸ ἀνέλπιστον τοῦ βεβαίου, μὴ παθεῖν μᾶλλον προεσκόπουν, ἢ πιστεῦσαι ἐδύναντο. καὶ οἱ φαυλότεροι γνώμην, ὡς τὰ πλείω περιεγίγνοντο. τῷ γὰρ δεδιέναι τό,τε αὐτῶν ἐνδεὲς, καὶ τὸ τῶν ἐναντίων ξυνετὸν, μὴ λόγοις τε ἥττους ὦσι, καὶ ἐκ τοῦ πολυτρόπου αὐτῶν τῆς γνώμης φθάσωσι προεπιβουλευόμενοι, τολμηρῶς πρὸς τὰ ἔργα ἐχώρουν· οἱ δὲ καταφρονοῦντες, κἂν προαισθέσθαι, καὶ ἔργῳ οὐδὲν σφᾶς δεῖν λαμβάνειν ἃ γνώμῃ ἔξεστιν, ἄφρακτοι μᾶλλον διεφθείροντο”. ἐκ πολλῶν ἔτι δυνάμενος παραδειγμάτων ποιῆσαι φανερὸν ὅτι κρείττων ἐστὶν ἐν τοῖς διηγήμασιν, ὅταν ἐν τῷ συνήθει καὶ κοινῷ τῆς διαλέκτου χαρακτῆρι μένῃ, χείρων δὲ ὅταν ἐκτρέψῃ τὴν διάλεκτον ἐκ τῆς συνήθους ἐπὶ τὰ ξένα ὀνόματα, καὶ βεβιασμένα σχήματα, 153 ὧν ἔνια σολοικισμῶν παρέχεται δόξαν, ἀρκεσθήσομαι τούτοις, ἵνα μὴ περαιτέρω τοῦ δέοντος ἡ γραφή μοι προβῇ.

Concionum Thucydidearum examen.

XXXIV. QUONIAM vero polliciti ſumus, etiam quod noſtrum de illius concionibus eſſet judicium oſtendere, in quibus ſummam quandam ineſſe vim nonnulli opinantur, totam hanc tractationem in duas partes diſtribuentes, in eam ſcilicet quæ ad res, & eam quæ ad verba petinet, de iis utriſque ſeparatim agemus, ab ea parte quam ad res pertinere diximus, initium ſumentes. Cujus quidem pars prima eſt enthymematum & ſententiarum inventio: ſecunda vero, in uſu rerum quæ inventæ ſunt. atque illa quidem prior, omnem

λδ'. ΕΠΕΙ δὲ καὶ περὶ τῶν δημηγοριῶν αὐτοῦ τὰ δοκοῦντά μοι φανερὰ ποιήσειν ὑπεσχόμην, ἐν αἷς οἴονταί τινες τὴν ἄκραν τοῦ συγγραφέως εἶναι δύναμιν, διελόμενος καὶ ταύτην διχῇ τὴν θεωρίαν, εἴς τε τὸ πραγματικὸν μέρος, καὶ εἰς τὸ λεκτικὸν, χωρὶς ὑπὲρ ἑκατέρου ποιήσομαι τὸν λόγον· ἀρξάμενος ἀπὸ τοῦ πραγματικοῦ. ἐν ᾧ πρώτην μὲν [c] ἔχοι μοῖραν ἡ τῶν ἐνθυμημάτων τε καὶ νοημάτων εὕρεσις, δευτέραν δὲ ἡ τῶν εὑρεθέντων χρῆσις· ἐκείνη μὲν ἐν τῇ φύσει μᾶλλον ἔχουσα τὴν

a Pag. 196. b In vulgatis *Thucydidis* libris habemus κρείσσους, itidem (v. 29.) ἥσσους. *Sylb.* c Malim ἔχει, indicativo verbi modo. *Sylb.* * *Ob invidiam quod ſuperſtes foret, occid.*

a Conveni-

τὴν ἰσχύν, αὕτη δὲ ἐν τῇ τέχνῃ. τούτων ἡ μὲν πλέον ἔχουσα τοῦ τεχνικοῦ τὸ φυσικὸν, καὶ διδαχῆς ἐλάττονος δεομένη, θαυμαστή τις ἐστὶ παρὰ τῷ συγγραφεῖ· φέρει γὰρ ὥσπερ ἐκ πηγῆς πλουσίας ἄπειρόν τι χρῆμα νοημάτων καὶ ἐνθυμημάτων περιττῶν καὶ ξένων καὶ παραδόξων. ἡ δὲ πλεῖον ἔχουσα τὸ τεχνικὸν, καὶ λαμπροτέραν ποιοῦσα φαίνεσθαι τὴν ἑτέραν, ἐνδεεστέρα τοῦ δέοντος ἐστὶ πολλῶν. ὅσοι μὲν οὖν ἐκτεθαυμάκασιν αὐτὸν ὑπὲρ τὸ μέτριον, ὡς μηδὲν τῶν θεοφορήτων διαφέρειν, διὰ τὸ πλῆθος ἐοίκασι τῶν ἐνθυμημάτων τοῦτ' ἐσχηκέναι τὸ πάθος. οὓς ἐὰν διδάσκῃ τις ἐφ' ἑκάστῳ πράγματι [a] περιτιθεὶς τὸν λόγον, ὅτι ταυτὶ μὲν οὐκ ἦν ἐπιτήδεια ἐν τούτῳ τῷ καιρῷ, καὶ ὑπὸ τούτων τῶν προσώπων λέγεσθαι, ταυτὶ δ' οὐκ ἐπὶ τούτοις τοῖς πράγμασιν, οὐδὲ μέχρι τούτου, δυσχεραίνουσιν, ὅμοιόν τι πάσχοντες τοῖς κεκρατημένοις ὑφ' οἵας δή τινος ὄψεως ἔρωτι, μὴ πολὺ ἀπέχοντι μανίας. ἐκεῖνοί τε γὰρ πάσας τὰς ἀρετὰς, [b] ὁπόσαι γίνονται περὶ μορφὰς εὐπρεπεῖς, ταῖς καταδεδουλωμέναις αὐτοὺς προσεῖναι νομίζουσι, καὶ τοὺς [c] ἐξονειδίζειν ἐπιχειροῦντας, εἴ τις περὶ αὐτὰς ὑπάρχει σῖνος, ὡς βασκάνους καὶ συκοφάντας προβέβληνται· οὗτοί τε ὑπὸ τῆς μιᾶς ταύτης ἀρετῆς κεχαρωμένοι τὴν διάνοιαν, ἅπαντα καὶ τὰ μὴ προσόντα τῷ συγγραφεῖ μαρτυροῦσιν. ἃ γὰρ ἕκαστος εἶναι βούλεται περὶ τὸ φιλούμενόν τε καὶ θαυμαζόμενον ὑφ' ἑαυτοῦ, ταῦτα οἴεται. ὅσοι δὲ ἀδέκαστον τὴν διάνοιαν φυλάσσουσι, καὶ τὴν ἐξέτασιν τῶν λόγων ἐπὶ τοὺς ὀρθοὺς κανόνας ἀναφέρουσιν, εἴτε φυσικῆς τινος κρίσεως μετειληφότες, εἴτε καὶ [d] διδαχῆς ἰσχυρὰ τὰ κριτήρια κατασκευάσαντες, οὔτε ἅπαντα ἐπαινοῦσιν ἐπίσης, οὔτε πρὸς ἅπαντα δυσχεραίνουσιν· ἀλλὰ τοῖς μὲν κατορθώμασι τὴν προσήκουσαν μαρτυρίαν ἀπονέμουσιν· εἰ δέ τι διημάρτηται μέρος ἐν αὐτοῖς, οὐκ ἐπαινοῦσιν.

λε΄. [e] Οὔτ' οὖν ἐπὶ πάντων ἐγὼ τῶν ἐμαυτοῦ θεωρημάτων κανόνας ὑποτιθέμενος, οὔτε πρότερον ὤκνησα τὰ δοκοῦντά μοι φέρειν εἰς μέσον, οὔτε νῦν ἀποστρέψομαι. διδοὺς δὴ τὸ πρῶτον, ὥσπερ κατ' ἀρχὰς ἔφην, τὸ περὶ τὴν εὕρεσιν τοῦ συγγραφέως εὔστοχον, [f] (καὶ εἴτις ἄλλως προσυπείληφεν, εἴτε διὰ φιλονεικίαν, εἴτε δι' ἀναισθησίαν, ἁμαρτάνειν αὐτὸν οἰόμενος,) θάτερον οὐκέτι δίδωμι, τὸ περὶ τὰς οἰκονομίας αὐτοῦ τεχνικὸν, πλὴν ἐπ' ὀλίγων πάνυ δημηγοριῶν. ὁρῶ δὲ καὶ περὶ τὴν λέξιν ἐλαττώματα, περὶ ὧν ἤδη προείρηκα, πλεῖστα καὶ μέγιστα ταύταις συμβεβηκότα ταῖς ἰδέαις. καὶ γὰρ αἱ γλωττηματικαὶ καὶ ξέναι καὶ πεποιημέναι λέξεις ἐν ταύταις μάλιστα ἐπιπολάζουσι, καὶ τὰ πολύπλοκα καὶ ἀγκύλα καὶ βεβιασμένα σχήματα, πλεῖστα περὶ ταῦτα ἐστίν. εἰ δὲ τὰ εἰκότα ἔγνωκα, σύ τε κρινεῖς, καὶ τῶν ἄλλων ἕκαστος, ἐπὶ τὴν ἐξέτασιν ἀγόμενος τῶν ἔργων. ἔστω δὲ κατὰ ταῦτα ἡ

à natura vim habet; hæc accipit ab arte. Harum in altera, quæ ſcilicet plus habet à natura quam ab arte, quæque minus eget diſciplina, admirabilis ſane fuit Thucydides: affert enim, ac, velut ex uberrimo quodam fonte, ingentem ſententiarum & enthymematum acervum ſecum trahit; quæ quidem & exquiſita & peregrina & admirabilia ſunt. Illa vero pars altera quæ plus artis habet, quæque efficit ut illa altera etiam præſtantior eſſe videatur, multis in rebus in eo minor eſt quam par ſit. Quicunque autem eum plus æquo admirantur, atque ita ſtupent, ut nihil ab eis qui divino aliquo ſunt numine afflati differant, ii omnes propter enthymematum copiam id videntur facere. Quos ſiquis ita admoneat ac doceat, ut rationem afferant, cur hoc non ſuo loco ſit poſitum, illud vero non iis perſonis, quibus opus erat, accommodatum; item, non hæc hiſce rebus convenire, neque eo uſque progreſſum fieri debuiſſe; magnâ quidem eis moleſtiam afferet. * qui mihi ſane iis perſimiles videntur, qui incredibili alicujus rei aſpiciendæ cupiditate flagrant; quæ à furore non multum abeſt. Illi enim rei amatæ eas pulcritudines, quas egregiæ habent formæ, omnes ineſſe arbitrantur: ac, ſi quis eſt qui aliquod in ea vitium reprehendere conetur, ab eo, tanquam ab invido & calumniatore, ſibi cavent. Atque hi quidem, hac una virtute decepti, omnia, etiam ea quibus caret, huic ſcriptori attribuunt. neque id mirum. nam quæ quiſque illi, quod amat & admiratur, ineſſe vult, eadem re ipſa ineſſe arbitratur. At qui judicio ſunt minime depravato, & rationes ad rectas regulas examinant; (ſive id naturali quodam judicio faciunt; ſive † quod, ſtabilem judicandi rationem ſecuti, ita ſunt diſciplinis exculti) neque omnia ex æquo laudibus proſequuntur, neque ex omnibus offenſionem capiunt: ſed rebus bene & cum ratione adhibitis meritas laudes tribuunt; ea vero in quibus peccatum eſt, commendatione indigna arbitrantur.

XXXV. Quapropter, quod antea feci, ut omnibus meis commentationibus regulas quaſdam ſubjicerem; idem nunc faciam, ut, quæ mihi videntur, in medium proferam. Sicut igitur in prima parte, de qua initio dixi, quæ in inventione rerum conſpicitur, præclare hunc noſtrum ſcriptorem verſatum eſſe conceſſerim: ita altera in parte, quæ in collocationis ac diſtributionis arte conſumitur, eum excelluiſſe non facile dederim; niſi in perpaucis quibuſdam concionibus. quarum in verbis quoque vitia, de quibus antea dixi, plurima & maxima animadverto: ſiquidem inſunt in illis plurima cujuſque linguæ propria, & peregrina, ac facta vocabula; figuræ vero perplexæ, contortæ, coactæque non paucæ. Quam vero hæc, quæ attuli, rationi ſint conſentanea, tu, & quilibet alius, qui hæc ad rerum ipſarum examinationem accommodabit, judicare poterit. Exempla vero ita mihi apponenda

a Convenientius παραπθεὶς ut infra p.250.v.1. *Sylb.* *b* Scriptus liber habet ὁπόσοι, maſcu. genere: minus apte. *Sylb.* *c* Legendum videtur ἐξουδενίζειν; & mox πίνος pro σῖνος, vel etiam σπίλος. *Sylb.* *d* Rectius fortaſſe διδαχῇ, vel pluraliter διδαχαῖς. aut ſaltem poſt διδαχῆς diſtinguendum: ut referatur ille caſus ad participium μετειληφότες. *Sylb.* *e* In margine *Cod. Bodl.* ἱσ. τούτους ὄν. *f* Incluſa prætermiſſa ſunt à *Dudithio*: non videntur tamen eſſe ſupervacua. *Sylb.* * *Quibus ſane idem accidit quod iis, qui, qualiſcunque formæ aſpectu, tanto amore capiuntur, ut is parum à furore diſtet.* † *Quod etiam diſciplinis judicium confirmarunt, neque.*

ponenda ſtatui, ut, quæ optima judico, cum
iis conferam, quæ neque quod ad ipſam diſpo-
ſitionem, neque quod ad elocutionem attinet,
culpa vacent.

XXXVI. In *ſecundo* igitur *libro*, Lacedæ-
moniorum & ſociorum contra Platæenſes bel-
lum ſcripturus, ſubjungit miſſam à Platæen-
ſibus ad Archidamum, Lacedæmoniorum re-
gem, legationem, cum ille regionem vaſtare
ac diripere vellet. quo loco orationem, quam
veriſimile eſt ab utriſque habitam, perſonis il-
lis & rebus accommodatam, ac neque modum
excedentem neque infra modum ſubſiſten-
tem, affingit. ibi tum locutione pura admo-
dum, perſpicua, ac brevi, adhibitis aliis, quæ
in hoc genere requiruntur, virtutibus, uſus
eſt; tum, qui ex his enaſcitur, concentum
recte temperatum effecit, qui jucunditatem
omnem æquare poſſit. ‘Inſequente æſtate,
‘Peloponnenſes ſociique, non in Atticam, ſed
‘[a] adverſus Platæam cum exercitu venerunt,
‘duce Archidamo, Zeuxidami filio, Lacedæ-
‘moniorum rege. quem caſtra jam metatum,
‘ac regionem vaſtare cogitantem, miſſi pro-
‘tinus à Platæenſibus legati adiere, hiſq; ver-
‘bis allocuti ſunt’: “Archidame voſque La-
“cedæmonii, neque juſte neque è dignitate
“veſtra patrumque veſtrorum facitis, quod in
“agrum Platæenſem copias inducitis. Nam
“Pauſanias Lacedæmonius, Cleombroti filius,
“qui Græciam Medorum dominatu liberavit,
“cum iis Græcis qui pugnæ apud nos commiſ-
“ſæ ultro ſubiere diſcrimen, victimis in foro
“Platæenſi Jovi liberatori immolatis, convo-
“catiſque omnibus ſociis, & urbem & agrum
“Platæenſibus reddidit, uti ſuis legibus vive-
“rent, ne quis injuſte, neve dominandi cau-
“ſa, arma illis inferret: alioqui eos qui ade-
“rant ſocios pro viribus auxilio futuros. Hæc
“patres veſtri, virtutis ergo operæque ſtre-
“nue navatæ, dedere nobis. At vos contra
“quam illi agitis: qui cum Thebanis nobis in-
“feſtiſſimis, ad redigendos nos in ſervitutem,
“veniſtis. itaque deos, tum illos per quos tunc
“fœdus juratum eſt, tum veſtros patrios, &
“noſtros indigenas teſtati, dicimus vobis, ne-
“quod agro Platæenſi damnum inferatis, neve
“jusjurandum violetis, ſed noſtro nos jure,
“quemadmodum Pauſanias ſtatuit, vivere per-
“mittatis”. ‘Hæc tantum locutis Platæenſibus,
‘excepit Archidamus’: “Æqua dicitis, viri
“Platæenſes, ſi verbis facta reſpondebunt.
“Quemadmodum enim Pauſanias vobis, ut
“veſtris legibus vivatis, conceſſit: ita vos eo-
“rum libertatem, qui & periculorum & juriſ-
“jurandi vobis ea tempeſtate participes fue-
“runt, nunc vero Athenienſibus ſerviunt, ad-
“juvate: quorum cauſa, & ut cæterorum li-
“bertati conſulatur, tantus eſt apparatus, tan-
“tumque bellum excitatum. Cujus liberatio-
“nis ſi ſimul curam ſuſceperitis, ita maxime
“jusjurandum ſervaveritis: ſin minus, eadem
“quæ jam antea hortamur, otium agite, co-

παράθεσις αὐτῶν ἀντιπαρεξεταζομένων τοῖς ἄριστά μοι δο-
κοῦσιν ἔχειν τῶν οὔτε κατὰ τὰς οἰκονομίας κατορθουμένων, οὔτε
κατὰ τὴν φράσιν ἀνεγκλήτων.

λϛʹ. Ἐν μὲν οὖν ΤΗ ΔΕΥΤΕΡΑ ΒΙΒΛΩ ἐπὶ
Πλαταιὰς Λακεδαιμονίων τε καὶ τῶν συμμάχων ἔλα-
σιν ἀρξάμενος γράφειν, ὑποτίθεται, τοῦ βασιλέως
τῶν Λακεδαιμονίων Ἀρχιδάμου μέλλοντος δῃώσειν
τὴν γῆν, πρέσβεις παρὰ τῶν Πλαταιέων ἀφιγμένους
πρὸς αὐτὸν, καὶ λόγους ἀποδίδωσιν οὓς εἰκὸς ἦν ὑ-
πὸ ἀμφοτέρων εἰρῆσθαι τοῖς προσώποις πρέποντας, καὶ
τοῖς πράγμασιν οἰκείους· καὶ μήτε λείποντας τοῦ με-
τρίου, μήτε ὑπεραίροντας· λέξει τε κεκόσμηκεν αὐ-
τοὺς καθαρᾷ καὶ σαφεῖ καὶ συντόμῳ, καὶ τὰς ἄλλας
ἀρετὰς ἐχούσῃ· τήν τε ἁρμονίαν οὕτως ἔναυλον ἀποδέδω-
κεν ἅμα τοῖς ἡδίστοις παρεξετάζεσθαι· ‘Τοῦ δ’ ἐπιγιγνο-
‘μένου θέρους, οἱ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐς μὲν
‘τὴν Ἀττικὴν οὐκ ἐσέβαλον· ἐστράτευσαν δ’ ἐπὶ Πλά-
‘ταιαν. ἡγεῖτο δ’ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακε-
‘δαιμονίων βασιλεύς· καὶ καθίσας τὸν στρατὸν, ἔμελλε δῃ-
‘ώσειν τὴν γῆν. οἱ δὲ [a] Πλαταιεῖς, εὐθὺς πρέσβεις πέμ- 154
‘ψαντες πρὸς αὐτὸν, ἔλεγον τοιάδε· “Ἀρχίδαμε, καὶ
“Λακεδαιμόνιοι, οὐ δίκαια ποιεῖτε, οὐδὲ ἄξια [b] οὔθ’ ὑμῶν
“οὔτε πατέρων ὧν ἐστὲ, ἐς γῆν τὴν Πλαταιέων στρατεύ-
“οντες. Παυσανίας γὰρ ὁ Κλεομβρότου Λακεδαιμό-
“νιος, ἐλευθερώσας τὴν Ἑλλάδα ἀπὸ τῶν Μήδων, μετὰ Ἑλ-
“λήνων τῶν ἐθελησάντων ξυνάρασθαι τὸν κίνδυνον τῆς μάχης, ἣ
“παρ’ ἡμῖν ἐγένετο, θύσας ἐν τῇ Πλαταιέων ἀγορᾷ Διῒ ἐ-
“λευθερίῳ [c] ἱερὰ, καὶ ξυγκαλέσας πάντας τοὺς ξυμμάχους,
“ἀπεδίδου Πλαταιεῦσι, γῆν καὶ πόλιν τὴν σφετέραν ἔχοντας,
“αὐτονόμους οἰκεῖν, στρατεῦσαί τε μηδένα ποτὲ ἀδίκως ἐπ’
“αὐτοὺς, μηδ’ ἐπὶ δουλείᾳ· εἰ δὲ μὴ, ἀμύνειν τοὺς πα-
“ρόντας ξυμμάχους κατὰ δύναμιν. τάδε μὲν ἡμῖν πατέρες
“οἱ ὑμέτεροι ἔδοσαν, ἀρετῆς ἕνεκα, καὶ προθυμίας τῆς ἐν ἐκεί-
“νοις τοῖς κινδύνοις γενομένης. ὑμεῖς δὲ, τἀναντία [d] (ἐκεί-
“νοις) δρᾶτε· μετὰ γὰρ Θηβαίων τῶν ἡμῖν ἐχθίστων, ἐπὶ δου-
“λείᾳ τῇ ἡμετέρᾳ ἥκετε. μάρτυρας δὲ θεοὺς, τούς τε ὁρκίους
“τότε γενομένους ποιούμενοι, καὶ [e] τοὺς ἡμετέρους πατρῴους, καὶ
“ἡμετέρους ἐγχωρίους, λέγομεν ὑμῖν, γῆν τὴν Πλαταιΐδα μὴ
“ἀδικεῖν, μηδὲ παραβαίνειν τοὺς ὅρκους· ἐᾶν δὲ οἰκεῖν αὐτο-
“νόμους, καθάπερ Παυσανίας ἐδικαίωσε”. ‘τοσαῦτα εἰπόν-
‘των [f] (τῶν) Πλαταιέων, Ἀρχίδαμος ὑπολαβὼν εἶπεν’· “δί-
“καια λέγετε, ὦ ἄνδρες Πλαταιεῖς, ἢν ποιῆτε ὅμοια τοῖς
“λόγοις. καθάπερ γὰρ Παυσανίας ὑμῖν παρέδωκεν, αὐτοί τε
“αὐτονομεῖσθε, καὶ τοὺς ἄλλους ξυνελευθεροῦτε, ὅσοι μετα-
“σχόντες τῶν τότε κινδύνων, ὑμῖν τε ξυνώμοσαν, καὶ εἰσὶ νῦν ὑπ’ Ἀ-
“θηναίοις· παρασκευή τε τοσήδε καὶ πόλεμος γεγένηται αὐ-
“τῶν ἕνεκα καὶ τῶν ἄλλων ἐλευθερώσεως. ἧς μάλιστα μὲν με-
“τασχόντες, καὶ αὐτοὶ ἐμμείνατε τοῖς ὅρκοις· εἰ δὲ μὴ, ἅπερ
“καὶ τὸ πρότερον ἤδη προὐκαλεσάμεθα, ἡσυχίαν ἄγετε, νε-
μόμενοι

[a] In *Thucyd.* (p. 125. *Ed. Oxon.*) & hic & in ſeq. legitur Πλαταιῆς, vetere ſcilicet Atticiſmo; ut ſupra quoque p. 242. v. 5. κλῄσεις pro communi κλείσεις. *Sylb.* [b] Οὔτε ὑμῶν apud *Thucyd.* [c] Scriptus liber habet ἱερᾷ: quaſi pertineat ad ſubſtantivum ἀγορᾷ: cum tamen referendum ſit ad participium θύσας. *Sylb.* [d] Incluſum ἐκείνοις abeſt à vulg. editt. *Thucyd.* *Sylb.* [e] In eiſdem rectius legend. τοὺς ὑμετέρους, *veſtros*: ita ſcilicet ut prior locus tribuatur Lacedæmoniis, poſterior Platæenſibus: ſicut infra p. 251. v. 41. V. 38. in eiſdem editt. duplicato articulo legitur, τὴν γῆν τὴν Πλ. *Sylb.* [f] Incluſus articulus τῶν abeſt ab eiſdem editt. *Thucyd.*

“μόμενοι τὰ ὑμέτερα αὐτῶν· καὶ ἔστε μηδὲ μεθ' ἑτέρων· δέχεσθε δ' ἀμφοτέρους φίλους, ἐπὶ πολέμῳ δὲ μηδ' ἑτέρους. καὶ τάδε ἡμῖν [a] ἀρκέσει”. ‘ὁ μὲν Ἀρχίδαμος τοσαῦτα εἶπεν. οἱ δὲ Πλαταιῶν πρέσβεις, ἀκούσαντες ταῦτα, ἐσῆλθον ἐς τὴν πόλιν· καὶ τῷ πλήθει τὰ ῥηθέντα κοινώσαντες, ἀπεκρίναντο αὐτῷ· “Ὅτι ἀδύνατα σφίσιν εἴη ποιεῖν ἃ προκαλεῖται, ἄνευ Ἀθηναίων· παῖδες γὰρ σφῶν καὶ γυναῖκες παρ' ἐκείνοις εἴησαν. δεδιέναι δὲ καὶ [b] περὶ πάσῃ τῇ πόλει, μὴ ἐκείνων ἀποχωρησάντων, Ἀθηναῖοι ἐλθόντες σφίσιν οὐκ ἐπιτρέπωσιν· ἢ Θηβαῖοι, ὡς ἔνορκοι ὄντες, κατὰ τὸ ἀμφοτέρους δέχεσθαι, αὖθις σφῶν τὴν πόλιν πειράσωσι καταλαβεῖν”. ‘ὁ δέ, θαρσύνων αὐτούς, πρὸς ταῦτα ἔφη· “Ὑμεῖς δὲ πόλιν μὲν καὶ οἰκίας παράδοτε ἡμῖν τοῖς Λακεδαιμονίοις· καὶ γῆς ὅρους ἀποδείξατε, καὶ δένδρα ἀριθμῷ τὰ ὑμέτερα, καὶ ἄλλο εἴ τι δυνατὸν εἰς ἀριθμὸν ἐλθεῖν· αὐτοὶ δὲ μεταχωρήσατε ὅποι βούλεσθε, ἕως ἂν ὁ πόλεμος ᾖ· ἐπειδὰν δὲ παρέλθῃ, ἀποδώσομεν [c] (ὑμῖν ἃ ἂν παραλάβωμεν.) μέχρι δὲ τοῦδε ἕξομεν παρακαταθήκην, ἐργαζόμενοι καὶ φορὰν φέροντες, ἣ ἂν ὑμῖν μέλλῃ ἱκανὴ ἔσεσθαι”. ‘οἱ δέ, ἀκούσαντες, αὖθις ἐσῆλθον ἐς τὴν πόλιν, καὶ βουλευσάμενοι μετὰ τοῦ πλήθους, ἔλεξαν· “Ὅτι βούλονται ἃ προκαλεῖται, Ἀθηναίοις κοινῶσαι πρῶτον· καί, ἢν πείθωσιν αὐτούς, ποιεῖν ταῦτα”. ‘μέχρι δὲ τούτου σπείσασθαι σφίσιν ἐκέλευον, καὶ τὴν γῆν μὴ δῃοῦν. ὁ δ' ἡμέρας τε ἐσπείσατο ἐν αἷς εἰκὸς ἦν κομισθῆναι, καὶ τὴν γῆν οὐκ ἔτεμνεν. ἐλθόντες δὲ οἱ Πλαταιεῖς πρέσβεις ὡς τοὺς Ἀθηναίους, καὶ βουλευσάμενοι μετ' αὐτῶν, πάλιν ἦλθον ἀπαγγέλλοντες τοῖς ἐν τῇ πόλει τοιάδε· “Οὔτ' ἐν τῷ προτοῦ χρόνῳ, (ὦ) ἄνδρες Πλαταιεῖς, ἀφ' οὗ ξύμμαχοι ἐγενόμεθα, Ἀθηναῖοί φασιν ἐν οὐδενὶ ἡμᾶς προέσθαι ἀδικουμένους, οὔτε νῦν περιόψεσθαι, βοηθήσειν δὲ κατὰ δύναμιν· ἐπισκήπτουσί τε ὑμῖν πρὸς τῶν ὅρκων οὓς οἱ πατέρες ὤμοσαν, μηδὲν νεωτερίζειν περὶ τὴν ξυμμαχίαν”. ‘τοιαῦτα τῶν πρέσβεων ἀπαγγειλάντων, οἱ Πλαταιεῖς ἐβουλεύσαντο Ἀθηναίους μὴ προδιδόναι, ἀλλ' ἀνέχεσθαι καὶ γῆν τεμνομένην, [d] εἰ δέοι, ὁρῶντας, καὶ ἄλλο πάσχοντας ὅ,τι ἂν ξυμβαίνῃ· ἐξελθεῖν τε μηδένα ἔτι, ἀλλ' ἀπὸ τοῦ τείχους ἀποκρίνασθαι’, “Ὅτι ἀδύνατα σφίσι ποιεῖν ἐστὶν ἃ Λακεδαιμόνιοι προκαλοῦνται”. ‘ὡς δ' ἀπεκρίναντο, ἐντεῦθεν δὴ πρῶτον μὲν ἐς ἐπιμαρτυρίαν καὶ θεῶν καὶ ἡρώων τῶν ἐγχωρίων Ἀρχίδαμος ὁ βασιλεὺς κατέστη, λέγων ὧδε’· “Θεοί, ὅσοι γῆν τὴν Πλαταιΐδα ἔχετε, καὶ ἥρωες, ξυνίστορές ἐστε, ὅτι οὔτε τὴν ἀρχὴν ἀδίκως ἐκλιπόντων τῶνδε προτέρων τὸ ξυνώμοτον, ἐπὶ γῆν τήνδε ἤλθομεν· ἐν ᾗ οἱ πατέρες ἡμῶν εὐξάμενοι ὑμῖν Μήδων ἐκράτησαν, καὶ παρέσχετε αὐτὴν εὐμενῆ
155 ἐναγωνίσασθαι τοῖς Ἕλλησιν· οὔτε νῦν, ἤν τι ποιῶμεν, ἀδικήσομεν· προκαλεσάμενοι γὰρ πολλὰ καὶ εἰκότα, οὐ τυγχάνομεν. ξυγγνώμονες δὲ ἔστε, τῆς μὲν ἀδικίας κολάζεσθαι τοῖς

“lentes quæ veſtra ſunt; neque ab altera parte ſtate; & tamen utroſque pro amicis recipite, neutros pro hoſtibus. Hæc ſat nobis erunt”. ‘Quæ cum eſſet locutus, tum legati Platæenſes, ingreſſi in urbem, re cum multitudine communicata, Archidamo reſponderunt’; “Facere ſe non poſſe quæ ſuaderentur, ſine Athenienſibus; apud quos ipſorum liberi atque uxores eſſent. timere quoque ſe toti civitati; ne ſcilicet illis digreſſis, aut Athenienſes venirent, talia non permiſſuri; aut Thebani, qui & ipſi jurejurando continebantur, dum utraque pars recipitur, rurſus urbem occupare conarentur”. ‘Ille, bene eos ſperare jubens, reſpondit’: “Vos vero urbem ac domos nobis Lacedæmoniis tradite; fines agri demonſtrate; arbores,& quidquid aliud poteſt ſub numerum cadere, numerate: ipſi, quocunque libuerit, abſcedite, quoad bellum fuerit: quo confecto, reddemus vobis quæcunque acceperimus, habebimuſque ea interim pro depoſito; colemus, vobiſque fructus, qui ad uſum vitæ ſuppetant, reddemus”. ‘Ea cum audiſſent legati, urbem iterum ingreſſi, habito cum multitudine conſilio, dixerunt’; “Ea quæ ſuadentur, velle ſe prius communicare cum Athenienſibus; accepturoſque conditionem, ſi illis perſuaſerint”. ‘Interea juſſerunt ſibi fidem dari, in ipſorum regione nihil eos hoſtiliter acturos. atque ita, interpoſita fide, intra quot dies credibile fuit acceptum iri reſponſum, à regionis vaſtatione temperarunt. Aditis Athenienſibus legati Platæenſes, agitatoque cum eis conſilio reverſi, hæc civitati renunciant’: “Neque in ſuperiori tempore, viri Platæenſes, ex quo ſocietatem inivimus, inquiunt Athenienſes,ſe permiſiſſe vobis injuriam fieri, neque nunc eſſe neglecturos, ſed pro viribus adjuturos: voſque jurisjurandi admonent, quo veſtri ſe patres obſtrinxere, nihil novi ſe, quod ad ſocietatem attineat, tentaturos”. ‘Hæc cum legati renunciaſſent, Platæenſes ſtatuerunt, non prodere Athenienſes,ſed reſiſtere, &, ſi etiam res ferat, ut vel ante ipſorum oculos agri vaſtentur, atque alia, quæcunque accidant, pati; neque ullum emittere, ſed de muro reſpondere’, “Ea quæ Lacedæmonii vellent,ſe facere nullo modo poſſe”. ‘Qui cum reſpondiſſent, tum vero Archidamus rex adſtitit, deos atque heroes indigenas his verbis conteſtatus’: “Dii, quicunque terram Platæenſem tenetis, voſque heroes, teſtes eſtote; jurejurando prius ab iſtis violato, non incipere à nobis injuriam, quod in hanc terram venimus, in qua patres noſtri, votis apud vos nuncupatis, Medos ſuperaverunt, quamque vos propitii adjutricem Græcis in prælio præſtitiſtis; neque nunc nos, ſi quid faciemus, injuſte facturos. nam multis eos juſtiſque rationibus adhortati, nihil profecimus. Itaque concedite, ut & ii, qui injuriam “facere

a Apud *Thucyd.* p. 126. ἀρέσκει: & mox Πλαταιέων. Πλαταιῶν certe, licet ita contractum dici poſſit ut Πειραιῶς ex Πειραιέως, tamen nec in præced. uſurpatum fuit, (p. 250. v. 27. & 41.) nec in ſequentibus. *Sylb.* *b* Vulgati libri tranſpoſito articulo habent, περὶ τῇ πάσῃ πόλει. Pro εἴησαν vero, quod præcedit, haud ſcio an rectius legerimus ἦσαν: vel γὰρ pro ὅτι poſita eſt. *Sylb.* *c* Incluſa abſunt à vulg. ed. itidemque ὦ v. 30. *d* Vulgati libri habent εἰ δεῖ. *Sylb.*

“facere cœperunt, pœnas luant; & qui “merito punire parant, pœnas ſumere queant. ‘His deos precatus, militi bellum permittit’.

XXXVII. Jam huic tam præclare tamque exquiſite conſcripto dialogo, alium quendam, quem iſti ejus characteris admiratores maxime extollunt, conferamus. is autem eſt eo in loco, ubi, miſſo ab Athenienſibus contra Melios, Lacedæmoniorum coloniam, exercitu, ante initium belli, ducem Athenienſium ait ad colloquium cum Meliorum ſenatoribus veniſſe, in quo de belli ſolutione ageretur: cumque ab ipſo ſtatim initio, quæ ab utriſque dicta ſunt, ex ſua perſona indicaſſet, in uno tantum reſponſo narratione uſus continua, poſt toto dialogo perſonas inducit loquentes, & veluti drama quoddam efficit. ita autem Athenienſis exorditur: *Ἐπειδὴ οὐ πρὸς τὸ πλῆθος οἱ λόγοι γίγνονται, ὅπως δὴ μὴ ξυνεχεῖ ῥήσει οἱ πολλοὶ ἐπαγωγὰ καὶ ἀνέλεγκτα ἐσάπαξ ἀκούσαντες ἡμῶν, ἀπατηθῶσι· γινώσκομεν γὰρ ὅτι τοῦτο φρονεῖ ἡμῶν ἡ ἐς τοὺς ὀλίγους ἀγωγὴ, ὑμεῖς οἱ καθήμενοι, ἔτι ἀσφαλέστερον ποιήσετε καθ' ἕκαστον· καὶ μηδ' ὑμεῖς ἐν ὀλίγῳ, ἀλλὰ πρὸς τὸ μὴ δοκοῦν ἐπιτηδείως λέγεσθαι, εὐθὺς ὑπολαμβάνοντες, κρίνετε· καὶ πρῶτον εἰ ἀρέσκει ὡς λέγομεν, εἴπατε. οἱ δὲ τῶν Μηλίων ξύνεδροι ἀπεκρίναντο· Ἡ μὲν ἐπιείκεια τοῦ διδάσκειν καθ' ἡσυχίαν ἀλλήλους, οὐ ψέγεται· τὰ δὲ τοῦ πολέμου, παρόντα ἤδη, καὶ οὐ μέλλοντα, διαφέροντα αὐτοῦ φαίνεται.* Atque hoc poſtremum ſi quis inter figuras numerare velit, is profecto, nihil obſtat, quin omnes etiam ſolœciſmos, qui vel in numeris vel in caſibus admittuntur, figuras dicendi vocet. Nam cum præpoſuiſſet, *ἡ μὲν ἐπιείκεια τοῦ διδάσκειν καθ' ἡσυχίαν, οὐ ψέγεται*: deinde ad ſingulare & nominativum accommodaſſet pluralia, *τὰ δὲ τοῦ πολέμου, παρόντα ἤδη, καὶ οὐ μέλλοντα*: his ſingulare & genitivum *αὐτοῦ* conjungit; ſive quis articulum vocet id demonſtrativum, ſive pronomen. nam neque ſi cum fœminino & ſingulari atque nominativo jungatur, neque ſi cum plurali ac neutro accuſativo, aptam efficiet compoſitionem & ordinem. Quod ſi ita dixiſſet, aptam & congruam otationem effeciſſet: *Ἡ μὲν ἐπιείκεια τοῦ διδάσκειν καθ' ἡσυχίαν ἀλλήλους, οὐ ψέγεται· τὰ δὲ τοῦ πολέμου, παρόντα ἤδη, καὶ οὐ μέλλοντα, διαφέροντα αὐτῆς φαίνεται.* His ſubjungit enthymema, non inepte quidem excogitatum, ſed obſcure explicatum: “Si de “futuris igitur conjecturam facturi, aut aliud “quidpiam de ſalute civitatis deliberaturi “conveniſtis, diverſum ab eo quod adeſt, “quodque cernitis, ſilebimus: ſin autem ad “hoc veniſtis; loquemur.

XXXVIII. Poſtea, narratione ſublata, dialogum ſcenicis collocutionibus ſimilem efficit; Athenienſem ita reſpondentē inducens: “Conſentaneum eſt ac venia dignum, homines “in tali conditione conſtitutos multa dicere, “& multa conſilia mutare”. Dein, ſpecioſam eſſe illam propoſitionem opinatus, ait: “Et “conventus quidem hic de ſalute noſtra in-“ſtitutus eſt; & eo modo, ſi videtur, verba

“ὑπάρχουσι προτέροις, τῆς δὲ τιμωρίας τυγχάνειν τοὺς “ἐπιφέρουσι νομίμως”. ‘τοσαῦτα ἐπιθειάσας, καθίστη ἐς ‘πόλεμον τὸν στρατόν’.

λζʹ. Ἐξετάσωμεν δὴ παρὰ τοῦτον τὸν διάλογον, οὕτω καλῶς καὶ περιττῶς ἔχοντα, ἕτερον αὐτοῦ διάλογον, ὃν μάλιστα ἐπαινοῦσιν οἱ τοῦ χαρακτῆρος τούτου θαυμασταί. ὑποτίθεται δὴ στρατιὰν ἀποστειλάντων Ἀθηναίων ἐπὶ Μηλίους Λακεδαιμονίων ἀποίκους, πρὶν ἄρξασθαι τοῦ πολέμου, τὸν στρατηγὸν τῶν Ἀθηναίων, καὶ τοὺς πρεσβύτας τῶν Μηλίων, [a] συνιόντας εἰς λόγους περὶ καταλύσεως τοῦ πολέμου· καὶ κατ' ἀρχὰς μὲν ἐκ τοῦ ἰδίου προσώπου δηλοῖ τὰ λεχθέντα ὑφ' ἑκατέρων· ἐπὶ μιᾶς δ' ἀποκρίσεως τοῦτο τὸ σχῆμα διατηρήσας, τὸ διηγηματικὸν, προσωποποιεῖ τὸν μετὰ ταῦτα διάλογον καὶ δραματικόν. ἄρχεται δ' ὁ Ἀθηναῖος τάδε λέγων· “Ἐπειδὴ οὐ πρὸς τὸ πλῆθος οἱ λό-“γοι γίγνονται, ὅπως δὴ μὴ ξυνεχεῖ ῥήσει οἱ πολλοὶ ἐπαγωγὰ “καὶ ἀνέλεγκτα ἐσάπαξ ἀκούσαντες ἡμῶν, ἀπατηθῶσι· γι-“νώσκομεν γὰρ ὅτι τοῦτο φρονεῖ [b] ἡμῶν ἡ ἐς τοὺς ὀλίγους ἀγω-“γή, ὑμεῖς οἱ καθήμενοι, ἔτι ἀσφαλέστερον ποιήσετε καθ' “ἕκαστον· καὶ μηδ' ὑμεῖς ἐν ὀλίγῳ, ἀλλὰ πρὸς τὸ μὴ δοκοῦν “ἐπιτηδείως λέγεσθαι, εὐθὺς ὑπολαμβάνοντες, κρίνετε· καὶ “πρῶτον εἰ ἀρέσκει ὡς λέγομεν, εἴπατε”. ‘οἱ δὲ τῶν Μη-‘λίων ξύνεδροι ἀπεκρίναντο· “Ἡ μὲν ἐπιείκεια τοῦ διδάσκειν “καθ' ἡσυχίαν ἀλλήλους, οὐ ψέγεται· τὰ δὲ τοῦ πολέμου, πα-“ρόντα ἤδη, καὶ οὐ μέλλοντα, διαφέροντα αὐτοῦ φαίνεται”. τοῦτο τὸ τελευταῖον εἴ τις ἐν τοῖς σχήμασιν ἀξιώσει φέρειν, οὐκ ἂν φθάνοι πάντας τοὺς σολοικισμοὺς, ὅσοι γίγνονται παρὰ τοὺς ἀριθμοὺς καὶ παρὰ τὰς πτώσεις, σχήματα καλῶν. προθεὶς γὰρ, “Ἡ μὲν ἐπιείκεια τοῦ διδάσκειν καθ' ἡσυχίαν, οὐ ψέγεται”· ἔπειτα συνάψας τῷ ἑνικῷ καὶ κατὰ τὴν ὀρθὴν [c] ἐξενηνεγμένα πτῶσιν, “Τὰ δὲ τοῦ πολέμου, παρόντα ἤδη, καὶ οὐ μέλλοντα”, ἐπιζεύγνυσι τούτοις ἑνικὸν, καὶ κατὰ τὴν γενικὴν ἐσχηματισμένον πτῶσιν, εἴτε ἄρθρον δεικτικὸν βούλεταί τις αὐτὸ καλεῖν εἴτε ἀντονομασίαν, τὸ “Αὐτοῦ”· τοῦτο δὲ οὔτε τῷ θηλυκῷ καὶ ἑνικῷ καὶ ὀνομαστικῷ προσαρμοττόμενον σώζει τὴν ἀκολουθίαν, οὔτε τῷ πληθυντικῷ καὶ οὐδετέρῳ κατὰ τὴν αἰτιατικὴν ἐσχηματισμένῳ πτῶσιν. ἦν δ' ἂν ὁ λόγος κατάλληλος, οὕτως σχηματισθείς· “Ἡ μὲν ἐπιείκεια τοῦ διδάσκειν καθ' “ἡσυχίαν ἀλλήλους, οὐ ψέγεται· τὰ δὲ τοῦ πολέμου παρόντα “ἤδη, καὶ οὐ μέλλοντα, διαφέροντα αὐτῆς φαίνεται”. τούτοις ἐπιτίθησιν ἐνθύμημα νενοημένον μὲν οὐκ ἀτόπως, ἡρμηνευμένον δὲ οὐκ εὐπαρακολουθήτως· “Εἰ μὲν τοίνυν ὑπονοίας τῶν “μελλόντων λογιούμενοι, ἢ ἄλλο τι, ξυνήκετε, ἢ ἐκ τῶν πα-“ρόντων, καὶ ὧν ὁρᾶτε, περὶ σωτηρίας [d] βουλεύσαντες τῇ πό-“λει, παυοίμεθ' ἄν· εἰ δ' ἐπὶ τοῦτο, λέγοιμεν ἄν”.

ληʹ. Καὶ μετὰ τοῦτο ἀποστρέψας τοῦ διηγήματος τὸν διάλογον ἐπὶ τὸ δραματικὸν, ταῦτα τὸν Ἀθηναῖον ἀποκρινόμενον ποιεῖ· “Εἰκὸς μὲν καὶ ξυγγνώμη, ἐν τῷ τοιῷδε καθεστῶτας, “ἐπὶ πολλὰ καὶ λέγοντας καὶ δοκοῦντας τρέπεσθαι”. ἔπειτα εὐσχήμονα πρόθεσιν ὑποθέμενος· “Ἡ μέντοι ξύνοδος καὶ “περὶ σωτηρίας ἥδε πάρεστι· καὶ ὁ λόγος, ᾧ προκα-

“λεῖσθε

a Συνόντας pro συνιόντας ſupra quoque notatum, ad p. 68. v. 28. *Sylb.* b In vulgatis *Thucydidis* editionibus (p. 340. *Ed. Oxon.*) habemus ὑμῶν ἡ ἐς τοὺς ὀλίγους ἀγωγή· ὑμεῖς οἱ καθήμενοι ἔτι ἀσφαλέστερον ποιήσατε. καθ' ἕκαστον γὰρ καὶ μηδ' ὑμεῖς ἑνὶ λόγῳ, ἀλλὰ πρ. *Sylb.* c Rectius ἐξενηνεγμένα. Rectius etiam v. 33. ἀντωνυμίαν. *Sylb.* d Rectius βουλεύσοντες in vulg. editt. *Thucydidis*: ſicut ſcilicet v. præced. λογιούμενοι. Mox etiam rectius fortaſſis ἐπὶ τούτῳ. *Sylb.*

a Vulg.

"λεῖσθε τρόπῳ, εἰ δοκεῖ, γιγνέσθω". πρῶτον μὲν εὕρηκεν ἐνθύμημα οὔτε τῆς Ἀθηναίων πόλεως ἄξιον, οὔτ' ἐπὶ τοιούτοις πράγμασιν ἁρμόττον λέγεσθαι· "Ἡμεῖς τοίνυν "οὔτε αὐτοὶ μετ' ὀνομάτων καλῶν, ὡς ἢ δικαίως τὸν Μῆδον "καταλύσαντες ἄρχομεν, ἢ ἀδικούμενοι νῦν ἐπεξερχόμε-"θα, λόγων μῆκος ἄπιστον παρέξομεν". τοῦτο δέ ἐστιν ὁμολογοῦντος τὴν ἐπὶ τοὺς μηδὲν ἀδικοῦντας στρατείαν· ἐπειδὴ περὶ μηδετέρου τούτων βούλεται τὸν λόγον ὑπέχειν. οἷς ἐπιτίθησιν· "Οὔθ' ὑμᾶς ἀξιοῦμεν, ἢ ὅτι Λακεδαιμο-"νίων ἄποικοι ὄντες, οὐ ξυνεστρατεύσατε· ἢ ὡς ἡμᾶς οὐδὲν "ἠδικήκατε, λέγοντας, οἴεσθαι πείσειν· τὰ δυνατὰ δ' "ἐξ ὧν ἑκάτεροι ἀληθῶς φρονοῦμεν διαπράσσεσθαι". τοῦτο δέ ἐστιν· "Ὑμεῖς μὲν ἀληθῶς φρονοῦντες ὅτι ἀδι-"κεῖσθε, τὴν ἀνάγκην φέρετε, καὶ εἴκετε· ἡμεῖς δέ, οὐκ "ἀγνοοῦντες ὅτι ἀδικοῦμεν ὑμᾶς, τῆς ἀσθενείας ὑμῶν πε-"ριεσόμεθα τῇ βίᾳ". ταῦτα γὰρ ἑκατέροις δυνατά. ἔπειτα τὴν αἰτίαν ἀποδοῦναι τούτου βουληθεὶς, ἐπιλέγει· "Ὅτι δίκαια μὲν ἐν τῷ ἀνθρωπείῳ λόγῳ ἀπὸ τῆς ἴσης "ἀνάγκης κρίνεται· δυνατὰ δὲ οἱ προὔχοντες πράσσουσι, καὶ "οἱ ἀσθενεῖς ξυγχωροῦσι.

λθʹ. Βασιλεῦσι γὰρ βαρβάροις ταῦτα πρὸς Ἕλληνας ἥρμοττε λέγειν· Ἀθηναίοις δὲ πρὸς τοὺς Ἕλληνας, οὓς ἠλευθέ-
156 ρωσαν ἀπὸ τῶν Μήδων, οὐκ ἦν προσήκοντα εἰρῆσθαι, ὅτι τὰ δίκαια τοῖς ἴσοις ἐστὶ πρὸς ἀλλήλους, τὰ δὲ βίαια τοῖς ἰσχυροῖς πρὸς τοὺς ἀσθενεῖς. ὀλίγα δὲ πρὸς ταῦτα τῶν Μηλίων ἀποκρινομένων, ὅτι καλῶς ἂν ἔχοι τοῖς Ἀθηναίοις προνοεῖν τοῦ δικαίου, μὴ καὶ αὐτοί ποτε, σφαλέντες ὑπ' ἄλλων, ἐν ἐξουσίᾳ γένωνται, καὶ τὰ αὐτὰ πάσχωσιν ὑπὸ τῶν ἰσχυροτέρων, ἀποκρινόμενον ποιεῖ τὸν Ἀθηναῖον· "Ἡμεῖς δὲ τῆς ἡμετέρας "ἀρχῆς, ἢν καὶ [a] παυθῇ, οὐκ ἀθυμοῦμεν τὴν τελευτήν". τούτου δ' αἰτίαν ἀποδιδόντα, ὅτι κἂν καταλύσωσιν αὐτῶν Λακεδαιμόνιοι τὴν ἀρχὴν, συγγνώμην ἕξουσι, καὶ αὐτοὶ πολλὰ τοιαῦτα πράσσοντες. θήσω δὲ καὶ τὴν λέξιν αὐτοῦ· "Οὐ γὰρ οἱ "ἄρχοντες ἄλλων, ὥσπερ καὶ Λακεδαιμόνιοι, οὗτοι δεινοὶ τοῖς "νικηθεῖσι". τοῦτο δὲ ὅμοιόν ἐστι τῷ λέγειν, ὅτι παρὰ τοῖς τυράννοις οὐ μισοῦνται τύραννοι. οἷς ἐπιτίθησι· "Καὶ περὶ "μὲν τούτου ἡμῖν ἀφείσθω κινδυνεύεσθαι". ὃ μόλις ἂν εἴποι τῶν καταποντιστῶν τις ἢ λῃστῶν, οὐδὲν ἐπιστρεφόμενος τῆς μετὰ ταῦτα τιμωρίας, χαριζόμενος ἐπιθυμίαις ἐν τῷ παρόντι. ἔπειτ' ὀλίγων τῶν μεταξὺ γενομένων ἀμοιβαίων, καὶ τῶν Μηλίων εἰς ἐπιεικῆ συγκαταβαινόντων αἵρεσιν· "Ὥστε δὲ ἡσυχίαν ἄγοντας ἡμᾶς, φίλους μὲν εἶ-"ναι ἀντὶ πολεμίων, ξυμμάχους δὲ μηδετέρων, οὐκ ἂν "δέξαισθε"; ἀποκρινόμενον ποιεῖ τὸν Ἀθηναῖον· "Οὐ γὰρ "τοσοῦτον ἡμᾶς βλάπτει ἡ ἔχθρα ὑμῶν, ὅσον ἡ φιλία μὲν, "ἀσθενείας· τὸ δὲ μῖσος, δυνάμεως παράδειγμα τοῖς "ἀρχομένοις δηλούμενον". ἐνθύμημα πονηρὸν καὶ σκολιῶς ἀπηγγελμένον. εἰ δὲ τὸ νόημα βούλεταί τις αὐτοῦ σκοπεῖν, τοιόνδε ἐστίν· "Ὅτι φιλοῦντες μὲν ἡμᾶς, ἀσθε-"νεῖς φαίνεσθαι πρὸς τοὺς ἄλλους ποιήσετε· μισοῦντες "δὲ, ἰσχυρούς. οὐ γὰρ ζητοῦμεν εὐνοίᾳ τῶν ὑπηκόων ἄρ-"χειν, ἀλλὰ φόβῳ.

"fiant, quo ſtatuiſtis". Primum quidem argumentationẽ adhibuit, quæ nec Athenienſium civitate erat digna, nec præſentibus rebus accommodata: "Nobis igitur nec verborum ele-"gantia nec longa & incredibili oratione "utendum, ut oſtendamus, vel jure penes nos, "qui Medum ejecerimus, imperium eſſe, vel "nulla injuria nos laceſſitos nunc ad bellum "exire". Hæc oratio confitentis eſt bellum innocentibus illatum; cum de neutro iſtorum rationem reddere velit. quibus addit: "Nec "volumus vos cogitare, ſi dicatis Lacedæmo-"niorum vos eſſe coloniam, ideoque nobiſ-"cum non militaſſe, neque ullam nobis in-"juriam feciſſe, nobis perſuaſuros: ſed ea ab "utriſque dicenda judicamus, quibus effici "poſſit ut inter nos tranſigatur". Hoc ſane eſt: "Vos, cum certo ſciatis injuria vos affici, "neceſſitatem perferte, ac redite. nos contra, "cum non ignoremus * injuriam nos inferre "imbecillitati veſtræ, per vim erimus ſuperio-"res. Hæc enim utrique poſſunt evenire". Deinde cauſſam hujus afferre volens, addit: "Ju-"ſta quidem humana ratione ea judican-"tur, quæ à pari neceſſitate: poſſibilia vero "ſuperiores faciunt, inferiores admittunt.

XXXIX. Hæc ad Græcos oratio barbaris regibus fortaſſe convenire potuiſſet: Athenienſes ſane ad Græcos,† quorum auxilio è Medorum manibus erepti eſſent, minime dicere decebat, *nim.* juſta quæ ſunt, æqualium eſſe; quæ vero per vim, ea potentioribus adverſus imbecilles eſſe licita. Quibus cum Melii paucis reſpondiſſent, recte Athenienſes facere, qui juſtorum curam gererent, ne, ſiquando ipſi quoque lapſi, in aliorum poteſtatem venirent, eademque à potentioribus pati cogerentur, Athenienſem facit reſpondentem: ‡"Nos "vero ſi noſtri imperii finem conſpiciamus, "ejus interitu non deſpondebimus". cujus rei cauſſam affert; etiamſi Lacedæmonii imperium ipſorum diſſolvant, veniam tamen daturos eſſe; quod & ipſi multa faciant talia. Sed ponam etiam ipſa ejus verba: "Neque enim "qui aliis imperant, ut Lacedæmonii, durio-"res ſunt in victos". Hoc non abſimile eſt ab eo, ac ſiquis dicat, tyrannos tyrannis odio non eſſe. Deinde addit: "Sed de his noſtrum "eſto periculum". Hoc vix pirata aliquis aut prædo dixiſſet, qui, modo in præſentia animo obſequatur ſuo, de futuro nihil laborat. Deinde paucis ultro citroque dictis, cum Melii æquas conditiones admitterent, dum inquiunt: "Itaque ſi nos quieſcamus, & vobis pro "inimicis amici ſimus, neque ad alteram par-"tem accedamus, nonne nos recipietis"? Athenienſem ita facit reſpondentem: "Inimi-"citia enim veſtra minus mali affert, quam "boni amicitia. ſiquidem amicitia, imbecilli-"tatis; odium vero, potentiæ noſtræ, qui "præſumus, argumentũ ſubditis præbet." Prava ſane argumentatio atque implicite prolata. ſi quis ejus ſententiam exquirat, talis erit: "Si enim amici, nobis ſitis, aliis imbecilles "eſſe videbimur: ſin inimici, potentes judica-"bimur. Non enim, ut diligentibus nos, ſed "ut metuentibus imperemus, quærimus.

XL. His

[a] Vulg. *Thucyd.* Edd. habent παυσθῇ & mox v. 32. poſt αὐτοὶ diſtinguunt, non ante. * Al. *injuriam nos inferre, imbecillitate veſtra per vim erimus ſuperiores.* † *Quos à Perſis liberaverant, m.* ‡ *Nos vero de imperii noſtri fine, etiamſi antiquetur, non deſpondemus animum.*

XL. His iterum affectata quædam & amara reſpondentes ſubjungit Melios: communem eſſe inimicis belli fortunam; ei vero qui ceſſerit, nullam ſpem ſupereſſe; inter agendum autem, adhuc melioris fortunæ ſpem eſſe. ad quæ Athenienſis reſpondet quædam ipſis labyrinthis intricatiora de ſpe, quæ plerumque homines fallere ſoleat; ita ad verbum: "Spes, periculi ſolatium, etſi damno afficiat, "non evertit eos qui illa ſupra modum utuntur; ſed ab eis, qui omnia in fortunæ aleam "projiciunt, (infert enim detrimentum è ſua "natura, & cognoſcitur poſtquã decepti ſunt) "à qua qui ſibi cavet jam eam expertus, non "errat. Quod vobis, qui infirmi eſtis, quorumque ſalus in diſcrimen adducta, ne velitis evenire; neque iis ſimiles eſſe, qui, cum "adſit facultas, quatenus homini licet, evadendi, omni aperta ſpe deſtituti, ad obſcura ſe conferunt, ad divinationem, & oracula, & ſiqua ſunt hujus generis, quæ homines ſpe illectos perdunt". Hæc ſane neſcio qua ratione quis ita laudet, ut ea ab Athenienſium ducibus dici oportuiſſe putet; homines *nimirum*, quam in diis ſpem collocant, ea ſæpe fruſtrari, neque eos aut oraculis, aut vaticiniis opus habere, qui vitam piam ac juſtam delegerint. Nam ſiqua alia eſt Athenienſium laus, hæc ſane in primis eſt maxima, quod omnibus in rebus, atque adeo temporibus omnibus, deos duces ſecuti ſunt, neque ſine vaticiniis aut oraculis quidquam perficere voluerunt. Cum vero Melii dicerent, ſe, præter deorum auxilium, Lacedæmoniis quoque confidere; quos, ſi nullam aliam ob rem, certe ob verecundiam affuturos crederent, neque paſſuros ut propinqui perirent; ita Athenienſem imprudentius inducit reſpondentem: "Quod ad benevolentiam erga deos attinet, exiſtimamus nos aliis inferiores non "eſſe. nihil enim extra humanum inſtitutum, "vel quod ſpectat ad opinionem de diis, vel "ad voluntatem erga nos ipſos, aut ſentimus "aut agimus. Nam quod ad numina pertinet, "de illis, quod opinione receptum eſt, ſentimus: de hominibus ita naturæ neceſſitate "comparatum, ut is victo dominetur, qui vicerit". Horum quidem ſententia perdifficilis: etiam iis, qui non mediocrem in ejus ſcriptis uſum habere videntur. huc tamen ejus oratio videtur ſpectare; numen quidem ipſum opinione omnes cognoſcere; quæ vero inter homines juſta, communi naturæ lege judicari; quæ ſuadet, ut iis aliquis imperet, quos ſubjicere poteſt. Sunt & iſta à primis illis diverſa: quæ quidem neque Athenienſes, neque vero Græcos ipſos dicere decebat.

XLI. Multa præterea afferre poſſem, quæ prudentiam vafram præ ſe ferunt. ſed ne præter modum excreſcat oratio, ultimam tantum partem additamenti loco aſſumam, quam Athenienſis à conventu diſcedens dixit: "Cæterũ quæ vos vehementiſſime ſperatis, futura "ſunt; at præſens breve eſt tempus, ad ea ſu-

μ'. Τούτοις ἕτερα προσθεὶς πάλιν ἀμοιβαῖα περίεργα καὶ πικρὰ, τοὺς Μηλίους ὑποτίθεται λέγοντας, ὅτι κοινὰς τὰς τύχας φέρουσιν οἱ πολέμιοι· καὶ τὸ μὲν εἶξαι εὐθὺς, ἀνέλπιστον, μετὰ δὲ τοῦ δρωμένου ἔτι καὶ στῆναι ἐλπὶς ὀρθῶς. πρὸς ταῦτα ποιεῖ τὸν Ἀθηναῖον ἀποκρινόμενον λαβυρίνθων σκολιώτερα περὶ τῆς ἐλπίδος, ἐπὶ κακῷ τοῖς ἀνθρώποις γινομένης, κατὰ λέξιν οὕτως γράφων· "Ἐλπὶς δὲ, "κινδύνῳ παραμύθιον οὖσα, τοὺς μὲν ἀπὸ περιουσίας "χρωμένους αὐτῇ, κἂν βλάψῃ, οὐ καθεῖλε· τοῖς δὲ "ἐσάπαν τὸ ὑπάρχον [a] ἀναῤῥίπτουσι· δάπανος γὰρ φύσει, "ἅμα τε γινώσκεται σφαλέντων· καὶ ἐν ὅτῳ ἔτι φυλάξεταί τις αὐτὴν γνωρισθεῖσαν, οὐκ ἐλλείπει. ὃ ὑμεῖς, "ἀσθενεῖς τε καὶ ἐπὶ ῥοπῆς μιᾶς ὄντες, μὴ βούλεσθε "παθεῖν, μηδ' ὁμοιωθῆναι τοῖς πολλοῖς, οἷς παρὸν ἀνθρωπείως ἔτι σώζεσθαι, ἐπειδὰν πιεζομένους αὐτοὺς ἐπιλείπωσιν αἱ φανεραὶ ἐλπίδες, ἐπὶ τὰς ἀφανεῖς καθίστανται, μαντικήν τε καὶ χρησμοὺς, καὶ ὅσα τοιαῦτα "μετ' ἐλπίδων λυμαίνεται". Ταῦτα οὐκ οἶδα πῶς ἄν τις ἐπαινέσειεν ὡς προσήκοντα εἰρῆσθαι στρατηγοῖς Ἀθηναίων, ὅτι λυμαίνεται τοὺς ἀνθρώπους ἡ παρὰ τῶν θεῶν ἐλπὶς, καὶ οὔτε χρησμῶν ὄφελος οὔτε μαντικῆς τοῖς εὐσεβῆ καὶ δίκαιον προῃρημένοις τὸν βίον. εἰ γάρ τι ἄλλο τῆς Ἀθηναίων πόλεως, καὶ τοῦτ' ἐν πρώτοις ἐστὶν ἐγκώμιον, τὸ περὶ παντὸς πράγματος, καὶ ἐν παντὶ καιρῷ τοῖς θεοῖς ἕπεσθαι, καὶ μηδὲν ἄνευ μαντικῆς καὶ χρησμῶν ἐπιτελεῖν. λεγόντων τε τῶν Μηλίων ὅτι σὺν τῇ παρὰ τῶν θεῶν βοηθείᾳ, καὶ Λακεδαιμονίοις πεποίθασιν, οὓς εἰ καὶ διὰ μηδὲν ἄλλο, διὰ γοῦν τὴν αἰσχύνην αὐτοῖς βοηθήσειν, καὶ οὐ [b] περιόψεσθαι καὶ συγγενεῖς ἀπολλυμένους· αὐθαδέστερον ἔτι τὸν Ἀθηναῖον ἀποκρινόμενον εἰσάγει· "Τῆς μὲν τοίνυν πρὸς τὸ θεῖον "εὐμενείας οὐδ' ἡμεῖς οἰόμεθα λελείψεσθαι· οὐδὲν γὰρ "ἔξω τῆς ἀνθρωπείας, τῶν μὲν, ἐς τὸ θεῖον νομίσεως, "τῶν δὲ, ἐς σφᾶς αὐτοὺς βουλήσεως, δικαιοῦμεν ἢ "πράσσομεν. ἡγούμεθα γὰρ τό,τε θεῖον δόξῃ, [c] τἀνθρώπειόν τε σαφῶς διὰ παντὸς ὑπὸ φύσεως ἀναγκαίως, "οὗ ἂν κρατῇ, ἄρχειν". Τούτων ὁ νοῦς ἐστὶ μὲν δυσείκαστος, καὶ τοῖς πάνυ δοκοῦσιν ἐμπείρως τοῦ ἀνδρὸς ἔχειν· κατακλείεται δ' εἰς τοιοῦτόν τι πέρας· ὅτι τὸ μὲν θεῖον δόξῃ γινώσκουσιν ἅπαντες, τὰ δὲ πρὸς ἀλλήλους δίκαια τῷ κοινῷ τῆς φύσεως κρίνουσι νόμῳ· οὗτος δ' ἐστὶν, ἄρχειν ὧν δύνηταί τις κρατεῖν. [d] ἀκόλουθα καὶ ταῦτα τοῖς πρώτοις, καὶ οὔτε Ἀθηναίοις οὔτε Ἕλλησι πρέποντα εἰρῆσθαι.

μα'. Πολλὰς δυνάμενος [e] εἰς διανοίας παραθέσθαι, τὸ συνετὸν ἐχούσας πονηρόν· ἵνα μὴ πλείων ὁ λόγος γένοιτό μοι τοῦ μετρίου, τὴν τελευταίαν ἔτι προσθήκην παραλήψομαι μόνην· ἣν ἀπαλλαττόμενος ἐκ τοῦ συλλόγου ὁ Ἀθηναῖος εἴρηκεν· "Ἀλλ' ὑμῶν τὰ μὲν [f] ἰσχυρὰ ὄντα ἐλπιζόμενα μέλλεται· τὰ δὲ παρόντα, βραχέα πρὸς τὰ

"ἤδη

[a] Apud *Thucyd.* (p. 443. *Ed. Oxon.*) ἀναῤῥιπτοῦσι, more verborum circumflexorum. *Sylb.* [b] Forſan legendum περιόψεσθαι τοὺς συγγ. ἀπολλ. V. 32. ſcriptus liber habet λελήψεσθαι: minus convenienter. *Sylb.* [c] In vulgatis *Thucydidis* τὸ ἀνθρώπειον ſine contractione. & ſeq. v. φύσεως ἀναγκαίας, eodem caſu. *Sylb.* [d] Ανακόλουθα legiſſe videtur *Interpres.* [e] Pro εἰς non dubito quin legendum ſit ἔτι, ut ſupra p. 152. v. 45. *Sylb.* [f] In vulgatis *Thucydidis* libris pro ἰσχυρὰ ὄντα habemus ἰσχυρότατα: & mox ὑπάρχοντα pro παρόντα. *Sylb.*

a Vulg.

157 „ἤδη ἀντιτεταγμένα [a] περιγενέσθαι. πολλήν γε ἀλογίαν φησὶ „τῆς διανοίας παρέχετε, εἰ μὴ μεταστησάμενοι (ἔτι) ἡμᾶς, „ἄλλό τι τῶνδε σωφρονέστερον γνώσεσθε". οἷς ἐπιτίθησιν· „Οὐ „γὰρ δὴ ἐπί γε τὴν ἐν τοῖς αἰσχροῖς καὶ προὔπτοις κινδύνοις „πλεῖστα διαφθείρουσαν ἀνθρώπους αἰσχύνην τρέψεσθε. πολ„λοῖς γὰρ προορωμένοις ἔτι ἐς οἷα φέρονται, τὸ αἰσχρὸν καλού„μενον, ὀνόματος ἐπαγωγοῦ δυνάμει ἐπεσπάσατο ἡσσηθεῖσι „τοῦ ῥήματος, ἔργῳ ξυμφοραῖς ἀνηκέστοις ἑκόντας περιπεσεῖν". τούτων τῶν λόγων ὅτι μὲν οὔτε αὐτὸς μετεῖχεν ὁ συγγραφεύς, τῷ συλλόγῳ τότε παρατυχών, οὔτε τῶν διαθεμένων αὐτοὺς Ἀθηναίων ἢ Μηλίων ἤκουσεν, ἐξ ὧν αὐτὸς ἐν τῇ πρὸ αὐτῆς βίβλῳ περὶ αὐτοῦ γράφει, μαθεῖν ῥᾴδιον· ὅτι μετὰ τὴν ἐν Ἀμφιπόλει στρατηγίαν ἐξελαθεὶς τῆς πατρίδος, πάντα τὸν λοιπὸν τοῦ πολέμου χρόνον ἐν Θρᾴκῃ διέτριψε. λείπεται δὴ σκοπεῖν εἰ τοῖς τε πράγμασι προσήκοντα, καὶ τοῖς συνεληλυθόσιν εἰς τὸν σύλλογον προσώποις ἁρμόττοντα πέπλακε διάλογον ἐχόμενον, [b] ὡς εἴ τις τὰ τῆς συμπάσης γνώμης τῶν ἀληθῶς λεχθέντων, ὡς αὐτὸς ἐν ΤΩ ΠΡΟΟΙΜΙΩ τῆς ἱστορίας προείρηκεν. ἆρ' οὖν ὥσπερ τοῖς Μηλίοις οἰκεῖοι καὶ προσήκοντες ἦσαν οἱ περὶ τῆς ἐλευθερίας λόγοι, παρακαλοῦντες τοὺς Ἀθηναίους μὴ καταδουλοῦσθαι πόλιν Ἑλληνίδα μηδὲν ἁμαρτάνουσαν εἰς αὐτούς, οὕτως καὶ τοῖς Ἀθηναίων στρατηγοῖς πρέποντες ἦσαν οἱ περὶ τῶν δικαίων, μήτ' ἐξετάζειν ἐῶντες, μήτε λέγειν, ἀλλὰ τὸν τῆς βίας καὶ πλεονεξίας νόμον εἰσάγοντες, καὶ ταῦτ' εἶναι δίκαια τοῖς ἀσθενέσιν ἀποφαίνοντες, ὅσα τοῖς ἰσχυροτέροις δοκεῖ; ἐγὼ μὲν γὰρ οὐκ οἴομαι τοῖς ἐκ τῆς εὐνομωτάτης πόλεως ἐπὶ τὰς ἔξω πόλεις ἀποστελλομένοις ἡγεμόσι ταῦτα προσήκειν λέγεσθαι· οὐδ' ἂν ἀξιώσαιμι τοὺς μὲν μικροπολίτας καὶ μηδὲν ἔργον ἐπιφανὲς ἀποδειξαμένους Μηλίους, πλέονα τοῦ καλοῦ ποιεῖσθαι πρόνοιαν ἢ τοῦ ἀσφαλοῦς, καὶ πάντα ἑτοίμους εἶναι τὰ δεινὰ ὑποφέρειν, ἵνα μηδὲν ἄσχημον ἀναγκασθῶσι πράττειν· τοὺς δὲ προελομένους τήν τε χώραν καὶ τὴν πόλιν ἐκλιπεῖν κατὰ τὸν Περσικὸν πόλεμον Ἀθηναίους, ἵνα μηδὲν αἰσχρὸν ὑπομείνωσιν ἐπίταγμα, τῶν ταῦτα προαιρουμένων ὡς ἀνοήτων κατηγορεῖν. οἴομαι δ' ὅτι κἂν εἴ τινες ἄλλοι παρόντων Ἀθηναίων ταῦτα ἐπεχείρουν λέγειν, ἐπαχθῶς ἤνεγκαν ἂν οἱ τὸν κοινὸν βίον ἐξημερώσαντες. ἐγὼ μὲν δὴ διὰ ταύτας τὰς αἰτίας οὐκ ἐπαινῶ τὸν λόγον τοῦτον, ἀντιπαρεξετάζων τὸν ἕτερον. ἐν ἐκείνῳ μὲν γάρ, Ἀρχίδαμος ὁ Λακεδαιμόνιος δίκαιά τε προκαλεῖται τοὺς Πλαταιεῖς, καὶ λέξει κέχρηται καθαρᾷ καὶ σαφεῖ, καὶ οὐδὲν ἐχούσῃ [d] σχῆμα βεβασανισμένον οὐδὲ ἀνακόλουθον· ἐν τούτῳ δέ, οἱ φρονιμώτατοι τῶν Ἑλλήνων αἴσχιστα μὲν ἐνθυμήματα φέρουσιν, ἀηδεστάτῃ δ' αὐτὰ περιλαμβάνουσι λέξει· εἰ μὴ ἄρα μνησικακῶν ὁ συγγραφεὺς τῇ πόλει διὰ τὴν καταδίκην, ταῦτα τὰ ὀνείδη κατεσκέδασεν αὐτῆς, ἐξ ὧν ἅπαντες μισήσειν αὐτὴν ἔμελλον. ἃ γὰρ οἱ προεστηκότες τῶν πόλεων, καὶ τηλικαύτας ἐξουσίας πιστευόμενοι, φρονεῖν τε καὶ λέγειν πρὸς τὰς πόλεις ὑπὲρ τῆς αὐτῶν [e] πατρίδος, ταῦτα κοινὰ ὑπο-

„peranda quæ præſto ſunt. magnamque de„claratis amentiam, niſi, nobis iterum ſemo„tis, aliud prudentius decernatis. Quibus ſubjungit: „Non enim vos ad verecundiam, „quæ hominibus in fœdis & apertis pericu„lis exſtitit plerumque pernicioſa, converte„tis. multos enim proſpicientes quo ferantur, „id quod turpe vocatur, nominis allicientis „vi adduxit, ut, victi verbo, re in calamita„tes graviſſimas ſponte prolaberentur". Quod vero horum ſermonum minime fuerit particeps Thucydides, cum neque ipſi conventui interfuerit, neque quæ ab Athenienſibus aut Meliis dicerentur, audiverit, ex iis quæ ipſe præcedente libro commemorat, facile eſt cognoſcere. nam, poſtquam in urbe Amphipoli dux fuiſſet, ejectus ex patria, per reliquum belli tempus in Thracia vixit. Reſtat ergo, ut conſideremus an vel rebus ipſis, vel perſonis ad id colloquium convenientibus, aptum dialogum finxerit; cum ejus fuerit muneris, ſic ut in ipſo hiſtoriæ *proœmio* ſe facturum profitetur, ut quæ vera eſſent, diceret. Num igitur, ſicuti illa Meliis de libertate oratio conveniebat, qua Athenienſes admonebant ne civitatem Græcam, quæ nihil mali admiſiſſet, ſervire cogerent; ita & illa altera Athenienſium ducibus erat accommodata, qui de rebus juſtis nec quærere nec dicere permittebant, ſed, violentiæ atque avaritiæ legem invehentes, ea demum juſta eſſe dicebant in imbecilliores, quæ potentioribus viderentur? Equidem ducibus, ab optime conſtituta rep. ad exteras civitates miſſis, hanc orationem minime dignam arbitror. Neque vero placet ut Melii, parvæ civitatis incolæ, qui nihil illuſtre præſtiterunt, majorem dignitatis quam ſecuritatis rationem habuiſſe, ac, nequid indignum facere cogerentur, ad graviſſima perferenda prompti fuiſſe videantur: Athenienſes vero, qui Perſico bello & civitatem & regionem relinquere quam turpi alicui mandato obtemperare malebant, Meliorum ſtultitiam reprehendant; qui idem, quod ipſi ante feciſſent, ſibi proponerent. Exiſtimo equidem, ſi quis hæc coram Athenienſibus, qui vitam communem ad elegantiorem cultum traduxerunt, dicere aggreſſus eſſet, ejus orationem ipſis futuram fuiſſe permoleſtam. His ſane adductus, hanc orationem cum illa altera conferens, minime laudo nam in illa Archidamus Lacedæmonius ad ea quæ juſta eſſent, Platæenſes hortatur, dictione utens pura, & dilucida, quæque nullam dicendi figuram habeat vel coactam vel inconſequentem: in hac vero, Græcorum ſapientiſſimi turpiſſimas ſententias maxime injucunda oratione comprehendunt; niſi forte Thucydidem odio, quod eum ejeciſſent, hac labe civitatem ſuam aſperſiſſe dicamus, ut omnibus eam inviſam redderet. quæ enim civitatum principes, quibus rerum ſumma concredita, & ſentire & dicere de ſua patria apud alias civitates conſueverunt,

a Vulgatæ *Thucydidis* editiones habent περιγίγνεσθαι: & mox πολλήν τι. Ex eiſdem v. 2. addita eſt incluſa particula ἔτι. *Sylb.* *b* Vitiatus eſt locus. paulo melior lectio hæc eſſet; λεγόμενον ὡς εἴ τι μετὰ τῆς συμπάσης γνώμης καὶ ἀληθείας (ut infra p. 161. juxta *Ed. Sylb.*) λεχθείη, *quod ſcilicet colloquium ita haberetur, ac ſi quid ſerio animi ſtudio & vere diceretur.* Sed, ut verum fatear, ea lectio mihi non ſatisfacit. *Sylb.* *c* Et ταῦτα ferri poteſt, & ταὐτὰ reponi. *Sylb.* *d* Convenientius σχῆμα βεβιασμένον, ut p. 256. v. 10. & ſupra p. 249. v. 48. *Sylb.* *e* Poſt πατρίδος deeſt verbum εἰώθασιν, εἰσάγονται, vel aliud ſimile. *Sylb.*

a Scriptus

ſueverunt, ea omnes communia arbitrantur eſſe ejus civitatis quæ eos legaſſet. Sed de dialogis quidem hactenus.

XLII. Ex concionibus vero illam admiratus ſum, in *primo libro* Athenis à Pericle habitam, in qua agitur ne Lacedæmoniis Athenienſes cedant: cujus hoc eſt initium: "Sententiam equidem eandem ſemper retineo, "Athenienſes, ne Lacedæmoniis cedamus". quæ,ſi ſententias ſpectemus, divine eſt enunciata;ſi vero compoſitionē partiū,& figurarū non cohærentium & coactarum mutationes, minime auribus eſt moleſta, omneſq; virtutes, quæ in concionibus uſurpantur, adhibitas in ea videmus. Eodem modo ſuſpicio illam Niciæ ducis concionem Athenis habitam, qua de mittenda in Siciliam expeditione agit: & epiſtolam ab eodem ad Athenienſes miſſam; in qua, cum morbo laboraret, auxilium & ſucceſſorem ſibi dari poſtulat: item exhortationem illam, qua ante poſtremum prælium navale uſus eſt ad milites: & conſolationem illam, cum, amiſſis triremibus omnibus, exercitum terreſtri itinere vellet abducere; ac ſiquæ ſunt aliæ ejus generis conciones, puræ ac dilucidæ, & ad veras contentiones accommodatæ. Illam profecto Platæenſium reſponſionem ſupra omnes, quæ ſeptem libris continentur, admiratus ſum; non aliam ob cauſſam magis, quam quod nullis fucatis & curioſe conquiſitis, ſed veris & naturalibus coloribus ſit depicta. Sententiæ in ea ſunt commiſerationibus plenæ; ipſa vero dictio minime aures offendit: compoſitio jucunda, figuræ rebus in primis aptæ. Atque hæc quidem ſunt è Thucydide ad imitationem aſſumenda, quæ hiſtoriam ſcribentibus propoſita eſſe debent.

XLIII. Illam vero Periclis orationem in *ſecundo libro*, (qua reſpondet Athenienſibus ad iracundiam commotis, quod eis, ut bellum ſuſciperent, perſuaſiſſet) non plane totam probo: neque vero illas quæ *tertio libro* à Theone & Diodoto de Mitylenæorum civitate ſunt habitæ: neque Hermocratis Syracuſani ad Camarinæos: neque Euphemi Athenienſis legati, quæ huic eſt adverſaria: neque alias, quæ his ſunt conſimiles, conciones laudo. alias præterea, quæ ad eandem dicendi formam ſunt elaboratæ, nunc enumerare non placet. Sed ne cui videar res dicere, quas demonſtrare nequeam, cum multa alia, quibus fidem orationi meæ facerem, afferre queam; ne tamen longius excurrat oratio, duabus concionibus ero contentus, Periclis defenſione, & Hermocratis ad Camarinæos Athenienſium urbis accuſatione.

XLIV. Ac Pericles quidem hæc: "Veſtra "in me indignatio, cum cauſſas minime "ignorarem, non fuit inexſpectata: atque "ea gratia concionem convocavi, ut in me"moriam revocem, ac reprehendam, ſiqua in "re immerito mihi ſuccenſetis, aut rebus ceditis adverſis". Hæc quidem Thucydidi, de hoc viro ſcribenti, ab hiſtorica dicendi figura minime abhorrent; ſed Pericli, ad iracundia

λαμβάνουσιν ἅπαντες εἶναι τῆς ἀποστελλούσης πόλεως αὐτούς. καὶ περὶ μὲν τῶν διαλόγων ἅλις.

μβʹ. Τῶν δημηγορικῶν λόγων τεθαύμακα μὲν τὴν ἐν τῇ ΠΡΩΤΗ ΒΙΒΛΩ ῥηθέντα ἐν Ἀθήναις [a] ὑπὸ Περικλέους περὶ τοῦ μὴ εἴκειν Λακεδαιμονίοις, τὴν ἔχοντα τήνδε τὴν ἀρχήν· "Τῆς μὲν γνώμης, ὦ Ἀθηναῖοι, ἀεὶ τῆς αὐτῆς ἔχο"μαι, μὴ εἴκειν Πελοποννησίοις"· ὡς καὶ τοῖς ἐνθυμήμασιν ἡρμηνευμένον δαιμονίως, καὶ οὔτε κατὰ τὴν σύνθεσιν τῶν μορίων, οὔτε κατὰ τὴν ἐξαλλαγὴν τῶν σχηματισμῶν τῶν ἀνακολούθων καὶ βεβιασμένων ἐνοχλοῦντα τὰς ἀκοάς, πάσας δὲ περιειληφότα τὰς ἀρετὰς ὁπόσαι γίγνονται περὶ δημηγορικούς· καὶ τοὺς ὑπὸ Νικίου τοῦ στρατηγοῦ ῥηθέντας ἐν Ἀθήναις ὑπὲρ τῆς εἰς Σικελίαν στρατείας· τήν τε πεμφθεῖσαν ὑπὸ αὐτοῦ τοῖς Ἀθηναίοις ἐπιστολήν, ἐν ᾗ χρήζει συμμαχίας ἄλλης καὶ διαδόχου, κάμνων τὸ σῶμα ὑπὸ νόσου· καὶ τὴν παράκλησιν τῶν στρατιωτῶν, ἣν ἐποιήσατο πρὸ τῆς τελευταίας ναυμαχίας· καὶ τὸν παραμυθητικὸν λόγον, ὅτε πεζῇ τὴν στρατιὰν ἔμελλεν ἀπάγειν, ἀπολωλεκὼς τὰς τριήρεις ἁπάσας· καὶ εἴ τινες εἰσὶν ἄλλαι τοιαῦται δημηγορίαι καθαραὶ καὶ σαφεῖς, καὶ εἰς τοὺς ἀληθινοὺς ἀγῶνας ἐπιτήδειοι. ὑπὲρ ἁπάσας δὲ τὰς ἐν ταῖς ἑπτὰ βίβλοις φερομένας, τὴν Πλαταιέων ἀπολογίαν τεθαύμακα, παρ᾽ οὐδὲν οὕτως ἕτερον, ὡς τὸ μὴ βεβασανίσθαι μηδὲ [b] κατεπιτηδεῦσθαι, ἀληθεῖ δέ τινι καὶ φυσικῷ κεκοσμῆσθαι χρώματι. τά τε γὰρ ἐνθυμήματα πάθους ἐστὶ μεστά, καὶ ἡ λέξις οὐκ ἀποστρέφουσα τὰς ἀκοάς· 158 ἥ τε γὰρ σύνθεσις εὐεπής, καὶ τὰ σχήματα τῶν πραγμάτων ἴδια. ταῦτα δὴ τὰ Θουκυδίδου ζηλωτὰ ἔργα, καὶ ἀπὸ τούτων τὰ μιμήματα τοῖς ἱστοριογραφοῦσιν [c] ὑποτίθεται λαμβάνειν.

μγʹ. Τὴν δ᾽ ἐν τῇ ΔΕΥΤΕΡΑ ΒΙΒΛΩ, Περικλέους ἀπολογίαν, ἣν ὑπὲρ αὑτοῦ διετίθετο, τραχυνομένων Ἀθηναίων ὅτι τὸν πόλεμον ἔπεισεν αὐτοὺς ἀναλαβεῖν, οὐχ ὅλην ἐπαινῶ· οὐδὲ τὰς περὶ τῆς Μιτυληναίων πόλεως δημηγορίας, ἃς διέθετο Κλέων καὶ Διόδοτος ἐν τῇ ΤΡΙΤΗ ΒΙΒΛΩ· οὐδὲ τὴν Ἑρμοκράτους τοῦ Συρακουσίου πρὸς Καμαριναίους· οὐδὲ τὴν Εὐφήμου τοῦ πρεσβευτοῦ τῶν Ἀθηναίων τὴν ἐναντίαν ταύτης· οὐδὲ τὰς ὁμοίας ταύταις. οὐ γὰρ ἀνάγκη πάσας ἐξαριθμεῖσθαι τὰς εἰς τὸν αὐτὸν κατεσκευασμένας τῆς διαλέκτου χαρακτῆρα. ἵνα δὲ μὴ δόξῃ τις φάσεις ἀναποδείκτους με λέγειν, πολλὰς παρέχεσθαι πίστεις δυνάμενος, δυσὶν ἀρκεσθήσομαι δημηγορίαις, ἵνα μὴ μακρὸς ὁ λόγος γένηται, τῇ Περικλέους ἀπολογίᾳ, καὶ τῇ Ἑρμοκράτους πρὸς Καμαριναίους κατηγορίᾳ κατὰ τῆς Ἀθηναίων πόλεως.

μδʹ. Ὁ μὲν οὖν Περικλῆς ταῦτα λέγει· [d] "Καὶ προσ"δεχομένῳ μοι τὰ τῆς ὀργῆς ὑμῶν ἐς ἐμὲ γεγένηται· "αἰσθάνομαι γὰρ τὰς αἰτίας· καὶ ἐκκλησίαν τούτου ἕνε"κα ξυνήγαγον, ὅπως ὑπομνήσω καὶ μέμψωμαι εἴ τι "μὴ ὀρθῶς ἢ ἐμοὶ χαλεπαίνετε, ἢ ταῖς ξυμφοραῖς εἴκετε. ταῦτα Θουκυδίδῃ μέν, γράφοντι περὶ τοῦ ἀνδρὸς ἐν ἱστορικῷ σχήματι, προσήκοντα ἦν· Περικλεῖ δέ, ἀπολο-

γουμένῳ

a Scriptus liber habet ὑπὲρ Περικλέους. ſed ὑπὸ legendum eſſe, ſatis declarant iſta *Thucydidis* (p. 78. *Ed. Oxon.*) καὶ παρελθὼν Περικλῆς ὁ Ξανθίππου, παρῄνει τοιάδε. *Sylb.* b Nota hic (inquit *Sylb.*) κατεπιτηδεῦσθαι, ſine augmento; ut ſupra οἰκοφθορημένης, p. 231. v. 48. at non item infra p. 161. & 172. juxta *Ed. Sylb.* c Rectius plur. ὑποτίθενται, *præcipiunt*: ſc. *Thucydidis* admiratores. *Sylb.* d Locus apud *Thucyd.* eſt p. 117. *Ed. Oxon.*

a Thucyd.

γνωμένῳ πρὸς ἠρεθισμένον ὄχλον, οὐκ ἦν ἐπιτήδεια εἰρῆσθαι· καὶ ταῦτα ἐν ἀρχαῖς τῆς ἀπολογίας, πρὶν ἑτέροις τισὶν ἀπομειλίξασθαι λόγοις τὰς ὀργὰς τῶν εἰκότως ἐπὶ ταῖς συμφοραῖς ἀχθομένων, τετμημένης μὲν ὑπὸ Λακεδαιμονίων τῆς κρατίστης γῆς, πολλοῦ δὲ κατὰ τὸν λοιμὸν ἀπολωλότος ὄχλου, τὴν δ' αἰτίαν τῶν κακῶν τούτων τοῦ πολέμου παρεσχηκότος, ὃν ὑπ' ἐκείνου πεισθέντες ἀνεδέξαντο. σχῆμά τε οὐ τοῦτο τῇ διανοίᾳ πρεπωδέστατον ἦν τὸ ἐπιτιμητικόν, ἀλλὰ τὸ παραιτητικόν. οὐ γὰρ ἐρεθίζειν προσῆκε τὰς τῶν ὄχλων ὀργὰς τοὺς δημηγοροῦντας, ἀλλὰ πραΰνειν. τούτοις ἐπιτίθησι διάνοιαν, ἀληθῆ μὲν καὶ δεινῶς ἀπηγγελμένην, οὐ μήν τοι γε τῷ παρόντι καιρῷ χρησίμην· "Ἐγὼ γὰρ ἡγοῦμαι, φησί, πόλιν [a]πλείω ξύμπασαν ὀρθουμένην ὠφελεῖν τοὺς ἰδιώτας, ἢ καθ' ἕκαστον τῶν πολιτῶν εὐπραγοῦσαν, ἀθρόαν δὲ σφαλλομένην. καλῶς μὲν γὰρ φερόμενος ἀνὴρ τὸ καθ' ἑαυτόν, διαφθειρομένης τῆς πατρίδος, οὐδὲν ἧσσον ξυναπόλλυται· κακοτυχῶν δὲ ἐν εὐτυχούσῃ, πολλῷ μᾶλλον διασώζεται". εἰ μὲν γὰρ ἰδίᾳ τινὲς ἐβλάπτοντο τῶν πολιτῶν, εὐτύχει δὲ τὸ κοινόν, καλῶς ταῦτ' ἔλεγεν· ἐπεὶ δ' ἐν ταῖς ἐσχάταις συμφοραῖς ἦσαν ἅπαντες, οὐκέτι καλῶς. οὐδὲ γὰρ ἡ περὶ τοῦ μέλλοντος ἐλπίς, ὅτι ταῦτα πρὸς ἀγαθοῦ τῇ πόλει γενήσεται τὰ δεινά, βέβαιον εἶχέν τι· ἀφανὲς γὰρ ἀνθρώπῳ τὸ μέλλον· καὶ πρὸς τὰ παρόντα, τὰς περὶ τῶν ἐσομένων γνώμας αἱ τύχαι τρέπουσι.

με'. Τούτοις ἐπιτίθησιν ἔτι φορτικωτέραν διάνοιαν, καὶ ἥκιστα τῷ παρόντι καιρῷ πρέπουσαν· "Καί τοι ἐμοὶ τοιούτῳ ἀνδρὶ ὀργίζεσθε, ὃς οὐδενὸς οἴομαι ἥσσων εἶναι γνῶναί τε τὰ δέοντα, καὶ ἑρμηνεῦσαι ταῦτα· φιλόπολίς τε, καὶ χρημάτων κρείσσων". θαυμαστὸν γὰρ εἰ Περικλῆς, ὁ μέγιστος τῶν τότε ῥητόρων, ἠγνόει τοῦτο, ὃ μηδεὶς ἂν τῶν ἐχόντων μέτριον νοῦν ἠγνόησεν, ὅτι πανταχῇ μὲν οἱ μὴ τεταμιευμένως ἐπαινοῦντες τὰς ἑαυτῶν ἀρετάς, ἐπαχθεῖς τοῖς ἀκούουσι φαίνονται· μάλιστα δ' ἐν τοῖς πρὸς τὰ δικαστήρια καὶ τὰς ἐκκλησίας ἀγῶσιν· ἐν οἷς γε δὴ μὴ περὶ τιμῆς αὐτοῖς ἐστιν, ἀλλὰ περὶ τιμωριῶν ὁ κίνδυνος. τότε γὰρ οὐκ ἐπαχθεῖς μόνον εἰσὶν ἑτέροις, ἀλλὰ καὶ δυστυχεῖς ἑαυτοῖς, ἐμβαλόμενοι τὸν παρὰ τῶν πολλῶν φθόνον. ὅταν δὲ τοὺς αὐτοὺς τις ἔχῃ δικαστάς τε καὶ κατηγόρους, μυρίων αὐτῷ δεῖ δακρύων τε καὶ οἴκτων εἰς αὐτὸ [b]τοῦτο, πρῶτον τὸ μετ' εὐνοίας ἀκουσθῆναι. ὁ δὲ δημαγωγὸς οὐκ ἀρκεῖται τούτοις· ἀλλ' ἐπεξεργάζεταί τε τούτοις, καὶ μεταφράζει τὰ ῥηθέντα. "Ὅ τε γὰρ γνούς, φησί, καὶ μὴ σαφῶς διδάξας, ἐν ἴσῳ εἰ καὶ μὴ ἐνεθυμήθη· ὅ,τε ἔχων ἀμφότερα, τῇ δὲ πόλει δύσνους, οὐκ ἂν ὁμοίως τι οἰκείως φράζοι. προσόντος δὲ καὶ τοῦδε, χρήμασι δὲ νικωμένου, τὰ ξύμπαντα τούτου ἑνὸς ἂν πωλοῖτο". οὐδ'. οἶδ' εἴ τις ἂν ὁμολογήσειεν, ὥσπερ ἀληθῆ ταῦτα ἦν, οὕτως

permotum populum verba facienti, ſeque purganti, minime conveniunt; præſertim in ipſo ſtatim defenſionis exordio, antequam aliis ſermonibus eorum animos demulceret, qui non abs re ob calamitates moleſtia afficiebantur; ut quorum regionis pars optima à Lacedæmoniis vaſtata eſſet, ac peſtilentia non exigua multitudo interiiſſet; quique harum calamitatum cauſſam, quod ipſe belli ſuſcipiendi auctor exſtitiſſet, in eum conferebant. præterea non hac dicendi figura, quæ reprehenſionem habet, ſed, qua deprecatio continetur, utendum erat. non enim multitudinis irritare iracundiam, ſed mitigare, oratoris eſt munus. Deinde adjungit his ſententiam quandam, veram illam quidem, graviterque prolatam, ſed præſenti tempori minime utilem: "Exiſtimo equidem, ſi civitas recte ſe habeat, multo cum civibus melius agi privatim, quam ſi cives ſinguli bene habeant, civitas vero univerſa male ſit affecta. Nam cum patria evertitur, is, cui privatim bene eſt, non minus tamen & ipſe una cum ea interit; qui autem fortuna non optima utitur, is in patria fortunata, multo magis incolumis ſervatur". Siqui cives privatim detrimenta caperent, ipſa vero reſp. præclare ſe haberet; hæc bene dixiſſet: ſed, cum omnes in extremis calamitatibus eſſent, non jam bene eum dixiſſe conſtat. Neque vero de rebus futuris ulla ſpes, quæ has calamitates in melius commutaret, quidquam firmi habebat: ignotum enim eſt hominibus id quod futurum eſt: ac fortuna quidem ſententias noſtras, quæ de futuris ſunt, ad præſentium rerum ſtatum convertit.

XLV. His ſententiam multo etiam moleſtiorem addit, minimeque præſenti negotio congruentem: "Atqui mihi, tali viro, ſucceſetis, qui nullo me inferiorem eſſe arbitror, vel in pernoſcendis, vel in explicandis rebus opportunis, vel in amanda patria, vel in pecunia contemnenda". Mirum mihi ſane videatur, Periclem, omnium qui tunc eſſent oratorum maximum, ignoraſſe, quod mediocribus etiam ingeniis ſatis eſt exploratum; eorum, qui ſe præter modum laudant, orationem auditoribus eſſe permoleſtam: idque in illis præſertim concionibus, quæ vel in judiciis, vel ad populum habentur; in quibus non de præmiis, ſed de pœnis eſt periculum. tum enim non ſolum aliis moleſtiam, verum etiam, dum multitudinis invidiam concitant, infortunium ſibi parant. Nam qui eoſdem & judices habet & accuſatores; in hoc ipſo, ut eos ad audiendum ſibi benevolos reddat, infinitis lacrymis ei opus eſt. ſed hic noſter orator hiſce rebus non contentus, curioſius rem perſequitur, & quæ dicta ſunt latius explicat. "Nam qui (inquit) rem intelligit, neq; tamen clare docet, perinde eſt ac ſi ne cogitaſſet quidem. qui vero utrumque habet, nec eſt reip. ſtudioſus, is eodem pacto nihil è re dicet. cui autem hoc etiam ineſt, ſi is à pecunia vincatur, pro hac una cuncta habebit venalia". Neſcio equidem, an aliquis, ut hæc vera eſſe fatebitur,

a *Thucydidis* editiones habent πλέω, ſine ι. p. 117. *Ed. Oxon. Sylb.* b Diſtinctio poſt τοῦτο eſt etiam in ſcripto libro. *Sylb.*

tur, ita Pericli convenire exiſtimabit, præſertim ad irritatos Athenienſes verba facienti. Neque enim ſententiarum aut optimorum argumentorum inventio ipſa per ſe multo ſtudio digna videtur, niſi etiam rebus & perſonis ac temporibus, cæteriſque rebus omnibus conveniant: ſed, ut initio quoque dicebam, quæ ſua eſſet de Periclis virtutibus ſententia, oſtendere cupiens Thucydides, hanc illi intempeſtivam orationem affingit. Oportebat autem ipſum prius, quid de hoc viro ſentiret, declarare; deinde vero eidem in periculo verſanti orationem, qua iracundiam deprecaretur, humilem adjungere. Hoc ſane facere decebat eum hiſtoricum, qui veritatem imitari vellet.

XLVI. Illa vero permoleſta ſunt, quæ puerilia dictionis ornamenta, & nomina quædam in ſententiis valde perplexa & intricata habent: *Ἰέναι δὲ τοῖς ἐχθροῖς ὁμόσε, καὶ ἀμύνεσθαι μὴ φρονήματι μόνον, ἀλλὰ καὶ καταφρονήματι. φρόνημα μὲν γὰρ καὶ ἀπὸ ἀμαθίας εὐτυχοῦς καὶ δειλῷ τινι ἐγγίνεται· καταφρόνησις δέ, ὃς ἂν καὶ γνώμῃ πιστεύῃ τῶν ἐναντίων προέχειν· ὃ ἡμῖν ὑπάρχει. καὶ τὴν τόλμαν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπέρφρονος ὀχυροτέραν παρέχεται· ἐλπίδι τε ἧσσον πιστεύει, ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχύς· γνώμῃ δὲ ἀπὸ τῶν ὑπαρχόντων, ἧς βεβαιοτέρα ἡ πρόνοια.* Hic vides & ipſas ſententias frigidiores eſſe, & ejuſmodi quæ Gorgiæ potius inſtituto convenire videantur. nominum expoſitio plane ſophiſtica, ac prorſus inepta eſt. hæc vero, *ἥ τε τόλμα, ἣν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπέρφρονος ὀχυρωτέραν παρέχεται*, obſcuriora ſunt Heracliti tenebris. Illa vero, *ἥ τε τῆς ἐλπίδος ἐν τῷ ἀπόρῳ ἰσχὺς*, &, *ἡ τῆς γνώμης ἀπὸ τῶν ὑπαρχόντων βεβαιοτέρα πρόνοια*, poëtico more ſunt per circuitionem prolata. Vult enim ſignificare, nos ei opinioni magis aſſentiri oportere, quam ex rebus præſentibus colligimus; quam ſpei, cujus tota vis in futuris eſt.

XLVII. Jam vero illud etiam conſideravi, cum illorum in ſe iram, propter præſentes calamitates concitatam, mitigare vellet, quarū quidem partem maximā præter opinionem & exſpectationem ſubibant; ac hortaretur, ut fortiter atque ita ea mala ferrent, ne civitatis dignitatem labefactarent; ac, rerum privatarum dolore depoſito, de communi ſalute eſſent ſolliciti: deinde oratione percurrens, illos, cum tam firmum in mari imperium tenerent, neque à Perſarum rege, neque à Lacedæmoniis, neque ab ullo præterea hominum genere, regno ſpoliari poſſe; quarum rerum fides non præſens, ſed futura erat; non in providentia, ſed in ſpe vim ſuam obtinens; horum poſtea oblitus, non jam eos ullam in ſpe, cujus in dubio vis ſit poſita, fidem vult habere. Hæc ſane pugnant inter ſe: ſiquidem, quod dolorem illis faciebat, id præſentem jam ſenſum habebat; utilitatis vero ſignificatio adhuc aberat. Sed ſicut hæc, neque quod ad res ipſas, neque quod ad verba attinet, laudo; ita iſta, ut acute excogitata, & excellenter expoſita, jucundeq; coagmentata,

οὕτως καὶ προσήκοντα εἶναι ὑπὸ Περικλέους ἐν Ἀθηναίοις ἠρεθισμένοις πρὸς αὐτοὺς λέγεσθαι. ἦν δέ γε οὐχ ἡ τῶν κρατίστων ἐνθυμημάτων τε καὶ νοημάτων εὕρεσις αὐτὴ καθ' 159
ἑαυτὴν ἀξία σπουδῆς, εἰ μὴ καὶ τοῖς πράγμασιν εἴη προσήκοντα, καὶ τοῖς προσώποις, καὶ τοῖς καιροῖς, καὶ τοῖς ἄλλοις ἅπασιν· ἀλλ', ὅπερ καὶ κατ' ἀρχὰς ἔφην, τὴν ἑαυτοῦ γνώμην ἀποδεικνύμενος ὁ συγγραφεύς, ἣν εἶχεν περὶ τῆς Περικλέους ἀρετῆς, παρὰ τόπον ἔοικεν εἰρηκέναι ταῦτα. ἐχρῆν δέ γε αὐτὸν μὲν ὅτι βούλεται περὶ τοῦ ἀνδρὸς ἀποφαίνεσθαι, τῷ δὲ κινδυνεύοντι τοὺς ταπεινοὺς καὶ παραιτητικοὺς τῆς ὀργῆς ἀποδοῦναι λόγους. τοῦτο γὰρ ἦν πρέπον τῷ μιμεῖσθαι βουλομένῳ συγγραφεῖ τὴν ἀλήθειαν.

μϛʹ. Ὀχληρὰ δὲ κἀκεῖνα τὰ μειρακιώδη καλλωπίσματα τῆς λέξεως, καὶ τὰ πολύπλοκα τῶν ἐνθυμημάτων ὀνόματα· "Ἰέναι δὲ τοῖς ἐχθροῖς ὁμόσε, [a](καὶ ἀμύνεσθαι) μὴ φρονήματι μόνον, ἀλλὰ καὶ καταφρονήματι. φρόνημα μὲν γὰρ καὶ ὑπὸ ἀμαθίας εὐτυχοῦς καὶ δειλῷ τινι ἐγγίνεται· καταφρόνησις δέ, ὃς ἂν καὶ γνώμῃ πιστεύῃ τῶν ἐναντίων προέχειν· ὃ ἡμῖν ὑπάρχει. καὶ τὴν τόλμαν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπέρφρονος, ὀχυροτέραν παρέχεται· ἐλπίδι τε ἧσσον πιστεύει, ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχύς· γνώμῃ δὲ ἀπὸ τῶν ὑπαρχόντων, ἧς βεβαιοτέρα ἡ πρόνοια". τά τε γὰρ φρονήματα ψυχρότερά ἐστι, καὶ τῆς Γοργίου προαιρέσεως μᾶλλον οἰκειότερα· ἥ τε τῶν ὀνομάτων ἐξήγησις ἀμφοτέρων, σοφιστικὴ καὶ ἀπειρόκαλος· "ἥτε τόλμα, ἣν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπέρφρονος[b] ὀχυρωτέραν παρέχεται", τῶν Ἡρακλητείων σκοτεινῶν ἀσαφεστέραν ἔχει τὴν δήλωσιν· "ἥτε τῆς ἐλπίδος ἐν τῷ ἀπόρῳ ἰσχὺς", καὶ "ἡ τῆς γνώμης ἀπὸ τῶν ὑπαρχόντων βεβαιοτέρα πρόνοια", ποιητικώτερον περιπέφρασται. βούλεται γὰρ λέγειν, ὅτι δεῖ τῇ γνώμῃ πιστεύειν μᾶλλον, ἣν ἐκ τῶν παρόντων λαμβάνομεν, ἢ ταῖς ἐλπίσιν, ὧν ἐν τῷ μέλλειν ἐστὶν ἡ ἰσχύς.

μζʹ. Ἤδη δ' ἔγωγε κἀκεῖνο ἐνεθυμήθην, ὅτι παραμυθούμενος τὴν ὀργὴν τὴν κατειληφυῖαν αὐτοὺς ἐπὶ ταῖς παρούσαις συμφοραῖς, ὧν αἱ πλείους παράλογοί τε συνέβησαν αὐτοῖς καὶ ἀπροσδόκητοι, καὶ παρακαλῶν τὰς συμφορὰς γενναίως ὑφίστασθαι, μὴ ἀφανίζοντας τὴν τῆς πόλεως ἀξίωσιν, ἀπαλγήσαντας δὲ τὰ ἴδια, τοῦ κοινοῦ τῆς σωτηρίας ἀντιλαμβάνεσθαι· καὶ μετὰ τοῦτο διεξελθών, ὅτι τὴν κατὰ θάλατταν ἀρχὴν βεβαίως ἔχοντες, οὔτε ὑπὸ βασιλέως, οὔτε ὑπὸ Λακεδαιμονίων, οὔτε ὑπ' ἄλλου ἀνθρώπων ἔθνους οὐδενὸς καταλυθήσονται· ὧν ἡ πίστις οὐχ ἡ παροῦσα ἦν, ἀλλ' ἡ μέλλουσα· οὐδ' ἐν τῇ προνοίᾳ τὸ βέβαιον ἔχουσα, ἀλλ' ἐν ταῖς ἐλπίσιν· ἔπειτα τούτων ἐπιλαθόμενος, ἀξιοῖ μὴ πιστεύειν τῇ ἐλπίδι, ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχύς. ἐναντία γὰρ ταῦτα ἀλλήλοις· εἴ γε δὴ τὸ μὲν λυποῦν τὴν αἴσθησιν εἶχεν ἤδη παροῦσαν, τῆς δ' ὠφελείας ὁ δήλωσις ἔτι ἀπῆν. ἀλλ' ὥσπερ ταῦτα οὐκ ἐπαινῶ, οὔτε κατὰ τὸ πραγματικὸν μέρος, οὔτε κατὰ τὸ λεκτικόν, οὕτως ἐκεῖνα τεθαύμακα, ὡς νενοημένα τε ἀκριβῶς, καὶ ἡρμηνευμένα περιττῶς, καὶ συγκείμενα ἡδέως·

[a] Incluſa abſunt à vulg. libr. *Thucyd.* [p. 119. *Ed. Oxon.*] Iidem v. ſeq. pro φρόνημα habent αὔχημα: (quod ibi agnoſcit etiam *Scholiaſtes*) & mox ἀπὸ pro ὑπό. *Sylb.* [b] Nota hîc ὀχυρωτέραν per ω, & v. 20. ὀχυροτέραν per ο. vulgatæ *Thucyd.* editiones habent ἰσχυροτέραν, per ι in prima ſyllaba, per ο in tertia. Nota ibidem etiam Ἡρακλητείων, per η in tertia ſyllabâ: cum apud *Suid.* & alibi legatur Ἡράκλειτος. *Sylb.*

Apud

ἡδέως· "Καὶ γὰρ οἷς μὲν αἵρεσις γεγένηται [a] τὰ ἄλλα εὐτυχοῦσι, πολλὴ ἄνοια πολεμῆσαι· εἰ δ' ἀναγκαῖον ἦν, ἢ εἴξαντας εὐθὺς τοῖς πέλας ὑπακοῦσαι, ἢ κινδυνεύσαντας περιγενέσθαι, ὁ φυγὼν τὸν κίνδυνον τοῦ ὑποστάντος μεμπτότερος. καὶ ἐγὼ μὲν ὁ αὐτός εἰμι, καὶ οὐκ ἐξίσταμαι· ὑμεῖς δὲ μεταβάλλετε· ἐπειδὴ ξυνέβη ὑμῖν πεισθῆναι μὲν ἀκεραίοις, μεταμέλειν δὲ κακουμένοις". καὶ ἔτι ἐκεῖνα· "Δουλοῖ γὰρ φρόνημα τὸ αἰφνίδιον καὶ [b](τὸ) ἀπροσδόκητον, καὶ τὸ πλείστῳ παραλόγῳ ξυμβαῖνον· ὃ ὑμῖν πρὸς τοῖς ἄλλοις οὐχ ἥκιστα καὶ κατὰ τὴν νόσον γεγένηται. ὅμως δὲ πόλιν μεγάλην οἰκοῦντας, καὶ ἐν ἤθεσιν ἀντιπάλοις αὐτῇ τεθραμμένους, χρεὼν καὶ τὰς συμφορὰς ἐθέλειν ὑφίστασθαι, καὶ τὴν ἀξίωσιν μὴ ἀφανίζειν· ἐν ἴσῳ γὰρ οἱ ἄνθρωποι δικαιοῦσι τῆς τε ὑπαρχούσης δόξης αἰτιᾶσθαι, ὅστις [c] ἂν μαλακίᾳ ἐλλείπῃ, καὶ τῆς μὴ προσηκούσης μισεῖν τὸν θρασύτητι ὀρεγόμενον". καὶ ἔτι τὰ διεγείροντα τὰς ψυχὰς τῶν Ἀθηναίων ἐπὶ τὸ φρόνημα τὸ πάτριον, ταυτί· "Τῆς τε πόλεως ὑμᾶς εἰκὸς τῷ τιμωμένῳ ἀπὸ τοῦ ἄρχειν, [d] ᾧ ὑπὲρ ἅπαντας ἀγάλλεσθε, βοηθεῖν καὶ μὴ φεύγειν τοὺς πόνους, ἢ μηδὲ τὰς τιμὰς διώκειν· μηδὲ νομίσαι περὶ ἑνὸς μόνου δουλείας ἀντ' ἐλευθερίας ἀγωνίζεσθαι· ἀλλὰ καὶ ἀρχῆς στερήσεως καὶ κινδύνου, ὧν ἐν τῇ ἀρχῇ ἀπήχθεσθε. ἧς οὐδ' ἐκστῆναι ἔτι ὑμῖν ἐστιν, εἴτις καὶ τόδε ἐν τῷ παρόντι δεδιὼς ἀπραγμοσύνῃ ἀνδραγαθίζεται. ὡς τυραννίδα γὰρ ἤδη ἔχετε αὐτήν, ἣν λαβεῖν μὲν ἄδικον δοκεῖ εἶναι, ἀφεῖναι δὲ ἐπικίνδυνον". καὶ τὰ τούτοις ὅμοια· ὅσα τάς τε ἐξαλλαγὰς τῶν ὀνομάτων καὶ τῶν σχημάτων μετρίας ἔχει, καὶ οὔτε περιέργους, οὔτε δυσπαρακολουθήτους.

μη'. Ἐκ δὲ τῆς Ἑρμοκράτους δημηγορίας ἐπαι-
160 νεῖν μὲν ἔχω ταῦτα τὰ κατορθώματα τοῦ συγγραφέως· "Ἀλλ' οὐ γὰρ δὴ τὴν [e](τῶν) Ἀθηναίων εὐκατηγόρητον οὖσαν πόλιν νῦν ἥκομεν ἀποφανοῦντες ἐν εἰδόσιν ὅσα ἀδικεῖ· πολὺ δὲ μᾶλλον ἡμᾶς αὐτοὺς αἰτιασόμενοι, ὅτι ἔχοντες παραδείγματα τῶν ἐκεῖ Ἑλλήνων, ὡς ἐδουλώθησαν οὐκ ἀμύνοντες σφίσιν αὐτοῖς· καὶ νῦν ἐφ' ἡμᾶς [f] ταὐτὰ παρόντα σοφίσματα, Λεοντίνων τε ξυγγενῶν κατοικίσεις, καὶ Αἰγεσταίων ξυμμάχων ἐπικουρίας, οὐ ξυστραφέντες βουλόμεθα προθυμότερον δεῖξαι αὐτοῖς, ὅτι οὐκ Ἴωνες ταῦτά εἰσιν, οὐδὲ Ἑλλησπόντιοι καὶ νησιῶται, ἢ δεσπότην ἢ Μῆδον, ἢ ἕνα γέ τινα ἀεὶ μεταβάλλοντες δουλοῦνται· ἀλλὰ Δωριεῖς

admiror: "Etenim quibus optio datur, ſi ii pacem quam bellum malunt, cum ſecunda fortuna utuntur, amentiſſimi ſunt: ſin vero neceſſe ſit, aut finitimis cedentes imperata facere, aut pro victoria belli adire diſcrimen, qui cedunt, iis qui reſiſtunt reprehenſione ſunt digniores. equidem idem, qui antea, ſum, neq; à ſententia mea diſcedo: vos vero inconſtantes; qui, antequam detrimentum ſuſtineretis, mihi aſſentiebamini; nunc vero calamitate accepta, conſilium mutaſtis". Præterea illa etiam: "Repentina, minimeque exſpectata, quæque præter omnem rationem eveniunt, faſtum dejiciunt. quod vobis præter alia in hoc potiſſimum morbo uſu venit. Verumtamen cum in magna civitate vivamus, iiſque inſtitutis, quæ illius amplitudini conveniant, ſimus educati: decet nos calamitatibus nolle ſuccumbere, neque noſtram delere dignitatem. Nam qui per ignaviam gloriæ, quam obtinet, deſertor eſt, is merito ab omnibus reprehenſione dignus judicatur; is vero malevolentia, qui temere gloriã, ad ſe non pertinentẽ, appetit". Deinde illa addit, quæ Athenienſium animos ad majorem faſtum excitent: "Decet item vos publicæ ob imperium dignitati, qua lætamini, conſulere, neq; ullum laborẽ recuſare; aut, ſi hoc non vultis, honores ne quæratis; neque exiſtimate una tantum de re, de libertate in ſervitutem commutanda, ſed de imperii privatione, deque periculo, ob offenſas in imperio contractas, impendente, certamen eſſe. Quod quidem vobis imperium jam non eſt integrum deponere; etiamſi quis veſtrum, hoc veritus, quietam vitam agere inſtitueret. ſiquidem imperium jam uti tyrannidem adminiſtratis: quam ſumere quidem, videtur injurium eſſe; relinquere vero, periculoſum". atque alia his ſimilia, quæcunque & nominum & figurarum mediocres immutationes, neque affectatas neque difficiles, habent.

XLVIII. In Hermocratis vero concione illa præclara videntur laudanda, in quibus hic noſter ſe præclare geſſit: "Neque vero huc venimus, ut, quantam Athenienſes, qui reprehenſu ſunt faciles, injuriam faciant, apud vos, qui hæc optime intelligitis, oſtendamus; ſed multo magis ut nos accuſemus; quod, cum multa Græcarum urbium exempla nobis obverſentur, ut illæ in ſervitutem ſint redactæ, non tamen nobis ipſis ſubvenimus, nec præſentes fallacias, in nos confictas, diſſolvimus, Leontinorum *ſcil.* propinquorum reſtitutiones, atque Egeſtanorum ſociorum auxilium; ac non potius, viribus collectis, conamur oſtendere illis, non eſſe nos Iones, neque Helleſpontios, neque inſulanos, qui dominum, aut Medum aut quemlibet alium, commutantes, ſerviunt; "ſed

a Apud *Thucyd.* [p. 117.] contracte τἄλλα. *Sylb.* *b* A vulgatis *Thucydidis* libris (p. 118.) abeſt incluſus articulus τό. iidemque mox habent καὶ ξυμφορὰς τὰς μεγίστας ἐθέλειν ὑφίστασθαι. *Sylb.* *c* Illud ἂν non agnoſcunt editiones *Thucyd.* *d* Eædem *Thucydidis* editiones (p. 119.) habent ᾧπερ ἅπαντες ἀγάλλεσθε. *Sylb.* *e* Incluſus articulus τῶν, additus è vulg. editt. *Thucyd.* [p. 392. *Ed. Oxon.*] Eædem v. 40. legunt, τῶν τ' ἐκεῖσ' Ἑλλήνων. Ibidem mox ſcriptus liber habet ἀμύνοντας: quod congruit quidem cum præced. accuſ. ἡμᾶς αὐτοὺς, at non item cum conjunctione ὅτι. quare vel ἀμύνοντες cum vulg. editt. legendum, vel ἀμυνόμενοι, poſita ſcilicet poſt ἐδουλώθησαν diſtinctione. *Sylb.* *f* Vulg. *Thucyd.* editt. (p. 393.) habent ταῦτα, *hæc.* Ibidem mox non cum ſcripto libro κατοικήσεις, ſed cum vulg. editt. κατοικίσεις legendum eſſe, ſatis declarat verbum κατοικίσαι p. 260. v. 27. Mox eædem *Thucyd.* editt. habent Ἐγεσταίων, per ε in prima ſyllaba: de qua ſcripturæ diverſitate in ſuperiore tomo dictum ad pag. 41. v. 37. & 47. Eædem v. 45. legunt τινὲς εἰσὶν, pro ταῦτά εἰσιν. Eædem ibidem mox rectius habent οἳ δεσπότην *qui dominum. Sylb.*

"ſed Dores, liberos, è libera Peloponneſo, Siciliam habitantes. an exſpectamus quoad omnes oppidatim capiamur; cum ſciamus hac una nos ratione in poteſtatem venire poſſe"? Hæc cum in perſpicuo & puro orationis genere ſint prolata, fulmina quædam verborum, & pulchritudinem, & vim, & magnificentiam, & acrimoniam habent; ſuntque affectibus ad concertationes accommodatis referta; quibus quidem & in foro, & in concionibus, & in amicorum collocutionibus, locus eſſe poteſt. Præterea & illa quoque: "Verum, ſiquis aut invidet nobis, aut nos metuit, (hæc enim utraque faciunt inferiores) & ob id Syracuſas vult damno affici, ut nos modeſtiores fiamus; ac ſupereſſe, ut tutius degat; is non ea quæ in humana ſunt poteſtate, ſperat. non enim poſſunt homines & deſiderium & fortunam in ſuo arbitrio habere". Deinde, quæ in extrema oratione ſunt collocata: "Oramus vos, ſimulque proteſtamur, niſi perſuadebimus, nos ab Ionibus quidem perpetuis hoſtibus, inſidiis appeti; à vobis autem Dorienſibus, cum & ipſi Dorienſes ſimus, prodi. qui, ſi ab Athenienſibus ſuperemur, propter veſtra conſilia ſuperabimur: ſed victoriæ laus tamen penes illos tantum erit, qui non aliud certaminis præmium conſequentur, quam vos ipſos, qui victoriæ auctores exſtitiſtis". Hæc equidem, hiſque ſimilia, tum pulchra, tum etiam imitatione digna exiſtimo: illa vero non video cur laudari debeant: "In Siciliam eo quidem nomine, quod audiſtis, veniunt; animo autem eo, quem omnes ſuſpicamur. ac, ut mihi videtur, non ideo ut Leontinos in ſedem ſuam reducant, ſed ut nos potius è ſede noſtra abducant". Frigida hæc adnominatio eſt, neque ullum movet affectum, ſed affectationem potius oſtendit. Hæc præterea perplexa, quæ figuras habent intricatas: "Neque vero aut iſti pro Græcorum, aut Græci pro ſua libertate Medo reſtiterunt; ſed hi, ut ſibi, non Medo, ſerviretur; illi, ut dominum commutarent non expertem prudentiæ, ſed prudentia male utentem". Ac præterea illud, quod ſatietatem affert; cum à plurali ad ſingulare, ex eo vero ſermone qui eſt de perſona ad dicentis perſonam fit tranſitio: "Quod ſi quis ſtatuit, non ſe, ſed Syracuſanum, Athenienſi inimicum eſſe; & grave ſibi eſſe putet pro mea patria periclitari; is cogitet, dum pugnat in mea, non magis pro mea ſe, quam pro ſua ipſius pugnare: idque eo tutius, quod me non jam perditum, ſed ſocium habens, non deſtitutus pugnabit. cogitet item, Athenienſem nolle ulciſci inimicitiam Syracuſanorum". Hæc ſane & puerilia, & nimium ſtudioſe conquiſita, & iis quæ ænigmata vocantur obſcuriora ſunt. Illa præterea: "Nam ſi aliter quam exſpectavit eveniat, tum calamitatem ſuam deflens, forſitan velit rurſus, ut antea, fortunæ meæ poſſe

"ἐλεύθεροι ἀπ' αὐτονόμου τῆς Πελοποννήσου τὴν Σικελίαν οἰκοῦντες. ἢ μένομεν ἕως ἂν ἕκαστοι κατὰ πόλεις ληφθῶμεν· εἰδότες ὅτι ταύτῃ μόνον ἁλωτοί ἐσμεν"; ταῦτα γὰρ ἐν τῷ σαφεῖ καὶ καθαρῷ τῆς διαλέκτου τρόπῳ λεγόμενα προσείληφε καὶ τὸ τάχος, καὶ τὸ κάλλος, καὶ τὸν τόνον, καὶ τὴν μεγαλοπρέπειαν, καὶ τὴν δεινότητα· καὶ πάθους ἐστὶν ἐναγωνίου μεστά· οἷς ἂν καὶ ἐν δικαστηρίῳ χρήσαιτό τις, καὶ ἐν ἐκκλησίαις καὶ φίλοις διαλεγόμενος. καὶ ἔτι πρὸς τούτοις ἐκεῖνα· "Εἴ τέ τις φθονεῖ μὲν, ἢ καὶ φοβεῖται· ἀμφότερα γὰρ τάδε πάσχει τὰ μείζω· διὰ δὲ αὐτὰ τὰς Συρακούσας κακωθῆναι μὲν, ἵνα σωφρονισθῶμεν, βούλεται· περιγενέσθαι δὲ ἕνεκα τῆς [a] ἑαυτοῦ ἀσφαλείας, οὐκ ἀνθρωπείας δυνάμεως βούλησιν ἐλπίζει. οὐ γὰρ οἷόν τε ἅμα τῆς τε ἐπιθυμίας καὶ τῆς τύχης τὸν αὐτὸν ὁμοίως ταμίαν γενέσθαι". καὶ τὰ ἐπὶ τελευτῇ κείμενα τοῦ λόγου· "Δεόμεθα οὖν καὶ μαρτυρόμεθα (ἅμα,) εἰ μὴ πείσομεν, ὅτι ἐπιβουλευόμεθα μὲν ὑπὸ Ἰώνων ἀεὶ πολεμίων· προδιδόμεθα (δὲ) ὑφ' ὑμῶν Δωριεῖς Δωριέων. καὶ εἰ καταστρέψονται ἡμᾶς Ἀθηναῖοι, ταῖς μὲν ἡμετέραις γνώμαις κρατήσουσι, τῷ δ' αὐτῶν ὀνόματι τιμηθήσονται, καὶ τῆς νίκης οὐκ ἄλλον τινὰ ἆθλον ἢ τὸν τὴν νίκην παρασχόντα λήψονται". ταῦτα μὲν δὴ, καὶ τὰ παραπλήσια τούτοις, καλὰ καὶ ζήλου ἄξια ἡγοῦμαι· ἐκεῖνα δ' οὐκ οἶδ' ὅπως ἂν ἐπαινέσαιμι· [b] "Ἥκουσι γὰρ ἐς τὴν Σικελίαν, προφάσει μὲν, ᾗ πυνθάνεσθε· διανοίᾳ δὲ, ἣν πάντες ὑπονοοῦμεν. καί μοι δοκοῦσιν οὐ Λεοντίνους βούλεσθαι κατοικίσαι, ἀλλ' ἡμᾶς μᾶλλον ἐξοικίσαι". ψυχρὰ γὰρ ἡ παρονομασία, καὶ οὐ προσβάλλουσα πάθος, ἀλλ' ἐπιτήδευσιν. καὶ ἔτι τὰ πεπλεγμένα καὶ πολλὰς τὰς ἕλικας ἔχοντα σχήματα ταυτί· "Καὶ οὐ περὶ τῆς ἐλευθερίας ἄρα, οὔτε [c] οἵδε τῶν Ἑλλήνων, οὔτε οἱ Ἕλληνες τῆς ἑαυτῶν, τῷ Μήδῳ ἀντέστησαν· περὶ δὲ (τοῦ,) οἱ μὲν σφίσιν, ἀλλὰ μὴ ἐκείνῳ, καταδουλώσεως· οἱ δ', ἐπὶ δεσπότου μεταβολῇ, οὐκ ἀξυνετωτέρου, (κακοξυνετωτέρου) δέ". καὶ ἔτι τὸ κατακορὲς τῆς μεταγωγῆς ἔκ τε τοῦ πληθυντικοῦ εἰς τὸ ἑνικὸν, καὶ ἐκ τοῦ περὶ προσώπου λόγου εἰς τὸ τοῦ λέγοντος πρόσωπον· [d] "Καὶ εἴτῳ ἄρα παρέστηκε, τὸν μὲν Συρακούσιον, ἑαυτὸν δ' οὐ πολέμιον εἶναι τῷ Ἀθηναίῳ· καὶ δεινὸν ἡγεῖται ὑπέρ γε τῆς ἐμῆς κινδυνεύειν· ἐνθυμηθήτω οὐ περὶ τῆς ἐμῆς μᾶλλον, ἐν ἴσῳ δὲ καὶ τῆς ἑαυτοῦ, ἅμα ἐν τῇ ἐμῇ μαχούμενος· τοσούτῳ δὲ καὶ ἀσφαλέστερον, [e] ὅσον οὐ προδιεφθαρμένου ἐμοῦ, ἔχων δὲ ξύμμαχον ἐμὲ, καὶ οὐκ [f] ἔρημος, ἀγωνιεῖται· τόν τε Ἀθηναῖον μὴ τὴν τοῦ Συρακουσίου ἔχθραν κολάσασθαι". ταῦτα γὰρ καὶ μειρακιώδη καὶ περίεργα, καὶ τῶν λεγομένων αἰνιγμάτων ἀσαφέστερα. καὶ ἐκεῖνα ἔτι πρὸς τούτοις· "Καὶ εἰ γνώμῃ ἁμάρτοι, τοῖς αὐτοῦ κακοῖς ὀλοφυρθεὶς, τάχ' ἂν ἴσως καὶ τοῖς ἐμοῖς ἀγαθοῖς ποτὲ βουληθείη αὖθις φθονῆσαι·

a Thucyd. editt. (p. 394.) habent αὐτοῦ, & mox v. ſequ. ἀνθρωπίνης: & v. 16. δὲ pro οὖν. Ex eiſdem (p. 395.) addita ſunt incluſa iſta, ἅμα & δὲ, v. 16, & 18. Eædem v. 20. legunt ὑμετέραις, *veſtris. Sylb.* *b Thucyd.* p. 392. *c* Eædem ibid. pro οἵδε habent οὔτοι: quod ſcripti quoque codicis margo agnoſcit. Ab eiſdem editt. ſeq. v. abeſt incluſus articulus τοῦ: ſicut viciſſim v. 35. in ſcripto codice deeſt incluſum κακοξυνετωτέρου. De ſequenti autem μεταγωγῇ dixit auctor etiam ſupra p. 217. v. 20. *Sylb.* *d Thucyd.* p. 393. *e* Eædem *Thucyd.* editt. ibid. dandi caſu habent ὅσῳ. *Sylb.* *f* Scriptus cod. habet ἔρημον: ut feratur ad præced. accuſ. ἐμέ. *Sylb.*

a Rectius

« φθονῆσαι· ἀδύνατον δὲ προεμένῳ, καὶ μὴ τοὺς αὐτοὺς κιν« δύνους οὐ περὶ τῶν ὀνομάτων, ἀλλὰ περὶ τῶν ἔργων ἐθελήσαντι « προσλαβεῖν». οἷς ἐπιτίθησιν οὐδὲ μειρακίῳ προσῆκον ἐπιφώνημα· « Λόγῳ μὲν γὰρ, τὴν ἡμετέραν δύναμιν σώζοι ἄν « τις· ἔργῳ δὲ, τὴν ἑαυτοῦ σωτηρίαν».

μθʹ Ἔστι δὲ καὶ ἄλλα ἐν τῇ δημηγορίᾳ ταύτῃ μέμψεως ἄξια· περὶ ὧν οὐδὲν δέομαι τὰ πλείω λέγειν· ἱκανῶς δὲ οἴομαι καὶ διὰ τούτων φανερὸν πεποιηκέναι τὸ προκείμενον, ὅτι τῆς Θουκυδίδου λέξεως κρατίστη μὲν ἐστὶν ἡ μετρίως ἐκβεβηκυῖα τὰ συνήθη, καὶ τὰς πρώτας καὶ ἀναγκαίας ἀρετὰς φυλάττουσα· χείρων δὲ, ἡ λαμβάνουσα πολλὴν ἐκτροπὴν ἐκ τῶν κοινῶν ὀνομάτων τε καὶ σχημάτων εἰς τὰ ξένα καὶ βεβιασμένα καὶ ἀνακολούθητα· δι' ἣν οὐδὲ τῶν ἄλλων ἀρετῶν οὐδὲ μία τὴν ἑαυτῆς ἐπιδείκνυται δύναμιν. οὔτε γὰρ ἐν ταῖς ἐκκλησίαις χρήσιμόν ἐστι τοῦτο τὸ γένος τῆς φράσεως, ἐν αἷς ὑπὲρ εἰρήνης καὶ πολέμου καὶ νόμων εἰσφορᾶς καὶ πολιτειῶν κόσμου, καὶ τῶν ἄλλων τῶν κοινῶν καὶ μεγάλων αἱ πόλεις βουλευσόμεναι συνέρ-
161 χονται, οὔτ' ἐν τοῖς δικαστηρίοις, ἔνθα περὶ θανάτου καὶ φυγῆς, καὶ ἀτιμίας, καὶ δεσμῶν, καὶ χρημάτων ἀφαιρέσεως, οἱ λόγοι πρὸς τοὺς ἀνειληφότας τὴν ὑπὲρ τούτων ἐξουσίαν λέγονται, [a] αἳ λυποῦσι τὸν πολιτικὸν ὄχλον, οὐκ ὄντα τῶν τοιούτων ἀκουσμάτων ἐν ἔθει· οὐδ' ἐν ταῖς ἰδιωτικαῖς ὁμιλίαις, ἐν αἷς περὶ τῶν βιωτικῶν διαλεγόμεθα πολίταις ἢ φίλοις ἢ συγγενέσιν, διηγούμενοί τι τῶν συμβεβηκότων ἑαυτοῖς, ἢ συμβουλευόμενοι περί τινος τῶν ἀναγκαίων, ἢ νουθετοῦντες, ἢ παρακαλοῦντες, ἢ συνηδόμενοι τοῖς ἀγαθοῖς, ἢ συναλγοῦντες τοῖς κακοῖς· ἐῶ γὰρ λέγειν ὅτι τῶν οὕτως διαλεγομένων οὐδὲ αἱ μητέρες ἂν καὶ οἱ πατέρες ἀνάσχοιντο διὰ τὴν ἀηδίαν· ἀλλ' ὥσπερ ἄλλου ἔθνους γλώσσης ἀκούοντες, τῶν ἑρμηνευσόντων ἂν δεηθεῖεν. ταῦτά ἐστιν ἃ περὶ τοῦ συγγραφέως ἐπείσθην, μετὰ πάσης ἀληθείας εἰρημένα, κατὰ τὴν ἐμὴν δύναμιν.

νʹ. Ἀνάγκη δὲ καὶ τὰ λεγόμενα ὑπὲρ αὐτοῦ τισὶν ἐξετάσαι διὰ λόγων, ἵνα μηδὲν παρεικέναι δοκῶ. ὅτι μὲν οὖν οὔτ' εἰς τοὺς πολιτικοὺς ἀγῶνας ἐπιτήδειός ἐστιν, οὔτ' εἰς τὰς ὁμιλίας τὰς βιωτικὰς οὗτος ὁ χαρακτὴρ, ἅπαντες ὁμολογήσουσιν οἱ μὴ διεφθαρμένοι τὴν διάνοιαν, ἀλλ' ἐν τῷ κατὰ φύσιν τὰς αἰσθήσεις ἔχοντες. ἐπιχειροῦσι δέ τινες οὐκ ἄδοξοι σοφισταὶ λέγειν, ὅτι τοῖς μὲν πρὸς τὰς ὀχλικὰς ἐντεύξεις παρεσκευασμένοις καὶ τὰ δίκαια λέγουσιν, οὐκ ἔστιν ἐπιτήδειος οὗτος ὁ χαρακτήρ· τοῖς δὲ τὰς ἱστορικὰς πραγματείας ἐκφέρουσιν, αἷς μεγαλοπρεπείας τε δεῖ καὶ σεμνολογίας καὶ καταπλήξεως, παντὸς μάλιστα προσήκει ταύτην ἀσκεῖν τὴν φράσιν τὴν γλωττηματικήν τε καὶ ἀπηρχαιωμένην, καὶ τροπικὴν, καὶ ἐξηλλαγμένην τῶν ἐν ἔθει σχημάτων ἐπὶ τὸ ξένον καὶ περιττόν. οὐ γὰρ ἀγοραίοις ἀνθρώποις, οὐδ' ἐπιδιφρίοις ἢ χειροτέχναις, οὐδὲ τοῖς ἄλλοις, οἳ μὴ μετέσχον ἀγωγῆς ἐλευθερίου, ταύτας κατασκευάζεσθαι τὰς γραφάς· ἀλλ' ἀνδράσι διὰ τῶν ἐγκυκλίων μαθημάτων ἐπὶ ῥητορικήν τε καὶ φιλοσοφίαν ἐληλυθόσιν,

« invidere: quod ab eo qui deſertor exſtitit, « quique eadem non de nominibus, ſed de re« bus pericula ſuſcipere recuſavit, prorſus jam « fieri nequit». Quibus epiphonema addit, quod ne puero quidem conveniat: « Qui enim no« ſtram potentiam tutatur, is verbo quidem « noſtram, re autem ipſa ſuam ſalutem ſervat.

XLIX. Sunt alia etiam in hac concione reprehenſione digna; quæ nihil opus eſſe arbitror in medium producere: cum jam ſatis explicatum ſit, Thucydidis dictionem tum optimam eſſe, cum verbis à conſuetudine remotis modice utitur, primaſque ac neceſſarias virtutes retinet; tum vero peſſimam, cum à communi verborum ac figurarum uſu plurimum recedit, & peregrina quædam ac minime cohærentia conſectatur. quo fit ut nulla aliarum virtutum ſuam in dicendo vim queat oſtendere. Quod genus orationis, neque in concionibus utilitatem habet, in quibus de pace, de bello, de legum latione, de rep. ordinanda, deque aliis rebus magnis & ad remp. ſpectantibus, à civitatibus deliberatio ſumitur; neque in foro, ubi de morte, de exſilio, de infamia, de vinculis, de pecunia abrepta, ad eos, penes quos harum eſt rerum poteſtas, fiunt orationes; quæ multitudini, raro hæc audienti, moleſtiam afferunt: neque vero in ſermonibus familiaribus, in quibus de rebus ad vitam ſpectantibus agimus, aut cum civibus, aut amicis, aut propinquis: quibuſcum, aut de rebus quæ ipſis evenerunt, diſſerimus; aut neceſſaria aliqua de re conſilium capimus; aut admonemus; aut hortamur; aut bonis illorum gratulamur; aut rebus adverſis una dolore afficimur. ut interim illud taceam, ſermones ejuſmodi, propterea quod ſint injucundi, ne patres aut matres pati poſſe; ſed illos quoque, non ſecus ac ſi alterius gentis lingua utentem audirent, interprete opus habituros. Atque hæc quidem ſunt quæ de Thucydide à me quam veriſſime pro viribus explicata ſunt.

L. Nunc non ab re fuerit, ea etiam perſequi, quæ de ipſo nonnulli dixerunt; ne quid prætermiſiſſe videamur. Ac neque civilibus certaminibus, neque familiaribus collocutionibus hanc illius dicendi formam convenire, omnes, ſana mente præditi, fatentur. Sed ſunt ſophiſtæ quidam haud obſcuri, qui ad populares quidem ſe congreſſus parantibus, & de rebus juſtis diſſerere volentibus, minime accommodatam eſſe hanc dicendi formam; ſed iis qui ad hiſtoricas res tractandas accedunt, quæ magnifico ac ſublimi dicendi genere, quod admirabilitatem faciat, opus habent, omnino aptum eſſe dicant: quibus quidem maxime convenire, ut in hoc ſe dictionis genere exerceant, in quam non uſitata, & obſoleta vocabula, & tropi, ac figuræ à communi conſuetudine abhorrentes, & peregrinæ, & magnificum quiddam habentes, inducuntur. Non enim hæc forenſibus, aut iis qui ſeden- Ne... (ut vocant), & manuarias artes exertarias ...iis qui nulla liberali doctrina ſint cent, aut a... viris in omni diſciplinarum genere, tum in rhe... exculti; ſed ...torica ac philoſophia exercitatis;

[a] Rectius neutro genere ἅ. *Sylb.*

a Poſt

citatis, quibus nihil horum peregrinum videbitur, ſcripta eſſe affirmant. Sunt etiam qui dicant, hunc hiſtoricum,cum ita ſuam hiſtoriam conſcriberet, non ad poſteros ſpectaſſe; ſed ad eos, qui ſuo tempore viverent; quibus hæc dicendi ratio in uſu erat. quæ neque ad ea certamina, in quibus aut conſilia capiuntur aut judicia exercentur, utilitatem ullam affert: ad quæ quidem certamina neque ſenatores, neque judices ejuſmodi convenire ſolent quales vult Thucydides.

οἷς οὐδὲν φανήσεται τούτων ξένον. ἤδη δέ τινες ἐπεχείρησαν λέγειν ὡς οὐ τῶν μεθ' ἑαυτὸν ἐσομένων στοχαζόμενος ὁ συγγραφεὺς, οὕτως ἔγραψε τὰς ἱστορίας, ἀλλὰ τῶν καθ' ἑαυτὸν ὄντων, οἷς ἦν [a] ἡ διάλεκτος χρήσιμος οὗτος ὁ χαρακτήρ· οὔτ' εἰς τοὺς συμβουλευτικοὺς, οὔτ' εἰς τοὺς δικανικοὺς ἀγῶνας, ἐν οἷς οἵ τ' ἐκκλησιάζοντες, καὶ οἱ δικάζοντες, οὐχ οἵους ὁ Θουκυδίδης ὑπέθετο, συνέρχονται.

ϛ'. Μηδεὶς δέ με [f] τὰ τοιαῦτα [g] ὑπολάβῃ λέγειν ἁπάσης καταγινώσκοντα τῆς ἐξηλλαγμένης καὶ ἐγκατασκεύου λέξεως, [h] (ᾗ) κέχρηται Πλάτων· μὴ γὰρ ἂν οὕτω σκαιὸς μηδ' ἀναίσθητος ἐγὼ γενοίμην, ὥστε ταύτην τὴν δόξαν ὑπὲρ ἀνδρὸς τηλικούτου λαβεῖν· ἐπεὶ πολλὰ (καὶ) περὶ πολλῶν οἶδα μεγάλα καὶ θαυμαστὰ, καὶ ἀπὸ τῆς ἄκρας δυνάμεως ἐξενηνεγμένα ὑπ' αὐτοῦ· ἀλλ' ἐκεῖνο ἐνδείξασθαι βουλόμενος, ὅτι (τὰ) τοιαῦτα ἁμαρτήματα ἐν ταῖς κατασκευαῖς εἴωθεν ἁμαρταίνειν· καὶ χείρων μὲν αὐτὸς αὑτοῦ γίνεται, ὅταν τὸ μέγα διώκῃ καὶ περιττὸν ἐν τῇ φράσει· μακρῷ δέ τινι ἀμείνων, ὅταν τὴν ἰσχνὴν καὶ ἀκριβῆ καὶ δοκοῦσαν μὲν ἀποίητον εἶναι, κατεσκευασμένην δὲ [i] ἀμωμήτῳ καὶ ἀφελεῖ κατασκευῇ διάλεκτον εἰσφέρῃ. ἢ γὰρ οὐδὲν ἁμαρτάνει καθάπαξ, ἢ βραχύ τι κομιδῇ, καὶ οὐκ ἄξιον κατηγορίας. ἐγὼ δὲ ἠξίουν τηλικοῦτον ἄνδρα πεφυλάχθαι πᾶσαν ἐπιτίμησιν. [k] ταῦτα μέντοι καὶ οἱ κατ' αὐτὸν ἐκεῖνον γενόμενοι, ὡς ἁμαρτάνοντι, τῷ ἀνδρὶ ἐπιτιμῶσιν· ὧν τὰ ὀνόματα οὐθὲν δέομαι λέγειν· καὶ (αὐτὸς) αὐτῷ· τοῦτο γὰρ δὴ τὸ λαμπρότατον. ᾔσθετο γὰρ, ὡς ἔοικε, τῆς ἰδίας ἀπειροκαλίας, καὶ ὄνομα ἔθετο αὐτῇ τὸν διθύραμβον· ὃ νῦν ἂν ᾐδέσθην ἐγὼ λέγειν, ἀλη-

& pura ſatis & perſpicua eſt inſtar aquæ limpidiſſimæ: ſimplex etiam & tenuior, quam ulla alia earum, quæ ad eandem elocutionis formam elaboratæ ſunt. Nominibus utitur communibus, perſpicuitati ſtudet, omnem acceſſitum ornatum negligit. In eam etiam ſordes & antiqua illa invenuſtas, ſenſim atque latenter irrepit; & jucundum quendam vernantemque florem ſpirat, & tanquam à fragrantiſſimis pratis aura quædam blanda & mollis ex illa promanat;& neq; ſonorã & ſtridulam loquacitatem, nec ornatus inſolentiam videtur præ ſe ferre. Cum autem ad excellentem loquendi modum, & præclarius genus dicendi, ut ſæpenumero conſuevit, ingenti impetu ferri cœpit, multo ſeipſo fit deterior. nã & minus ſuavis eſt,& pejus loquitur Græce, craſſiorque videtur quam in altero: perſpicuitati etiam offundit tenebras, ſententiaſq; longius deducit, quas contraxiſſe oportuit. Adhibet autem circumlocutiones invenuſtas, & inanem verborum copiam oſtentat: verbis propriis & in communi ſermone poſitis rejectis, novata, peregrina, obſoleta ſectatur. Maxime autem in figurata locutione inſoleſcit. multus enim eſt & frequens in * epithetis, in metonymiis vero ineptus: quin & durior, nec ullam in tranſlationibus proportionem ſervat. frequenter allegoriis longe deductis, & iis, quæ nec modum ſervant, nedum loci temporiſque rationem habent, utitur: In figuris poëticis, quæ faſtidium pariunt, & præſertim Gorgianis, intempeſtive nimium & pueriliter ſe jactat; quibus tamen ſæpe, ut & alibi Dem.Phalereus,atq; ante eum plures pronunciarunt,utitur. non enim hoc à me judicium.

VI. Nemo itaque putet, hæc me ideo dicere, quaſi omnem ornatum orationiſque varietatẽ,quam ipſe etiam Plato adhibet,improbem. Non enim ſum adeo excors & ſtupidus, ut hanc ipſam laudem tanto viro præreptam velim: præſertim cum me non prætereat, eum multa admiratione digna, atque à ſumma eloquentia profecta, in lucem protuliſſe. Sed unum hoc oſtendere volui, eum in compoſitione hoc modo errare conſueviſſe: qui quidem ſeipſo fit deterior, quando amplum dicendi genus & eximium quærit; longe vero melior, cum tenuem, ſimplicem, & nullo artificio elaboratam elocutionem, ſed inculpabili & ſimplici exornatione ornatam, inducit. tunc enim aut nihil omnino peccat, aut leviter admodum, aut vix illa reprehenſione dignus eſt. Equidem tantum virum omnem vitaſſe reprehenſionem arbitrabar. Sed hæc ei omnes, qui eodem tempore vixerunt, (nomina tamen eorum hic non commemorabo) vertunt vitio, atque adeo ipſe ſibi, quod aperiſſimum eſt. Suam enim videtur invenuſtatem percepiſſe, ut cui nomen dithyrambi dedit; quod me in præſentia, quamvis à veritate

non

a Ad πῖνος in exemplaris margine adſcriptum eſt hoc ſcholion, ὁ ῥύπος, ἤτοι ὁ ἐπικείμενος χνοῦς, ὡς ἐπὶ μήλων καὶ ἀπίων καὶ δαμασκηνῶν. *Sylb.* b Forſan rectius καλλιεπεῖν. *Sylb.* c Γὰρ addita ex p. 204. v. 17. ubi etiam mox legitur ἀποτείνουσα τὸν νοῦν, συστρέψαι δὲ δέον ἐν ὀλίγοις ὀνόμασιν, ἐκχεῖται εἰς &c. d Γὰρ addita ex p. 204. v. 24. Ibidem mox in exemplari ſcriptum μετωνυμίαις: ſupra p. 127. v. 26. ἐπωνυμίαις, parum ad rem. *Sylb.* e Supra diphthongõs Γοργείοις ſcriptum p. 204. v. 30. itidemque infra p. 179. v. 12. Sequens incluſum ἐστὶν additum ex p. 204. v. 31. *Sylb.* f Pro τὰ τοιαῦτα p. 204. v. 34. legitur ταῦτα. *Sylb.* g Supra ἡγείσθω. h Incluſum ᾗ additum ex eodem loco: itidemque καὶ v. 34. & τὰ v. 36 *Sylb.* i In exemplari eſt ἀμωμήτως: minus belle. k Supra p. 204. v. 49. ſic legitur hic locus, ταῦτα γὰρ εἴ τι κατ' αὐτὸν γενόμενοι πάντες ἐπιτιμῶσιν: atque verſu 46. δεῖ με, pro δέομαι. Ex eodem loco additum incluſum αὐτὸς: quod hic in exemplari deerat. *Sylb.* * Sex nominibus ad nomen appoſitis.

a Incluſa

non alienũ adeo ſit, referre puderet. Hoc porro ei, mea quidẽ ſententia, adhæſit, quod eſſet in dialogis Socratis, tenuiter & ſimpliciter conſcriptis, educatus; in quibus tamen non permanſit, ſed Gorgiæ & Thucydidis compoſitionem ſecutus eſt. Itaque nihil admodum feciſſe, cur reprehendi debeat, videtur; quod attraxerit una cum virtutibus, quæ illorum ſcriptorum charačteri inerant, etiam vitia.

VII. Exemplum autem ſublimis dictionis, ex uno eorum, qui vel maxime in ſermone omnium verſantur, libello proferam; in quo Socrates cum Phædro, qui ex intimis ejus erat, à quo etiam libellus nomen accepit, de amore diſputat. In eo enim libello multam habet venuſtatem, & cujus hoc principium admodum venuſtum eſt & ſuave: "Phædre, quonam & "unde? PHÆD. A Lyſia, ô Socrates, Cephali "filio. Pergo autem deambulandi gratia extra "mœnia. multum enim illic conſumpſi tem"poris, ſedens à matutino, uſque ad lectio"nem Lyſiacæ orationis, & finita lectione "huc uſque. Deinde, quaſi ex aëre ſereno & ſtabili coortus ventus, puritatem dictionis turbat, in poëticam invenuſtatem tendens, ita exorſus: "Jam agite, ô dulces Muſæ, ſive pro"pter cantus ſpeciem, ſive propter muſicam "illam Ligurum nationem, hoc nomen inve"niſtis, mecum adjuvate ſermonem". Hæc autem ſtrepitus eſſe & dithyrambos, qui magnam quidem verborum jactantiam habeant, ſed ſerii nihil, etiam ipſe de ſe teſtatur. exponens enim quam ob cauſam impoſitum ſit amoris nomen affectui, his verbis uſus eſt: "Nam cupiditas, quæ à ratione abhorret, ſu"peravit opinionem ad id quod rectum eſt "contendentem, & ad voluptatem formæ ra"pit, atque à cognatis cupiditatibus circa "corporis formam vehementer corroborata "vicit & ſuperavit, ἀπ᾽ αὐτῆς τῆς ῥώμης nomen in"venit, & ἔρως nominata eſt". Et hanc periphraſin, cum paucis res verbis explicari poſſet, late extendens, ſeipſum inſulſæ nec ſuo loco poſitæ compoſitionis arguit, & ſubjungit: "Si"lentio igitur me audi. nam revera divinus "hic videtur locus. Quare ſi forte ſæpius "nympharum afflatu procedente ſermone "corripiar, ne mireris. ea enim quæ modo lo"quor, non multum à dithyrambis diſtant". . . . eorundem verbis capimur. . . . divinissime Plato, dithyrambicos ſtrepitus & ineptias amantes. Hæc autem ſunt quæ Socrates in palinodia amorem reſpuendo locutus eſt, hinc incipiens: "Magnus ille dux in cœ"lo Jupiter, volucri incitato curru, procedit, "omnia adornans & præparans: hunc ſequi"tur totus Deorum Divûmque exercitus, un"decim partibus ordinibuſq; diſtinctus. Nam "ſola Veſta Deorum in ædibus manet: cæteri,

θὲς ὄν. τοῦτο δὲ παθεῖν ἔοικεν, ὡς [a](μὲν) ἐγὼ νομίζω, τραφεὶς μὲν ἐν τοῖς Σωκρατικοῖς διαλόγοις ἰσχνοτάτοις (οὖσι) καὶ ἀκριβεστάτοις, οὐ μείνας (δ᾽) ἐν αὐτοῖς, ἀλλὰ τῆς Γοργίου καὶ Θουκυδίδου κατασκευῆς ἐρασθείς. ὥστ᾽ οὐθὲν ἔξω τοῦ εἰκότος ἔμελλε πείσεσθαι, σπάσας τινὰ καὶ τῶν ἁμαρτημάτων ἅμα τοῖς ἀγαθοῖς ὧν ἔχουσιν οἱ τῶν ἀνδρῶν ἐκείνων χαρακτῆρες.

ζ. Παράδειγμα δὲ ποιοῦμαι τῆς γε ὑψηλῆς λέξεως ἐξ ἑνὸς βιβλίου τῶν πάνυ περιβοήτων, ἐν ᾧ τοὺς ἐρωτικοὺς διατίθεται λόγους ὁ Σωκράτης πρὸς ἕνα τῶν γνωρίμων Φαῖδρον, ἀφ᾽ οὗ τὴν ἐπιγραφὴν εἴληφε τὸ [b]βυβλίον. ἐν γὰρ δὴ τῷ συγγράμματι τούτῳ πολλὴν μὲν ὥραν ἔχει, καὶ χαρίτων ἐστὶ μεστὰ τὰ πρῶτα ταυτί· "Ὦ "φίλε Φαῖδρε, ποῖ δή, καὶ πόθεν; [c](Φ.) Παρὰ Λυσίου, "ὦ Σώκρατες, τοῦ Κεφάλου. πορεύομαι δὲ πρὸς περίπα"τον ἔξω τείχους. συχνὸν γὰρ ἐκεῖ διέτριψα χρόνον "καθήμενος ἐξ ἑωθινοῦ, (μέχρι τῆς ἀναγνώσεως τοῦ Λυ"σιακοῦ λόγου, καὶ μετὰ τὴν ἀνάγνωσιν ἕως τινός.") εἶθ᾽, ὥσπερ ἐξ ἀέρος εὐδίου καὶ σταθεροῦ πολὺς ἄνεμος καταρραγείς, ταράττει τὸ καθαρὸν τῆς φράσεως, εἰς ποιητικὴν ἐκφέρων ἀπειροκαλίαν, ἐνθένδ᾽ ἀρξάμενος· "Ἄγετε δὴ "(ὦ) Μοῦσαι, εἴτε δι᾽ ᾠδῆς εἶδος λίγειαι, εἴτε διὰ γέ"νος τὸ Λιγύων μουσικόν, ταύτην ἔσχετε τὴν ἐπωνυμί"αν· ξύμμοι λάβεσθε τοῦ μύθου". ὅτι δὲ ψόφοι ταῦτ᾽ εἰσὶ καὶ διθύραμβοι, κόμπον ὀνομάτων πολύν, νοῦν δ᾽ ὀλίγον 167 ἔχοντες, αὐτὸς ἐρεῖ. διεξιὼν γὰρ ἀφ᾽ ἧς αἰτίας ἔρως ἐτέθη τῷ πάθει τοὔνομα, καὶ [d]τῇδε χρησάμενος· "Ἡ γὰρ ἄνευ λόγου "δόξης ἐπὶ τἀγαθὸν ὁρμώσης κρατήσασα ἐπιθυμία, "πρὸς ἡδονὴν ἄγουσα κάλλους, καὶ (ὑπὸ αὖ) τῶν ἑαυτῆς συγ"γενῶν ἐπιθυμιῶν λαβοῦσα, ἐρρωμένως ῥωσθεῖσα (καὶ) νική"σασα ἀγωγῇ, ἀπ᾽ αὐτῆς τῆς ῥώμης ἐπωνυμίαν λαβοῦσα, "ἔρως ἐκλήθη". καὶ τοσαύτην ἐκμηκύνας περίφρασιν ὀλίγοις τοῖς ὀνόμασι δυναμένου περιληφθῆναι πράγματος, ἐπιλαμβάνεται τῆς ἀκαιρίας αὐτὸς αὑτοῦ, καί φησι· "Σιγῇ τοίνυν μου ἄκουε. τῷ ὄντι γὰρ θεῖος "[e](ἔοικεν) εἶναι ὁ τόπος. ὥστε ἂν ἄρα πολλάκις νυμ"φόληπτος γένωμαι, προϊόντος τοῦ λόγου, μὴ θαυμάσῃς. τὰ "νῦν γὰρ οὐκέτι πόρρω διθυράμβων [f](τινῶν) φθέγγομαι" . . . . πάλλων τοῖς [g]αὐτῶν λόγοις ἁλισκόμεθα . . ἂν δαιμονιώτατε Πλάτων διθυράμβων ψόφους καὶ λήρους ἠγαπηκότες. ἃ δ᾽ ἐν τῇ παλινῳδίᾳ τὸν ἔρωτα ἀφοσιούμενος αὖθις ὁ Σωκράτης εἴρηκεν, ἐνθένδε ἀρξάμενος· "Ὁ μὲν "δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ Ζεύς, ἐλαύνων πτηνὸν ἅρ"μα, πρῶτος πορεύεται, διακοσμῶν πάντα καὶ ἐπιμελού"μενος· τῷ δ᾽ ἕπεται στρατιὰ θεῶν [h](τε) καὶ δαιμόνων, κατὰ ἕνδε"κα μέρη κεκοσμημένη· μένει γὰρ Ἑστία ἐν θεῶν οἴκῳ μόνη· τῶν "(δὴ)

a Incluſa μὲν abeſt à p. 205. v. 5. & ſine jactura expungi poteſt. rurſum ex eodem loco huc ſequenti verſu addita ſunt incluſa οὖσι & δή. *Sylb.* *b* Βυβλίον in exemplari quoque per υ hic ſcriptum eſt: at non item verſu 40. & licet βύβλος papyri ſignificatione habeat υ, βίβλος tamen, cum liber ſignificatur, per ι ſcribitur etiam apud *Suidam. Sylb.* *c* Incluſum Φ. quo Φαίδρου perſona ſignificatur, ab exemplari abeſt: itidemque ὦ verſu ſequ. *Sylb.* *d* Supra p. 205. v. 32. (ubi eadem fere occurrunt) paulo convenientius ſcriptum τοῖσδε ἐχρήσατο. Ibidem pro τἀγαθὸν legitur τὸ ὀρθόν. Sequenti verſu ibidem ἀχθεῖσα legitur pro ἄγουσα. Ibidem ſequens membrum ſic legitur, ὑπὸ αὖ τῶν ἑαυτῆς συγγενῶν ἐπιθυμιῶν ἐπὶ σωμάτων κάλλος ἐρρ. Ex eodem loco ſequenti verſu addita eſt incluſa καί. & mox verſu 31. pro ῥώμης & ἐπωνυμίαν, in exemplari eſt γνώμης ἐπιθυμίαν: parum apte. *Sylb.* *e* Incluſum ἔοικεν deeſt in exemplari. *Sylb.* *f* Incluſum τινῶν non exſtat ſupra p. 205. v. 45. *g* In margine *Cod. Bodl.* ἴσ. αὐτοῦ. *h* Incluſum τε addita eſt ex vulgatis *Platonis* editionibus: itidemque δὴ pag prox. v. 1. Rurſum θεῶν eodem verſu ab eiſdem editionibus abeſt. In eiſdem editionibus verſu 3. legitur δώδεκα: & verſu quinto ἐκ γῆς αὐτῶν τὸ αὐτοῦ: & mox, tranſpoſito articulo, ἕπεται δ᾽ ὁ ἀεὶ θέλ. Exſtat autem locus apud *Platonem* in *Phædro*, editionis *Stephaneæ* p. 246. E. *Sylb.*

"(δὲ) ἄλλων ὅσοι ἐν τῷ τῶν δώδεκα (θεῶν) ἀριθμῷ τεταγμένοι θεοὶ ἄρχοντες, ἡγοῦνται κατὰ τάξιν ἣν ἕκαστος ἐτάχθη. πολλαὶ μὲν οὖν καὶ μακάριαι θέαι τε καὶ ἔξοδοι ἐντὸς οὐρανοῦ, ἃς θεῶν γένος εὐδαιμόνων ἐπιστρέφεται, πράττων ἕκαστος δι' αὐτοῦ τὰ αὑτῶν· ἕπεται δ' ἀεὶ ὁ θέλων τε καὶ δυνάμενος, φθόνος γὰρ ἔξω θείου χοροῦ ἵσταται". Ταῦτα καὶ τὰ ὅμοια τούτοις, ἃ πολλά ἐστιν, εἰ λάβοι μέλη καὶ ῥυθμοὺς, ὥσπερ οἱ διθύραμβοι καὶ τὰ ὑπορχήματα, τοῖς Πινδάρου ποιήμασιν ἐοικέναι [a] δόξειεν ἄν, τοῖς εἰς τὸν ἥλιον εἰρημένοις, ὥς γ' ἐμοὶ φαίνεται· "Ἀκτὶς ἀελίου, τί πολύσκοπ' ἐμῆς θεῶ μ' ἄτερ ὀμμάτων. ἄστρον ὑπέρτατον ἐν ἀμέρᾳ κλεπτόμενον ἔθηκας ἀμάχανον ἰσχὺν πλανὸν ἀνδράσι, καὶ σοφίας ὁδὸν [b] ἐπισκότειν ἄτροπον ἐσσαμένα ἐλαύνειν τι νεώτερον ἢ πάρος. ἀλλά σε πρὸς Διὸς ἵππος θοὰς ἱκετεύω, ἀπήμονα ἐς ὄλβον τινὰ τέρποιο Θήβαις ὦ πότνια, πάγκοινον τέρας πολέμου δὶς ἅμα φέρεις τινὸς, ἢ καρποῦ φθίσιν, ἢ νιφετοῦ σθένος ὑπέρφατον, ἢ στάσιν οὐλομένην, ἢ πόντου κενεῶσιν ἀλλὰ πέδον, ἢ παγετὸν χθονὸς, ἢ νότιον θέρος ὕδατι ζακότῳ ῥέον, ἢ γαῖαν κατακλύσασα, θήσεις ἀνδρῶν νέον ἐξ ἀρχῆς γένος ὀλοφυ" . . . πάντων μεταπείσομαι· καὶ ταῦτα οὐ . . . . . . ὡς παρὰ Πλάτωνι.

η. Ἀλλὰ γὰρ, [c] ἵνα μὴ . . ὁ λόγος μοι προβῇ, Πλάτωνα μὲν ἐάσω, πορεύσομαι δ' ἐπὶ τὸν Δημοσθένην, οὗ δὴ χάριν τούς τε χαρακτῆρας τῆς λέξεως οὓς ἡγούμην εἶναι κρατίστους, καὶ τοὺς δυναστεύσαντας ἐν αὐτοῖς, κατηριθμησάμην, οὐχ ἅπαντας. Ἀντιφῶν γὰρ δὴ καὶ Θεόδωρος [d] καὶ Πολυκράτης, Ἰσαῖός τε καὶ Ζώιλος καὶ Ἀναξιμένης, καὶ οἱ κατὰ τοὺς αὐτοὺς γενόμενοι τούτοις χρόνους, οὐθὲν οὔτε καινὸν οὔτε περιττὸν ἐπετήδευσαν, ἀλλὰ ἀπὸ τούτων τῶν χαρακτήρων, καὶ παρὰ τούτους τοὺς κανόνας τὰς ἑαυτῶν λέξεις κατεσκεύασαν. τοιαύτην δὴ καταλαβὼν τὴν πολιτικὴν λέξιν ὁ Δημοσθένης, οὕτω κεκινημένην ποικίλως, καὶ τηλικούτοις ἐπεισελθὼν ἀνδράσιν, ἑνὸς [e] οὐθενὸς ἠξίωσε γενέσθαι ζηλωτὴς, οὔτε χαρακτῆρος, οὔτε ἀνδρός· ἡμιέργους τινὰς ἅπαντας οἰόμενος εἶναι καὶ ἀτελεῖς· ἐξ ἁπάντων δ' αὐτῶν ὅσα κράτιστα καὶ χρησιμώτατα ἦν, ἐκλεγόμενος, συνύφαινε, καὶ μίαν ἐκ πολλῶν διάλεκτον ἀπετέλει, μεγαλοπρεπῆ, λιτήν· περιττὴν, ἀπέριττον· ἐξηλλαγμένην, συνήθη· πανηγυρικὴν, ἀληθινήν· αὐστηρὰν, ἱλαράν· σύντονον, ἀνειμένην· ἡδεῖαν, πικράν· ἠθικὴν, παθητικήν· οὐδὲν διαλλάττουσαν τοῦ μεμυθευμένου παρὰ τοῖς ἀρχαίοις ποιηταῖς [f] Πρωτέως· ὃς ἁπάσας ἰδέας μορφῆς ἀμογητὶ μετελάμβανεν· εἴτε θεὸς ἢ δαίμων τις ἐκεῖνος ἄρα ἦν, παρακρουόμενος ὄψεις τὰς ἀνθρωπίνας· εἴτε διαλέκτου ποικίλον [g] δή χρῆμα, ἐν ἀνδρὶ σοφῷ, πάσης ἀπατηλὸν ἀκοῆς· ὃ μᾶλλον ἄν τις εἰκάσειεν· ἐπειδὴ ταπεινὰς καὶ ἀσχήμονας ὄψεις οὔτε θεοῖς οὔτε δαίμοσι περιάπτειν ὅσιον. ἐγὼ μὲν τοιαύτην τινὰ δόξαν ὑπὲρ

"qui in numero duodeno ſunt, Dii majorum "gentium, ducunt eo, quo collocati ſunt, ordine. Multa igitur in cœlo & beata ſunt "ſpectacula & diſcurſus, quos beatorum turba exhibet, unuſquiſque officium ſuum peragens. ſubſequitur porro libenter & valenter, nam à divino conſortio ipſa exſulat "invidia". Hæc & ſimilia, quæ plurima ſunt, ſi in certos modulos & numeros diſtincta eſſent, ut ſunt & dithyrambi ſaltantiumque cantilenæ, Pindaricis meo judicio verſibus, quos in Solem compoſuit, ſimilia viderentur: "*Multituens ſolis ocelle, ne te cæcum lumine "cernam. Sidus nempe ſupremum fuſcatum "medio die reddis, robur ingens illud renovabile mortalibus, & viam ſapientiæ; obſcuram gradiens viam, quo prius haud veheris tramite. At te per Jovis optimi numen obteſtor, quadrijugos equos in lætum "magis omen Thebis non averſus agas. O "lux, orbis nunc terror univerſi, ſeu belli "tu ſigna refers mala, ſeu blandæ interitum "Cereris, ſive vim nivis horridam, ſeu populi fera damna rebellis, ſive inductum frugibus æquor, ſeu glaciem, aut ver nimis humidum, undanti vehemens pluvia, ſeu terram diluvio obruens, humanum nunc iterum genus miſerabile peſſundabis". . . . omnium mutabo ſententiam; atque hæc non . . . ut apud Platonem.

VIII. Sed † ne immenſum creſcat oratio, Platonē omittam, ac ad Demoſthenem me convertam, cujus profecto in gratiam aliquot dicendi genera, quæ *nimirum* cæteris præſtare exiſtimavi, & eorum principes artificeſque enumeravi, non tamen omnes. Antiphon enim, Theodorus, Polycrates, Iſæus, Zoilus, Anaximenes, cæterique qui iiſdem temporibus claruerunt, nullam novitatem & excellentiam ſectati ſunt; ſed ad hæc dicendi genera, & ad has normas & regulas dictionem ſuam conformarunt. Talem itaque civilem dictionem amplectens Demoſthenes, adeo variam, & poſt tantos oratores natus, nullum omnino voluit imitari, nec ſtylum, nec oratorem; ſed cæteros omnes medium tantum aſſecutos eſſe, nec partem aliquam perfeciſſe ratus, ex omnibus quæ optima eſſent, & quæ plurimum illum juvarent, delegit, & e multis unum genus abſolvit perfecitque, ſplendidum, tenue; ſupervacaneum, non ſupervacaneum; novum, commune, ‡ panegyricum, verum; rigidum, jucundum; incitatum, remiſſum; venuſtum, amarum; lene, patheticum; ut nihil à Proteo antiquis poëtarum fabulis celebrato differat; qui omnes ſibi nullo negotio formas adaptabat; ſive Deus ſive Dæmon aliquis fuerit, hominum oculos præſtigiis faſcinans, ſeu homo qui variis loquendo linguis hominum aures falleret & demulceret; quod magis veriſimile eſt: cum nefas ſit & Diis & Divis humiles ineptaſque formas affingere.

Demoſthenis ſtylus.

a In exemplari eſt δέξειαν: corrupte. *Sylb.* b *Henricus Stephanus* in *Pindari* fragmentis legit ἐπισκόττω. Verſu autem 16. rectius fortaſſe τρέποιο. Sic v. 20. convenientius fortaſſe δίερον. *Sylb.* c Poſt ἵνα μὴ breve commatium deeſt, πέρα τοῦ μετρίου, vel ſimile. *Lollini* ſchedæ, ut in ſuperioribus, ita & hic brevius habent, ἀλλὰ Πλάτωνα μὲν ἐάσω, πορ. *Sylb.* d In exemplari eſt καὶ Πολυκέλλου Πολυκράτης: unde ſuſpicari aliquis poſſit, legendum hic eſſe καὶ Πολυκράτης καὶ Κριτίας: ſicut in *Iſæo* ſupra p. 178. v. 22. poſt Polycratem nominatur etiam Critias. *Sylb.* e Οὐθενὸς poſitum hic pro adverbio negativo οὐκ. Sequenti v. corrupte in exemplari ſcriptum ἡμιέργους. *Sylb.* f Simile quid in Polydeuce ſeu Polluce refert *Philoſtratus. Sylb.* g Et δὴ ferri poteſt, & τι pro eodem ſubſtitui. * Ex interpretatione Cl. *Barneſii* in Græcis mortalium doctiſſimi. Vide Annott. † *Μακρὸν* addidi. *Mart.* ‡ Al. *Panegyricum & ornatu compoſitum.*

affingere. Idem omnino de Demoſthene ſentio, & hujuſmodi ei ſtylum attribuo, qui ex omni genere compoſitus eſt.

IX. An autem recte ſenſerim, videre poterit is, qui orationes ejus cupiet examinare. Hæc igitur ſunt, quæ ad formam Thucydideam compoſita ſunt: "Cum multæ, Athenienſes, orationes in omni fere conſilio, de injuriis, quæ non modo vobis, ſed reliquis etiam Græcis à Philippo, ex quo pacem fecit, inferuntur, habeantur: cumque probe ſciam dicturos eſſe omnes, etſi re non idem præſtent, oportere tum verbis tum rebus ipſis proſpicere, ut ille ab injuria deſiſtat, debitaſque pœnas luat: eo deducta projectaque omnia cerno, ut verear, ne, quod dicam, contumelioſe illud quidem, ſed vere tamen dici poſſet. Ego, ſi quod maxime contra rempublicam foret oratores omnes ſuadere, voſque ſuffragiis veſtris comprobare voluiſſetis, nihil deteriore loco quam nunc eſt, remp. arbitror futuram fuiſſe". In quo autem putem hanc dictionem eſſe ſimillimam Thucydideæ? quia cæteris prorſus diſſimilis eſt: hoc eſt, quod ſententias non recta & vulgari ratione proferat, neve, ut alii ſolent, ſimpliciter ingenueque: ſed ſermonem loquendi vulgarem & communem in novum & affectatum convertat commutetque. Ita porro ſe res, ut dico, habet. Sed ſi hoc illam collocaſſet modo, ſimplex omnino oratio fuiſſet, & rectam elocutionis formam habuiſſet: Πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γιγνομένων καθ᾽ ἑκάστην σχεδὸν ἐκκλησίαν, περὶ ὧν ἀδικεῖ Φίλιππος ἐς ὑμᾶς τε καὶ τοὺς ἄλλους Ἕλληνας, ἀφ᾽ οὗ τὴν εἰρήνην ἐποιήσατο. Nunc vero illud ὀλίγου δεῖν ſumptum eſt loco vocis σχεδόν: & illud ἀδικεῖ Φίλιππος diviſum à prioribus, & longo intervallo ſubſequens: atque hoc οὐ μόνον ὑμᾶς ἀλλὰ καὶ τοὺς ἄλλους Ἕλληνας, cum poſſet ſine negatione rem continenter ſignificare, inuſitatam & ſupervacaneam dictionis formam adhibet. Ad eundem etiam modum id quod mox ſequitur, ſi ſimpliciter & non artificioſe dixiſſet, hac pene ratione fuiſſet proferendum: Καὶ ἁπάντων λεγόντων, καὶ εἰ τινες τοῦτο μὴ ποιοῦσι, ὡς δεῖ καὶ λέγειν καὶ πράττειν ταῦτα ἐξ ὧν ἐκεῖνος παύσεται τῆς ὕβρεως, καὶ δίκην δώσει. Similiter illud, καὶ πάντων εὖ οἶδ᾽ ὅτι φησάντων γ᾽ ἄν, non debitum & legitimum ordinem ſervat. Nam illud οἶδ᾽ ὅτι non neceſſario ponendum fuit; atque φησάντων γ᾽ ἂν pro φασκόντων acceptum, non ſimplici ſermone ſed novo prorſus & ſupervacaneo dictum eſt. His ſimilia ſunt & illa: "An exiſtimatis, cum ille eos, qui nihil ei nocere, fortaſſe autem, ne quod ipſi detrimentum acciperent, cavere potuerunt, per fraudem opprimere, quam in dicto bello aggredi

Dictio Demoſthenis Thucydideæ ſimilis eſſe oſtenditur.

τῆς Δημοσθένους λέξεως ἔχω, καὶ τὸν χαρακτῆρα τοῦτον ἀποδίδωμι αὐτῷ, τὸν ἐξ ἁπάσης μικτὸν ἰδέας.

θʹ. Εἰ δὲ τὰ προσήκοντα ἔγνωκα, πάρεστι τῷ βουλομένῳ σκοπεῖν, ἐπ᾽ αὐτῶν ποιουμένῳ [a] τὸν λόγων . . . μάτων τὴν ἐξέτασιν. ἃ μὲν οὖν παρὰ τὸν Θουκυδίδου χαρακτῆρα κατεσκεύασται τῷ ῥήτορι· "(Πολλῶν,) ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γινομένων, ὀλίγου δεῖν καθ᾽ ἑκάστην ἐκκλησίαν, περὶ ὧν Φίλιππος, ἀφ᾽ οὗ τὴν εἰρήνην ἐποιήσατο, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τοὺς ἄλλους [b] (Ἕλληνας) ἀδικεῖ, καὶ πάντων εὖ οἶδ᾽ ὅτι φησάντων γ᾽ ἄν, εἰ καὶ μὴ ποιοῦσι τοῦτο, καὶ λέγειν 168
[c] (δεῖν) καὶ πράττειν (ἅπασι προσήκειν,) ὅπως ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην δώσει, εἰς τοῦτο ὑπηγμένα πάντα τὰ πράγματα καὶ προειμένα ὁρῶ, ὥστε δέδοικα μὴ βλάσφημον μὲν εἰπεῖν, ἀληθὲς δὲ ᾖ· εἰ καὶ λέγειν ἅπαντες ἐβούλοντο οἱ παριόντες, καὶ χειροτονεῖν ὑμεῖς, [d] (ἐξ ὧν) ὡς φαυλότατα τὰ πράγματα ἔμελλεν ἕξειν, οὐκ ἂν ἡγοῦμαι δύνασθαι χεῖρον ἢ νῦν διατεθῆναι". κατὰ τί δὴ ταύτην ἡγοῦμαι τὴν λέξιν ἐοικέναι τῇ Θουκυδίδου; καθ᾽ ὃ κἀκείνην πείθομαι μάλιστα διαφέρειν τῶν ἄλλων. [e] τοῦτο δ᾽ ἐστὶ τὸ μὴ κατ᾽ εὐθεῖαν ἑρμηνείαν ἐξενηνέχθαι τὰ νοήματα, μηδ᾽, ὡς ἐστὶ τοῖς ἄλλοις συνήθες, λέγειν ἁπλῶς καὶ ἀφελῶς· ἀλλὰ ἐξηλλάχθαι καὶ ἀπεστράφθαι τὴν διάλεκτον ἐκ τῶν ἐν ἔθει καὶ κατὰ φύσιν, εἰς τὰ μὴ συνήθη τοῖς πολλοῖς, μηδ᾽ ὡς ἡ φύσις ἀπαιτεῖ. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν. [f] ἁπλῶς ἂν ὁ λόγος ἐστὶ καὶ κατ᾽ εὐθεῖαν ἑρμηνείαν ἐκφερόμενος, εἴ τις οὕτως κατεσκεύασεν αὐτόν· "Πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γινομένων καθ᾽ ἑκάστην σχεδὸν ἐκκλησίαν, περὶ ὧν ἀδικεῖ Φίλιππος ἐς ὑμᾶς τε καὶ τοὺς [g] (ἄλλους) Ἕλληνας, ἀφ᾽ οὗ τὴν εἰρήνην ἐποιήσατο". νυνὶ δὲ τό, τε "Ὀλίγου δεῖν" παρειληφθὲν ἀντὶ τοῦ "Σχεδόν"· καὶ τὸ "Ἀδικεῖ Φίλιππος" διαιρεθέν, καὶ διὰ μακροῦ τὴν ἀκολουθίαν κομισάμενον· καὶ τὸ "Οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τοὺς ἄλλους Ἕλληνας", δυνάμενον καὶ χωρὶς ἀποφάσεως διὰ τῆς [h] συμπλοκῆς τὸ πρᾶγμα δηλῶσαι, οὐ συνήθους ἐξηλλαγμένην καὶ περίεργον πεποίηκε τὴν λέξιν. ὁμοίως δὲ καὶ (τὸ) ἐπιλεγόμενον τούτῳ, εἰ μὲν ἁπλῶς καὶ ἀπερίεργως ἔδει ῥηθῆναι, [i] τοῦτον ἂν δή που τὸν τρόπον ἀπηγ . . . "ἁπάντων λεγόντων, καὶ εἰ τινες τοῦτο μὴ ποιοῦσι . . . " . . . δεῖ καὶ λέγειν (καὶ) πράττειν ταῦτα ἐξ ὧν ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην δώσει". οὕτω δὲ ἐξενεχθέν, "Καὶ πάντων εὖ οἶδ᾽ ὅτι φησάντων γ᾽ ἄν", οὐ σώζει τὴν εὐθεῖαν τῆς λέξεως ὁδόν. τό, τε γὰρ "Οἶδ᾽ ὅτι" χώραν οὐκ ἀναγκαίαν ἔχει"· καὶ τὸ "Φησάντων γ᾽ ἄν", ἀντὶ τοῦ "Φασκόντων" παρειλημμένον, οὐ τὴν ἀφελῆ διάλεκτον, ἀλλὰ τὴν ἐξηλλαγμένην καὶ περίεργον ἐμφαίνει. ὅμοια δὲ τούτοις ἐστὶ κἀκεῖνα· "Εἶτ᾽ οἴεσθε οἳ μὲν [k] (οὐδὲν) ἂν αὐτὸν ἐδυνήθησαν ποιῆσαι κακόν, αὐτοὶ δὲ μὴ παθεῖν ἐφυλάξαντ᾽ ἂν ἴσως, τούτους μὲν "ἐξα-

a Forſan legendum τῶν λόγων καὶ τῶν νοημάτων (vel ἐνθυμημάτων) τὴν ἐξ. Verſu mox ſequenti incluſum πολλῶν additum è vulg. editt. *Demoſthenis.* ſed deſiderari videntur ibidem etiam alia. *Sylb.* *b* Incluſum Ἕλληνας, in exemplari omiſſum, infra in metaphraſi exprimitur, verſu 26. Eſt autem locus hic initium tertiæ *Philippicæ* in vulg editt. *Dem.* & citatus eſt etiam ſupra p. 264. v. 34. *Sylb.* *c* Incluſa addita ſunt ex eiſdem editt. Ibidem exempl. habet περιείμενα: minus convenienter. *Sylb.* *d* Ἐξ ὧν addita ex vulg. editionibus: atque ita ſupra etiam legitur p. 264. v. 44. *Sylb.* *e* In *Lollini* ſchedis pro τοῦτ᾽ ſcriptum τοιοῦτο: minus recte. *Sylb.* *f* Ἁπλῶς ferri poteſt. ſi quis tamen ἁπλοῦς malit, per me licet. Pro ἐστὶ ſane mox legendum εἴη, vel ἦν. *Sylb.* *g* Incluſum ἄλλους deeſt in exemplari. *Sylb.* *h* Συμπλοκῆς nomine intelligit copulativas particulas τε & καί. brevius enim dicere orator potuiſſet ὑμᾶς τε καὶ τοὺς ἄλλους Ἑλλ. Sequenti verſu incluſum τὸ deeſt in exemplari. *Sylb.* *i* Locus ſic videtur explendus, τοῦτον ἂν δή που τὸν τρόπον ἀπήγγελτο· Καὶ ἁπάντων λεγόντων, εἰ δὲ τινὲς τοῦτο μὴ ποιοῦσιν, ὡς δεῖ καὶ λέγειν καὶ πρ. *Sylb.* *k* Incluſum οὐδὲν in exemplari omiſſum eſt, & corrupta ibidem etiam alia. Citatus idem locus etiam ſupra p. 264. v. 71. & p. 173. v. 9. *Sylb.*

a Forſan

"ἐξαπατᾷν αἱρεῖσθαι μᾶλλον, ἢ προλέγοντα βιάζεσθαι"; ἐνταῦθοῖ γὰρ οὐθὲν ἂν εἶχεν περίεργον ἡ λέξις, οὐδὲ σκολιὸν, εἰ τοῦτον ἐξήνεγκε τὸν τρόπον· "Εἶτ᾽ οἴεσθε αὐτὸν, οὓς μὲν ἑώρα μηδὲν [a] δυναμένους αὐτῶν, αὐτὸν διαθεῖναι κακὸν, φυλαξαμένους δὲ ἂν ἴσως μὴ παθεῖν, τούτους μὲν ἐξαπατᾷν αἱρεῖσθαι μᾶλλον, ἢ προλέγοντα βιάζεσθαι"; ἐναλλαγείσης δὲ τῆς πτώσεως, καὶ τῶν συνδέσμων πολλῶν εἰς βραχὺ συναχθέντων, οἶμαι, περίεργός τε καὶ ἀσυνήθης καὶ ἐξηλλαγμένη γέγονεν ἡ διάλεκτος. ἔτι κἀκεῖνα τῆς αὐτῆς ἐστιν ἰδέας· "Νῦν δὲ τοῦτο μὲν οὐκ ἐποίησεν, ἐν ᾧ τὸν δῆμον ἐτίμησεν ἂν, οὐδ᾽ ἐνανιεύσατο τοιοῦτον οὐδέν. ἐμοὶ δὲ, ὃς εἴτέ τις, ὦ Ἀθηναῖοι, βούλεται νομίσαι μανίαν· μανία γὰρ ἴσως ἐστὶν ὑπὲρ δύναμιν [b] τι ποιεῖν· εἴτε καὶ φιλοτιμίαν· χορηγὸς ὑπέστην· οὕτω φανερῶς ἱματίων, μηδὲ τοῦ χοροῦ, μηδὲ τοῦ σώματος, τὼ χεῖρε τελευτῶν ἀποσχέσθαι μου". τί δὴ πάλιν ἐστὶν ἐν τούτοις τὸ συνταράττον τὴν κατὰ φύσιν ἀπαγγελίαν; πρῶτον μὲν, τὸ, πρὶν ἀπαρτίσαι τὸ ἡγούμενον, εἴτε νόημα χρὴ λέγειν, εἴτε κῶλον, ἕτερον παρεμβαλεῖν· καὶ μηδὲ τοῦ δευτέρου τέλος ἔχοντος, τὸ τρίτον ἐπιζεῦξαι· εἶτα τὴν τοῦ δευτέρου νοήματος ἀκολουθίαν ἐπὶ τῷ τρίτῳ τέλος εἰληφότι, θεῖναι· κἄπειτα ἐπὶ πᾶσιν, ὃ τοῦ πρώτου μέρος ἦν, διὰ μακροῦ, καὶ [c] οὐκ τῆς διανοίας αὐτοῦ προσεχομένης, ἀποδοῦναι. . . γὰρ ὅς . οὔπω τοῦτο τέλος ἔχει. "Εἴτέ τις, ὦ Ἀθηναῖοι, βούλεται νομίσαι μανίαν"· ἕτερον τοῦτο κεχωρισμένον τοῦ προτέρου, ἀτελὲς καὶ αὐτό. "Μανία γὰρ ἴσως ἐστὶν ὑπὲρ δύναμιν τι ποιεῖν· [d] οὐδέτερου τοῦ πάλιν τῶν προειρημένων μέρος, ἀλλ᾽ αὐτὸ καθ᾽ αὐτό· κεφαλαιώδης γάρ τις ἐστιν ἀπόφασις ἡ φιλοτιμία· τοῦτο δὲ τοῦ δευτέρου μέρος ἦν. τὸ, "Εἴτέ τις βούλεται νομίσαι μανίαν. τὸ δ᾽ ἐπὶ τούτοις λεγόμενον ἅπαν, τὸ, "Χορηγὸς ὑπέστην", τοῦ πρώτου μέρος ἦν, τὸ, "Ἐμοὶ δὲ, ὅς". μυρία τοιαῦτα ἐστὶ παρὰ Δημοσθένει, καὶ μάλιστα ἐν τοῖς ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ λόγοις· [e] μᾶλλον δὲ μὴ οὕτως ἔχοντα· πλὴν ἑνὸς λόγου τοῦ ΠΕΡΙ ΑΛΟΝΗΣΟΥ· πολλὰ δὲ καὶ ἐν τοῖς δικανικοῖς ἀγῶσι τοῖς γε οὖν δημοσίοις· καὶ σχεδὸν ἔν τε τούτοις, καὶ ταῖς δημηγορίαις· ὥσπερ ἔφην ἂν διαγνοίης σημείῳ προχειροτάτῳ τὸν Δημοσθένους χαρακτῆρα. τῷ δὲ ἧττον ἢ μᾶλλον αὐτοῖς κεχρῆσθαι τὸν ἄνδρα πρὸς τὰς φύσεις ἀποβλέποντα τῶν ὑποθέσεων, καὶ τὰς ἀξιώσεις τῶν προσώπων, πλανηθήσεταί τις· ὅπερ ἴσως οὐκ ἄλογον.

ί. Φέρε δὴ καὶ τίνι διαλλάττει τῆς Θουκυδίδου λέ-
169 ξεως ἡ Δημοσθένους, ἡ παρὰ τὸν αὐτὸν κατεσκευασμένη χαρακτῆρα, εἴπωμεν. ἀπαιτεῖ γὰρ ὁ λόγος. οὐχὶ τῷ ποιῷ, μὰ Δία· τοῦτο μὲν γὰρ ὁμοίως ἐπιτηδεύουσιν ἀμφότεροι· λέγω δὲ τὸ ἐξαλλάττειν ἐκ τοῦ συνήθους, καὶ μὴ τὸ κοινὸν, ἀλλὰ τὸ περιττὸν διώκειν· τῷ δὲ πόσῳ, καὶ ἔτι μᾶλλον τοῖς καιροῖς. ὁ μὲν γὰρ ἀταμιεύτως τῇ κατασκευῇ κέχρηται καὶ [f] ἄγεται μᾶλ-

"maluerit? Nihil ſupervacaneum, nec otioſum, nec intortum, ſi hoc modo dixiſſet: Εἶτ᾽ οἴεσθε αὐτὸν, οὓς μὲν ἑώρα μηδὲν δυναμένους αὐτῶν, αὐτὸν διαθεῖναι κακὸν, φυλαξαμένους δὲ ἂν ἴσως μὴ παθεῖν, τούτους μὲν ἐξαπατᾷν αἱρεῖσθαι μᾶλλον, ἢ προλέγοντα βιάζεσθαι; mutato enim caſu & conjunctionibus multis in unum compactis, eum in ſupervacaneam & inuſitatam atque novam loquendi formam exiſtimo incidiſſe. Quin & hæc illis non admodum diſſimilia ſunt: "Jam vero id quidem non fecit, in quo populum honore afficere potuiſſet, nec ullum tale generoſitatis ſpecimen edidit. Sed me, ſive quis, Athenienſes, inſaniam exiſtimare vult, (eſt enim fortaſſe inſaniæ, niti ſupra vires) ſive liberalitatem (quod ultro ædilitatem ſubii,) *adeo palam & nefarie inſultans affectatus eſt, ut neque à ſacris veſtibus, neque à choro, denique nec à corpore meo manus abſtineret". Quid iterum hîc naturalem elocutionem turbat & confundit? Primum quidem, quod antequam abſolvat quod prius poſitum erat, ſive ſententia ſive colon dicendum eſt, aliud interjecerit; & cum ſecundum nondum finitum ſit, tertium novum ſubjunxerit; deinde quod ſecundæ ſententiæ conſequentiam in tertia jam finita poſuerit; & tertio in omnibus, quod primi membri partem longo intervallo, cum nihil amplius intelligeretur, reddiderit. Nam illud, ἐμοὶ δὲ, ὃς, ſuſpenditur, nec finem habet. Εἴτέ τις, ὦ Ἀθηναῖοι, βούλεται νομίσαι μανίαν: aliud iterum membrum ſeparatum à priore, & etiam imperfectum. Μανία γὰρ ἴσως ἐστὶν ὑπὲρ δύναμιν τι ποιεῖν: nec etiam illud membrum ad præcedentia pertinet, ſed ipſum per ſe ſubſiſtit. eſt namque ſententia ad alias non ſpectans. ἡ φιλοτιμία eſt pars ſecundi membri, nempe, εἴτέ τις βούλεται νομίσαι μανίαν. quod mox ſequitur totum, viz. χορηγὸς ὑπέστην, primi pars eſt, ejus ἐμοὶ δὲ, ὅς. Sexcenta hujuſmodi in Demoſthene aliquis reperiat, præſertim vero *in Philippicis*: & vero pauca admodum ſunt, quæ ita tranſlata non ſint, præter unicam orationem *de Haloneſo*: plurima autem in cauſis judicialibus iiſque publicis occurrunt, & ferme in ſolis his & concionibus popularibus, quo ſigno optime Demoſthenis ſtylum, ut dixi, agnoſcas. Si quis autem putet, hunc oratorem, quod ad argumentorum naturam perſonarumque dignitatem reſpexerit, his minus ſæpe uſum eſſe, errabit profecto: quod fortaſſe non abſurdum fuerit.

X. Age ergo, qua in re Demoſthenica dictio à Thucydidea, quæ ad eundem modum compoſita eſt, differat, attendamus. res enim poſtulat ut dicatur, non quantum diſtet qualitate & forma; (eandem enim uterque ſectatur, à vulgari nimirum ſermone ut deflectant, nec communem ſed eximium quærant) at quantum quantitate, & adhuc magis opportunitate. Hic quidem aperte compoſitione uſus eſt, & ab ea magis ducitur quam ducat; verum

Diſcrimen Thucydidis & Demoſthenis.

[a] Forſan rectius, δυναμένους αὐτὸν διαθ. expuncto genitivo αὐτῶν. Sequenti verſu exemplar habet ἀναλλαγείσης: quod non eſt uſitatum. *Sylb.* [b] In eodem hîc eſt ἔτι: at non item infra v. 27. Sequenti verſu poſt φανερῶς mutilatus videtur locus. *Sylb.* [c] Forſan legendum οὐκέτι τῆς δ. Sequentia ſic videtur explenda; τὸ γὰρ, Ἐμοὶ δ᾽, ὅς, ἀπήρτηται, καὶ οὔπω τέλος ἔχει. *Sylb.* [d] Fortaſſe legendum, οὐδὲ τοῦτο πάλιν τῶν προειρ. μέρος. V. 29. ἡ φιλοτιμία reſpicit membrum illud v. 14. εἴτε καὶ φιλοτιμίαν. *Sylb.* [e] Forſan legendum μᾶλλον δὲ ὀλίγα τὰ μὴ οὕτως ἐχ. *Sylb.* [f] Forſan legendum ἄγεται μᾶλλον ὑπ᾽ αὐτῆς, ἢ αὐτὸς ἄγει. *Sylb.* * Hoc modo locum ſupplevi, καὶ μιαρῶς ἐπηρεάζων παρηκολούθησεν, ὥστε μηδὲ τῶν ἱερῶν &c. *Mart.*

verum occaſionem & locum ejus accipiendæ non probe novit: ſed ſæpenumero in hoc delinquit, ideoque inconveniens locutionis novitas dictionem ejus obſcuram reddit, &, quia occaſiones non captat, etiam invenuſtam. Ipſe autem Demoſthenes, cum ſatis tum etiam tempore & loco ea utitur; non modo dictionem ad oſtentationem componens, ut Thucydides, verum etiam ad hominum uſum. Quare & perſpicuitati, quæ maxime in cauſis forenſibus requiritur, ſtuduit, gravitatem ut in dicendo, quam eum quæſiviſſe apparet, coluiſſe videretur. Hæc ſunt nonnulla, quæ ad ſublimis, elaborati, & inuſitati ſtyli imitationem, cujus tota vis eſt in gravitate, Thucydidem, qui in eo unus excelluit, æmulando Demoſthenes formavit.

Lyſiæ cum Demoſthenis dictione comparatio.

XI. Quæ vero ad imitationem characteris ſimplicis, accurati, puri, & imitatione digni, (qui Lyſianus merito dici debet, ab eo qui in illo nimirum excelluit) orator reddidit, hæc ſunt. Nihil autem vetabit, imo tractatum noſtrum venuſtiorem reddet, Lyſiæ verba primum ponere, deinde ea Demoſthenis, quæ putem Lyſianis eſſe quam ſimillima. Lyſiæ ſunt narratio quædam injuriæ acceptæ: "Archippus iſte, Athenienſes, & Tiſis ille, qui modo reus eſt, in eandem palæſtram devenere. iracundia autem motus uterque calumniari, litigare, jurgare, conviciarique inceperunt. Pytheas vero adoleſcentis amator (vera enim vobis omnibus narrabo) ei à patre tutor relictus eſt. Cum itaque huic Tiſis convicia in ſe in palæſtra narraſſet; ipſe gratificari, & videri callidus, & inſidiari cupiens, ſuaſit (ut quidem nos è rei ſerie cognovimus, & ab iis qui probe noverunt intelleximus) inpræſentiarum quidem in gratiam redire, at occaſionem quærere, ut eum ſolum alibi nanciſceretur. His ille credens & ab injuria deſiſtens, & cum adverſario familiariter loquens, ſeque amicum ſimulans, eo inſaniæ, cum tam juvenis eſſet, redactus eſt . . . . . .
" . . . . . . cum cœnaſſemus, circa veſperum egreſſi pulſamus oſtium. illi nos ingredi juſſerunt. Cum jam eſſemus ingreſſi, me domo exturbant; hunc autem rapientes ad columnam ligaverunt: & ecce non nemo accepto flagello multa ei verbera inflixit, & in domum concluſit. neque his contentus, ſed peſſimos in civitate adoleſcentes imitatus, propter paternas opes recens jam acceptas jactans ſe & juvenem & divitem, juſſit jam iterum, exorto ſole, famulos, qui eum ad columnam ligaverant, flagellare. Jam itaque tali modo conſtituto adverſario Antimachum arceſſivit, qui tum forte cœnabat. Ille vero ebrius venit, pulſatoq; vehementius oſtio, in-

λον ὑπ' αὐτῆς ἄγει· ϗ οὐδὲ τὸν καιρὸν αὐτῆς ἐπίσταται λαβεῖν δεξιῶς, ἀλλὰ ϗ παρὰ τοῦτον πολλάκις ἁμαρτάνει. [a] καθ' ὃ ἡ μὲν ἀμετρία τῆς ἐξαλλαγῆς, ἀσαφῆ ποιεῖ τὴν λέξιν αὐτοῦ· τὸ δὲ μὴ κρατεῖν τῶν καιρῶν, ἀηδῆ. ὁ δὲ ῥήτωρ, οὗ τε ἀρκοῦντος στοχάζεται, ϗ τοὺς καιροὺς συμμετρεῖται· οὐκ εἰς ἀνάθημα ϗ κτῆμα [b] κα . . . . . . τὴν λέξιν μόνον, ὥσπερ ὁ συγγραφεύς, ἀλλὰ ϗ εἰς χρῆσιν. ὥστε οὔτε τὸ σαφὲς ἐκβέβηκεν, οὗ πρώτου τοῖς ἐναγωνίοις λόγοις δεῖ· τό, τε δεινὸς εἶναι δοκεῖν, ἐφ' ᾧ μάλιστα φαίνεται σπουδάζων, προσείληφε. τοιαῦτα μὲν δή τινά ἐστιν, ἃ παρὰ τὸ ὑψηλὸν ϗ ἐγκατάσκευον ϗ ἐξηλλαγμένον τοῦ συνήθους [c] χαρακτῆρος, οὗ τὸ κράτος ἅπαν ἦν ἐν τῇ δεινότητι, ϗ Θουκυδίδην τὸν ἐν αὐτῷ πείσαντα μιμούμενος ὁ Δημοσθένης κατεσκεύακεν.

ια'. [d] Α δὲ παρὰ τὸ βο . . τε ϗ ἀκριβῆ ϗ καθαρὸν ϗ ζηλωτὸν ἀπὸ τοῦ διαλάμψαντος ἐν αὐτῷ· Λυσιακὸς δ' ἂν εἰκότως λέγοιτο· τοιαῦτα. κωλύσει δ' οὐδέν, ἴσως δὲ χαριεστέραν ποιήσει τὴν θεωρίαν, τεθεῖσα πρῶτον ἡ Λυσίου λέξις, ᾗ τὴν Δημοσθένους ἐοικέναι πείθομαι, διήγησίν τινα περιέχουσα ὑβριστικήν· "Ἄρχιππος γὰρ [e] οὗτος, ὦ Ἀθηναῖοι, ἀπεδύσατο μὲν εἰς τὴν αὐτὴν παλαίστραν, οὗπερ ϗ Τίσις ὁ φεύγων τὴν δίκην. ὀργῆς δὲ γενομένης, ἐς κόμματά τε αὐτῆς ϗ ἀντιλογίαν ϗ ἔχθραν ϗ λοιδορίαν κατέστησαν. ἐστιν οὖν Πυθέας ἐραστὴς μὲν τοῦ μειρακίου· πάντα γὰρ εἰρήσεται τἀληθῆ πρὸς ὑμᾶς· ἐπίτροπος δὲ ὑπὸ τοῦ πατρὸς καταλελειμμένος. οὗτος, ἐπειδὴ Τίσις πρὸς αὐτὸν [f] (τὴν) ἐν τῇ παλαίστρᾳ λοιδορίαν διηγήσατο, βουλόμενος χαρίζεσθαι, ϗ δοκεῖν δεινὸς ϗ ἐπίβουλος εἶναι, ἐκέλευσεν αὐτόν, ὡς ἡμεῖς ἔκ τε τῶν πεπραγμένων ᾐσθήμεθα, ϗ τῶν εὖ εἰδότων ἐπυθόμεθα, ἐν μὲν τῷ παρόντι διαλλαγῆναι, σκοπεῖν δὲ ὅπως αὐτὸν μόνον που λήψεται. πεισθεὶς δὲ ταῦτα ϗ ἀπαλλαγείς, ϗ χρώμενος, ϗ προσποιούμενος ἐπιτήδειος εἶναι, εἰς τοῦτο μανίας, [g] τηλικοῦτος ὤν, ἀφίστατο . . τ' ἐτύγχανεν μὲν οὖσα ἱπποδρομία ἀνακείων . . . δ' αὐτὸν μετ' ἐμοῦ παρὰ τὴν θύραν παριόντων . . . . ἀλλήλων τυγχάνουσιν ὄντες· τὸ μὲν πρῶτον . . . ἐκέλευεν· ἐπειδὴ δὲ οὐ μετ' αὐτοῦ . . . δειπνήσαντες οὖν, ἤδη συσκοτάζοντος, ἐλθόντες, κόπτομεν τὴν θύραν. οἱ δ' ἡμᾶς ἐκέλευον εἰσιέναι. ἐπειδὴ δὲ ἔνδον ἐγενόμεθα, ἐμὲ μὲν ἐκβάλλουσιν οἰκίας· τουτονὶ δὲ συναρπάσαντες, ἔδησαν πρὸς τὸν κίονα· ϗ λαβὼν μάστιγά τις, ἐντείνας πολλὰς πληγάς, εἰς οἴκημα αὐτὸν καθεῖρξε. ϗ οὐκ ἐξήρκεσεν αὐτῷ ταῦτα μόνον ἐξαμαρτεῖν· ἀλλ' ἐζηλωκὼς μὲν τῶν νέων τοὺς πονηροτάτους ἐν τῇ πόλει, νεωστὶ δὲ τὰ πατρῷα παρειληφώς, ϗ προσποιούμενος νέος ϗ πλούσιος εἶναι, πάλιν τοὺς οἰκέτας ἐκέλευεν ἡμέρας ἤδη [h] γενομένης, πρὸς τὸν κίονα αὐτὸν δήσαντες μαστιγοῦν. οὕτω δὲ τοῦ σώματος ἤδη πονήρως διακειμένου, Ἀντίμαχον μεταπεμψάμενος, [i] τὸν μὲν δειπνῶν τύχοι· οὗτος δὲ μεθύων ἔλθοι· "ἐκκόψας

[a] In exemplari καθ' ὃ ἡ μὲν τῇ ἀμετρείᾳ: nullo plane ſenſu. Sequenti etiam verſu perperam ibidem ſcriptum ἀμηδῆ. *Sylb.* [b] Quatuor tantum ſyllabarum additione locus ſic videtur explendus, οὐκ εἰς ἀνάθημα ϗ κτῆμα κατασκευάζων τὴν λέξιν μόνον. reſpicit autem ad ſententiam illam quam *Thucydides* ipſe de ſua hiſtoria dicit ſupra p. 226. v. 45. *Sylb.* [c] Concinnius χαρακτῆρα, accuſ. caſu. Sequenti verſu pro πείσαντα requirit ſenſus προὔχοντα, vel ſimile quid. *Sylb.* [d] Talis quæpiam hîc inſtituenda lectio; ἃ δὲ παρὰ τὸ λιτόν τε καὶ ἀκριβῆ ϗ καθαρὸν ϗ ζηλωτόν· Λυσιακὸς δ' ἂν εἰκότως λέγοιτο, ἀπὸ τοῦ διαλάμψαντος ἐν αὐτῷ· τοιαῦτα. *Sylb.* [e] Pro οὗτος mendoſe in exemplari ſcriptum ὁ τὸρ. Sequenti verſu legendum opinor, ἐς σκώμματά τε ἐξ αὐτῆς. *Sylb.* In margine *Cod. Bodl.* ἴσ. εἰς σκώμματά τε αὐτοῖς. [f] Incluſus articulus τὴν in exemplari omiſſus eſt. Ibidem verius meo judicio eſt ἐπίβολος: id eſt εὔστοχος. *Sylb.* [g] Τηλικοῦτος ſignificat hîc *tam parvo natu.* Sequentia integrioris codicis opem deſiderant. nam inter vulgatas *Lyſiæ* orationes hæc non exſtat. *Sylb.* [h] In exemplari eſt γινομένης, errore ambiguo. *Sylb.* In ora *Cod. Bodl.* ἴσ. γιγνομένης. [i] Hic quoque mutilatus & corruptus eſt locus. *Sylb.* Forſan reponendum, ὁ μὲν δειπνῶν τυχὼν, quanquam nondum recte. *Mart.*

a Ad

"ἐκκόψας δὲ τὴν θύραν, καὶ εἰσελθὼν, κακῶς λέγοι αὐτὸν, "καὶ τὸν Ἀντίμαχον, καὶ τὰς γυναῖκας αὐτῶν. Ἀντίμα-"χος δὲ, ὠργίζετο μὲν αὐτοῖς, ὡς μεγάλα ἡμαρτηκό-"σιν· ὅμως δὲ μάρτυρας παρακαλέσας, ἠρώτα αὐτὸν "πῶς εἰσέλθοι· ὁ δὲ, κελεύσαντος Τίσιδος καὶ τῶν οἰκείων, ἔ-"φασκε. συμβουλευόντων δὲ τῶν εἰσελθόντων ὡς τάχιστα λῦ-"σαι, καὶ τὰ γεγενημένα δεινὰ νομιζόντων εἶναι, ἀπέδοσαν αὐ-"τὸν τοῖς ἀδελφοῖς. οὐ δυνάμενον δὲ βαδίζειν, ἐκόμισαν "αὐτὸν εἰς τὸ [a] Δεῖγμα ἐν κλίνῃ, καὶ ἐπέδειξαν πολ-"λοῖς μὲν Ἀθηναίων, πολλοῖς δὲ καὶ τῶν ἄλλων ξένων, οὕτως "διακείμενον· ὥστε τοὺς ἰδόντας μὴ μόνον τοῖς ποιήσασιν ὀρ-"γίζεσθαι, ἀλλὰ καὶ τῆς πόλεως κατηγορεῖν, ὅτι οὐ δημοσίᾳ οὐδὲ "παραχρῆμα τοὺς τὰ τοιαῦτα ἐξαμαρτάνοντας τιμωρεῖται.

ιβ'. Αὕτη μὲν ἡ [b] Λυσίου διήγησις ἐκ τοῦ ΚΑΤΑ ΤΙΣΙΔΟΣ λόγου· ἣν δὲ νῦν μέλλω λέγειν, Δημοσθένους, ἐκ τοῦ ΚΑΤΑ ΚΟΝΩΝΟΣ· ἧς τὴν πραγματικὴν ὁμοιότητα ἐάσαντες, [c] . . . . τὴν ἐν τῇ λέξει σκοπῶμεν·

"[d] Ἐξήλθομεν ἔτος (τουτὶ τρίτον) εἰς Πάνακτον,
170 "φρουρᾶς ἡμῖν προγραφείσης. [e] (ἐσκήνωσαν οὖν οἱ "υἱεῖς) οἱ τουτουῒ Κόνωνος ἐγγὺς ἡμῶν, (ὡς) οὐκ ἂν "ἐβουλόμην. ἡ γὰρ ἐξ ἀρχῆς ἔχθρα καὶ τὰ προσ-"κρούματα ἐκεῖθεν ἡμῖν συνέβη· ἐξῆς δὲ ἀκούσε-"σθε. ἔπινον ἑκάστοτε [f] οὗτοι τὴν ἡμέραν ὅλην ἐπει-"δὴ τάχιστα ἀριστήσειαν· καὶ τοῦθ' [g] ἕωσπερ ἦμεν ἐν "τῇ φρουρᾷ, διετέλουν ποιοῦντες. ἡμεῖς δ' ὥσπερ "ἐνθάδε εἰώθειμεν, οὕτω διήγομεν καὶ ἔξω· [h] καὶ ἣν "δειπνοποιεῖσθαι τοῖς ἄλλοις ὥραν συμβαίνει, ταύ-"την ἂν οὗτοι ἐπαρῴνουν ἤδη, τὰ μὲν πολλὰ εἰς τοὺς "ἀκολούθους ἡμῶν, τελευτῶντες [i] (δὲ καὶ εἰς) ἡμᾶς "αὐτούς. φήσαντες γὰρ καπνίζειν αὐτοὺς ὀψοποιου-"μένους τοὺς παῖδας, ἢ κακῶς λέγειν ὅ,τι τύχοιεν, "ἔτυπτον, καὶ τὰς ἀμίδας [k] κατεσκεδάννυσαν, καὶ "προσεούρουν, καὶ ἀσελγείας καὶ ὕβρεως οὐδ' ὁτιοῦν "ἀπέλειπον. ὁρῶντες δὲ ἡμεῖς ταῦτα, καὶ λυπούμε-"νοι, τὸ μὲν πρῶτον ἀπεπεμψάμεθα· ὡς δ' ἐχλεύαζον "ἡμᾶς, καὶ οὐκ ἐπαύοντο, [l] (τῷ στρατηγῷ) τὸ πρᾶ-"γμα εἴπομεν, κοινῇ πάντες οἱ σύσσιτοι προσελθόντες, "οὐδὲν ἐγὼ τῶν ἄλλων ἔξω. λοιδορηθέντος δὲ αὐτοῖς "ἐκείνου, καὶ κακίσαντος αὐτοὺς, οὐ μόνον περὶ ὧν εἰς "ἡμᾶς ἠσέλγαινον, ἀλλὰ καὶ [m] περὶ ὧν ἐποίουν ὅλως ἐν "τῷ στρατοπέδῳ, τοσούτου ἐδέησαν παύσασθαι ἢ αἰσχυν-"θῆναι, ὥστε ἐπειδὴ θᾶττον συνεσκότασεν, εὐθὺς ὡς ἡμᾶς "εἰσεπήδησαν ταύτῃ τῇ ἑσπέρᾳ· καὶ τὸ μὲν πρῶτον "κακῶς ἔλεγον, [n] ἔπειτα δὲ καὶ πληγὰς ἐνέτειναν ἐ-"μοί· καὶ τοσαύτην κραυγὴν καὶ θόρυβον περὶ τὴν σκηνὴν ἐ-"ποίησαν, ὥστε [o] (καὶ τὸν στρατὸν) καὶ τὸν στρατηγὸν καὶ τοὺς ταξιάρ-

"traſis, ei & Antimacho & eorum uxori-"bus conviciari cœpit. Antimachus quidem "illis iratus eſt, quia multum deliquerant, "tamen advocatis teſtibus rogat, quomodo "hic intrarit: ille, hortatu Tiſidis & do-"meſticorum, dixit. Suadentibus autem iis, "qui ingreſſi erant, ut quam citiſſime ſol-"veretur, & putantibus hæc acerba eſſe, tra-"diderunt eum fratribus ſuis. cum autem "incedere nequiret, tulerunt eum lecto in "Digma, multiſque Athenienſibus adeo cru-"deliter afflictum, & multis etiam peregri-"nis oſtenderunt: ut qui viderent non mo-"do iis, qui feciſſent, iraſcerentur; verum "etiam civitatem injuſtitiæ coarguerent, "quod non publice & ex tempore hujus in-"juriæ auctores caſtigaret.

Demoſthenis locus in Cononem de injuria.

XII. Hæc eſt narratio Lyſiæ ex oratione *adverſus Tiſidem.* hæc vero, quam jam ſum dicturus, ex oratione Demoſthenis *in Cononem* deprompta eſt: cujus ſimilitudinem, quæ in reipſa conſiſtit, cum Lyſiana, omittentes, quaſi nihil ad ea, quæ tractanda ſuſcepimus, neceſſariam, eam, quæ in dictione ipſiſque verbis conſiſtit, conſideremus: "Abhinc triennium cuſtodia nobis de-"nunciata, Panactum ingreſſi ſumus. ha-"buerunt autem Cononis filii tabernacula "prope nos, quod utinam factum non eſſet. "primæ enim inimicitiæ & offenſæ inde no-"bis ortæ ſunt, ſicut audietis. Potabant iſti "quotidie, cum primum pranſi eſſent totos "dies: idque, dum in præſidio fuimus, facere "non deſtiterunt. Nos vero, ut hîc ſoliti "eramus, ita foris quoque degebamus. Qua "igitur hora alii cœnam parare conſueve-"runt, ea iſti jam bacchabantur plerunque "in pueros noſtros pediſſequos, tandem et-"iam in noſmetipſos. illos enim, dum cibos "coquerent, fumo, aut conviciis, quicquid "eis in buccam veniebat, moleſtos ſibi eſſe "cum dicerent, & matulis petebant & per-"mingebant, neque ullum petulantiæ genus "aut contumeliæ prætermittebant. quæ cum "nos videremus & ægre ferremus, primum "diſſimulavimus: ut autem nos ſubſanna-"bant, nec deſinebant, duci rem indicavi-"mus, eumque communiter omnes contu-"bernales convenimus, non ego ſeorſim ab "aliis. qui cum eos objurgaſſet, & eorum "vecordiam accuſaſſet; non ob ea ſolum, de "quibus nos queſti eramus, ſed propter o-"mnia eorum in exercitu edita facinora: tan-"tum abfuit ut deſinerent, & erubeſcerent; "ut, cum primum tenebræ factæ eſſent, ſta-"tim in nos eodem die veſperi impetum fe-"cerint. ac primum maledixerunt, tandem "verberibus etiam me affecerunt, & tantum "clamorem & tumultum circa tentorium ex-"citarunt, ut & exercitus & dux & centu-"riones

a Ad Δεῖγμα in exemplari additum hoc ſcholion: ὁ τόπος ἐν τῷ Πειραιεῖ, ἔνθ' ἐδείκνυτο σῖτος καὶ τἄλλα, ὥσπερ ὑποδείγματα. quod idem fere cum *Harpocratione* tradit *Suidas. Sylb.* *b* In exemplari pro Λυσίου corrupte ſcriptum Λώρου. *Sylb.* *c* Si quid hîc deeſt, tale quodpiam deſideratur comma, ὡς οὐδὲν πρὸς τὰ ἐν χερσὶ προσήκουσαν. *Sylb.* *d* In vulg. editt. *Demoſth.* ſingulariter legitur ἐξῆλθον. Sequentia incluſa deſunt in exemplari. *Sylb.* *e* Incluſa addita ſunt è vulgatis editionibus; in quibus ibidem ſublato poſteriore articulo, & poſtpoſito pronomine demonſtrativo, ſic legitur, οἱ υἱεῖς Κόνωνος τουτουΐ. Sequenti verſu eædem pro ἐξῆς δὲ, habent ἐξ ὧν, *ex iis occaſionibus quas audietis. Sylb.* *f* In vulgatis libris, οὗτοι τὴν ἡμέραν, ἐπειδὴ τάχιστα ἀριστήσαιεν, ὅλην καὶ τοῦτο. *g* In exemplari eſt ὥσπερ: quod pro *dum* uſurpari non ſolet. *Sylb.* *h* Vulg. editt. pro καὶ ἥν, habent ἣν οὖν, *quam igitur,* & mox συμβαίνοι, ταύτην ἂν ἤδη ἐπαρῴνουν (al. ἐπαροίνουν) οὗτοι, τὰ μὲν πολλὰ εἰς τοὺς παῖδας ἡμῶν τοὺς ἀκολούθους· τελ. *i* Incluſa deſunt in exemplari. *Sylb.* *k* In vulgatis κατεσκεδάννυον. *Sylb.* *l* Τῷ στρατηγῷ deeſt in exemplari. Paulo poſt, vulg. editt. pro οὐδὲν habent οὐκ: verius fortaſſe οὐδὲ. *Sylb.* *m* Περὶ ὧν ὅλως ἐποίουν in editis *Demoſth.* *n* Vulgati pro ἔπειτα habent τελευτῶντες. *Sylb.* *o* Incluſum iſtud comma, καὶ τὸν στρατὸν, abeſt à vulgatis editionibus: recte. *Sylb.*

“riones venirent, & aliorum militum quidam, qui obſtiterunt, nequid in nos gravius conſulerent, aut à nobis paterentur, ea debacchatione irritatis. Re hactenus progreſſa, ut huc redivimus, iræ, ut fieri ſolet, inter nos & inimicitiæ ſane fuerunt: non tamen ego vel in jus propterea vocandos, vel ullam rationem eorum, quæ acciderant, habendam putabam. Sed illud omnino decreveram, cavere ac dare operam, ne poſthac in ſimiles homines inciderem. Exhibito igitur imprimis de his, quæ dixi, teſtimonio; poſtea quid ab eo ſim perpeſſus, oſtendam: ut ſciatis, eum, cui prima delicta caſtiganda fuiſſent, ipſum priorem multo atrociora commiſiſſe. TESTES. Quæ igitur prorſus negligenda eſſe duxi, hæc ſunt. Non multo autem poſt deambulante me pro meo more veſperi in foro cum Phanoſtrato Cephiſienſe, quodam ex æqualibus meis: præterit Cteſias, filius iſtius, ebrius, circa Leocorium, prope Pythodori ædes. Conſpicatus autem nos, clamore ſublato, ſecumque murmurans more ebrii hominis, ut non intelligeremus quid loqueretur, præteriit, Melitem verſus adſcendens. Potarant autem ibi apud Pamphilum fullonem, Conon, Theotimus quidam, Alcibiades, Spintharus Eubuli filius, Theagenes Andromenis F. multique alii. Quibus Cteſias concitatis in forum venit: atque ita accidit, nobis à Proſerpinæ fano revertentibus & deambulantibus, ut iterum prope Leocorium eſſemus, & in iſtos incideremus. Ut autem congreſſi ſumus, unus eorum homo ignotus, in Phanoſtratum irruit, eumque detinet. Conon autem & filius ejus, & Andromenis filius, in me facto impetu, primum me exuunt: deinde ſupplantatum & proſtratum in cœnam ſic tractarunt, inſultando & contumelioſe vexando, ut labrum diſcinderent & oculos occluderent, & tam male affectum relinquerent, ut neque ſurgere neque loqui poſſem. Jacens autem multa ex iis & amara audiebam; ac cætera quidem convicia ſunt, quorum quædam apud vos nominare erubeſcerem. Quod vero inſolentiæ Cononis ſignum, & argumentum eſt ductu ejus & auſpiciis facta eſſe omnia, id vobis dicam. Cantabat enim gallos victores imitans, alii autem jubebant eum alarum vice latera cubitis plangere.

XIII. Nonne hæc pura ſunt & admodum accurata, aperta, propriis vulgaribuſque verbis more Lyſiano compoſita? ſic equidem

“χοῦς ἐλθεῖν, [a] καὶ τῶν ἄλλων τινὰς στρατιωτῶν· οἳ διεκώλυσαν μηδὲν ἡμᾶς ἀνήκεστον παθεῖν, μηδ' αὐτοὺς ποιῆσαι, παροινουμένους ὑπὸ τούτων. τοῦ δὲ πράγματος εἰς τοῦτο [b] παρελθόντος, ὡς δεῦρο ἀνήλθομεν, (ἰοῦ ἡμῖν,) οἷον εἰκός, ἐκ τούτων ὀργὴ καὶ ἔχθρα πρὸς ἀλλήλους· [c] οὐ μὴν ἔγωγε (μὰ τοὺς θεοὺς) ᾤμην δεῖν οὔτε δίκην λαχεῖν αὐτοῖς, οὔτε λόγον ποιεῖσθαι τῶν συμβάντων [d] (οὐδένα·) ἀλλ' ἐκεῖνα ἁπλῶς ἐγνώκειν, τὸ λοιπὸν εὐλαβεῖσθαι καὶ φυλάττεσθαι μὴ πλησιάζειν ὡς τοὺς τοιούτους. πρῶτον μὲν οὖν, ὧν εἴρηκα, τούτων βούλομαι τὰς μαρτυρίας παρασχόμενος, μετὰ ταῦτα ὅσα ὑπὸ τούτου πέπονθα, ἐπιδεῖξαι· ἵνα [e] εἰδῆτε ὅτι (ᾧ) προσῆκε τοῖς τὸ πρῶτον ἁμαρτηθεῖσιν ἐπιτιμᾶν, οὗτος [f] αὐτὸς πρὸς τούτοις πολλῷ δεινότερα διαπέπρακται. ΜΑΡΤΥΡΕΣ. ὧν μὲν τοίνυν [g] οὐθένα ᾤμην δεῖν λόγον ποιεῖσθαι ταῦτα ἐστί. χρόνῳ δ' ὕστερον οὐ πολλῷ, περιπατοῦντος, ὥσπερ εἰώθειν, (ἑσπέρας) ἐν ἀγορᾷ μου μετὰ Φανοστράτου τοῦ [h] Κηφισιέως τῶν ἡλικιωτῶν τινος, παρέρχεται Κτησίας ὁ υἱὸς ὁ τούτου, μεθύων, κατὰ τὸ Λεωκόριον, ἐγγὺς [i] ἰὼν Πυθοδώρου. κατιδὼν δὲ ἡμᾶς, καὶ κραυγάσας, καὶ διαλεχθείς τι πρὸς αὐτὸν οὕτως ὡς ἂν μεθύων, ὥστε μὴ μαθεῖν ὅ,τι λέγει, παρῆλθε πρὸς μελέτην ἄνω. ἔπινον δ' ἄρα [k] ἐνταῦθα παρὰ Παμφίλῳ τῷ γραφεῖ Κόνων οὑτοσί, Θεόδωρός τις, Ἀλκιβιάδης, Σπίνθαρος ὁ Εὐβούλου, Θεογένης ὁ Ἀνδρομένους, πολλοί τινες· οὓς ἐξαναστήσας ὁ Κτησίας, ἐπορεύετο εἰς τὴν ἀγοράν, καὶ ἡμῖν συμβαίνει ἀναστρέφουσιν [l] ἐκ τοῦ Φερεφαττίου καὶ περιπατοῦσι πάλιν κατ' αὐτό πως τὸ Λεωκόριον εἶναι, καὶ τούτῳ περιτυγχάνομεν. ὡς δ' ἀνεμίχθημεν, εἷς μὲν αὐτῶν, [m] ἀγνώς τις, τῷ Φανοστράτῳ προσπίπτει, καὶ κατεῖχεν ἐκεῖνον· Κόνων δὲ οὑτοσί, καὶ ὁ υἱὸς αὐτοῦ, καὶ ὁ Ἀνδρομένους υἱός, ἐμοὶ περιπεσόντες, τὸ μὲν πρῶτον [n] ἐξέδυον· εἶτα ὑποσκελίσαντες καὶ ῥάξαντες (εἰς τὸν βίον) εἰς τὸν βόρβορον, οὕτω διέθηκαν ἐναλλόμενοι καὶ ὑβρίζοντες, ὥστε τὸ μὲν χεῖλος διακόψαι, τοὺς δ' ὀφθαλμοὺς (συγκλεῖσαι.) οὕτω δὲ κακῶς ἔχοντα κατέλιπον, ὥστε μὴ ἀναστῆναι μήτε φθέγξασθαι δύνασθαι. κείμενος δ' αὐτῶν ἤκουον πολλὰ καὶ δεινὰ λεγόντων· καὶ τὰ μὲν ἄλλα [o] βλασφημίας ἔχει τινάς, ἃς καὶ ὀνομάζειν ὀκνήσαιμι· ὃ δὲ τῆς ὕβρεώς ἐστι τῆς τούτου σημεῖον, καὶ τεκμήριον ὡς πᾶν τὸ πρᾶγμα ὑπὸ τούτου γενόμενον, τοῦθ' ὑμῖν ἐρῶ. ᾖδεν γάρ, (τοὺς) ἀλεκτρυόνας μιμούμενος τοὺς νενικηκότας· [p] οἱ δὲ κροτεῖν αὐτὸν ἠξίουν τοῖς ἀγκῶσιν ἀντὶ πτερύγων τὰς πλευράς”.

ιγ'. Ταῦτα οὐ καθαρὰ καὶ ἀκριβῆ καὶ σαφῆ καὶ διὰ τῶν κυρίων καὶ κοινῶν ὀνομάτων κατεσκευασμένα, ὥσπερ τὰ Λυσίου; ἐμοὶ μὲν

γὰρ

a In iiſdem editt. καὶ τῶν ἄλλων στρατιωτῶν τινάς, οἵπερ ἐκώλυσαν. *b* Vulg. Editt. habent προσελθόντος: rectius. & mox, ὡς δεῦρ' ἐπανήλθομεν. Ex eiſdem addita ſunt ſequentia incluſa. *Sylb.* *c* In vulgatis, μὰ τοὺς θεοὺς, οὐ μὴν ἔγωγε ᾤμην. *d* Incluſum οὐδένα additum è vulgatis, in quibus mox ἁπλῶς ἐκεῖνο, & ſequ. v. πλησιάζειν τοῖς τοιούτοις. πρῶτον μὲν, οὖν τούτων. ὧν εἴρηκα, βούλ. τ. μ. π. μ. ταῦτα, εἶτα ὑπ' αὐτοῦ τούτου πεπ. *e* Pro εἰδῆτε in exemplari eſt ἴδητε: errore ambiguo. mox ᾧ additum ex vulgatis. *Sylb.* *f* Pro αὐτὸς perperam in exemplari eſt αὖθις. Mox in vulg. editt. πρότερος πολλῷ δεινότερα εἴργασται. ΜΑΡΤΥΡΙΑΙ. *Sylb.* *g* In vulgatis οὐδένα & mox ποιήσασθαι. & mox ex eiſdem v. 16. additum ἑσπέρας. *Sylb.* *h* In exemplari proparoxytonως ſcriptum Κηφίσεως: minus recte. Perperam idem ibidem pro ὁ υἱὸς habet οὗς. *Sylb.* *i* In vulgatis editt. τῶν Πυθοδώρου, & v. 20. λέγει. Eædem pro μελέτην habent Μελίτην. *Stephano Byzantio* Μελίτη eſt pagus Oeneidis tribus: cujus localia adverbia eſſe dicit, εἰς Μελίτην, ἐκ Μελίτης, ἐν Μελίτῃ. ſed intelligendus hic potius locus urbanus. *Sylb.* *k* Poſt ἐνταῦθα in eiſdem legitur hæc parentheſis; ταῦτα γὰρ ὕστερον ἐπυθόμεθα. Eædem pro γραφεῖ habent κναφεῖ: verius, opinor. Eædem pro Θεόδωρος & Ἀλκιβιάδης habent Θεότιμος & Ἀρχεβιάδης. Ibidem exemplar noſtrum habet Ἀνδρομίδους. ſed cum verſu 29. pro eodem habeat Ἀνδρομένους, ego utrobique eandem cum vulgatis editionibus ſcripturam ſum ſecutus. *Sylb.* *l* Vulg. editt. habent ἀπὸ τοῦ Φερρεφαττίου: & ſequenti verſu pluraliter τούτοις, *hiſce*. *Sylb.* *m* Perperam in exemplari eſt ἐγνώστως: paulo rectius ἀγνώστως, *ita ut agnoſci non poſſet*. *Sylb.* *n* Vulg. editt. habent ἐξέδυσαν, εἶθ' ὑπο. Ibidem mox in exemplari ſcriptum ῥέξαντες: errore ambiguo. Sequens commation, εἰς τὸν βίον, abeſt à vulg. editt. nec immerito. Contra ex eiſdem v. 33. additum συγκλεῖσαι. Eædem ſeq. v. hab. καταλιπεῖν: & mox, μήτε ἀναστῆναι. *Sylb.* *o* Eædem habent βλασφημίαν ἔχει τινὰ καὶ ὀνομάζειν ὀκνήσαιμ' ἂν ἐν ὑμῖν ἔνια: & ſeq. v. τεκμήριον τοῦ πᾶν τὸ πρᾶγμα ὑπὸ τούτου γεγενῆσθαι. Ex eiſdem additus articulus τοὺς v. 39. *Sylb.* *p* In vulgatis οἱ δὲ κρατεῖν τοῖς ἀγκῶσι αὐτὸν ἠξίουν.

a Legendum

γὰρ ὑπάρχειν δοκεῖ. τί δὲ οὐχὶ σύντομα, καὶ στρογγύλα, καὶ ἀληθείας μεστά, καὶ τὴν ἀφελῆ καὶ ἀκατάσκευον ἐπιφαίνοντα φύσιν, καθάπερ ἐκεῖνα; πάντων μὲν οὖν μάλιστα. οὐχὶ δὲ καὶ πιθανά, καὶ ἐν ἤθει λεγόμενά τινι, καὶ τὸ πρέπον τοῖς ὑποκειμένοις προσώποις τε καὶ πράγμασι φυλάττοντα; ἡδονῆς δὲ ἄρα, καὶ πειθοῦς, καὶ χαρίτων, καιροῦ τε,[a] καὶ τοῖς ἄλλοις ἅπασιν ἃ τοῖς Λυσιακοῖς ἐπανθοῦσιν, ἆρα
171 οὐχὶ πολλὴ μοῖρα; οὐκ ἔνεστ' ἄλλως εἰπεῖν. εἰ γοῦν μὴ διὰ τῆς ἐπιγραφῆς, οὗτινός ἐστιν, ἑκάτερος τῶν λόγων γνώριμος ἦν, ἀλλ' ἀνεπιγράφοις περιετυγχάνομεν αὐτοῖς, οὐ πολλοὺς ἂν ἡμῶν οἴομαι διαγνῶναι ῥᾳδίως[b] πότερος Δημοσθένους ἐστὶν ἢ Λυσίου. τοσαύτην οἱ χαρακτῆρες ὁμοιότητα πρὸς ἀλλήλους ἔχουσι. τοιοῦτός ἐστι καὶ ὁ ΠΡΟΣ ΑΠΟΛΛΟΔΩΡΟΝ ΥΠΕΡ ΦΟΡΜΙΩΝΟΣ, καὶ ὁ ΚΑΤ' ΟΛΥΜΠΙΟΔΩΡΟΥ ΤΗΣ ΒΛΑΒΗΣ, καὶ ὁ ΠΡΟΣ ΒΟΙΩΤΟΝ ΥΠΕΡ ΤΟΥ ΟΝΟΜΑΤΟΣ· ἥ τε ΠΡΟΣ ΕΥΒΟΥΛΙΔΗΝ ἔφεσις, καὶ ἡ ΠΡΟΣ ΜΑΚΑΡΤΑΤΟΝ διαδικασία, καὶ οἱ ἄλλοι πάντες οἱ ἰδιωτικοὶ λόγοι, οὐ πολλῷ πλείους τῶν εἴκοσι ὄντες· οἷς γε δὴ κατὰ τὸ παρὸν ἐντετυχηκώς,[c] γνώσῃ οἷς οἶδα ἐγώ. καὶ τῶν δημοσίων δὲ ἀγώνων πολλὰ μέρη τούτῳ κατεσκεύασται τῷ χαρακτῆρι. ἔφερον δ' ἂν ἐξ ἑκάστου τὰ παραδείγματα· εἰ μὴ πλείων ἔμελλε τοῦ μετρίου γενέσθαι ὁ λόγος· ἐν οἷς δῆλός ἐστι περὶ καλλιλογίαν καὶ σεμνότητα, καὶ πάσας τὰς ἐπιθέτους κατασκευὰς μᾶλλον ἐσπουδακὼς ἢ περὶ τὴν ἀκρίβειαν.[d] ὁ δὲ ΠΕΡΙ ΤΗΝ ΕΠΙΣΤΟΛΗΝ ΚΑΙ ΤΟΥΣ ΠΡΕΣΒΕΙΣ ΤΟΥΣ ΠΑΡΑ ΦΙΛΙΠΠΟΥ ῥηθεὶς λόγος, ὃν ἐπιγράφει Καλλίμαχος ΥΠΕΡ ΑΛΟΝΗΣΟΥ· ὁ τὴν ἀρχὴν ἔχων τήνδε, "Ὦ ἄνδρες Ἀθηναῖοι, οὐκ ἔστιν ὅπως αἱ αἰτίαι, ἃς Φίλιππος αἰτιᾶται"· ὅλος ἐστὶν ἀκριβὴς καὶ λεπτός, καὶ τὸν Λυσιακὸν χαρακτῆρα ἐκμεμακτὸς εἰς ὄνυχα· ἐξαλλαγῆς δέ, ἢ σεμνολογίας, ἢ δεινότητος, ἢ τῶν ἄλλων τινός, ἃ τῇ Δημοσθένους δυνάμει παρακολουθεῖν πέφυκεν, ὀλίγην ἐπίδειξιν ἔχει. τίς οὖν ἐστι κἂν τούτοις ἡ διαφορά; καὶ πῶς ἂν διαγνοίη τις, ὅταν εἰς τὸν ἀναγκαῖον καταβῇ χαρακτῆρα ὁ Δημοσθένης,[e] τῇ κρείττων ἐστὶ Λυσίου καὶ κατὰ τὴν λέξιν; ἄξιον γὰρ δὴ καὶ τοῦτο μαθεῖν. φυσική τις ἐπιτρέχει τοῖς Λυσίου λόγοις εὐστομία καὶ χάρις, ὥσπερ ἔφην καὶ πρότερον· ἣ προὔχει, πλὴν Δημοσθένους, τῶν ἄλλων ῥητόρων. αὕτη μέντοι, καθάπερ νότιός τις αὔρα, μέχρι προοιμίου καὶ διηγήσεως αὐτὸν ἄγει. ὅταν [f](δὲ) εἰς τοὺς ἀποδεικτικοὺς ἔλθῃ λόγους, ἀμυδρά τις γίνεται καὶ ἀσθενής· ἐν δὲ δὴ τοῖς παθητικοῖς εἰς τέλος ἀποσβέννυται· τόνος γὰρ οὐ πολὺς αὐτῇ πρόσεστιν, οὐδ' ἰσχύς. παρὰ δὲ τῷ Δημοσθένει πολὺς μὲν ὁ τόνος, αὐτάρκης δ' ἡ χάρις· ὥστε κἂν [g]ταύτῃ τῷ διαρκεῖ καὶ μετρίῳ νικᾶν, κἀν ἐκείνῳ τῷ παντὶ προέχειν. τοῦτο παρατήρημα δεύτερον ᾧ διαγνοίη τις ἂν τὸν Δημοσθένους διάλεκτον, ὅταν εἰς ταὐτὰ τἀναγκαῖα συνάγῃ. οὐ γὰρ ὥσπερ τὴν ἐξαλ-

cenſeo. Quid, nonne brevia & rotunda & omnino vera ſunt, ac ſimplicem nec affectatum naturæ ſtylum, ut illa Lyſiæ, exprimunt? maxime. Nonne etiam veriſimilia ſunt, morata, ipſiſque perſonis & rebus convenientia decoro ſubſerviunt? annon & magnam venuſtatem, perſuadendi vim, ſuavitatem, opportunitatem, aliaſque virtutes quamplurimas, quæ in Lyſiæ orationibus emicant, oſtendunt? Omnino, nec aliter dicere fas eſt. Si igitur non è titulo oratio aperte oſtenderet, cujuſnam foret, ſed in eas incideremus titulo carentes; paucos fore putem, qui ex tempore internoſcerent, utra Demoſthenis, utra vero Lyſiæ foret. Adeo illæ inter ſe orationes ſimiles ſunt. Hujus generis etiam eſt oratio *adverſus Apollodorum pro Phormione*, & illa *adverſus Olympiodorum damni dati*, & iſta *adverſus Bœotum de nomine*, ut & appellatio *adverſus Eubulidem*, diſceptatio *adverſus Macartatum*, & aliæ plurimæ orationes privatæ, fere viginti: in quas ſi jam incideris, cognoſces ex eis argumentis, quibus ego ipſe novi. Quin etiam orationes de cauſis publicis ut plurimum hoc ſtylo compoſitæ ſunt. De ſingulis autem, in quibus plus de ſplendore, gravitate, aliiſque accerſitis ornamentis, quam de verborum ornatu ſolicitus fuiſſe apparet, exempla produxiſſem, niſi vererer, ne multitudine modum ipſa excederet oratio. Ipſa autem oratio *ad Philippi epiſtolam & ejus legatos*, quam Callimachus *de Haloneſo* inſcribit, (cujus initium; Ὦ ἄνδρες Ἀθηναῖοι, οὐκ ἔστιν ὅπως αἱ αἰτίαι, ἃς Φίλιππος αἰτιᾶται) tota ſimplex eſt, & ad amuſſim Lyſiæ characterem expreſſit: raro autem novitatem, magnificentiam, gravitatem, & alias virtutes, quas adhibere Demoſthenes ſolet, oſtentat. Quomodo autem hi inter ſe differant, & quomodo diſcernere licebit, qua ratione Lyſiam in dictione Demoſthenes, cum debito & neceſſario loquendi modo utitur, ſuperet, cupies hoc forſitan intelligere. Naturalem quandam venuſtatem & elegantiam Lyſiæ orationes præ ſe ferunt, ut & anteà à me dictum eſt; qua alios omnes oratores ſuperat, præter Demoſthenem. Hæc autem elegantia, veluti auſtralis quidam ventus, ultra exordium narrationemque non extenditur. Cum vero ad confirmationem deſcendit, paulatim deficit; tandem circa finem in concitatis affectibus omnino exſtinguitur: non enim nervoſa eſt, nec valida. in Demoſthene vero vires magnæ, venuſtas etiam ſatis multa; ut venuſtate ſatis eum vincat, nervoſitate & robore omnino antecellat. Hæc ſecunda eſt obſervatio, qua quis Demoſthenis loquendi modum, cum debite loquitur & prout res exigit, queat dignoſcere. non enim ut novitatem & ſupervacaneam locutionem, & omnes non ad rem pertinentes elegantias

a Legendum videtur, καὶ τῶν ἄλλων ἃ πᾶσι τοῖς Λυσιακοῖς ἐπανθεῖ λόγοις: & ſequenti verſu πολλὴ αὐτοῖς μοῖρα. *Sylb.* b Si adverbialiter malis πότερον, per me licet. *Sylb.* c Clauſulæ hujus, ſi mendo caret, ſententia eſt; *cognoſcas ex iis argumentis quibus ego rem perſpectam habeo.* (alloquitur autem *Ammæum*, ſicut infra in epilogo) cujuſmodi locutione *Demoſthenes* infra p. 176. [juxta *Ed. Sylb.*] quoque utitur. *Sylb.* d Rectius, ὁ δὲ πρὸς τὴν ἐπιστολήν: ut ſignificet orationem, qua orator reſpondet ad Philippi epiſtolam. *Sylb.* Hæc etiamnum exſtat, & in libris vulgatis inſcribitur *de Haloneſo*: ſed rectius fortaſſe (ut inquit *Libanius*) inſcriberetur, *reſponſio ad Philippi epiſtolam.* Idemque ille, contra quam ſentit *Dionyſius*, hanc orationem *Hegeſippo* potius quam *Demoſtheni* adſcribendam eſſe arbitratur. Videſis *Argumentum Libanii.* e In exemplari pro τῇ perperam eſt τῇ. *Sylb.* f Incluſa δὲ deeſt in exempl. Sic p. 280. v. 26. deeſt in eodem articulus τὰ. ſic enim hic τὰ ἑπόμενα dicit, ut pag. ſeq. v. 48. τὰ συνεπτόμενα. *Sylb.* g *Scil.* χάριτι: & mox ἐκείνῳ, *ſc.* τόνῳ.

h Scil.

elegantias omittit; ita & magnitudinem & nervos: ſed adeo firmiter & conſtanter eos adhibet, ut vel ei adnati, vel ipſa exercitatione ad dictionem parati & in promptu eſſe videantur. nam eos cum proportione quadam intendit & remittit. Et hæc, quæ dico, perſpicua ſunt,ita ut exemplis nullis opus ſit rem aſſerere.

XIV. Jam autem de medio illo ſtylo aliquid dicamus, quem ab Iſocrate, & prius à Thraſymacho, demum à Platone imperfectum mutuatus Demoſthenes, quantum humano ingenio fas erat, perfecit. cujus rei multa aliquis exempla proferre queat ex orationibus *in Philippum* aliiſque publicis, plurima & pulcerrima ex oratione *pro Cteſiphonte*: (hæc enim optime & maxime temperata in verbis compoſita videtur) ſi ſatis temporis habuiſſem, & verba ipſa appoſuiſſem. Sed cum etiam multa & quidem neceſſaria omiſerim, hoc etiam relinquam, breviſſimis modo exemplis uſurus, & dicis gratia dicturus. Exempla è medio genere petita ſunt, hæc ex accuſatione *adverſus Æſchinem*: "Semper quidem par eſt proditores, & eos qui ſe muneribus corrumpi patiuntur, Athenienſes, odiſſe & punire. & hoc præſertim tempore ſi fieret, multis hominibus magnam publice utilitatem afferret. Gravis enim & periculoſus, Athenienſes, morbus Græciam invaſit, qui magnam opem diligentiamque à vobis efflagitat &c." Ex oratione etiam *adverſus Ariſtocratem*: "Multa apud nos ſunt talia, qualia apud alios non reperiuntur; unum porro maxime proprium & ſanctiſſimum Areopagitarum judicium, de quo tot præclaræ narrationes, tum fabuloſæ, tum noſtris teſtimoniis confirmatæ, dicendæ ſunt, quot de ullo alio in terris judicio &c". Ex oratione autem *de Immunitate*: "Primum igitur Cononem intuemini, utrum par ſit, vel illum virum, vel res ab eo geſtas reprehendi, ac donationes illi factas abrogari. Is enim, ut è veſtrum quibuſdam, qui æquales illius fuerunt, audire licet, poſt populi è Pyræeo reditum, urbe noſtra imbecilla &c." Ex oratione autem *de Corona*: "Sed quæ antequam ego me reipublicæ traderem, & conciones ad populum haberem, Philippus invaſit & occupavit, jam præteribo. Eorum autem, quæ jam ab eo tempore, quo ego ad remp. acceſſi, occupare prohibitus eſt,mentionem faciam,& de iis dicam,ſi hoc præpoſuero: Magnam,Athenienſes, Philippus prærogativam habuit. nam Græcos, non aliquos ſed univerſos, ingens proditorum & largitionibus inhiantium, hominum diis inviſorum, copia exſtitit, qualis vix antea fuit" &c.

XV. Hunc ſtylum egregie convenienter-

λαγὴν καὶ περιττολογίαν, καὶ πάντας τοὺς ἐπιθέτους ἐκδύεται κόσμους, οὕτως καὶ τὸ μέγεθος καὶ τὸν τόνον· ἀλλ' ἔστιν ᵃ αὐτῆς ἀναφαίρετος οὗτος, εἴτ' ἄρα συγγενής, εἴτ' ἀσκήσει παρὼν εἰς ῥῆσιν. ἐπιτάσεις μέν τοι καὶ ἀνέσεις λαμβάνει τινὰς ἀναλόγους. καὶ ταῦτ' ἤδη γνώριμα οἷς λέγω, καὶ οὐθὲν δεόμεθα παραδειγμάτων.

ιδʹ. ᵇὭστε περὶ μὲν τοῦ μεταξὺ τῶν ἄκρων ἑκατέρου, ὃν ἀτελῆ παραλαβὼν ὁ Δημοσθένης παρ' Ἰσοκράτους τε καὶ ἔτι πρότερον Θρασυμάχου καὶ τελευταίου Πλάτωνος, ἐτελείωσεν ὅσον ἦν ἀνθρωπίνῃ φύσει δυνατόν, πολλὰ μὲν ἄν τις ἐκ τῶν ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ δημηγοριῶν, πολλὰ δ' ἐκ τῶν δημοσίων λόγων παραδείγματα λάβοι· πλεῖστα δὲ καὶ κάλλιστα ἐκ τῆς ΠΕΡΙ ΚΤΗΣΙΦΩΝΤΟΣ ᶜἀπολογίας· οὗτος γὰρ δή μοι δοκεῖ καλλίστῃ καὶ μετριωτάτῃ κατασκευῇ λέξεως κεχρῆσθαι ὁ λόγος· εἰ μὲν οὖν χρόνον ἀρκοῦντα εἶχον, καὶ τὰς λέξεις αὐτὰς ἂν παρετίθην. πολλῶν δέ μοι καὶ ἀναγκαίων ἔτι καταλειπομένων, τοῦτο μὲν ἐάσω, δείγμασι δὲ μόνον ἐν τῷ παρόντι χρήσομαι βραχυτάτοις, ὡς ἐν εἰδόσι λέγων. ἔστι δὴ τὰ τοιαῦτα τοῦ μέσου χαρακτῆρος παραδείγματα, ἐκ μὲν ᵈ ΤΗΣ ΑΙΣΧΙΝΟΥ ΚΑΤΗΓΟΡΙΑΣ· "Ἀεὶ μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, προσήκει μισεῖν καὶ κολάζειν τοὺς προδότας καὶ δωροδόκους· μάλιστα δὲ νῦν ἐπὶ τοῦ καιροῦ τούτου γένοιτ' ἄν, καὶ πάντες ὠφελήσειεν ἀνθρώπους κοινῇ. νόσημα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα, καὶ χαλεπὸν καὶ πολλῆς τινος εὐτυχίας καὶ παρ' ὑμῶν ἐπιμελείας δεόμενον"· καὶ (τὰ) ἑπόμενα τούτοις. ἐκ δὲ τῆς ΑΡΙΣΤΟΚΡΑΤΟΥΣ ΚΑΤΗΓΟΡΙΑΣ· "Πολλὰ μὲν δὴ παρ' ἡμῖν ἐστι τοιαῦτα, οἷα οὐχ ἑτέρωθι· ἓν δ' οὖν ᵉἰδιώτατον πάντων καὶ σεμνότατον, τὸ ἐν Ἀρείῳ πάγῳ δικαστήριον, περὶ οὗ τοσαῦτα ἐστὶν (εἰπεῖν) καλὰ παραδεδομένα καὶ μυθώδη, καὶ ὧν αὐτοὶ μάρτυρές ἐσμεν, ὅσα περὶ οὐδενὸς ἄλλου δικαστηρίου"· καὶ τὰ ἑξῆς. ἐκ δὲ τοῦ ΠΕΡΙ ΤΩΝ ΑΤΕΛΕΙΩΝ λόγου· "Πρῶτον μὲν τοίνυν Κόνωνα σκοπεῖτε, εἰ ἄρα ᶠἄξιον καταμεμψαμένους ἢ τὸν ἄνδρα, ἢ τὰ πεπραγμένα (αὐτῷ,) ἄκυρόν τι ποιῆσαι τῶν ἐκείνῳ δοθέντων. οὗτος γὰρ (ἀνήρ,) ὡς ὑμῶν τινων ἔστιν ἀκοῦσαι, τῶν κατὰ ᵍ τὴν αὐτὴν ἡλικίαν ὄντων, μετὰ 172 τὴν τοῦ δήμου κάθοδον, τὴν ἐκ Πειραιέως, ἀσθενοῦς ἡμῶν τῆς πόλεως οὔσης· καὶ τὰ ἀκόλουθα". ἐκ δὲ τῆς ΠΕΡΙ ΚΤΗΣΙΦΩΝΤΟΣ ἀπολογίας· "Ἃ μὲν οὖν πρὸ τοῦ πολιτεύεσθαι (καὶ) δημηγορεῖν ἐμὲ προύλαβε καὶ κατέσχε Φίλιππος, ἐάσω· οὐδὲν γὰρ ἡγοῦμαι τούτων (εἶναι) πρὸς ἐμέ· ἃ δὲ ἀφ' ἧς ἡμέρας ἐπὶ ταῦτα ἐπέστην ἐγώ, ʰ διεκώλυον λαβεῖν, ταῦτα ἀναμνήσω, καὶ (περὶ) τούτων ὑφέξω λόγον, τοσοῦτον ὑπειπών· πλεονέκτημα, ὦ ἄνδρες Ἀθηναῖοι, μέγα ὑπῆρξε Φιλίππῳ. παρὰ γὰρ τοῖς Ἕλλησιν, οὔ τισιν, ἀλλὰ πᾶσιν ὁμοίως, ⁱ φορὰ προδοτῶν καὶ δωροδόκων καὶ θεοῖς ἐχθρῶν ἀνθρώπων συνέβη, ὅσην οὐδείς τὸ πρότερον μέμνηται γεγονυῖαν· καὶ τὰ συνεπόμενα τούτοις.

ιεʹ. ᵏ Τοῦτον ἔγωγε τὸ χαρακτῆρα, εἴ τις μὴ μά-

a Scil. τῆς Δημοσθένους διαλέκτου. b Illud ὥστε redundare mihi videtur. c In editis aliis hoc modo diſtinguitur: ἀπολογίας. οὗτος γὰρ —— ὁ λόγος. εἰ μὲν — παρετίθην· πολλῶν &c. d *Sc.* ex oratione *de Falſa Legatione*. e Vulgatæ editiones *Demoſthenis* habent ἰδιαίτατον: & mox ὑπὲρ οὗ. Ex eiſdem verſu 30. additum incluſum εἰπεῖν. V. 32. ὁ περὶ τῶν ἀτελειῶν λόγος eſt oratio *adverſus Leptinem* de immunitatibus. *Sylb.* f Perperam in exempl. eſt ἄξιον μέμψασθαι μεμψαμένους. Sequens αὐτῷ additum ex vulg. editt. itidemque ἀνήρ v. 35. *Sylb.* g In exemplari eſt τὴν αὐτῶν. Ibidem mox vulg. editt. habent ἐκ τοῦ Πειραιῶς. Ex eiſdem v. 3. addita incluſa καί. *Sylb.* h In eiſdem paſſive legitur διεκωλύθη: & mox, καὶ τούτων ὑφέξω λόγον, ſine præpoſitione. *Sylb.* i Eædem habent, φορὰν, προδ. — συνέβη γενέσθαι, καὶ τοσαύτην, ὅσην οὐδείς πω πρότ. μ. *Sylb.* k Mutilus videtur locus, primum enim ἐπίκρισις requiri videtur, talis quæpiam: τοῦτον ἔγωγε τὸν χαρακτῆρα, ὡς μετρίως καὶ προσφυῶς κεκραμένον, μάλιστα ἀποδέχομαι: deinde progreſſio ad ſequentia: περὶ δὲ τῶν ἑτέρων, εἴ τις ἔροιτό με τὴν αἰτίαν, δ. De auditorum vero diverſitate quod ſequitur, tractatum etiam in præcedenti libro, p. 261. v. 48. *Sylb.*

a Ἐπι-

λιστα ἀποδέχοιτο τὴν αἰτίαν, δι᾽ ἣν οὔτε τὰ Θουκυδίδου ἐκεῖνα, περιττὰ καὶ ἐξηλλαγμένα τοῦ συνήθους, κράτιστα ἡγοῦμαι, οὔτ᾽ ἐπὶ τοῖς Λυσιακοῖς τοῖς ἰσχνοῖς καὶ συνεσπασμένοις, τὴν τελείαν τῆς λέξεως ἀρετὴν τίθεμαι, τοῦτ᾽ ἂν εἴποιμι πρὸς αὐτόν· οἱ συνιόντες εἰς τὰς ἐκκλησίας καὶ τὰ δικαστήρια καὶ τοὺς ἄλλους συλλόγους, ἔνθα πολιτικῶν δεῖ λόγων, οὔτε δεινοὶ καὶ περιττοὶ πάντες εἰσί, καὶ τὸν Θουκυδίδου νοῦν ἔχοντες, οὔθ᾽ ἅπαντες ἰδιῶται, καὶ κατασκευῆς λόγων γενναίων ἄπειροι· ἀλλ᾽ οἱ μὲν, ἀπὸ γεωργίας· οἱ δ᾽, ἀπὸ θαλαττουργίας· οἱ δ᾽, ἀπὸ τῶν βαναύσων τεχνῶν συνερρυηκότες· οἷς ἁπλούστερον καὶ κοινότερον διαλεγόμενος, μᾶλλον ἄν τις ἀρέσαι. τὸ γὰρ ἀκριβὲς καὶ περιττὸν καὶ ξένον, καὶ πᾶν ὅ,τι μὴ συνήθες αὐτοῖς ἀκούειν τε καὶ λέγειν, ὀχληρῶς διατίθησιν αὐτούς· καὶ ὥσπερ τι τῶν πάνυ ἀνιαρῶν ἐδεσμάτων ἢ ποτῶν ἀποστρέφει τοὺς στομάχους, οὕτως ἐκεῖνα ὀχληρῶς διατίθησι τὰς ἀκοάς. οἱ δέ, πολιτικοί τε, καὶ ἀπ᾽ ἀγορᾶς καὶ διὰ τῆς ἐγκυκλίου παιδείας ἐληλυθότες· οἷς οὐκ ἔνι τὸν αὐτὸν ὄνπερ ἐκείνοις διαλέγεσθαι τρόπον, ἀλλὰ δεῖ τὴν ἐγκατάσκευον καὶ περιττὴν καὶ ξένην διάλεκτον τούτοις προσφέρειν. εἰσὶ μὲν οὖν ἴσως ἐλάττους οἱ τοιοῦτοι τῶν ἑτέρων, μᾶλλον δὲ πολλοστὸν ἐκείνων μέρος· καὶ τοῦτο οὐδεὶς ἀγνοεῖ· οὐ μὴν καταφρονεῖσθαί γε διὰ ταῦτα ἄξιοι. ὁ μὲν οὖν τῶν ὀλίγων καὶ εὐπαιδεύτων στοχαζόμενος λόγος, οὐκ ἔσται τῷ φαύλῳ καὶ ἀμαθεῖ πλήθει πιθανός· ὁ δὲ τοῖς πολλοῖς καὶ ἰδιώταις ἀρέσκειν ἀξιῶν, καταφρονηθήσεται πρὸς τῶν χαριεστέρων· ὁ δ᾽ ἀμφότερα τὰ κριτήρια πείθειν ζητῶν, ἧττον ἀπολεύξεται τοῦ τέλους. ἔστι δὲ οὗτος, ὁ μεμιγμένος ἐξ ἀμφοτέρων τῶν χαρακτήρων. διὰ ταῦτα ἐγὼ τὴν οὕτως κατεσκευασμένην λέξιν μετριωτάτην εἶναι τῶν ἄλλων νενόμικα· καὶ τῶν λόγων τούτους μάλιστα ἀποδέχομαι, τοὺς πεφευγότας ἑκατέρου τῶν χαρακτήρων τὰς ὑπερβολάς.

ιϛ΄. Εἰρηκὼς δὲ κατ᾽ ἀρχὰς ὅτι μοι δοκοῦσιν Ἰσοκράτης τε καὶ Πλάτων κράτιστα τῶν ἄλλων ἐπιτετηδευκέναι τοῦτο τὸ γένος τοῦ χαρακτῆρος, καὶ προαγαγεῖν μὲν αὐτὸ ἐπὶ μήκιστον, οὐ μὴν καὶ τελειῶσαι· ὅσα δ᾽ ἐνέλιπεν ἐκείνων ἑκάτερος, ταῦτα Δημοσθένην ἐξειργασμένον [a] ἐπιδείξειν ὑποσχόμενος, ἐπὶ τοῦτ᾽ ἤδη πορεύσομαι, τὰς ἄριστα δοκούσας ἔχειν παρ᾽ ἑκατέρῳ τῶν ἀνδρῶν λέξεις προχειρισάμενος, καὶ ἀντιπαραθεὶς αὐταῖς τὰς Δημοσθένους ὅσαι παρὰ τὰς αὐτὰς συνετάχθησαν ὑποθέσεις· ἵνα μᾶλλον αἱ τῶν ἀνδρῶν προαιρέσεις τε καὶ δυνάμεις γένωνται καταφανεῖς, τὴν ἀκριβεστάτην βάσανον ἐπὶ τῶν ὁμοίων ἔργων λαβοῦσαι.

ιζ΄. Εἰσαγέσθω δὲ πρῶτος Ἰσοκράτης, καὶ τούτου λαμβανέσθω λέξις [b] ἐκ τοῦ τε ΠΕΡΙ ΤΗΣ ΕΙΡΗΝΗΣ λόγου, χαριέστατα δοκοῦσα ἔχειν· ἣν αὐτὸς ἐν τῷ ΠΕΡΙ ΤΗΣ ΑΝΤΙΔΟΣΕΩΣ λόγῳ προφέρεται, μέγα ἐπ᾽ αὐτῇ φρονῶν· δι᾽ ἧς συγκρίνει τὴν ἐπὶ τῶν προγόνων πολιτείαν τῇ τότε καθεστώσῃ, καὶ τὰς πράξεις τὰς παλαιὰς ἀντιπαρατίθησι ταῖς νέαις, τὰς μὲν ἀρχαίας ἐπαινῶν, τὰς δ᾽ ἐν τῷ καθ᾽ ἑαυτὸν χρόνῳ μεμφόμενος, τῆς τε μεταβολῆς τῆς ἐπὶ τὰ χείρω τοὺς δημαγωγοὺς ἀποφαίνων αἰτίους, ὡς οὐ τὰ κράτιστα εἰσηγουμένους,

que temperatum & commixtum maxime probo, de aliis ſi quis me interroget cauſam, cur nec ſublimia illa & novata Thucydidea optima cenſeam, nec in Lyſiacis illis tractis & divulſis perfectam dictionem conſtituam, hoc ei reſponderem. Non omnes, qui ad populares conciones, judicia, alioſque conventus, ubi civilibus orationibus opus eſt, veniunt, graves & ſublimes ſunt, neque Thucydidis ingenium habent, neque etiam omnes imperiti, & compoſitionis oratoriæ ignari ſunt: ſed hi quidem à re ruſtica, alii à re nautica, alii ab aliis opificiis confluunt; quibus magis is qui ſimplicius & vulgarius dicit, placebit. At omnis accurata conſtructio, varietas, redundantia, ac novitas, & ea demum omnia, quæ nec audire nec dicere conſueverunt, moleſte illis accidunt; & ut ſtomachus inſuavem cibum vel potum reſpuit, ſic & eorum aures moleſte hæc audiunt. Alii vero ſunt civiles, quique forum tractaverunt, & omnium artium liberalium genere inſtructi; quibus non eodem ſemper, ſicut illis, modo dicendum eſt: ſed elaboratum, & excellens, & novum loquendi genus illis depromendum. Sunt fortaſſe illi aliis pauciores, & iſtorum maxima pars eſt, idque nemo ignorat; non ideo tamen contemnendi ſunt. Oratio ſane à paucis doctiſque expetita, ignobili & indoctæ plebeculæ non videbitur veriſimilis: qui autem populo & imperitis cupiet placere, à doctioribus exſibilabitur: qui autem utriuſque voluntati conabitur ſatisfacere, neutrum conſequetur. Hic autem orator ex utroque dicendi genere compoſitus eſt. ideoque dictionem ejus tali modo temperatam & compoſitam cæteris omnibus præſtare exiſtimavi; & eas illius orationes maxime probo, quæ nimirum neutro genere valde excellere & eminere volunt.

Auditorum differentia.

XVI. Dixi autem initio, Platonem Iſocratemque præ cæteris hoc dicendi genus quam rectiſſime coluiſſe, magnumque ei quidem incrementum dediſſe, non tamen omnino ad ſummum perduxiſſe. Quæ vero uterque perficienda aliis reliquit, ea Demoſthenem noſtrum perfeciſſe me demonſtraturum pollicitus, illud oſtendere incipiam cum primum orationes, quæ apud utrumque optimæ videntur, produxero, & eis orationes Demoſthenis, quas ad idem argumentum compoſuit, oppoſuero: ut inſtitutum eorum & facultatem evidentius perſpicias, quæ valde affines inter ſe ſunt.

XVII. Proferam primum Iſocratem; ejuſque orationis partem, quæ *de Pace* eſt, & optima omnium habetur, excutiam: (quam ipſe orationem, in ea quæ de *de Permutatione*, citat, magnum quid & ſublime de illa ſentiens) qua nimirum remp. majorum cum ea quæ tunc erat, & res geſtas antiquas cum recentibus comparat, antiquas laudat, præſentes redarguit, oſtendens oratores tum deterioris mutationis cauſam exſtitiſſe, quod non optima quæque dicerent, ſed populum ad

Iſocratis oratio de Pace.

[a] Ἐπιδείξειν pro ἀποδείξειν, ſupra quoque notatum aliquoties. Seq. v. exemplar habet ἑκατέρων: minus apte. *Sylb.* [b] Rectius ἐκ τοῦ ΠΕΡΙ ΤΗΣ ΕΙΡΗΝΗΣ, ſublata conjunctione τε. *Sylb.*

ad voluptatem & delicias incitarunt. Sed cum æquo longior ea ſit comparatio, quæ maxime ad rem ſunt ponam. Ita porro incipit: “Quis enim obſecro eſt, qui peregre “adveniens, & noſtri erroris expers adhuc, “ſi his rebus de improviſo interveniat, “nonne delirare nos & inſanire arbitretur? “qui cum res præclare à majoribus geſtas “laudi nobis ducamus, & remp. noſtram eo “nomine celebrare poſſumus, tantum abeſt “ut eos ulla ex parte imitemur, ut plane “contraria faciamus. Nam illi quidem pro “Græcis contra barbaros pugnare non deſtiterunt: nos vero eos, qui in Aſia victum quæritabant, huc retractos, contra “Græcos duximus. Illi dum Græcis urbibus “libertatem reſtituunt, dum opem ferunt, “Græciæ principatum acceperunt: nos qui “ſervitute eas premimus, qui plane diverſum “agimus, indignamur, eundem honorem no“bis non haberi: cum inter dicta & facta “noſtra atque illorum tantum interſit, ut “ipſi pro conſervandis Græcis patriam “deſerere non dubitarint, & terra marique “barbaros vicerint; cum nos ne pro no“ſtris divitiis dimicare velimus, verum o“mnes quidem imperio premere ſtudemus, “ſed militare recuſamus. Ac nemo fere eſt “mortalium omnium, quem bello non la“ceſſamus, ſed rei militaris exercitationem “prorſus negligimus: & cum hi quorum “operas conducimus, partim exſules, partim “transfugæ, partim omni flagitiorum gene“re cooperti, huc confluxerint, (ſic animati, “ut ſi quis plus ſtipendii numeret, ejus “ductu nos oppugnaturi ſint) adeo tamen “eos diligimus, ut etiamſi liberis noſtris “vim aut injuriam fecerint, pœnas eos dare “nollemus; ſed illorum rapinis & violen“tiæ & avaritiæ (tametſi nobis crimini da“ri ſoleat quod illi commiſerint) adeo non “ſuccenſemus, ut lætemur etiam, ſi quid “eos hujuſmodi perpetraſſe audierimus. In “eam denique ſtultitiam incidimus, ut ipſi, “annonæ penuria laborantes, peregrinum “alere militem ſtudeamus, & à ſociis no“ſtris per injuriam tributa extorqueamus, “quæ mercedem communibus omnium ho“ſtibus numeremus. Poſtremo tanto dete“riores ſumus majoribus noſtris, non lau“datis illis tantum, ſed iis etiam qui in “odio fuerunt: ut illi, ſi quibus inferre bel“lum decreviſſent, quamvis auro & argen“to refertum eſſet ærarium, tamen ſuis cor“poribus exſequenda, quæ ſtatuerant, cen“ſerent; nos ad tantam egeſtatem redacti, “in tanta civium multitudine, perinde ut “magnus rex conductitiis exercitibus uta“mur. Illi, claſſe in mare deducta, pere“grinos & ſervos navibus agendis præficie-

ἀλλὰ καὶ πρὸς ἡδονὴν τῷ πλήθει δημαγωγοῦντας. μακροτέρας δὲ οὔσης τῆς συγκρίσεως, αὐτὰ τὰ κυριώτατα ὑπ' ἐμοῦ παρειλήπται. ἔστι δὲ ταυτί· “Τίς γὰρ [a] (ἂν) ἄλλοθεν ἐπελθὼν, καὶ “μὴ (πω) συνδιεφθαρμένος ἡμῖν, ἀλλ' ἐξαίφνης ἐπιστὰς “τοῖς γινομένοις, οὐκ ἂν μαίνεσθαι καὶ παραφρονεῖν ἡμᾶς νομί“σειεν; οἳ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις, καὶ τὴν “πόλιν ἐκ τῶν τότε πραχθέντων ἐγκωμιάζειν ἀξιοῦμεν, οὐδὲν “δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν, ἀλλὰ πᾶν τοὐναντίον. οἱ “μὲν γὰρ, ὑπὲρ τῶν Ἑλλήνων τοῖς βαρβάροις πολεμοῦντες διε“τέλεσαν· ἡμεῖς δὲ, τοὺς ἐκ τῆς Ἀσίας τὸν βίον ποριζομένους, “ἐκεῖθεν ἀναστήσαντες, ἐπὶ τοὺς Ἕλληνας ἠγάγομεν. κα- 173 “κεῖνοι μὲν, ἐλευθεροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας, καὶ βοη“θοῦντες [b] αὐταῖς, τῆς ἡγεμονίας ἠξιώθησαν· ἡμεῖς δὲ, καταδου“λούμενοι, καὶ τἀναντία τοῖς τότε πράττοντες, ἀγανακτοῦμεν “εἰ μὴ τὴν αὐτὴν ἐκείνοις τιμὴν ἕξομεν. οἳ τοσοῦτον ἀπολε“λείμμεθα καὶ τοῖς ἔργοις καὶ ταῖς διανοίαις τῶν κατ' ἐκεῖνον τὸν “χρόνον γενομένων, ὅσον οἱ μὲν, ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας “τήν τε πατρίδα τὴν [c] ἑαυτῶν ἐκλιπεῖν ἐτόλμησαν, καὶ “μαχόμενοι καὶ ναυμαχοῦντες τοὺς βαρβάρους ἐνίκη“σαν· ἡμεῖς δ', οὐδ' ὑπὲρ τῆς ἡμετέρας (αὐτῶν) πλεο“νεξίας κινδυνεύειν ἀξιοῦμεν· ἀλλ' ἄρχειν μὲν ἁπάντων “ζητοῦμεν, στρατεύειν δ' οὐκ ἐθέλομεν. καὶ πόλεμον μὲν “μικροῦ δεῖν πρὸς πάντας ἀνθρώπους ἀναιρούμεθα, πρὸς “δὲ τοῦτον οὐχ ἡμᾶς αὐτοὺς ἀσκοῦμεν· ἀλλ' ἀνθρώπους τοὺς “μὲν ἀπόλιδας, τοὺς δ' αὐτομόλους, τοὺς δ' ἐκ τῶν ἄλλων “κακουργιῶν συνερρυηκότας· οἷς [d] ὁπόταν τινὲς διδῶσι πλείω “μισθὸν, μετ' ἐκείνων ἐφ' ἡμᾶς ἀκολουθήσουσιν· ἀλλ' ὅμως “οὕτως αὐτοὺς ἀγαπῶμεν, ὥσθ' ὑπὲρ μὲν τῶν παίδων τῶν “ἡμετέρων, [e] εἴπερ τινὲς ἐξαμαρτάνοιεν, οὐκ ἂν ἐθελήσαιμεν “δίκας ὑποσχεῖν· ὑπὲρ δὲ τῆς ἐκείνων ἁρπαγῆς καὶ βίας “καὶ [f] παρανομίας μελλόντων τῶν ἐγκλημάτων ἐφ' ἡ“μᾶς [g] ἥκειν, οὐχ ὅπως ἀγανακτοῦμεν, ἀλλὰ καὶ χαίρομεν, “ὅταν ἀκούσωμεν αὐτοὺς τοιοῦτόν τι διαπεπραγμένους. “εἰς τοῦτο δὲ μωρίας ἐληλύθαμεν, ὥστ' αὐτοὶ μὲν ἐνδεεῖς “ἐσμεν τῶν καθ' ἡμέραν, ξενοτροφεῖν δὲ ἐπικεχειρήκαμεν· “καὶ τοὺς συμμάχους τοὺς ἡμετέρους αὐτῶν [h] (ἰδίᾳ) λυμαι“νόμεθα, καὶ δασμολογοῦμεν, ἵνα τοῖς ἁπάντων κοινοῖς “(ἀνθρώπων) ἐχθροῖς τὸν μισθὸν ἐκπορίζωμεν. τοσού“τῳ δὲ (καὶ) χείρους ἐσμὲν τῶν προγόνων, οὐ μόνον τῶν εὐδοκι“μησάντων, ἀλλὰ καὶ τῶν μισηθέντων, ὅσον ἐκεῖνοι μὲν, εἰ πο“λεμεῖν πρός τινας ψηφίσαιντο, μεστῆς οὔσης ἀργυρίου καὶ “χρυσίου τῆς ἀκροπόλεως, ὅμως ὑπὲρ τῶν δοξάντων “τοῖς αὐτῶν σώμασιν ᾤοντο δεῖν κινδυνεύειν· ἡμεῖς δ', “εἰς [i] (τοσαύτην ἀπορίαν ἐληλυθότες, καὶ) τοσοῦτοι “τὸ πλῆθος ὄντες, ὥσπερ βασιλεὺς ὁ μέγας, μισθωτοῖς “χρώμεθα τοῖς στρατοπέδοις. καὶ τότε μὲν, εἰ τριήρεις [k] ἐπλη“ροῦμεν, τοὺς μὲν ξένους καὶ τοὺς δούλους ναύτας ἐνεβιβά-ζομεν,

a Incluſa ἂν abeſt à vulg. editt. *Iſocratis*: & rurſus ex eiſdem ſeq. v. additum πω: ſicut etiam ſupra in *Iſocrate*, p. 162. v. 14. at non item infra in repetitione, p. 284. v. 19. Mox verſu 5. exemplar habet γινομένοις: minus convenienter. ſermo enim eſt de præſentibus. *Sylb.* *b* Exemplar accuſandi caſu habet αὐτὰς, etiam infra in repetitione, p. 284. v. 36. contra ſyntaxeως conſuetudinem. *Sylb.* *c* Vulg. editt. habent τὴν αὐτῶν. Ex eiſdem v. 20. additum αὐτῶν. Verſu mox ſequenti eædem habent στρατεύεσθαι, forma paſſiva. *Sylb.* & v. 23. ἅπαντας pro πάντας. *d* Eædem habent ὁπόταν τις πλείονα μισθὸν διδῷ, μετ' ἐκείνου ἐφ' ἡμ. ἀκ. *Sylb.* *e* In vulg. ἤν περί τινας. *f* Eædem pro παραν. habent πλεονεξίας. *Sylb.* *g* Eædem habent ἥξειν: & v. 33. διαπεπραχότας. *Sylb.* In editis nonnullis διαπεπραγμένους. *h* Incluſum ἰδίᾳ abeſt à vulg. editionibus: itidemque v. 38. ἀνθρώπων, & καὶ v. 39. *Sylb.* *i* Incluſa deſunt in exemplari: at non item infra in repetitione, p. 285. v. 14. *Sylb.* *k* Vulg. editt. habent πληροῖεν: itidemque in ſeq. εἰσεβίβαζον & ἐξέπεμπον. *Sylb.*

a Poſt

"ζομεν, τοὺς δὲ πολίτας μεθ' ὅπλων ἐξεπέμπομεν· νῦν δὲ, τοῖς μὲν ξένοις ὁπλίταις χρώμεθα, τοὺς δὲ [a] πολίτας ἐλαύνειν ἀναγκάζομεν· ὥσθ', ὁπόταν [b] ἀναβαίνωσιν εἰς τὴν τῶν πολεμίων, οἱ μὲν ἄρχειν τῶν Ἑλλήνων ἀξιοῦντες, ὑπηρέσιον ἔχοντες ἐκβαίνουσιν· [c] (οἱ δὲ τοιοῦτοι τὰς φύσεις ὄντες, οἵους ὀλίγῳ πρότερον διῆλθον, μεθ' ὅπλων κινδυνεύουσιν.) ἀλλὰ γὰρ [d] (καὶ) τὰ κατὰ τὴν πόλιν ἰδὼν ἄν τις καλῶς διοικούμενα, καὶ περὶ τῶν ἄλλων θαρσήσειεν, ἀλλ' οὐκ ἂν ἐπ' αὐτοῖς τούτοις μάλιστ' ἀγανακτήσειεν; οἵτινες αὐτόχθονες μὲν εἶναι φαμὲν, καὶ τὴν πόλιν ταύτην προτέραν οἰκισθῆναι τῶν ἄλλων· προσῆκον δ' ἡμᾶς [e] εἶναι τῶν ἄλλων παράδειγμα τοῦ καλῶς τε καὶ τεταγμένως πολιτεύεσθαι, χεῖρον καὶ ταραχωδέστερον τὴν ἡμετέραν αὐτῶν διοικοῦμεν, τῶν ἄρτι τὰς πόλεις οἰκιζόντων. καὶ σεμνυνόμεθα μὲν καὶ [f] μεγαλοφρονοῦμεν ἐπὶ τῷ βέλτιον τῶν ἄλλων γεγονέναι· ῥᾷον δὲ μεταδίδομεν τοῖς βουλομένοις ταύτης τῆς εὐγενείας, ἢ Τριβαλλοί τε καὶ Λευκανοὶ τῆς [g] (αὐτῶν) δυσγενείας".

ιη'. Ἡ μὲν οὖν Ἰσοκράτους λέξις ἡ κάλλιστα τῶν ἄλλων δοκοῦσα ἔχειν, τοιαύτη τίς ἐστι, πολλῶν μὲν ἕνεκα θαυμάζειν ἀξία· καθαρεύει τε γὰρ εἴ τις ἄλλη τοῖς νοήμασι, καὶ τὴν διάλεκτόν ἐστιν ἀκριβής· φανερά τ' ἐστὶ καὶ κοινή· καὶ τὰς ἄλλας ἀρετὰς ἁπάσας περιείληφεν ἐξ ὧν ἂν μάλιστα γένοιτο διάλεκτος σαφής· πολλοὺς δὲ καὶ τῶν ἐπιθέτων κόσμων ἔχει. καὶ γὰρ ὑψηλὴ, καὶ σεμνὴ, καὶ ἀξιωματικὴ, καλλιρρήμων τε, καὶ ἡδεῖα, καὶ εὔμορφος ἀποχρώντως ἐστίν· οὐ μὴν τελεία γε κατὰ τοῦτο τὸ μέρος· ἀλλ' ἔστιν ὧν ἄν τις αὐτὴν ὡς ἐλλιπόντων μέμψαιτο, καὶ οὐ μὰ Δία τῶν φαυλοτάτων. πρῶτον μὲν, τῆς συντομίας· στοχαζομένη γὰρ τοῦ σαφοῦς, ὀλιγωρεῖ πολλάκις τοῦ μετρίου· ἐχρῆν δὲ ὁμοίως προνοεῖν ἀμφοτέρων. μετὰ τοῦτο, τῆς συστροφῆς· ὑπτία γάρ ἐστι καὶ [h] ἐπαγωγικὴ καὶ περιρρέουσα τοῖς νοήμασιν, ὥσπερ εἰσὶν αἱ τῶν ἱστορικῶν· ἡ δ' ἐναγώνιος στρογγύλη τε εἶναι βούλεται, καὶ συγκεκροτημένη, καὶ μηδὲν
174 ἔχουσα κολπῶδες. ἔτι πρὸς τούτοις κἀκεῖνα πρόσεστι τῷ ἀνδρί. ἄτολμός ἐστι περὶ τὰς τροπικὰς κατασκευὰς, καὶ ψοφοδεὴς, καὶ οὐκ εἰσφέρεται τόνους κραταιούς· καίτοι γε τοῖς ἀθληταῖς τῆς ἀληθινῆς λέξεως ἰσχυρὰς τὰς ἁφὰς προσεῖναι δεῖ, καὶ ἀφύκτους τὰς λαβάς. παθαίνειν τε οὐ δύναται τοὺς ἀκροωμένους ὁπόσα βούλεται· τὰ πολλὰ δὲ οὐδὲ βούλεται· πείθεται δὲ ἀποχρῆν τῷ πολιτικῷ διάνοιαν ἀποδείξασθαι σπουδαίαν, καὶ ἦθος ἐπιεικές· καὶ τυγχάνει μέντοι γε τούτων ἑκατέρου· δεῖ γὰρ τἀληθῆ μαρτυρεῖν. ἦν δὲ ἄρα πάντων ἰσχυρότατον τῷ μέλλοντι πείθειν δῆμον ἢ δικαστήριον, ἐπὶ τὰ πάθη τοὺς ἀκροατὰς ἀγαγεῖν. οὐδὲ δὴ τοῦ πρέποντος ἐν ἅπασιν ἐπιτυγχάνει· ἀνθηρὰν δὲ καὶ θεατρικὴν ἐκ παντὸς ἀξιῶν εἶναι τὴν διάλεκτον, ὡς τῆς ἡδο-

"bant, cives armis ornatos mittebant: nos conductitiis militibus gravem armaturam damus, cives remigrare cogimus. unde fit, ut in hoſtilem agrum ingreſſi, qui ſibi imperium in Græcos arrogant, nauticum inſtrumentum geſtent: illi vero talibus ingeniis præditi, qualia paulo ante deſcripſimus, armati in acie verſentur. At vero domi reſpublica ſic adminiſtratur, ut in eam intuenti bona ſpes fiat etiam de cæteris? imo illud ipſum eſt, quod maxime indigneris. Nam cum nos indigenas eſſe atque hanc urbem ante cæteras eſſe conditam dicamus, & nos univerſis exemplum præbere conveniat bonæ ordinatæque reip. noſtram civitatem deterius & perturbatius adminiſtramus iis qui oppida modo condunt. Splendore porro natalium ſuperbimus, & aliis generoſiores eſſe volumus: ſed facilius quibuſvis hanc nobilitatem impertimus, quam Triballi aut Lucani ſuam ignobilitatem".

Cenſura orationis Iſocratis de Pace.

XVIII. Hæc quidem Iſocratis eſt oratio, quæ cæteris omnibus præſtare videtur, & multis de cauſis admiratione digna eſt. In ſententiis enim magis pura eſt quam cæterorum, in loquendo accurata, aperta, communis, & omnes virtutes undique colligit, quibus ſermo apertior reddi ſolet: multa etiam ornamenta adſcititia continet. nam & ſublimis & gravis, & plurimum habens dignitatis, & fluens, & ſuavis, & venuſta ſatis: licet in hoc genere etiam non adeo perfecta ſit, cum in ea ſint nonnulla, ob quæ eam imperfectionis non nemo arguat, nec id in rebus parvi momenti. Primum quidem nimiæ brevitatis accuſabitur: nam cum perſpicuitati ſtudet, ſæpe modum excedit, cum æqualiter utramque virtutem adhibere debuiſſet. deinde nimiæ contorſionis; humi enim pene repit & ſerpit, ac ſententiis circumfluit, quale eſt loquendi genus hiſtoricum: forenſis autem dictio rotunda, contorta, incitata, & denſa ſit, & ſine anfractibus recta fluat, oportet. Quin etiam hæc in eo reprehenduntur. In conſtructionibus figuratis nimis timidus eſt & formidoloſus, neque vehementius incitatiuſve dicere audet; tametſi athletis orationis veræ ineſſe lacertos oporteat, & comprehenſiones quas non facile effugias. Auditoribus non tantum quantum vellet affectum movet, ſæpe etiam omnino aliquos facere recuſat: verum forenſi oratori, ſi ſimplices ſententias miteſque affectus proferat, ſufficere putat: & utrumque hoc aſſecutus eſt: fatendum eſt enim, quod res eſt. Plurimum tamen accederet roboris oratori, qui perſuadere populo vel judicibus conatur, ſi affectus graves & patheticos orationi immiſceret. Deinde nec in omnibus decorum ſervat: ſed cum dictionem floridam & ſpectatu dignam efficere ſatagit, quaſi ipſa ſola venuſtas

[a] Poſt πολίτας in exemplari è ſuperioribus repetitum commation iſtud, μεθ' ὅπλων ἐξεπέμπομεν: perperam. *Sylb.* [b] Vulg. editt. habent ἀποβαίνωσιν: ſicut infra quoque legitur p. 285. v. 37. *Sylb.* [c] Incluſa, omiſſa hic erant in exemplari: at non infra p. 285. v. 39. *Sylb.* [d] Incluſa καὶ abeſt à vulg. editt. & mox habent ἄν τις ἰδών. *Sylb.* [e] Vulg. editt. habent ἅπασιν εἶναι παράδειγμα τ. *Sylb.* [f] Eædem ſoluta compoſitione habent μέγα φρονοῦμεν, & mox γεγονέναι τῶν ἄλλων. *Sylb.* [g] Incluſum αὐτῶν additum ex eiſdem editionibus. Λευκανοὺς *Lucanos* agnoſcit ibidem etiam *Wolfii* verſio. ubi ſiquis miretur ab *Iſocrate* cum Triballis conjungi *Lucanos*, hæc afferri poterit ratio: quod mari tantum diremptæ ſunt iſtæ gentes, ſunt autem Triballi gens Illyrica, ut Lucani Samnitica, teſte *Strabone*. *Sylb.* [h] Pro ἐπαγωγικὴ ſupra legitur ἀπαγωγικὴ, p. 270. v. 35. perperam hic in exemplari ſcriptum ἐπαγικὴ, omiſſa tertia ſyllaba. *Sylb.*

venuſtas eleganſque compoſitio orationi robur addat; interdum à debito decoro deflectit. Non enim eundem unaquæque res dicendi modum deſiderat; ſed ut hominum corporibus ipſa veſtis, ita etiam ipſis ſententiis nomina accommodanda ſunt. Neque enim auditores venuſtate omni ex parte delectare, ac verborum ſuavium inſigniumque delectus, omneſque periodos numeroſa rotunditate concludere, & theatralibus figuris orationem conveſtire, ubique expedit: quod nos poëtæ heroici, tragici & lyrici, cæterique carminum artifices ſatis docent; cum non tantum de venuſtate & gratia, quantum de veritate & ſinceritate ſoliciti ſint.

XIX. An vero hæc recte judicarim, & an revera hiſce virtutibus orator ille careat, videre poterit, cui orationem paulo ante poſitam latius viſum fuerit examinare. Initio primam ſententiam, quæ paucis verbis efferri poterat, producit periphraſtice & dilatat, bis terque eadem dicendo. Erat in hoc primo membro, ſcil. *Τίς γὰρ ἂν ἄλλοθεν ἐπελθὼν*, illud, *Καὶ μὴ συνδιεφθαρμένος ἡμῖν, ἀλλ' ἐξαίφνης ἐπιστὰς τοῖς γινομένοις*. nam poteſtate & valore hæc eadem ſunt. Et in hoc, *Οἱ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις*, illud, *Καὶ τὴν πόλιν ἐκ τῶν τότε πραχθέντων ἐγκωμιάζειν ἀξιοῦμεν*. nam idem eſt omnino *φιλοτιμεῖσθαι* & *ἐπαινεῖν*. Et in hoc, *Οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν*, iſtud, *Ἀλλὰ πᾶν τοὐναντίον*. alterutrum enim horum dixiſſe ſuffeciſſet. Quinetiam licebat è duabus unam periodum & breviorem & gratiorem compoſuiſſe, hoc modo: *Τίς γὰρ ἂν ἄλλοθεν ἐπελθὼν, οὐκ ἂν μαίνεσθαι νομίσειεν ἡμᾶς· οἱ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις, οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν*; Hujuſmodi fere ſupplementa in ſingulis periodis continentur, quæ etiamſi abeſſent, nihil ſenſui decederet, quæ efficiunt potius, ut inepta magis compoſitio & periodi magis affectatæ videantur. Itaque ad hunc modum longa nimis oratio. lata vero & tarda quo modo? *Κἀκεῖνοι μὲν ἐλευθεροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας, καὶ βοηθοῦντες αὐταῖς, τῆς ἡγεμονίας ἠξιώθησαν· ἡμεῖς δὲ, καὶ καταδουλούμενοι καὶ τἀναντία τοῖς τότε πράττοντες, ἀγανακτοῦμεν εἰ μὴ τὴν αὐτὴν ἐκείνοις τιμὴν ἕξομεν*. Hæc deducta magis conſtringere, & rotundiora facere ſic potuiſſet: *Κἀκεῖνοι, μὲν ἐλευθεροῦντες τὴν Ἑλλάδα καὶ σώζοντες, ἐπὶ τὴν ἡγεμονίαν προσῆλθον· ἡμεῖς δὲ, καταδουλούμενοι καὶ διολλύντες, ἀγανακτοῦμεν εἰ μὴ τῶν ἴσων τευξόμεθα*. Et ſententia quæ ſequitur latius dicta eſt, & tarde procedit: *Οἱ τοσοῦτον ἀπολελείμμεθα καὶ ταῖς διανοίαις καὶ τοῖς ἔργοις τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων, ὅσον οἱ μὲν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας τήν τε πατρίδα τὴν ἑαυτῶν ἐκλιπεῖν ἐτόλμησαν, καὶ μαχόμενοι καὶ ναυμαχοῦντες, τοὺς βαρβάρους ἐνίκησαν*. Potuiſſet hanc latitudinem & longitudinem contraxiſſe, & ſic dixiſſe: *Οἱ τοσούτῳ χείρους ἐσμὲν τῶν προγόνων, ὅσον οἱ μὲν, ὑπὲρ τοῦ σῶσαι τοὺς*

νῆς ἅπαν ἐχούσης ἐν λόγοις τὸ κράτος, ἀπολείπεταί ποτε τοῦ πρέποντος. οὐχ ἅπαντα δέ γε τὰ πράγματα τὴν αὐτὴν ἀπαιτεῖ διάλεκτον· ἀλλ' ἔστιν ὥσπερ σώμασι πρέπουσά τις ἐσθὴς, οὕτως καὶ νοήμασιν ἁρμόττουσά [a] τις ὀνομασία. τὸ δ' ἐκ παντὸς ἡδύνειν τὰς ἀκοὰς, εὐφώνων τε καὶ [b] ἐκλέκτων ὀνομάτων ἐκλογὴ, καὶ πάντα ἀξιοῦν εἰς εὐρύθμους κατακλείειν περιόδων ἁρμονίας, καὶ διὰ τῶν θεατρικῶν σχημάτων καλλωπίζειν τὸν λόγον, οὐκ ἦν πανταχῆ χρήσιμον· ἀλλὰ τοῦτό γε διδάσκουσιν ἡμᾶς καὶ οἱ τὰ ἔπη, καὶ οἱ τὰς τραγῳδίας, καὶ οἱ τὰ μέλη τὰ σπουδαῖα γράψαντες, οὐ τοσαύτην ποιούμενοι τῆς ἡδονῆς [c] δόσιν, ὅσην τῆς ἀληθείας.

ιθʹ. Εἰ δ' ὀρθῶς ἐπιλογίζομαι ταῦτ' ἐγὼ, καὶ ἔστιν ἐν ταύταις ταῖς ἀρεταῖς ἐνδεέστερος ὁ ἀνὴρ, πάρεστι τῷ βουλομένῳ σκοπεῖν ἐπὶ τῆς ἀρτίως παρατεθείσης λέξεως ποιουμένῳ τὴν ἐξέτασιν. εὐθέως οὖν τὴν πρώτην διάνοιαν ὀλίγοις ὀνόμασιν ἐξενεχθῆναι δυναμένην, μακρὰν ποιεῖ, κυκλογραφῶν, καὶ δὶς ἢ τρὶς τὰ αὐτὰ λέγων. [d] ἐνῆν μὲν οὖν ἐν τῷ πρώτῳ κώλῳ τῷ, "Τίς γὰρ ἂν ἄλλοθεν ἐπελθὼν", τὸ, "Καὶ μὴ συνδιεφθαρμένος ἡμῖν, ἀλλ' ἐξαίφνης ἐπιστὰς τοῖς γινομένοις"· δυνάμει γὰρ ἄμφω ταὐτά. καὶ ἐν τῷ, "Οἱ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις", τὸ, "Καὶ τὴν πόλιν ἐκ τῶν τότε πραχθέντων ἐγκωμιάζειν ἀξιοῦμεν"· τὸ γὰρ αὐτὸ "Φιλοτιμεῖσθαι" καὶ "Ἐπαινεῖν". καὶ ἐν τῷ, "Οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν", τὸ, "Ἀλλὰ πᾶν τοὐναντίον". ἤρκει γὰρ αὐτῶν εἰρῆσθαι θάτερον. ἐξῆν τε γὰρ μίαν ἐκ τῶν δυεῖν ποιῆσαι περίοδον, καὶ συντομωτέραν καὶ χαριεστέραν· "Τίς γὰρ ἂν ἄλλοθεν ἐπελθὼν, οὐκ ἂν μαίνεσθαι νομίσειεν ἡμᾶς· οἱ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις, οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν"; πολλὰ τοιαῦτά ἐστι παραπληρώματα καθ' ἑκάστην ὀλίγου δεῖν περίοδον, οὐκ ἀναγκαίαν ἔχοντα χώραν, ἃ ποιεῖ τὴν [e] ἑρμηνείαν ἀμετροτέραν, τὴν δὲ περίοδον κομψοτέραν. μακρὰ μὲν οὖν ἡ λέξις οὕτως ἐστὶν αὐτῷ· πλατεῖα δὲ [f] (καὶ) ἀσυγκρότητος πῶς; "Κἀκεῖνοι μὲν, ἐλευθεροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας, καὶ βοηθοῦντες αὐταῖς, τῆς ἡγεμονίας ἠξιώθησαν· ἡμεῖς δὲ, καὶ καταδουλούμενοι, καὶ τἀναντία τοῖς τότε πράττοντες, ἀγανακτοῦμεν εἰ μὴ τὴν αὐτὴν ἐκείνοις τιμὴν ἕξομεν". ταῦτα κεκολπωμένα σφίγξαι μᾶλλον ἦν, καὶ στρογγυλώτερα ὧδέ πως ποιῆσαι· "Κἀκεῖνοι μὲν, ἐλευθεροῦντες τὴν Ἑλλάδα καὶ σώζοντες, ἐπὶ τὴν ἡγεμονίαν προῆλθον· ἡμεῖς δὲ, καταδουλούμενοι καὶ διολλύντες, ἀγανακτοῦμεν εἰ μὴ τῶν ἴσων τευξόμεθα". καὶ ἡ μετὰ ταῦτα διάνοια πλατέως τε εἴρηται, καὶ ἀσυγκρότητός ἐστιν· "Οἱ τοσοῦτον ἀπολελείμμεθα καὶ ταῖς διανοίαις καὶ τοῖς ἔργοις τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων, ὅσον οἱ μὲν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας τήν τε πατρίδα τὴν ἑαυτῶν ἐκλιπεῖν ἐτόλμησαν, καὶ μαχόμενοι καὶ ναυμαχοῦντες, τοὺς βαρβάρους

"[g] ἐνίκησαν" . . . . . αὐτῆς ἐπιστρέψαι τὸ πλάτος, οὕτως ἐξενεγκών· "Οἱ τοσούτῳ χείρους ἐσμὲν

a Pro *τις ὀνομασία* in exemplari eſt *τοῖς ὀνόμασι*: mendoſe. *Sylb.* *b* Ἐκλέκτων, quod ferri alioqui poteſt, ſuſpectum redderet ſequens *ἐκλογή*. *Sylb.* *c* Δόσιν infra quoque ſic uſurpatum, p. 192, & 194. [juxta *Ed. Sylb.*] ſed valde metuo ne mendoſe pro *φροντίδα*. *Sylb.* *d* Ἐνῆν (inquit *Sylb.*) pro *inerat* ſeu *continebatur*, uſurpatum etiam infra p. 178. [juxta *Ed. Sylb.*] *e* Ἑρμηνείαν retinere nil vetat, pro *ἀπαγγελίαν* ſcilicet. ſiquis tamen *ἁρμονίαν* malit, id eſt *σύνθεσιν*, fruatur ſuo judicio. *Sylb.* *f* Incluſa καὶ abeſt ab exemplari. ſed inſerendam eſſe ſatis ſuperque conſtat. Verſu mox ſequenti idem exemplar contra morem habere *βοηθοῦντες αὐτάς*, ſupra quoque monui, ad p. 282. v. 12. *Sylb.* *g* Si poſt *ἐνίκησαν* inſeras *ἐδύνατο γὰρ*, plena erit ſententia. Pro *ἐπιστρέψαι* quoque rectius fortaſſe legemus *συστρέψαι*, ut paulo poſt, p. 285. v. 6. quod idem *σφίγξαι τὰ κεκολπωμένα* v. 39.

a Poſ-

"τῶν προγόνων, ὅσον ἐκεῖνοι μὲν, ὑπὲρ τοῦ σῶσαι τοὺς Ἕλληνας, τήν τε πατρίδα τὴν ἑαυτῶν ἐξέλιπον, καὶ μαχόμενοι πρὸς τοὺς βαρβάρους ἐνίκησαν". μυρία καὶ ταύτης ἔστι λαβεῖν τῆς ἀσθενείας δείγματα· ἔξω γὰρ ὀλίγων τινῶν, οἷς οὐκ ἐκ προνοίας μᾶλλον ἢ κατ' αὐτοματισμὸν συμβέβηκε τὸ συνεστράφθαι, τἄλλα ἐν πλάτει λέγεται.

κ'. Ἄτονος δὲ δὴ καὶ λαβὰς οὐ κραταιὰς ἔχουσά[a] πως ἐστὶν ἡ λέξις, τῷ ἐπιφέρειν τινὰ τοῖς εἰρημένοις διάνοιαν ταύτην· "Τοσοῦτον δὲ χείρους ἐσμὲν τῶν προγόνων, οὐ μόνον τῶν εὐδοκιμησάντων, ἀλλὰ καὶ τῶν μισηθέντων, ὅσον ἐκεῖνοι μὲν, εἰ πολεμεῖν[b] πρός τινα ψηφίσαιντο, μεστῆς οὔσης ἀργυρίου καὶ χρυ-
175 σίου τῆς ἀκροπόλεως, ὅμως ὑπὲρ τῶν δοξάντων τοῖς ἑαυτῶν σώμασιν ᾤοντο δεῖν κινδυνεύειν· ἡμεῖς δὲ, εἰς τοσαύτην ἀπορίαν ἐληλυθότες, καὶ τοσοῦτοι τὸ πλῆθος ὄντες, ὥσπερ βασιλεὺς ὁ μέγας, μισθωτοῖς χρώμεθα τοῖς στρατοπέδοις". φέρε δὲ πῶς ἐνῆν αὐτὴν[c] εἰπεῖν στρογγυλωτέραν; "Ἀλλὰ ταῦτα μὲν ἴσως χείρους ἐσμὲν τῶν προγόνων, τὰ δ' ἄλλα βελτίους· οὐ λέγω τῶν εὐδοκιμησάντων· πόθεν γάρ; ἀλλὰ τῶν μισηθέντων. καὶ τίς οὐκ οἶδεν ὅτι ἐκεῖνοι μὲν πλείστων ποτὲ πληρώσαντες χρημάτων τὴν ἀκρόπολιν, οὐ κατεμισθοφόρουν τὸν κοινὸν πλοῦτον εἰς τοὺς πολεμίους· ἀλλ' ἀπὸ τῶν ἰδίων εἰσφέροντες, ἔστιν ὅτε καὶ τοῖς ἑαυτῶν σώμασι κινδυνεύειν ἠξίουν· ἡμεῖς δὲ, οὕτως ὄντες ἄποροι, καὶ τοσοῦτοι τὸ πλῆθος, μισθοφόροις τοῖς στρατεύμασι πολεμοῦμεν, ὥσπερ καὶ βασιλεὺς ὁ μέγας". ἀλλὰ μὴν ὅτι γε ἄψυχός ἐστιν ἡ διάλεκτος αὐτοῦ, καὶ οὐ παθητικὴ, πνεύματός τε, οὗ μάλιστα δεῖ τοῖς ἐναγωνίοις λόγοις, ἐλαχίστην ἔχουσα μοῖραν, οἴομαι μὲν ἔγωγε καὶ χωρὶς ὑπομνήσεως ἅπασιν εἶναι φανερόν. εἰ δὲ ἄρα καὶ παραδειγμάτων δεῖ, πολλῶν ὄντων ἅ τις ἂν εἰπεῖν ἔχοι, μιᾷ διανοίᾳ χρησάμενος ἀρκεσθήσομαι. διαδέχεται δὴ τὴν ὀλίγῳ πρότερον ἐξετασθεῖσαν ἀντίθεσιν ἑτέρα τοιαύτη τις ἀντίθεσις· "Καὶ τότε μὲν, εἰ τριήρεις ἐπληροῦμεν, τοὺς μὲν ξένους καὶ δούλους ναύτας ἐνεβιβάζομεν, τοὺς δὲ πολίτας μεθ' ὅπλων ἐξεπέμπομεν· νῦν δὲ τοῖς μὲν ξένοις ὁπλίταις χρώμεθα, τοὺς δὲ πολίτας ἐλαύνειν ἀναγκάζομεν. ὥσθ', ὁπόταν ἀποβαίνωσιν εἰς τὴν τῶν πολεμίων, οἱ μὲν ἄρχειν τῶν Ἑλλήνων ἀξιοῦντες, ὑπηρέσιον ἔχοντες ἐκβαίνουσιν· οἱ δὲ τοιοῦτοι τὰς φύσεις ὄντες, οἵους ὀλίγῳ πρότερον εἶπον, μεθ' ὅπλων κινδυνεύουσιν". ἐν τούτοις οὐ μέμφομαι τὸν ἄνδρα τοῦ[d] λήμματος· γενναία γὰρ ἡ διάνοια, καὶ δυναμένη κινῆσαι πάθος· τὸ δὲ τῆς λέξεως λεῖον καὶ μαλακὸν, αἰτιῶμαι. τραχεῖαν γὰρ ἔδει καὶ πικρὰν εἶναι, καὶ πληγῇ τι παραπλήσιον ποιεῖν· ἡ δ' ἔστιν ὑγρὰ καὶ ὁμαλὴ, καὶ ὥσπερ ἔλαιον ἀψοφητὶ διὰ τῆς ἀκοῆς ῥέουσα, θέλγειν[e] γέτοι καὶ ἡδύνειν ζητοῦσα τὴν ἀκοήν. ἀλλ' ἐν τοῖς σχήμασιν ἔχει τοὺς ἀγῶνας, πολλοῖς οὖσι καὶ ποικίλοις· καὶ διὰ τούτων παθαίνει τοὺς ἀκούοντας; πολλοῦ γε καὶ δεῖ. τὰ γὰρ ἐκλύοντα μάλιστα[f] τὴν δύναμιν αὐτοῖς, καὶ ἀποστρέφοντα τὴν ἀκοὴν, τουτέστι τὰ μειρακιώδη πάρισα, καὶ τὰ ψυχρὰ ἀντίθετα, καὶ τὰ παραπλήσια τούτοις, αὐτίκα ἐν αὐτῇ ταύτῃ τῇ λέξει, περὶ ἧς ὁ λόγος.

Ἕλληνας, τήν τε πατρίδα τὴν ἑαυτῶν ἐξέλιπον, καὶ μαχόμενοι πρὸς τοὺς βαρβάρους ἐνίκησαν. Plurima ejuſdem vitii exempla apud eum reperire poſſum, in quibus ſe ipſo longe inferior eſt, in nimia ſcilicet ſententiarum productione: exceptis admodum paucis, quæ non conſulto potius quam caſu breviter dicta ſunt, cum cætera omnia longis dilatationibus ampliarit.

XX. Oratio denique ejus elumbis eſt, & acribus deſtituta commiſſuris, eo quod iis quæ prius dixit, hujuſmodi mox ſententiam ſubjungat: *Τοσοῦτον δὲ χείρους ἐσμὲν τῶν προγόνων, οὐ μόνον τῶν εὐδοκιμησάντων, ἀλλὰ καὶ τῶν μισηθέντων, ὅσον ἐκεῖνοι μὲν, εἰ πολεμεῖν πρός τινα ψηφίσαιντο, μέσης οὔσης ἀργυρίου καὶ χρυσίου τῆς ἀκροπόλεως, ὅμως ὑπὲρ τῶν δοξάντων τοῖς ἑαυτῶν σώμασιν ᾤοντο δεῖν κινδυνεύειν· ἡμεῖς δὲ, εἰς τοσαύτην ἀπορίαν ἐληλυθότες, καὶ τοσοῦτοι τὸ πλῆθος ὄντες, ὥσπερ βασιλεὺς ὁ μέγας, μισθωτοῖς χρώμεθα τοῖς στρατοπέδοις.* Age, quomodo hæc brevius dici potuiſſent? *Ἀλλὰ ταῦτα μὲν ἴσως χείρους ἐσμὲν τῶν προγόνων, τὰ δ' ἄλλα βελτίους· οὐ λέγω τῶν εὐδοκιμησάντων· πόθεν γάρ; ἀλλὰ τῶν μισηθέντων. καὶ τίς οὐκ οἶδεν ὅτι ἐκεῖνοι μὲν πλείστων ποτὲ πληρώσαντες χρημάτων τὴν ἀκρόπολιν, οὐ κατεμισθοφόρουν τὸν κοινὸν πλοῦτον εἰς τοὺς πολέμους· ἀλλ' ἀπὸ τῶν ἰδίων εἰσφέροντες, ἔστιν ὅτε καὶ τοῖς ἑαυτῶν σώμασι κινδυνεύειν ἠξίουν· ἡμεῖς δὲ, οὕτως ὄντες ἄποροι, καὶ τοσοῦτοι τὸ πλῆθος, μισθοφόροις τοῖς στρατεύμασι πολεμοῦμεν, ὥσπερ καὶ βασιλεὺς ὁ μέγας.* Quin etiam tenuem eſſe ejus loquendi rationem, nec affectibus refertam, & parum ſpiritus, qui in orationibus foro & contentionibus accommodatis requiritur, habere, arbitror vel me tacente clarum eſſe. Si vero exemplis opus ſit, multa ſunt, quæ quis poſſet proferre, ſed unicam ſententiam ſufficere puto. Sequitur antitheſim paulo ante poſitam alia hujuſmodi: *Καὶ τότε μὲν, εἰ τριήρεις ἐπληροῦμεν, τοὺς μὲν ξένους καὶ δούλους ναύτας ἐνεβιβάζομεν, τοὺς δὲ πολίτας μεθ' ὅπλων ἐξεπέμπομεν· νῦν δὲ τοῖς μὲν ξένοις ὁπλίταις χρώμεθα, τοὺς δὲ πολίτας ἐλαύνειν ἀναγκάζομεν. ὥσθ', ὁπόταν ἀποβαίνωσιν εἰς τὴν τῶν πολεμίων, οἱ μὲν ἄρχειν τῶν Ἑλλήνων ἀξιοῦντες, ὑπηρέσιον ἔχοντες ἐκβαίνουσιν· οἱ δὲ τοιοῦτοι τὰς φύσεις ὄντες, οἵους ὀλίγῳ πρότερον εἶπον, μεθ' ὅπλων κινδυνεύουσιν.* Jam enim ejus aſſumptionem non reprehendo; egregia eſt enim ſententia, quæque affectum poſſet concitare: at dictionis lenitatem & mollitiem reprehendo. Debebat enim incitata eſſe & amara, & quaſi vulnus infligere: ſed ipſa fluida eſt, lenis, & inſtar olei ſine remora in aures influens, demulcere cupiens, & aures ſcilicet ſuavitate delectare. Sed in ipſis ſchematibus contenditne, quæ multa ac varia ſunt, illiſque auditores movet? Nequaquam. nam vim ejus maxime infringunt, & auditorum animos abſterrent puerilia illa comparia, & frigida epitheta, & ſimilia, idque in hac ipſa oratione, de qua eſt ſermo. quin & ipſa

a Poſſis etiam interrogative legere *πῶς ἐστὶν ἡ λέξις*. Ibid. ſequens *τινὰ* ſuperfluum videtur. *Sylb.* b Supra pluraliter ſcriptum *πρός τινας* p. 284. v. 41. *Sylb.* c Poſſis etiam legere *εἰπεῖν στρογγυλώτερον*: & v. 22. *εἰς τοὺς πολέμους*. *Sylb.* d *Λήμματος* reperitur etiam paulo poſt, v. 41. alioqui hoc loco maluerit forſan aliquis *λήματος*: præſertim cùm ſequatur, *γενναία γὰρ ἡ διάνοια*. *Sylb.* e *Γέτοι* accipiendum hic pro *ſcilicet, videlicet*. *γέ τι*, & *γ' ἔτι*, minus videntur apta. *Sylb.* f Legendum videtur *τὴν δύναμιν αὐτὴν*: vel *τὴν δύναμιν αὐτῆς*, ſcilicet *τῆς λέξεως*. *Sylb.*

ipſa tota res contraria eſt; & unaquæque periodus ex contrariis conſtat, ut auditorum aures moleſtia & nimietate affligat. Quod dico veriſſimum eſt. nam omnes ſententiæ periodique & aſſumptiones, ab his pene initiis incipiunt: Ἐκεῖνοι μὲν γάρ, Ἡμεῖς δέ, & Τοῦτο μέν, Τοῦτο δέ. Hæc ab initio ad finem uſque in orbem feruntur. nullique ſunt tropi, mutationes, & ſchematum varietates, quæ ſenſum ſolvunt. Multa alia quis in Iſocrate reprehendat vitia, quæ ille in dicendi modo commiſit. ſed hæc ſufficient.

Iſocratis cum Demoſthene collatio.

XXI. Producatur deinde Demoſthenes, & examinetur ejus dictio ex una orationum *in Philippum*; qua cum majorum rebus geſtis res ſui temporis, & novos oratores cum antiquis comparat, non ſingula majorum operâ novis opponens, nec omnia minuta comparatione conſectans, ſed in genere totam & univerſam materiam hoc modo: “Atqui conſiderate, Athenienſes, quæ capita rerum & ſuperiorum & horum temporum commemorari poſſint. brevis autem erit, & nota vobis oratio. Non enim alienis vos utentes exemplis, ſed domeſticis, Athenienſes, felices fieri licet. Illi igitur quibus non adulabantur oratores, quos non ita amabant, ut vos iſti nunc, quinque & ſexaginta annos Græcis volentibus imperarunt: amplius decies mille talenta in Arcem congeſſerunt: & regem iſtius provinciæ dicto audientē habuerunt: (ſicut æquum eſt parere Græcis barbarum) & multa præclaraque tropæa terra marique parta erexerunt, tum ipſi militarent: & ſoli mortalium eam rerum geſtarum gloriam, ad quam nullus invidiæ pateret aditus, reliquerunt. Et in tuenda Græcia fuere tales. In ipſa vero urbe quales & publicis & privatis in rebus ſe præbuerint, attendite. Publice igitur ædificia & ornamenta talia & tanta inſtruxere nobis fanorum, & quæ in his continentur donariorum, ut nihil ad eorum elegantiam à poſteris addi poſſit. Privatim autem adeo modeſti fuerunt, tantaque cura reipub. inſtitutum obſervarunt, ut ſi quis forte veſtrum Ariſtidis & Miltiadis & illuſtrium hominum ætatis illius ædes novit, cujuſmodi ſint, vicini ædibus non ſplendidiores videat. Neque enim rei familiaris amplificandæ gratia rempub. gerebant, ſed quiſque ſibi rem communem augendam eſſe putabat. Cum autem res Græcorum fideliter, religionem Deorum immortalium pie, commercia inter ſe æquabiliter adminiſtrarent, non injuria magnam ſibi felicitatem pepererunt. Tunc igitur

τό, τε πρᾶγμα ὅλον ἐστὶν [a] ἀντίκειται· καὶ τῶν περιόδων ἑκάστη δι' ἀντιθέτων κατεσκεύασται, ὥστ' ἀποκναίειν τοὺς ἀκούοντας ἀηδίᾳ καὶ κόρῳ. ὃ δὲ λέγω, τοιοῦτόν ἐστι. πάσης διανοίας καὶ περιόδου καὶ λήμματος αἵ τε ἀρχαὶ καὶ αἱ ἐπιφοραὶ τοιαῦταί εἰσιν· “Ἐκεῖνοι μὲν γάρ”, Ἡμεῖς δέ”, καὶ “Τοῦτο μέν”, “Τοῦτο δέ”. ταῦτ' ἀπὸ τῆς ἀρχῆς [b] ἕως τελευτῆς κύκλῳ· [c] καὶ τροπαὶ δὲ καὶ μεταβολαί, καὶ ποικιλίαι σχημάτων, ἃ πέφυκε λύειν τὸν τῆς διανοίας σκοπόν, οὐδαμοῦ. πολλὰ ἄν τις ἔχοι πολλὰ ἐπιτιμᾶν Ἰσοκράτει, τῶν περὶ τὴν διάλεκτον [d] ἐμμάτων. ἀλλὰ καὶ ταῦθ' ἱκανά.

κα'. Εἰσαγέσθω δὴ μετὰ τοῦτον ὁ Δημοσθένης, καὶ λαμβανέσθω κἀκείνου λέξις ἐκ μιᾶς τῶν [e] ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ δημηγορείας, δι' ἧς καὶ αὐτὸς συγκρίνει τὰ καθ' ἑαυτὸν ἔργα τοῖς ἐπὶ τῶν προγόνων, καὶ τοὺς νέους δημαγωγοὺς τοῖς παλαιοῖς· οὐ καθ' ἓν ἔργον ἕκαστον ἀρχαῖον ἔργῳ καινῷ παρατιθείς, οὐδὲ πάντα μικρολογῶν συγκρίσει, ἀλλὰ ὅλη ποιούμενος ὅλην τὴν ἀντίθεσιν διεξοδικήν· οὕτως· “Καίτοι σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἅ τις ἂν κεφάλαια εἰπεῖν ἔχοι, τῶν τε ἐπὶ τῶν προγόνων [f] (ἔργων,) καὶ τῶν ἐφ' ἡμῶν. ἔσται δὲ βραχὺς (καὶ) γνώριμος ὑμῖν ὁ λόγος. οὐ γὰρ ἀλλοτρίοις χρωμένοις ὑμῖν παραδείγμασιν, ἀλλ' οἰκείοις, ὦ ἄνδρες Ἀθηναῖοι, εὐδαίμοσιν ἔξεστι [g] γίγνεσθαι. ἐκεῖνοι τοίνυν, οἷς οὐκ ἐχαρίζοντο οἱ λέγοντες, οὐδ' ἐφίλουν αὐτοὺς ὥσπερ ὑμᾶς [h] οὗτοι νῦν, πέντε μὲν καὶ τετταράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόντων· πλείω δ' ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν συνήγαγον· ὑπήκουε δὲ ὁ ταύτην τὴν χώραν ἔχων αὐτοῖς βασιλεύς, ὥσπερ ἐστὶ προσῆκον βάρβαρον Ἕλλησι· πολλὰ δὲ καὶ καλὰ καὶ [i] πεζοὶ καὶ ναυμαχοῦντες ἔστησαν τρόπαια αὐτοὶ στρατευόμενοι· μόνοι δ' ἀνθρώπων κρείττω τὴν ἐπὶ τοῖς ἔργοις δόξαν τῶν φθονούντων κατέλιπον. ἐπὶ μὲν δὴ τῶν Ἑλληνικῶν ἦσαν τοιοῦτοι· ἐν δὲ τοῖς κατὰ τὴν πόλιν αὐτήν, θεάσασθε ὁποῖοι ἔν [k] (τε) τοῖς κοινοῖς καὶ ἐν τοῖς ἰδίοις. [l] δημοσίᾳ μὲν τοίνυν οἰκοδομήματα καὶ κάλλη τοσαῦτα καὶ τοιαῦτα κατεσκεύασαν ἡμῖν ἱερῶν καὶ τῶν 170 ἐν τούτοις ἀναθημάτων, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λειφθῆναι. ἰδίᾳ δὲ οὕτω σώφρονες ἦσαν καὶ σφόδρα ἐν τῷ τῆς πολιτείας ἤθει μένοντες, ὥστε τὴν Ἀριστείδου καὶ Μιλτιάδου καὶ τῶν τότε λαμπρῶν οἰκίαν, εἴ τις ἄρ' οἶδεν ὑμῶν ὁποία ποτ' ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖσαν. οὐ γὰρ εἰς περιουσίαν αὐτοῖς ἐπράττετο τὰ τῆς πόλεως, ἀλλὰ τὸ κοινὸν αὔξειν ἕκαστος ᾤετο δεῖν. ἐκ δὲ τοῦ τὰ μὲν Ἑλληνικὰ πιστῶς, τὰ πρὸς τοὺς θεοὺς εὐσεβῶς, τὰ δ' ἐν αὐτοῖς ἴσως διοικεῖν, μεγάλην εἰκότως ἐκέκτηντο εὐδαιμονίαν. τότε μὲν δὴ

a Pro ἀντίκειται ſtructura & ſenſus poſtulant ἀντικείμενα, ſeu ἀντικειμένων. *Sylb.* b Malim cum articulo ἕως τῆς τελευτῆς, ut præcedit ἀπὸ τῆς ἀρχῆς. *Sylb.* c Neſcio an rectius αἱ τροπαὶ δέ. Ibidem mox in exemplari eſt ποικιλίαις, dandi caſu: parum congruenter. Sicut vero hic dicit, λύειν τὸν τῆς διανοίας σκοπόν. ita p. 191. [juxta *Ed. Sylb.*] παραμυθήσασθαι τὸν τῆς διανοίας σκοπόν. ut σκοπὸς hic ſit intenſior quædam ad rem propoſitam collimatio. οὐδαμοῦ ſequenti verſu cum mente auctoris pugnare videtur. ſed ſupra etiam, pag. 283. verſu 36. *Iſocratem* dixit eſſe ἄτολμον περὶ τὰς τροπικὰς κατασκευάς, καὶ ψοφοδεῆ. Verſu mox ſequenti pro poſteriore πολλὰ legendum videtur ἄλλα, vel πρὸς τούτοις. *Sylb.* d Pro corrupto ἐμμάτων exigua mutatione reponi poteſt σκεμμάτων. ſed neſcio an convenientius ſit ἁμαρτημάτων vel πλημμελημάτων. *Sylb.* In ora *Cod. Bodl.* ἐλλειμμάτων. e Phillippica hæc in vulgatis editt. *Demoſthenis* nominatur Olynthiaca tertia. *Sylb.* f Incluſum ἔργων, additum ex eiſdem editt. *Demoſthenis*: itidemque mox incluſa καί. Ibidem exemplar noſtrum in ſecunda perſona habet ἐφ' ὑμῶν: minus apte. *Sylb.* g Vulg. editt. habent γενέσθαι. *Sylb.* h In exemplari noſtro ſcriptum ὃν τοίνυν: nihil ad rem. Ibidem pro τετταράκοντα vulg. editt. habent ἑξήκοντα. Verſu 27. pro articulo ὁ perperam in exempl. eſt adverb. neg. οὐ. *Sylb.* i In vulg. editt. eſt πεζῇ: in exemplari, πεζοί, errore ambiguo. *Sylb.* k Incluſa τε, addita ex vulg. editt. *Sylb.* l In exempl. eſt δημόσια: quod non congruit ad ſeq. oppoſitum ἰδίᾳ, verſu 37. Eodem v. 37. vulg. editt. habent λελεῖφθαι. Ex eiſdem addita δὲ poſt ſequens ἰδίᾳ. Eædem v. 45. habent ἐκτήσαντο. *Sylb.*

a Incluſa

a Pro ἅμα τὰ ſi reponas ἃ κτ, ſatis bene conſtabit ſententia. *Sylb.* *b* Rectius αὐτοῖς συνεξήνεγκεν. Sic v. 13. legendum videtur, γενναίᾳ χρῆται τῇ φρ. *Sylb.* *c* Incluſa καὶ abeſt ab exemplari. ſed inſerendam eſſe, ſatis perſpicuum eſt ex v. 23. Verſu etiam 24. exemplar noſtrum habet ἀνθρώπειον, errore quidem ambiguo. ego vulgatos *Platonis* libros ſecutus ſum. *Sylb.* *d* Idem exemplar noſtrum ſine articulo habet τούτου δὲ καρποῦ: minus belle. Seq. v. pro corrupto μένην ſenſus poſtulat εὖ κειμένης, vel ſimile quid. *Sylb.* *e* In ora *Cod. Bodl.* ἴσ' ἐχ. *f* Et γῆ retineri poteſt, & γῆν reponi. *Sylb.* *g* In exemplari eſt φθονῆσαι, errore ambiguo. Forſan etiam ibidem pro οὐδὲ μεμνῆσθαι legendum πῇ τι νείμασθαι: ut hæc quoque periodus ſit interrogativa. Rurſum pro ſeq. οὐδὲ ſi ponamus τὸ δὲ, & in clauſula poſt περιλαβεῖν addamus ἐδύνατο, vel ſimile aliquod verbum, melius conſtabit ſententia. *Sylb.* *h* In vulg. editt. τοῦτο. *i* Si comma iſtud οὐκ ἔχοντα δὲ, vel expleatur, vel penitus expungatur, ſat bene conſtabit ſententia. expleri autem tali fortaſſe modo poteſt, οὐκ ἔχοντα καιρὸν, τὰ δὲ, διθυρ. *Sylb.* *k* In exemplari eſt, διαμιλησομένοις: mendoſe. *Sylb.*

a Incluſa

λʹ. Ἃ δὲ δὴ κράτιστα εἰρῆσθαι τῷ ἀνδρὶ δοκοῦσί τινες ἐπὶ τῇ τελευτῇ τοῦ λόγου, κἀγὼ σύμφημι, ταῦτα παραθεὶς, ἐπὶ τὸν Δημοσθένην τρέψομαι. ὁ δὲ τὸν ἔπαινον αὐτῶν διεξιὼν, φησὶν ἐπισκῆψαι τοῖς παροῦσιν ἐν τῷ πολέμῳ τοὺς μέλλοντας τελευτᾶν, ἃ χρὴ πρὸς τοὺς ἑαυτῶν παῖδάς τε καὶ πατέρας ἀπαγγέλλειν, εἴ τι παθεῖν αὐτοὺς συμβαίη κατὰ τὴν μάχην. ἔστι δὲ τάδε· “Φράσω δὲ ὑμῖν ἅ τε αὐτῶν ἤκουσα ἐκείνων, καὶ οἷα νῦν ἡδέως [a] (ἂν) εἴποιεν ὑμῖν, ἀναλαβόντες δύναμιν· τεκμαιρόμενος ἐξ ὧν τότ᾽ ἔλεγον. ἀλλὰ χρὴ νομίζειν ἀκούειν αὐτῶν ἐκείνων ἃ (ἂν) ἀπαγγέλλω. ἔστι δὲ τάδε· ὦ παῖδες, ὅτι μέν ἐστε πατέρων ἀγαθῶν, αὐτὸ μηνύει τὸ νῦν παρόν. ἡμῖν γὰρ ἐξὸν ζῆν μὴ καλῶς, [b] (καλῶς) αἱρούμεθα μᾶλλον τελευτᾶν, πρὶν ὑμᾶς τε καὶ τοὺς ἔπειτα εἰς ὀνείδη καταστῆσαι, καὶ πρὶν τοὺς ἡμετέρους πατέρας καὶ πᾶν τὸ πρόσθεν γένος αἰσχῦναι· ἡγούμενοι τῷ τοὺς αὐτοῦ αἰσχύνοντι ἀβίωτον εἶναι, καὶ τῷ τοιούτῳ οὔτε τινὰ ἀνθρώπων οὔτε θεῶν φίλον εἶναι, οὔτ᾽ ἐπὶ γῆς, οὔθ᾽ [c] ὑπὸ γῆς τελευτήσαντι. χρὴ οὖν μεμνημένους τῶν ἡμετέρων λόγων, ἤν τι καὶ ἄλλο ἀσκῆτε, ἀσκεῖν μετ᾽ ἀρετῆς· εἰδότας ὅτι τούτου λειπόμενα πάντα καὶ κτήματα καὶ ἐπιτηδεύματα, αἰσχρὰ καὶ κακά. οὔτε γὰρ πλοῦτος κάλλος φέρει [d] τῷ κεκτημένῳ ἀνδρείαν· ἄλλοις γὰρ ὁ τοιοῦτος πλουτεῖ, καὶ οὐχ ἑαυτῷ· οὔτε κάλλος σώματος οὔτ᾽ ἰσχὺς δειλῷ καὶ κακῷ ξυνοικοῦντα, πρέποντα φαίνεται, ἀλλ᾽ ἀπρεπῆ, καὶ [e] ἐπιφανεστέραν ἔχοντα τὴν δειλίαν· πᾶσά τε ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς, πανουργία, (ἀλλ᾽) οὐ σοφία γίνεται. ὧν ἕνεκα [f] πρῶτα καὶ ὕστατα καὶ διὰ παντὸς πᾶσαν πάντως προθυμίαν πειρᾶσθε ἔχειν, ὅπως μάλιστα μὲν ὑπερβαλεῖσθε καὶ ἡμᾶς καὶ τοὺς πρόσθεν εὐκλείᾳ· εἰ δὲ μὴ, ἴστε ὡς ἡμῖν, ἂν μὲν νικῶμεν ὑμᾶς ἀρετῇ, ἡ νίκη αἰσχύνην φέρει· ἡ δὲ ἧττα, ἐὰν ἡττώμεθα, εὐδαιμονίαν. [g] μᾶλλον δ᾽ ἂν νικῴμεθα, καὶ ὑμεῖς νικῷτε, εἰ παρασκευάσεσθε τῇ τῶν προγόνων δόξῃ μὴ καταχρησάμενοι, μηδ᾽ ἀναλώσαντες ταύτην· γνόντες ὅτι ἀνδρὶ, οἰομένῳ τὶ εἶναι, οὐκ ἔστιν αἴσχιον [h] (οὐδὲν,) ἢ παρέχειν ἑαυτὸν τιμώμενον μὴ δι᾽ αὐτὸν, ἀλλὰ διὰ δόξαν προγόνων. εἶναι μὲν γὰρ τιμὰς γονέων ἐκγόνοις, καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής· καταχρήσασθαι δὲ χρημάτων καὶ τιμῶν [i] θησαυρῷ, καὶ μὴ τοῖς ἐκγόνοις παραδιδόναι, αἰσχρὸν καὶ ἄνανδρον, ἀπορίᾳ ἰδίων αὐτοῦ κτημάτων τε καὶ εὐδοξιῶν. καὶ ἢν μὲν ταῦτα ἐπιτηδεύσητε, φίλοι παρὰ φίλους ἡμᾶς ἀφίξεσθε, ὅταν [k] (δὴ) ὑμᾶς ἡ προσήκουσα μοῖρα κομίσῃ· ἀμελήσαντες δὲ ὑμᾶς καὶ κακισθέντας, οὐδεὶς εὐμενῶς ὑποδέξεται. τοῖς μὲν οὖν παισὶ ταῦτ᾽ εἰρήσθω. πατέρας (δὲ ἡμῶν, οἷς εἰσι, καὶ μητέρας) ἀεὶ χρὴ παραμυθεῖσθαι, ὡς

XXX. Quæ vero optime eum in fine orationis quidam dixiſſe volunt, illa optima cenſeo; quæ ubi poſuero, ad Demoſthenem deſcendam. Ille itaque, in iis laudandis perſiſtens, ait, eoſdem in bello jam morituros præſentibus mandaſſe, quæ filiis ſuis & parentibus, ſi quid ſibi in prælio accideret humanitus, renunciarent. Sunt autem hæc: “Dicam vobis quæ ex ipſis audivi, & quæ, ſi reviviſcerent, libenter dicerent; quod conjicio ex iis quæ tum dixerunt. ſed exiſtimate vos audire ea ex iis ipſis, quæ ego dico. Sunt autem hæc. Quod ex præclaris orti parentibus eſtis, ô filii, præſentia teſtantur. Profecto cum nobis liceret turpiter vivere, cum honore emori maluimus, quam vos cæteroſque poſteros infamiæ ſubjicere, ac parentibus noſtris majoribuſque dedecori eſſe: putantes, homini dedecoranti ſuos non eſſe vivendum; ei namque, neque in vita neque poſt mortem, amicum aliquem eſſe vel hominum vel Deorum. Oportet igitur vos verborum noſtrorum memores, ſi quid aliud exercebitis, cum virtute exercere; ſcientes abſque virtute exercitationes & poſſeſſiones omnes turpes malaſque eſſe. Divitiæ namque ſplendorem afferunt nullum, eas cum ignavia poſſidenti: (neque enim ſibi hic ſed alteri parat divitias) neque forma corporis, neque robur, timido atque ignavo cum inſunt, decorem præſtant; eum namque dedecent, notiorem efficiunt, ignaviam patefaciunt. Præterea ſcientia, quæ eſt remota à juſtitia aliaq; virtute, non ſapientia ſed calliditas eſſe videtur. Quorum cauſa & primo & poſtremo atque per omnia omni diligentia contendite, ut & nos & majores noſtros virtutis gloria ſuperetis. Alioquin ſcitote, ſi vobis virtute præſtemus, victoriam hanc nobis dedecus allaturam; ſin ſuperemur à vobis, felicitatem. Ita vero maxime nos ſuperabimur, vos autem ſuperabitis, ſi ea ratione vitam inſtitueritis, ut majorum gloria non abutamini, neque eam (ut ita dixerimus) dilapidetis; ſcientes viro, aliquid eſſe ſe exiſtimanti, nihil turpius poſſe accidere, quam ſeipſum honorandum, non propter virtutem propriam, ſed propter gloriam majorum, præbere. Gloria parentum natis præclarus eſt magnificuſque theſaurus: uti vero pecuniarum honorumque theſauro, & hunc ad poſteros non transfundere, propriæ poſſeſſionis gloriæque penuria, turpe & à viri generoſitate alienum. Si igitur hæc exercueritis, vitæ demum fatis exactis cari ad nos filii caros parentes proficiſcemini. Sin autem neglexeritis hæc, & improbi evaſeritis, nemo vos libens excipiet. Natis quidem noſtris hæc ſint dicta. Patres autem noſtros aut matres, ſi cui noſtrum ſuperſint, atque conſola-

[a] Incluſa ἂν addita ex vulg. editt. *Platonis*: quæ ibidem habent λαβόντες, ſine præpoſitione. Eædem ſeq. v. habent νομίζειν χρὴ αὐτῶν ἀκούειν ἐκείνων, mutato verborum ordine. Ibidem in exemplari omiſſus erat articulus relativus ἅ. Pro ἔστι vulg. editt. ibidem habent ἔλεγον. Eædem v. 12. pro ἡμῖν γὰρ habent ἡμῖν δέ. *Sylb.* [b] Incluſum καλῶς additum ex eiſdem editt. mox v. 14. ἡμᾶς. V. 15. in exempl. καταστῆσαι, minus recte. *Sylb.* [c] Pro ὑπὸ γῆς idem minus congruenter habet ὕστερον. Pro ſeq. ἢν vulgati libri habent ἐάν: itidemque infra v. 43. *Sylb.* [d] In iiſdem legitur, τῷ κεκτημένῳ μετ᾽ ἀνανδρίας: & mox, ἄλλῳ γὰρ ὁ τοιοῦτος πλουτεῖ. & ſeq. v. οὔτε σώματος κάλλος καὶ ἰσχύς. *Sylb.* [e] Iidem libri habent ἐπιφανέστερον ποιεῖ τὸν ἔχοντα, καὶ ἐκφαίνει τὴν δειλίαν & v. 28. φαίνεται pro γίνεται. *Sylb.* [f] Iidem habent καὶ πρῶτον καὶ ὕστατον: concinnius. atque ita ſupra etiam eſt p. 292. v. 33. *Sylb.* [g] Iidem libri pro μᾶλλον habent μάλιστα: & ſeq. v. παρασκευάσησθε. Iidem v. 36. habent αὐτὴν pro ταύτην. *Sylb.* [h] Incluſum οὐδὲν abeſt ab iiſdem. Iidem v. 38. habent μὴ δι᾽ ἑαυτὸν, & v. 40. χρῆσθαι καὶ χρ. quod melius congruit ad ſeq. παραδιδόναι. *Sylb.* [i] Exemplar noſtrum accuſ. caſu habet θησαυρὸν, contra legem ſyntaxεως. *Sylb.* [k] Incluſum δὴ additum è vulg. editt. Sic. v. 46. & p. ſeq. v. 1. & 2. *Sylb.*

* Vulg.

“ conſolatione indigent, conſolari oportet; “ quia par eſt quæcunque acciderint ferre, “ neque cum illis una deplorandus eſt caſus: “ (lamentationibus enim aliorum non indige- “ bunt) ſatis namque ſors triſtitiæ illis adfe- “ ret. Mederi profecto lenireque nos oportet, “ & in primis illud commemorare, quod ma- “ xima eorum, quæ exoptare ſolent, propitii “ Dii jam conceſſerint. Neque enim immor- “ tales ſibi filios dari, ſed bonos & illuſtres, “ optabant: cujus quidem voti compotes effe- “ cti ſunt, quod maximum exiſtimandum eſt “ bonum: omnia vero mortali viro ad votum “ in vita accidere, haud facile eſt. Atqui ſi “ ſortem æquo animo tolerabunt, videbuntur “ revera fortium filiorum parentes, ipſique “ fortes eſſe. Sin autem dolori ſuccumbent, “ ſuſpicionem hominibus inferent, ne forte aut “ parentes noſtri minime ſint, aut qui nos lau- “ dibus efferant, mentiantur. At horum neu- “ trum evenire oportet, verum laudatores no- “ ſtros reipſa præcipue illos eſſe, oſtendentes “ ſe revera parentes viros eſſe virorum. Enim- “ vero vetus illud proverbium, *Ne quid ni-* “ *mis*, ſcite dictum videtur. Nam cui vere “ ex ſeipſo apta ſunt omnia, quæ ad bene vi- “ vendum faciunt, nec ſuſpenſa aliorum aut “ bono caſu aut contrario, pendere ex alte- “ rius eventis & errare coguntur, huic opti- “ ma vivendi ratio comparata eſt. Hic eſt ille “ moderatus, hic fortis, hic ſapiens, hic & na- “ ſcentibus & cadentibus cum reliquis commo- “ dis, tum maxime liberis, parebit præcepto “ illo veteri; neque mœrebitur unquam, neque “ lætabitur nimis, quia ſemper in ſeipſo omnẽ “ ſpem reponet ſui. Tales eſſe & noſtros de- “ bere judicamus, & volumus. Atqui & in “ præſentia nos ipſos tales penitus exhibemus, “ haud ſane perturbatos, vel nimio metu per- “ territos, ſi nunc vita decedere nos oporteat. “ Oramus quoque patres noſtros & matres, ut “ ſimiliter affecti futuram vitam agant, ſcien- “ tes quod non lamentationibus ejulationi- “ buſque maxime nobis gratificabuntur; ve- “ rum ſi quis eſt his qui defuncti ſunt ſenſus “ viventium, ita maxime nobis moleſti futuri “ ſunt, ſi ſeipſos perdiderint & inique ſortem “ tulerint. Sin autem moderate & leviter, no- “ bis ſummopere obſequentur. Noſtra porro “ eum jam finem habebunt, qui hominibus “ eſt pulcerrimus. Quamobrem collaudanda “ ſunt potius quam deflenda. profecto ſi uxo- “ res noſtras filioſque & nutrient, & his in- “ cumbent, ita maxime caſus oblivioni man- “ dabunt, pulcriuſque & rectius nobiſque “ gratius vitam agent. Hæc igitur noſtro no- “ mine noſtris nunciare ſufficiet: civitati “ vero mandamus, ut parentium noſtrorum fi- “ liorumque curam habeat, & hos honeſte “ enutriat, illorum ſenium honeſte foveat. “ Scimus autem vos, etiamſi hæc minime præ- “ ceperimus, curaturos. Hæc igitur, ô filii de- “ functorum atque parentes, ut moneremus,

“ (χρὴ) ῥᾷστα φέρειν τὴν συμφοράν, (ἐὰν ἄρα ξυμβῇ γενέ- “ σθαι καὶ μὴ ξυνοδύρεσθαι· οὐ γὰρ) τοῦ λυπήσοντος προσ- “ δεήσονται· ἱκανὴ γὰρ ἔσται καὶ ἡ γενομένη τύχη τοῦτο [a] πο- “ ρίζειν. ἀλλ’ ἰωμένους καὶ πραΰνοντας, ἀναμιμνήσκειν “ αὐτοὺς ὅτι, ὧν εὔχοντο, τὰ μέγιστα αὐτοῖς οἱ θεοὶ ἐπή- “ κοοι γεγόνασιν. οὐ γὰρ ἀθανάτους σφίσι (τοὺς) παῖδας εὔ- “ χοντο γενέσθαι, ἀλλ’ ἀγαθοὺς καὶ εὐκλεεῖς· ὧν ἔτυχον, μεγί- “ στων ἀγαθῶν ὄντων· πάντα δ’ οὐ ῥᾴδιον θνητῷ ἀνδρὶ κατ’ “ νοῦν ἐν τῷ σφετέρῳ βίῳ ἐκβαίνειν. καὶ φέροντες μὲν τὰς “ συμφορὰς ἀνδρείως, δόξουσι τῷ ὄντι ἀνδρείων παίδων πα- “ τέρες εἶναι, καὶ αὐτοὶ τοιοῦτοι· ὑπείκοντες δ’, ὑποψίαν πα- “ ρέξουσιν ἢ μὴ ἡμέτεροι εἶναι, ἢ ἡμῶν τοὺς ἐπαινοῦντας καταψεύδεσθαι. χρὴ δὲ οὐδέτερα τούτων· ἀλλ’ ἐκείνους μά- “ λιστα [b] (πάντων) ἐπαινέτας ἡμῶν εἶναι, ἔργῳ παρέχοντας 182 “ αὐτοὺς φαινομένους τῷ ὄντι πατέρας ὄντας, ἄνδρας ἀνδρῶν. “ πάλαι γὰρ [c] (δὴ) τὸ Μηδὲν ἄγαν λεγόμενον, καλῶς δο- “ κεῖ λέγεσθαι· τῷ ὄντι γὰρ εὖ λέγεται. ὅτῳ γὰρ ἀνδρὶ εἰς ἑαυ- “ τὸν ἀνήρτηται πάντα τὰ πρὸς εὐδαιμονίαν φέροντα, ἢ “ ἐγγὺς τούτου, καὶ μὴ ἐν ἄλλοις ἀνθρώποις αἰωρεῖται, ἐξ ὧν “ ἢ εὖ ἢ κακῶς πραξάντων πλανᾶσθαι ἠνάγκασθη καὶ τὰ “ ἐκείνου, τούτῳ ἄριστα παρεσκεύασται ζῆν, οὗτός ἐστι ὁ σώ- “ φρων, καὶ οὗτος ἀνδρεῖος, καὶ φρόνιμος οὗτος, γιγνο- “ μένων παίδων καὶ χρημάτων, καὶ διαφθειρομένων, καὶ μά- “ λιστα πείθεται τῇ παροιμίᾳ· οὔτε γὰρ χαίρων οὔτε λυπού- “ μενος ἄγαν φανήσεται, διὰ τὸ αὐτῷ πεποιθέναι. τοιού- “ τους δὴ ἡμεῖς (γε) ἀξιοῦμεν καὶ τοὺς ἡμετέρους εἶναι, καὶ βου- “ λόμεθα, καὶ φαμέν· καὶ ἡμᾶς αὐτοὺς νῦν παρέχομεν “ τοιούτους, οὐκ ἀγανακτοῦντας, οὐδὲ φοβουμένους ἄγαν, εἰ “ δεῖ τελευτᾶν ἐν τῷ παρόντι. δεόμεθα δὲ καὶ πατέρων καὶ “ μητέρων, τῇ αὐτῇ ταύτῃ διανοίᾳ χρωμένους, τὸν ἐπί- “ λοιπον βίον διάγειν, καὶ εἰδέναι ὅτι οὐ θρηνοῦντες οὐδ’ “ ὀλοφυρόμενοι ἡμᾶς, ἡμῖν μάλιστα χαριοῦνται· ἀλλ’ “ εἴ τις ἐστὶ τοῖς τετελευτηκόσιν αἴσθησις τῶν ζών- “ των, οὕτως ἀχάριστοι εἶεν ἂν μάλιστα, (ἑαυτούς τε “ κακοῦντες, καὶ βαρέως φέροντες τὰς ξυμφοράς· “ κούφως δὲ καὶ μετρίως, μάλιστ’ ἂν) χαρίζοιντο. “ τὰ μὲν γὰρ ἡμέτερα, τελευτὴν ἤδη ἕξει, ἥπερ καλλί- “ στη γίγνεται ἀνθρώποις· ὥστε πρέπει αὐτὰ μᾶλλον κο- “ σμεῖν ἢ θρηνεῖν. γυναικῶν δὲ τῶν ἡμετέρων καὶ παίδων “ ἐπιμελούμενοι, (καὶ τρέφοντες) καὶ ἐνταῦθα τὴν νοῦν τρέπον- “ τες, τῆς τε τύχης μάλιστ’ ἂν εἶεν ἐν λήθῃ, καὶ “ ζῷεν κάλλιον, καὶ ὀρθότερον, καὶ ἡμῖν προσφιλέ- “ στερον. ταῦτα δὴ ἱκανὰ τοῖς ἡμετέροις παρ’ ἡμῶν “ ἀπαγγέλλειν· τῇ δὲ πόλει παρακελευόμεθα, ὅ- “ πως ἡμῖν καὶ πατέρων καὶ υἱῶν ἐπιμελήσονται· τοὺς “ μὲν, παιδεύοντες κοσμίως· τοὺς δὲ, γηροτροφοῦν- “ τες ἀξίως. νῦν δ’ ἴσμεν, ὅτι κἂν μὴ ἡμεῖς παρα- “ κελευώμεθα, ἱκανῶς ἐπιμελήσεται. [e] ταῦτ’ οὖν, ὦ γονεῖς “ καὶ παῖδες τῶν τετελευτηκότων, ἐκεῖνοί τ’ ἐπέσκηπτον

ὑμῖν

a Vulg. editt. habent πορίζεσθαι. V. 5. exemplar noſtrum pro εὔχοντο habet ἔτυχον: perperam. Mox v. 6. incluſus articulus τοὺς abeſt à vulg. editt. Eædem verſ. 9. habent τῷ ἑαυτοῦ βίῳ. *Sylb.* *b* Incluſum πάντων additum ex eiſdem editt. *Sylb.* *c* Incluſum δὴ additum ex vulg. editt. Eædem v. 20. pro ἠναγκάσθη habent ἠνάγκασται: & ſeq. v. οὗτος ὁ ἀνδρεῖος καὶ φρόνιμος οὗτος, γιγνομένων παίδων καὶ χρημάτων, καὶ διαφθειρομένων, μάλιστα πείσεται τῇ π. Ex eiſdem addita incluſa γε v. 26. itidemque v. 35. & 36. Eædem v. 44. habent ἀγγέλλειν, ſine præpoſitione: & mox, τῇ δὲ πόλει παρακελεύοιμεθ’ ἄν: & rurſum υἱέων pro υἱῶν. Mox v. 47. eædem habent καὶ ἐὰν pro κἂν. *Sylb.* *d* In vulgatis παρακελεύοιμεθ’ ἄν, & v. ſeq. υἱέων. *e* Exemplar noſtrum ſingulariter habet τοῦτ’: minus apte. In eodem omiſſa erant ſequentia incluſa pag. ſeq. v. 1. *Sylb.*

a In

“ὑμῖν (ἀπαγγέλλειν, καὶ ἐγὼ, ὡς δύναμαι, προθυμότατα) ἀπαγγέλλω”. αὕτη [a] δοκεῖ κάλλιστα ἔχειν Πλάτωνι ἡ λέξις ἐν τούτῳ τῷ λόγῳ. ἔχει μέντοι τὰ πλείω καλῶς. οὐ γὰρ [b] δοκεῖ ψεύδεσθαι, πλὴν ὅτι πολιτικόν γε τὸ σχῆμα αὐτῆς ἐστιν, οὐκ ἐναγώνιον.

λα'. Ἀντιπαρεξετάσωμεν οὖν ταύτῃ Δημοσθένους λαβόντες λέξιν ἐκ τοῦ [c] ΚΑΤΑ ΚΤΗΣΙΦΩΝΤΟΣ λόγου. ἔστι δ᾽ οὐ παράκλησις Ἀθηναίων ἐπὶ τὸ καλὸν καὶ τὴν ἀρετὴν, ὥσπερ παρὰ τῷ Πλάτωνι, ἀλλ᾽ ἐγκώμιον τῆς πόλεως ὅτι πάντα ἡγεῖται τἄλλα ἐλάττω [d] τιμῆς δόξης, ἧς φέρουσι καλαὶ πράξεις, κἂν εἰ μή τις αὐτὰς μέλλῃ κατορθοῦν. ἔστι δ᾽ ἡ λέξις ἥδε· “Ἐπειδὴ δὲ πολὺς τοῖς συμβεβηκόσιν ἔγκειται, βούλομαί τι καὶ παράδοξον εἰπεῖν· καί μου, πρὸς Διὸς καὶ θεῶν, μηδεὶς τὴν ὑπερβολὴν θαυμάσῃ, ἀλλὰ μετ᾽ εὐνοίας [e] ἃ λέγω θεωρησάτω. εἰ γὰρ ἦν ἅπασι πρόδηλα τὰ μέλλοντα γενήσεσθαι, καὶ προῄδεσαν ἅπαντες, καὶ σὺ προὔλεγες, (Αἰσχίνη,) καὶ διεμαρτύρου, βοῶν καὶ κεκραγώς· ὃς οὐδ᾽ ἐφθέγξω· οὐδ᾽ οὕτως ἀποστατέον τῇ πόλει τούτων ἦν, εἴπερ [f] (ἢ) δόξης ἢ προγόνων ἢ τοῦ μέλλοντος αἰῶνος εἶχε λόγον. νῦν μέν γε ἀποτυχεῖν δοκεῖ τῶν πραγμάτων· ὃ πᾶσι κοινόν ἐστιν ἀνθρώποις, ὅταν τῷ Θεῷ ταῦτα δοκῇ· τότε δ᾽ ἀξιοῦσα προεστάναι τῶν Ἑλλήνων, εἶτα ἀποστᾶσα τούτου, Φιλίππῳ προδεδωκέναι πάντας ἂν ἔσχεν αἰτίαν. εἰ γὰρ ταῦτα προεῖτο ἀκονιτὶ περὶ ὧν οὐδένα κίνδυνον ὅντιν᾽ οὐχ ὑπέμειναν οἱ πρόγονοι, τίς οὐχὶ κατέπτυσεν ἄν σου; μὴ γὰρ τῆς πόλεώς γε, μηδ᾽ ἐμοῦ. τίσι δ᾽ ὀφθαλμοῖς, πρὸς Διός, ἑωρῶμεν ἂν τοὺς εἰς τὴν πόλιν ἀνθρώπους ἀφικνουμένους, εἰ τὰ μὲν πράγματα εἰς ὅπερ νυνὶ περιέστη, ἡγεμὼν δὲ καὶ κύριος ᾑρέθη Φίλιππος ἁπάντων· τὸν δ᾽ ὑπὲρ τοῦ μὴ γενέσθαι ταῦτα ἀγῶνα, ἕτεροι [g] (τινες) χωρὶς ἡμῶν ἦσαν πεποιημένοι; καὶ ταῦτα μηδεπώποτε τῆς πόλεως ἐν [h] τοῖς πρόσθε χρόνοις ἀσφάλειαν ἄδοξον μᾶλλον, ἢ τὸν ὑπὲρ τῶν καλῶν κίνδυνον ᾑρημένης. τίς γὰρ οὐκ οἶδεν Ἑλλήνων, τίς δὲ βαρβάρων, ὅτι καὶ παρὰ (Θηβαίων καὶ παρὰ) τῶν ἔτι τούτων πρότερον ἰσχυρῶν γενομένων Λακεδαιμονίων, καὶ παρὰ τοῦ Περσῶν βασιλέως, μετὰ πολλῆς χάριτος τοῦτ᾽ ἂν ἀσμένως ἐδόθη τῇ πόλει, ὅ,τι βούλεται λαβούσῃ, καὶ τὰ ἑαυτῆς ἐχούσῃ, τὸ κελευόμενον ποιεῖν, καὶ ἐᾶν ἕτερον τῶν Ἑλλήνων προεστάναι; ἀλλ᾽ οὐκ ἦν, ὡς ἔοικε, ταῦτα τοῖς [i] (τότε) Ἀθηναίοις πάτρια, οὐδ᾽ ἀνεκτὰ, οὐδ᾽ ἔμφυτα· οὐδ᾽ ἐδυνήθη πώποτε τὴν πόλιν οὐδεὶς ἐκ παντὸς τοῦ χρόνου πεῖσαι τοῖς ἰσχύουσι μὲν, μὴ δίκαια δὲ πράττουσι, προστιθεμένην, ἀσφαλῶς δουλεύειν·
183 ἀλλ᾽ ἀγωνιζομένη περὶ πρωτείων καὶ [k] (ὑπὲρ) τιμῆς καὶ δόξης, κινδυνεύουσα πάντα τὸν αἰῶνα διετέλεσε. καὶ ταῦθ᾽ οὕτως σεμνὰ (καὶ καλὰ) καὶ προσήκοντα τοῖς ὑμετέροις ἤθεσιν ὑμεῖς ὑπολαμβάνετε εἶναι, ὥστε καὶ τῶν προγόνων τοὺς ταῦτα πράξαντας μάλιστα ἐπαινεῖτε εἰκότως. τίς γὰρ οὐκ

"illi mandarunt; ego vero quantum poſſum diligentiſſime moneo". Hæc mihi in hac oratione pulcerrima viſa ſunt. nam in his multa præclara ſunt. In nullo enim peccare videtur, niſi quod civilem dicendi formam adhibuerit, non forenſem.

Demoſthenis pars orationis de Corona cum Platonica compoſita.

XXXI. Opponemus his Demoſthenis verba ex oratione *pro Cteſiphonte* deſumpta: in qua non ad honeſtatem virtutemque Athenienſes hortatur, quemadmodum Plato, ſed urbem ipſam & remp. celebrat, eo quod gloriam, quæ ex rebus bene geſtis oritur, omnibus præponat, tametſi facinus ullum dignum aggredi quis nolit. Ita autem verba ſe habent: "Cum autem eventum acriter urgeat, aliquid etiam dicam admirabile: (at quæſo per Deos, ne quis meam miretur inſolentiam, ſed id quod dicam conſideret cum benevolentia.) Si omnibus perſpicua fuiſſent ea quæ futura erant, & præſciſſent omnes, & tu prædixiſſes, Æſchine, & obteſtatus eſſes clamitans ac vociferans, qui nec os aperuiſti; ne tum quidem hæc miſſa reip. facienda fuiſſent, ſi modo vel gloria majorum vel memoriæ poſteritatis rationem habuiſſet. Nunc enim fruſtrata eſſe conatibus judicatur, quod omnibus commune eſt mortalibus, ſi Deo viſum ita fuerit. Tum vero ſi principatum ſibi in alios arrogaſſet, eoque poſtea ceſſiſſet, omnes Græcos ab ea Philippo eſſe proditos, crimini daretur. Nam ſi illa ſine certamine abjeciſſet, propter quæ nulla non pericula majores adierunt: quis te non conſpuiſſet? neque enim rempublicam aut me. Quibus (Deum immortalem) oculis, qua fronte aſpexiſſemus hoſpites in noſtram urbem ventitantes, ſi res eo quo nunc rediſſent, & dux & dominus omnium Philippus eſſet creatus; & prælium, ad ea prohibenda ſuſceptum, alii ſine nobis commiſiſſent? præſertim cum ſuperioribus temporibus reſp. noſtra nunquam ingloriam ſecuritatem periculis honeſtatis cauſa ſuſceptis præpoſuerit. Quis enim Græcorum neſcit, quis barbarorum, & à Thebanis, &, qui ante hos potentes fuere, Lacedæmoniis, & à rege Perſarum, cum optima gratia hoc libenter conceſſum fuiſſe reip. ut quidquid vellet, acciperet, & ſua teneret, imperata faceret, & alium Græcis ſineret imperare? Verum ea non erant Athenienſibus patria nimirum, nec tolerabilia, nec inſita, neque unquam quiſquam reip. noſtræ ab omni ævo perſuadere potuit, ut cum potentibus quidem ſed injuſta agentibus conjuncta, tuto ſerviret: ſed dimicare de principatu, de honore & gloria periclitari, nullo unquam ævo deſtitit. atque ea vos ita ſplendida & convenientia veſtris moribus eſſe putabatis, ut & è majoribus eos, qui hæc fecerunt, maxime laudetis, nec injuria. Quis enim non admira-

[a] In exemplari vitioſa repetitione ſic legitur, δοκεῖ μάλιστα ἔχειν Πλάτων κάλλιστα μάλιστα ἔχειν Πλάτων ἡ λέξ. *Sylb.* [b] In ora *Cod. Bodl.* ἴσ. δεῖ. [c] Pro κατὰ Κτησιφῶντος contrario ſenſu legendum ὑπὲρ Κτησιφῶντος, *pro Cteſiphonte*: ſicut ſupra quoque habuimus p. 280. v. 13. ἐκ τῆς περὶ Κτησιφῶντος ἀπολογίας. *Sylb.* [d] Rectius τιμῆς καὶ δόξης mox v. 44. V. 12. exemplar noſtrum habet πολλαῖς: perperam. *Sylb.* [e] Vulgatæ editt. *Demoſthenis* ſingulariter habent ὃ λέγω, *quod dico*. Ex eiſdem mox v. 17. additum incluſum Αἰσχίνη. *Sylb.* [f] Incluſa ἢ addita ex eiſdem editt. Eædem ibidem pro μέν γε habent μὲν γάρ. Eædem v. 23. pro τῶν Ἑλλήνων habent τῶν ἄλλων: & mox πάντες pro πάντας. *Sylb.* [g] Incluſum τινὲς abeſt ab eiſdem editt. *Sylb.* [h] Eædem habent τοῖς ἔμπροσθεν χρ. V. 35. exemplar noſtrum habet παρὰ τούτων ἔτι πρότ. ſenſu mutilato. *Sylb.* [i] Incluſum τότε abeſt à vulg. editt. Eædem v. 43. habent προσθεμένην. *Sylb.* [k] Incluſa ὑπὲρ addita ex vulg. editt. quæ ibidem mox præterito perfecto habent διατετέλεκε. Ab eiſdem ſeq. v. abſunt incluſa καὶ καλά. Eædem ibidem habent τοῖς ἡμετέροις *noſtris*. *Sylb.*

“admirabitur virtutem illorum virorum, qui & regionem & urbem relinquere voluerunt, triremibus conſcenſis, ne imperata facere cogerentur: & ejus rei ſuaſorem Themiſtoclem, ducem elegerunt; eum autem qui pronunciarat imperium exſequendum eſſe, Cyrſilum lapidarunt, non ipſum ſolum, ſed & mulieres veſtræ uxorem ejus? Non enim quærebant illius temporis Athenienſes, vel oratorem vel ducem, per quem feliciter ſervirent; ſed nec vivendum ſibi cenſebant, niſi cum libertate vivere liceret. Nam eorum quiſque putabat, ſe non patri & matri duntaxat eſſe natum, ſed etiam patriæ. Quid vero intereſt? quod is qui ſe parentibus tantum natum eſſe putat, fatalem & naturalem mortem exſpectat. qui autem & patriæ: is, ne hanc ſervire videat, emori volet; & magis metuendas eſſe ducet contumelias & ignominias, quas in ſerviente urbe ferre neceſſe eſt, quam interitum. Quod ſi & ego hoc dicere aggrediar, vos à me excitatos eſſe ad elationem animorum dignam majoribus, nemo eſt quin jure me reprehenderet. Nunc ego veſtra eſſe hæc inſtituta declaro, & oſtendo etiam ante me hoc animo rempub. fuiſſe: cæterum miniſterii partem in ſingulis rebus geſtis ad me quoque eſſe referendam affirmo. Iſte autem dum omnium me accuſat, & ſuccenſere mihi vos jubet, ut qui terrorum & periculorum cauſſa reipubl. fuerim; non mihi tantum hunc honorem eripere ſtudet, ſed laudationibus etiam vos ad omnem poſteritatem privat. Nam ſi hunc virum, quaſi reipub. non optime præfuerit, condemnabitis, erraſſe videbimini, non fortunæ temeritate cladem accepiſſe. Sed fieri non poteſt, Athenienſes, ut erraveritis, defenſione libertatis & ſalutis omnium cum periculo ſuſcepta. non ſane, per majores noſtros, qui in Marathone pro aliis dimicarunt, & qui ad Platæas in acie ſteterunt, & qui ad Salaminem navale prælium commiſerunt, & qui ad Arteміſium; & multos alios, qui in publicis monimentis ſepulti ſunt, fortes viros, quos univerſa æque reſpub. eodem dignata honore ſepeliit, Æſchine; non eos ex illis qui vicerunt, ac rem bene geſſerunt, ſolos, idque merito. Quod enim fortium virorum officium fuit, omnes præſtiterunt: ea autem fortuna, quam cuique numen tribuit, uſi ſunt”.

XXXII. Neminem profecto fore confido, quin, ſi aliquam modo orationum cognitionem habeat, nec malevolus neque litigioſus ſit, tantum dictionem hanc poſtremo loco prolatam à priore diſcrepare fateatur, quantum arma bellica ab iis quæ oſtentandi cauſſa fiunt, quantum veræ imagines à fictis, quantum corpora in ſole & laboribus enutrita ab eis quæ in umbra & deliciis molliter

“ἂν ἀγάσαιτο τῶν ἀνδρῶν ἐκείνων τῆς ἀρετῆς, οἳ καὶ τὴν χώραν καὶ τὴν πόλιν ἐκλιπεῖν ὑπέμειναν, εἰς τὰς τριήρεις ἐμβάντες, ὑπὲρ τοῦ μὴ τὸ κελευόμενον ποιῆσαι· τὸν μὲν ταῦτα συμβουλεύσαντα Θεμιστοκλέα στρατηγὸν ἑλόμενοι, τὸν δ’ ὑπακούειν ἀποφηνάμενον τοῖς ἐπιταττομένοις Κυρσίλον καταλιθώσαντες, οὐ μόνον αὐτὸν, ἀλλὰ καὶ αἱ γυναῖκες αἱ ὑμέτεραι τὴν γυναῖκα αὐτοῦ; οὐ γὰρ ἐζήτουν οἱ τότε Ἀθηναῖοι οὔτε ῥήτορα οὔτε στρατηγὸν, δι’ ὅτου δουλεύσουσιν εὐτυχῶς· ἀλλ’ οὐδὲ ζῆν ἠξίουν εἰ μὴ μετ’ ἐλευθερίας [a] (αὐτοῖς) ἐξέσται τοῦτο ποιεῖν. ἡγεῖτο γὰρ αὐτῶν ἕκαστος, οὐχὶ τῷ πατρὶ καὶ τῇ μητρὶ μόνον γεγενῆσθαι, ἀλλὰ καὶ τῇ πατρίδι. διαφέρει δὲ τί; ὅτι ὁ μὲν τοῖς γονεῦσι μόνον γεγενῆσθαι νομίζων, τὸν τῆς εἱμαρμένης καὶ τὸν αὐτόματον θάνατον περιμένει· ὁ δὲ καὶ τῇ πατρίδι, ὑπὲρ τοῦ μὴ ταύτην ἐπιδεῖν δουλεύουσαν, ἀποθνήσκειν ἐθελήσει, καὶ φοβερωτέρας ἡγήσεται (τοῦ θανάτου) τὰς ὕβρεις καὶ τὰς ἀτιμίας, ἃς ἐν δουλευούσῃ τῇ πόλει φέρειν ἀνάγκη. εἰ μὲν τοίνυν τοῦτ’ [b] ἐπεχείρησα (νῦν) λέγειν ὡς ἐγὼ προήγαγον ὑμᾶς ἄξια τῶν προγόνων φρονεῖν, [c] τίς οὐκ ἂν εἰκότως ἐπετίμησέ μοι; νῦν (δ’) ἐγὼ μὲν ὑμετέρας τὰς τοιαύτας προαιρέσεις ἀποφαίνω, καὶ δείκνυμι ὅτι καὶ πρὸ ἐμοῦ τοῦτ’ εἶχε τὸ φρόνημα ἡ πόλις· τῆς μέντοι διακονίας τῆς ἐφ’ ἑκάστοις τῶν πεπραγμένων, καὶ ἐμαυτῷ μετεῖναί φημι. οὗτος δὲ (ὁ) τῶν ὅλων κατηγορῶν, καὶ κελεύων ὑμᾶς ἐμοὶ πικρῶς ἔχειν, ὡς φόβων καὶ κινδύνων αἰτίῳ τῇ πόλει (γεγενημένῳ,) τῆς μὲν εἰς τὸ παρὸν τιμῆς ἐμὲ ἀποστερῆσαι γλίχεται, τὰ δ’ εἰς ἅπαντα τὸν (λοιπὸν) χρόνον ἐγκώμια ὑμῶν ἀφαιρεῖται. εἰ γὰρ ὡς οὐ τὰ βέλτιστα ἐμοῦ πολιτευσαμένου (τουδὶ) καταψηφιεῖσθε, διημαρτηκέναι δόξετε, οὐ τῇ τῆς τύχης ἀγνωμοσύνῃ τὰ συμβάντα παθεῖν. ἀλλ’ [d] οὐκ ἔστιν ὅπως ἡμάρτετε, ἄνδρες Ἀθηναῖοι, (οἱ) τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι. οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων, καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους, καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας, καὶ τοὺς ἐπ’ Ἀρτεμισίῳ, καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας· οὓς ἅπαντας ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς, ἔθαψεν, Αἰσχίνη, οὐχὶ τοὺς [e] κρατήσαντας αὐτῶν, οὐδὲ τοὺς κατορθώσαντας μόνους· δικαίως. ὃ μὲν γὰρ ἦν ἀγαθῶν ἀνδρῶν ἔργον, ἅπασι πέπρακται· τῇ τύχῃ δὲ, ἣν ὁ δαίμων [f] ἔνειμεν ἑκάστοις, ταύτῃ κέχρηνται”.

λβ΄. Οὐθείς ἐστιν ὃς οὐχ ὁμολογήσειεν, εἰ μόνον ἔχοι μετρίαν αἴσθησιν [g] περὶ λόγους, καὶ μήτε βάσκανος ᾖ μήτε δύσερις τις, οὕτω διαφέρειν τὴν ἀρτίως παρατεθεῖσαν λέξιν τῆς προτέρας, ὅσῳ διαλλάττει πολεμιστήρια μὲν ὅπλα πομπευτηρίων, ἀληθιναὶ δὲ ὄψεις εἰδώλων, ἐν ἡλίῳ δὲ καὶ πόνοις τεθραμμένα σώματα τῶν σκιὰς καὶ ῥᾳστώνας διωκόντων. ἡ

μὲν

a Incluſum αὐτοῖς additum ex eiſdem. & contra v. 16. ab eiſdem abeſt commation iſtud, τοῦ θανάτου. *Sylb.* b Eædem habent ἐπιχείρων λέγειν. *Sylb.* c Eædem ſine interrogatione habent οὐκ ἔστιν ὅστις οὐκ ἂν εἰκότως ἐπιτιμήσειέ μοι. Ex eiſdem ibidem addita incluſa δ’. rurſum ab eiſdem abeſt incluſus articulus ὁ, v. 23. Ex eiſdem rurſum addita ſunt incluſa v. 25. 26. 28. Eædem eodem v. 28. habent ἡμαρτηκέναι, ſine præpoſ. *Sylb.* d Eædem per epizeuxin habent, οὐκ ἔστιν οὐκ ἔστιν ὅπ. Ab eiſdem etiam abeſt incluſus articulus οἱ. *Sylb.* e Eædem mutatis ſedibus, κρατήσαντας in poſteriori commate ponunt & κατορθώσαντας in priori. Pro δικαίως ſeq. v. exemplar noſtrum habet δικαίους: parum apte. *Sylb.* f Vulg. editt. compoſite habent ἐπένειμεν. *Sylb.* g In exempl. περὶ λόγου: parum congruenter. *Sylb.*

a Paulo

μὲν γὰρ, οὐδὲν ἔξω τῆς εὐμορφίας ἐπιτηδεύει, καὶ παρὰ τοῦτ' ἔστιν [a] αὐτοῖς τὸ κακὸν ἐν ἀληθεύσιν· ἡ δὲ, οὐδὲν ὅ,τι οὐκ ἐπὶ τὸ χρήσιμον καὶ ἀληθινὸν ἄγει. καί μοι δοκεῖ τις οὐκ ἂν ἁμαρτεῖν, τὴν μὲν Πλάτωνος λέξιν εἰκάσας ἀνθηρῷ χωρίῳ καταγωγὰς ἡδείας ἔχοντι καὶ τέρψεις ἐφημέρους, τὴν δὲ Δημοσθένους διάλεκτον [b] εὐκάρπῳ καὶ παμφόρῳ γῇ, καὶ οὔτε τῶν ἀναγκαίων εἰς βίον οὔτε τῶν περιττῶν εἰς τέρψιν σπανιζούσῃ. δυνάμενος δ' ἂν, εἰ βουλοίμην, καὶ τὰ κατὰ μέρος [c] ἑκάτερα κατορθώματα ἐξετάζειν, καὶ δεικνύειν ὅσῳ κρείττων ἐστὶν ἡ Δημοσθένους λέξις τῆς Πλατωνικῆς, οὐ μόνον κατὰ ἀληθινὸν καὶ πρὸς ἀγῶνας ἐπιτήδειον· τοῦτο μὲν γὰρ, ὡς [d] προειδότας ὁμοίως ἅπαντας, οὐδὲ λόγου δεῖν οἴομαι· ἀλλὰ καὶ [e] κατὰ τὸ τροπικὸν, περὶ ὃ μάλιστα δεινὸς ὁ Πλάτων δοκεῖ εἶναι. καὶ πολλὰς ἔχων ἀφορμὰς λόγων, ταύτην μὲν εἰς ἕτερον καιρὸν ἀναβάλλομαι τὴν θεωρίαν, εἴπερ προσέσται μοι χρόνος· ἰδίαν γὰρ οὐκ ὀκνήσω περὶ αὐτῆς ἐξενέγκαι πραγματείαν· νυνὶ δὲ, ὅσα ἐν τῷ παρόντι ἥρμοττεν, εἴρηται. ἐπειδὴ δὲ παρελθεῖν ἡμῖν οὐκ ἐνῆν Πλάτωνα, ᾧ τὰ πρωτεῖα τινὲς ἀπονέμουσι, κατατρῖψαι δὲ τὸν χρόνον περὶ μίαν ταύτην θεωρίαν, ἐπιλελησμένον τῆς ὑποθέσεως, ἐῶ, τῇδέ μοι περιγεγράφθω. βούλομαι δὲ δὴ καὶ συλλογίσασθαι τὰ εἰρημένα ἐξ ἀρχῆς, καὶ δεῖξαι πάνθ' ὅσα ὑπεσχόμην ἀρχόμενος τῆς θεωρίας τοῦ λεκτικοῦ τόπου, [f] πεποιη-
184 κότα ἐμαυτόν.

λγ'. Ἡ πρόθεσις ἦν μοι [g] καὶ τὸ ἐπάγγελμα τοῦτο, τῇ κρατίστῃ λέξει καὶ πρὸς ἅπασαν ἀνθρώπου φύσιν ἡρμοσμένῃ, μετριώτατα Δημοσθένη κεχρημένον ἐπιδεῖξαι, καὶ τοῦτό γε συνάγειν ἐπὶ ῥώμην, οὐκ ἐξ αὐτῆς ἐκείνης μόνης τὰς πίστεις διδούς· ᾔδειν γὰρ ὅτι οὐδὲν αὔταρκές ἐστιν ἐφ' ἑαυτοῦ θεωρούμενον [h] οἷόν ἐστιν ὀφθῆναι καὶ καθαρῶς· ἀλλ' ἀντιπαραθεὶς αὐτῇ τὰς τῶν ἄλλων ῥητόρων τε καὶ φιλοσόφων λέξεις τὰς κράτιστα δοκούσας ἔχειν, καὶ τῇ δι' ἀλλήλων βασάνῳ φανερὰν ποιῶν τὴν ἀμείνω· ἵνα τὴν φυσικὴν ὁδὸν ὁ λόγος μοι [i] λάβῃ, τοὺς χαρακτῆρας τῶν διαλέκτων τοὺς ἀξιολογωτάτους κατηριθμησάμην, καὶ τοὺς πρώτους ὄντας ἐν αὐτοῖς ἄνδρας ἐπῆλθον· ἔπειτα, δείξας ἀτελεῖς ἅπαντας ἐκείνους, καὶ καθ' ὃ μάλιστα [k] ἀδέκαστον ὑπελάμβανον τὸ τέλος ἐκλογισάμενος διὰ βραχέων, ἦλθον ἐπὶ τὸν Δημοσθένη. τοῦτον δὲ ἑνὸς μὲν οὐδενὸς ἀποφηνάμενος οὔτε χαρακτῆρος οὔτ' ἀνδρὸς ζηλωτὴν γενέσθαι, ἐξ ἁπάντων δὲ τὰ κράτιστα ἐκλεξάμενον, κοινὴν καὶ φιλάνθρωπον τὴν ἑρμηνείαν κατεσκευακέναι, [l] κατὰ τοῦτο μάλιστα διαφέρειν τῶν ἄλλων, πίστεις ὑπὲρ τούτου παρεσχόμην· διελόμενος μὲν τὴν λέξιν εἰς τρεῖς χαρακτῆρας τοὺς γενικωτάτους, τόν τε ἰσχνὸν, καὶ τὸν ὑψηλὸν, καὶ τὸν μεταξὺ τούτων· ἀποδεικνὺς δ' αὐτὸν ἐν τοῖς τρισὶ γένεσι κατορθοῦντα τῶν ἄλλων μάλιστα, λέξεις τινὰς αὐτοῦ λαμβάνων, αἷς ἀντιπαρεξήταζον ἑτέρας ὁμοειδεῖς, λόγου μὲν ἀξίας, οὐ μὴν ἀνεπιλήπτους γε τελέως, οὐδ' ὥσπερ

vixerunt. Illa nihil præter elegantiam ſectatur; ideo in cauſis veris & ſeriis ſæpenumero peccat: hæc autem quicquid utile & verum eſt quærit. ut bene & convenienter feciſſe mihi viſus ſit, qui Platonicam dictionis formam florido prato deliciis & jucunditatibus perbrevibus pleno; Demoſthenis autem phraſim agro fertili & uberi, in quo tum nihil ad vitam neceſſarium, tum etiam nihil ad delectationem deſideretur, comparaverit. Poſſem, ſi modo vellem, ſingulas, in quibus uterque emicat, partes examinare; & quanto diſcrimine Demoſthenica Platonicam dictionem ſuperet, oſtendere, non modo quod verior ſit & cauſis forenſibus magis idonea, (hoc enim omnes vulgo cum noverint, demonſtratione opus habere longiori non puto) ſed etiam quod figurato loquendi genere excellat, in quibus Plato inſignis admodum fuiſſe viſus eſt. Cum ergo plurima forent dicenda, hanc tractationem in aliud tempus reſervo; nam, de hoc, ſi tempus permittat, ſingularem tractatum contexam: nunc vero quantum dixiſſe oportuit, dixi. Cum autem Platonem tranſire nefas fuiſſet, ut cui principatum nonnulli deferunt, & unam eandemque ſerram toto tempore reciprocare extra argumentum eſſet, in illum tractatum reliqua rejiciam. Cupio autem quæ initio dixi ſimul jam complecti, & oſtendere me omnia, quæ, de dictione agere incipiens, facturum me promiſi, feciſſe. *Quid interſit inter Demoſthenis & Platonis dictionem.*

XXXIII. Primum dixi, optimum dicendi genus, & ad uniuſcujuſque ingenium accommodatum convenientiſſime à Demoſthene uſurpatum eſſe, & conſummatum; neque id ex ejus ſolum dictione probavi: (ſciebam enim nihil in ſeipſo conſideratum per ſe ſufficere, ut liquide perſpici poſſit) ſed oppoſui illi aliorum & oratorum & Philoſophorum loquendi modos, qui cæteris præſtare viderentur, &, mutua collocatione facta, quis primas ferret, oſtendi: utque naturaliter & debito ordine contextus procederet, optimas dicendi formas enumeravi, & principes earum recenſui; deinde oſtendendo omnes illos imperfectos fuiſſe, &, in quo maxime perfectum finem conſiſtere putarem, breviter diſſerendo, ad Demoſthenem perveni. hunc vero nullum penitus aut ſtylum aut oratorem imitatum eſſe indicavi: ex omnibus autem optima elegiſſe, communem & facilem elocutionem reddidiſſe, & hac parte longo cæteros intervallo poſt ſe reliquiſſe affirmavi: diviſaque dictione in tria, quæ aliis præſtant, genera, tenue nimirum, ſublime, & horum medium, eum in ſingulis his omnibus antecelluiſſe demonſtravi, idque acceptis nonnullis ex ejus orationibus ſententiis, quibus ſimiles ex aliis ſcriptoribus, egregias quidem & laudabiles, verumtamen non ſummas & perfectas, nec omnes virtutes, ut Demoſthenicæ, in

[a] Paulo rectius legemus *αὐτῆς*, & mox *ἐν ἀληθεύσι*, vel *ἐν ἀληθέσι*, *in veris ac ſeriis cauſarum actionibus. Sylb.* [b] Exemplar habet *ἐγκάρπῳ*, & ſeq. v. *σπανιζούσῃ*: parum congruenter. *Sylb.* [c] Rectius *ἑκατέρου*, *utriuſque*. Seq. v. rectius cum articulo legemus *κατὰ τὸ ἀληθινὸν*, ut mox v. 14. *κατὰ τὸ τροπικόν*. *Sylb.* [d] *Προειδότας* abſolute accipiendum, quaſi dixiſſet, *ὡς προειδότων ὁμοίως ἁπάντων*: vel diviſe legendum *πρὸς εἰδότας*. *Sylb.* [e] Exemplar vitioſa ſyncope habet *κατὸ τροπικόν*. *Sylb.* [f] Nota *δεῖξαι πεποιηκότα ἐμαυτὸν*, pro *demonſtrare me feciſſe*. *Sylb.* [g] Pro *καὶ τὸ ἐπάγγελμα* perperam in exemplari eſt *κατὰ τὸ ἐπαγγέλημα*. *Sylb.* [h] Poſt *οἷόν ἐστι* deſideratur *εἰλικρινῶς*, vel ſimile quodpiam adverbium. *Sylb.* [i] Paulo convenientius *λάβοι*, optativo verbi modo. *Sylb.* [k] Forſan legendum, *ἀδικάστους*: ut *ἀδικάστους τοῦ τέλους* dixerit pro *ἀτυχοῦντας*, *ſcopum non aſſecutos*. *Sylb.* [l] Legendum puto *καὶ κατὰ τοῦτο*, vel *καὶ τούτῳ*. *Sylb.*

in ſe continentes, oppoſui. Porro non injuria Iſocratis, Platonis, aliorumque præclarorum virorum mentionem feci, & cum Demoſthene illos comparavi: ſed cum illi medium & optimum ſtylum non ſine gloria coluerint, oſtendi eos, etſi veteres & ſuperiores oratores antecellant, eſſe tamen indignos qui cum Demoſthene de principatu contendant. ubi autem his nonnulla adhuc de dictione addidero, ad reliquam tractationis partem me accingam.

XXXIV. Hæc ſcilicet ſunt in tribus dicendi generibus indicia, è quibus ſtylus maxime perſpicitur & dignoſcitur. Dicam vero primum virtutes illas, quas aliis generibus proprias eſſe dixi, Demoſtheni & Lyſiæ contigiſſe; quo perſpicua magis fiat oratio. Demoſthenes quidem omnes, quotquot ſublime & excellens & novum dicendi genus habuerunt, perſpicuitate & claritate & communi elocutione antecedere videtur. Illam enim in omni compoſitione gravi adhibet, & hiſce clariſſimis virtutibus quam maxime in ſublimi & elato & peregrino dicendi ſtylo uſus eſt: eos autem qui tenue & humile & inaffectatum genus ſectantur, meo quidem judicio, nervoſa dictione & gravitate & acerbitate & frequenti aculeo & acrimonia ſuperat. Hæc ſcilicet & his ſimilia ſunt, quæ hoc genus in illo oſtendunt. Illos vero qui medium coluerunt, quod præſtantiſſimum cenſeo, varietate, proportione, opportunitate, ad hæc concitandis affectibus, acrimonia, efficacia, demum etiam decoro ipſo, quod apud illum ſummum eſt, ut aſtra quodammodo attingere videatur, ſuperavit. Hæc itaque ſingillatim in unoquoque genere eum dixi adhibuiſſe, & hinc volui Demoſthenis facultatem & virtutes examinare: qui quidem, cum alia genera adhibere noverit, hiſce locis & virtutibus maxime eminebat. Si quis autem diviſionem meam reprehendat, quod virtutes, quæ communiter omnibus generibus inhæreant, trifariam diviſerim, & ipſe ſingulis proprium quoddam genus attribuat, hæc ei reſponderem; me quo loco ſingulæ virtutes optime conveniant & utiliſſimæ ſint, eo ipſas collocare velle: quin & ii qui artis præcepta ſcripſerunt, perſpicuitatis, brevitatis, perſuaſibilitatis locum cenſent proprium eſſe in narratione, quia non alibi has virtutes licet inveſtigare. ſed alibi eas ponere abſurdum eſt: in narratione vero potiſſimum adhibentur.

Decorum à Demoſthene ſervatum.

XXXV. Agedum, his abſolutis, dicamus jam, quam in verbis ipſis compoſitionem adhibuerit. Eximiam quandam eſſe Demoſthenicæ dictionis compoſitionem, & multum à cæteris oratoribus diſcrepare, non mea unius ſententia eſt. Scio enim omnes, qui civilium orationum ignari non ſunt, hanc illi virtutem attribuere, cum æquales ejus in hoc eum

ἐκείνη πάσας τὰς ἀρετὰς ἐχούσας. καὶ γὰρ ἥ τε Ἰσοκράτους καὶ Πλάτωνος καὶ τῶν θαυμασιωτάτων ἀνδρῶν μνήμη καὶ σύγκρισις, οὐκ ἔξω τοῦ εἰκότος ἐγίγνετό μοι· ἀλλ' ἐπὶ τοῦ μέσου καὶ κρατίστου χαρακτῆρος οὗτοι [a] ζηλωταὶ γινόμενοι, μεγίστης δόξης ἔτυχον· ἵνα δείξαιμι κἂν εἰ τῶν ἄλλων ἀμείνους εἰσί, Δημοσθένους γε οὐκ ἀξίους ὄντας ἁμιλλᾶσθαι περὶ τῶν ἀριστείων. ὀλίγα τούτοις ἔτι προσθεὶς περὶ τῆς λέξεως, ἐπὶ τὸ καταλειπόμενον τῆς θεωρίας μέρος μεταβήσομαι.

λδʹ. Ταῦτα δ' ἐστὶν ἃ τοῖς τρισὶ πλάσμασιν ἔφην ἰδίας ἀρετὰς συμβεβηκέναι [b] τοῖς Δημοσθενικοῦ, μηνύματα χαρακτηριστικὰ καὶ ἀνυφαίρετα. ὑπομνήσω δὲ πρῶτον μὲν ἃ τοῖς ἄλλοις πλάσμασιν ἔφην ἰδίας ἀρετὰς συμβεβηκέναι τοῖς Δημοσθένους ἢ Λυσίου· ἵν' εὐσυνοπτότερος μᾶλλον γένηταί μοι ὁ λόγος. δοκεῖ δή μοι τῶν μὲν ὑψηλῇ καὶ περιττῇ καὶ ἐξηλλαγμένῃ λέξει κεχρημένων, κατὰ τὸ σαφέστερον καὶ κοινότερον τῇ ἑρμηνείᾳ κεχρῆσθαι, προὔχειν ὁ Δημοσθένης. [c] τούτων γὰρ ἐν πάσῃ κατασκευῇ στοχάζεται μέγεθος ἐχούσῃ, καὶ ταύταις κέχρηται χαρακτηρικωτάταις ἀρεταῖς ἐπὶ τῆς ὑψηλῆς καὶ ξενοπρεποῦς ὀνομασίας, ὥς γε μάλιστα· τῶν δὲ τὴν λιτὴν καὶ ἰσχνὴν καὶ ἀπέριττον ἐπιτηδευόντων φράσιν, τῷ τόνῳ τῆς λέξεως ἐδόκει μοι διαλλάττειν, καὶ τῷ βάρει, καὶ τῇ στρυφνότητι, καὶ τῷ πικραίνειν ὡς ἐπὶ τὸ πολύ· ταῦτα γάρ ἐστιν ἐκείνου χαρακτηρικὰ τοῦ πλάσματος παρ' αὐτῷ, καὶ τὰ παραπλήσια τούτοις. τῶν δὲ τὴν μέσην διάλεκτον ἠσκηκότων, ἣν δὴ κρατίστην ἀποφαίνομαι, [d] κατὰ ταύτην διαφέρειν αὐτὸν ὑπελάμβανον, κατὰ τὴν ποικιλίαν, κατὰ τὴν συμμετρίαν, κατὰ τὴν εὐκαιρίαν· ἔτι πρὸς τούτοις κατὰ τὸ παθητικόν τε καὶ ἐναγώνιον καὶ δραστήριον, καὶ τελευταῖον τὸ πρέπον, ὃ τῶν ἄστρων ψαύει παρὰ Δημοσθένει. ταῦτα μὲν οὖν χωρὶς ἑκάστῳ τῶν τριῶν πλασμάτων παρακολουθεῖν ἔφην, καὶ ἐκ τούτων ἠξίουν τὴν Δημοσθένους [e] δύναμιν· πεφυκότα μὲν καὶ τοῖς ἄλλοις παρακολουθεῖν πλάσμασι, κρατίστην δὲ ὄψιν ἔχοντα καὶ ἐκπρεπεστάτην ἐν τούτοις τοῖς χωρίοις. εἰ δέ τις ἀξιώσει συκοφαντεῖν τὴν διαίρεσιν, ἐπειδὴ τὰς κοινῇ παρακολουθούσας πᾶσι τοῖς πλάσμασιν ἀρετὰς [f] τρίχα διανείμασα, τὸ ἴδιον ἑκάσταις ἀποδίδωσιν, ἐκεῖνα ἂν εἴποιμι πρὸς αὐτόν, ὅτι καθ' ὃ μάλιστα χωρίον ἑκάστη τῶν ἀρετῶν ὄψιν ἡδίστην ἔχει καὶ [g] χρῆσιν ὠφελιμωτάτην, κατὰ τοῦτο τάττειν αὐτὴν ἀξιῶ· ἐπεὶ καὶ τῆς σαφηνείας καὶ τῆς συντομίας καὶ τοῦ πιθανοῦ χωρίον ἀποφαίνουσιν οἱ τεχνογράφοι τὴν διήγησιν· ὡς οὐκ ἀλλαχοῦ οὐδαμοῦ δέον ἐξετάζεσθαι τὰς ἀρετὰς ταύτας. πάνυ γὰρ ἄτοπον ἄλλως· ἐν τῇ διηγήσει δὲ μάλιστα.

λεʹ. [h] Φέρε δὲ τούτων εἰρ[illegible] λέγωμεν ἤδη καὶ τῶν ὀνομάτων ἣ κέχρηται [i] ὁ ἀνήρ. ὅτι μὲν οὖν περ[illegible] ἡ τῆς λέξεως τῆς Δημοσθένους ἁρμονία, καὶ μακρῷ δή τινι διαλλάττουσα τὰς τῶν ἄλλων ῥητόρων, οὐκ ἐμὸς ὁ μῦθος. ἅπαντες γὰρ εὖ οἶδ' ὅτι ταύτην αὐτοῦ τὴν [k] ἀρετὴν μαρτυρήσειαν, ὅσοι μὴ παντάπασι πολιτικῶν εἰσιν ἄπειροι λόγων·

ὅπου

a Rectius ζηλωτοὶ γενόμενοι. *Sylb.* *b* Locus, vitioſa tranſmutatione vitiatus, talem quampiam videtur lectionem requirere, ἃ τοῖς τρισὶ πλάσμασιν ὑπάρχει μηνύματα χαρακτηριστικὰ καὶ ἀνυφαίρετα. ὑπομνήσω δὲ πρῶτον μὲν ἃς τοῖς ἄλλ. *Sylb.* In ora *Cod. Bodl.* τοῦ Δημοσθενικοῦ μηνύματα χαρακτῆρος. *c* Τούτων referendum ad τὸ σαφέστερον καὶ τὸ κοινότερον τῇ ἑρμηνείᾳ κεχρῆσθαι. *Sylb.* *d* Rectius κατὰ ταῦτα. *Sylb.* *e* Ante δύναμιν deſideratur ἐξετάσαι, vel ſimile quodpiam verbum. *Sylb.* *f* Τρίχα uſurpatum videtur ut δίχα. alioqui uſitatius τριχῇ. *Sylb.* *g* Pro χρῆσιν, in exemplari eſt χρὴ, amputata finali ſyllaba. *Sylb.* *h* Juxta *Cod. Bodl.* hic incipit pars ſecunda hujus tractatûs. *i* Poſt ὁ ἀνὴρ deſideratur συνθέσει. *Sylb.* Forſan autem ſic legendum, λέγωμεν ἤδη καὶ περὶ τῆς συνθέσεως τῶν ὀνομάτων ᾗ κέχρηται ὁ ἀνήρ. *k* Duplex in exemplari eſt ſcriptura, ἀρετὴν, & λέξιν: atque ἀρετὴν primo deletum, deinde margini adſcriptum. *Sylb.*

a Proculdubio

185 ὅπου γε καὶ οἱ κατὰ τὴν αὐτὴν ἡλικίαν ἀκμάσαντες ἐκείνῳ, θαυμάζοντες δὲ, δῆλοί εἰσιν [a] αὐτὸν καλοῦντες ταύτης μάλιστα τῆς εὐτεχνίας· καίτοι τινὲς οὐδ' οἰκείως διακείμενοι πρὸς αὐτὸν, ὥστε κολακείας ἐξενέγκασθαι δόξαν· ἀλλ' ἔνιοί γε καὶ σφόδρα ἐπαχθεῖς, καὶ ἀδιαλλάκτους ἐπανῃρημένοι πολέμους· ὧν ἦν Αἰσχίνης ὁ ῥήτωρ, ἀνὴρ λαμπροτάτῃ φύσει περὶ λόγους χρησάμενος· ὃς οὐ πολὺ ἂν ἀπέχειν δοκεῖ τῶν ἄλλων ῥητόρων, καὶ μετὰ Δημοσθένην μηδενὸς δεύτερος ἀριθμεῖσθαι. οὗτος μὲν δὴ τῆς ἄλλης δεινότητος, ἣ περὶ τὸν ἄνδρα τοῦτον ἐγένετο, [b] κατὰ τὸ λεκτικὸν ἔπι διακνίζει καὶ συκοφαντεῖ, πρᾶγμα ἐχθροῦ ποιῶν. καὶ γὰρ καινότητα ὀνομάτων, καὶ [c] ἀηδίαν, καὶ περιεργίαν, καὶ τὸ σκοτεινὸν δὴ τοῦτο καὶ πικρὸν, καὶ ἄλλα πολλὰ τοιαῦτα προσρίπτεται αὐτῷ, βασκαίνων μὲν, ὥσπερ ἔφην, καὶ [illegible]· ὅμως δ' οὖν ἀφορμάς γέ τινας τοῦ συκοφαντεῖν εὐλόγους λαμβάνων· περὶ δὲ τῆς συνθέσεως τῶν ὀνομάτων [d] οὐδὲν οὔτε μεῖζον ἢ κατὰ γέλωτα φέρων. ἢ οὐχὶ τοῦτό πω θαυμάζειν, ἀλλ' ὅτι καὶ μαρτυρῶν πολλαχῇ τὴν ἀρετὴν τῷ ῥήτορι καταδηλός ἐστι καὶ ζηλῶν. φανερὸν δὲ τοῦτο γένοιτ' ἂν ἐξ ὧν αὐτὸς εἴρηκεν, τοτὲ μὲν οὕτω πως γράφων· „Ὅταν δὲ ἄνθρωπος ἐξ ὀνομάτων συγκείμενος, καὶ τούτων πικρῶν καὶ περιέργων". ἐν γὰρ δὴ τούτοις αὐτὴν ἐκλογὴν ἐπαινεῖ τῶν ὀνομάτων αὐτοῦ, [e] νὴ Δία. τίς γὰρ ἂν γένοιτο πικρὰς καὶ περιέργους ζῆλος ὀνομασίας ἐν ἀηδίᾳ; [f] ἑτέρῳ δὲ λόγῳ οὑτωσί πως λέγων· „Ὡς ὑμᾶς ὀρρωδῶ κακῶς πάσχοντας, τὴν σύνθεσιν τῶν Δημοσθένους ὀνομάτων ἀγαπήσαντας". καὶ γὰρ ἐνταῦθα πάλιν οὐ δέδοικε μὴ τὸ κάλλος καὶ τὴν μεγαλοπρέπειαν αὐτοῦ τῶν ὀνομάτων ἀγαπήσωσιν Ἀθηναῖοι, ἀλλὰ μὴ λάθωσιν [g] ὑπὸ τῆς συνθέσεως γοητευθέντες· ὥστε καὶ τῶν φανερῶν αὐτὸν ἀδικημάτων ἀφεῖναι διὰ τὰς σειρῆνας τὰς ἐπὶ τῆς ἁρμονίας. ἐκ δὲ τούτων οὐ χαλεπὸν ἰδεῖν ὅτι δεινότητα μὲν αὐτῷ ὅσην οὐχ ἑτέρῳ μαρτυρῶν, καὶ ταῖς σειρῆσιν ἀπεικάζων αὐτοῦ τὴν μουσικὴν, ἀγάμενος δὲ οὐ τῆς ἐκλογῆς τῶν ὀνομάτων αὐτὸν, ἀλλὰ τῆς συνθέσεως, ἀναμφιλόγως αὐτῷ ταύτην παρακεχώρηκε τὴν ἀρετήν.

mirentur, & aperte teſtentur, ſe illum hîc quam maxime imitari: quanquam nonnulli inique erga eum affecti fuerint, ut adulatorem eum fuiſſe jactarint. quin & alii admodum illi moleſti, & inſigni erga eum odio; inter quos fuit Æſchines orator, in eloquentia non poſtremus; qui quidem aliis oratoribus nihil videtur cedere, & primas à Demoſthene in dicendo ferre. hic quidem dictionem ejus, propter gravitatem & granditatem, quæ in Demoſthene ſingularis fuit, quaſi hoſtis & inimicus mordet & redarguit. Etenim verborum ipſorum novitatem, tumorem, affectationem, obſcuritatem, acerbitatemque, & his ſimilia, moleſte iſta ferens, ei, ut dixi, objicit; in nonnullis tamen non ſine ratione & merito eum reprehendit. In compoſitione vero nominum reprehendenda nec magnum nec parvum quid profert, quodque mirandum ſit: ſed etiam ubique fatetur aperte, hanc propriam eſſe hujus oratoris virtutem, & hanc in eo etiam imitatur. Quod conſtat ex iis quæ ſic in eum dixit: „Cum „homo ex verbis compoſitus & iis acerbis & „ſupervacaneis". In his enim non ipſum verborum delectum, ſed compoſitionem laudat. Quis enim acerba & affectata verba cum invenuſtate amaret? In alia etiam oratione eadem pene dicit: „Quia vos timeo male faci„entes, cum Demoſthenis compoſitionem a„metis". Et hîc iterum non metuit, ne venuſtatem & ſplendorem verborum Athenienſes nimium ament; ſed ne ab eo ducantur, & quaſi præſtigiis in compoſitione verborum illudantur, ut eum, ubi merito propter concinnitatis artificium accuſare poſſet, indemnem præſtet. Hinc manifeſtum eſt, gravitatem illum Demoſtheni talem attribuere, qualem non alteri, & Sirenibus ejus venuſtatem & ſuavitatem comparare; cum non ob verborum delectum, ſed ob compoſitionem eorum illum admirans, hanc ei ſine dubio virtutem conceſſerit.

Æſchinis laus.

λϛʹ. Τουτὶ μὲν οὖν τὸ μέρος, ὡς οὐ πολλοῦ λόγου δεόμενον, λέγω δὴ τὸ περιττὸν εἶναι συνθεῖναι ὀνόματα τὸν Δημοσθένην, μαρτυρίαις τε ἀξιοχρέοις καὶ τῷ μηδένα τἀναντία ἔχειν εἰπεῖν βεβαιούμενον, ἐάσω. τίς δὲ ὁ τῆς ἁρμονίας αὐτοῦ χαρακτὴρ, καὶ ἀπὸ ποίας γέγονεν ἐπιτηδεύσεως τοιοῦτος, καὶ πῶς ἄν τις αὐτὸν διαγνοίη παρεξετάζων ἑτέροις, ταύτῃ πειράσομαι λέγειν, ἐκεῖνα προειπών· Πολλή τις ἐγένετο ἐν τοῖς ἀρχαίοις ἐπιθυμία καὶ πρόνοια τοῦ καλῶς ἁρμόττειν τὰ ὀνόμα[illegible] τε μέτροις, καὶ δίχα μέτρων· καὶ [illegible]τες [illegible] σπουδαίας ἐβουλήθησαν ἐξενεγκεῖν γραφάς, οὐ μόνον ἐζήτησαν ὀνομάσαι τὰ νοήματα καλῶς, ἀλλὰ καὶ αὐτὰ [h] εὐκόσμῳ συνθέσει περιλαβεῖν· πλὴν

XXXVI. Hanc quidem partem, quod non multis verbis indigeat, quia ſcilicet ſupervacaneum eſt oſtendere, Demoſthenem verba diligenter collocaſſe, teſtimoniis eximiis & locupletibus confirmare, opus non puto, cum nemo ne hiſcere quidem contra audeat; itaque pertranſibo. Quis autem ſit compoſitionis illius character, & unde hanc adeptus ſit, & quomodo quis eum cum aliis conferendo internoſcet, jam dicere, his præpoſitis, aggrediar. Magnam olim antiqui oratores curam diligentiamque adhibuerunt, ut numeroſe & concinne verba, tum in verſu tum extra verſum, collocarent: omneſque, qui accurate orationes ſcribere cuperent, non modo ut ſententias pulcris verbis adornarent, ſed etiam ut eleganter & appoſite collocarent, operam

Numeroſæ orationis ſtudium.

a Proculdubio legendum αὐτὸν ζηλοῦντες ταύτης μάλιστα τῆς εὐτεχνίας. *Sylb.* In ora *Cod. Bodl.* ἴσ. ἐπαινοῦντες ταύτης &c. b Pro κατὰ τὸ rectius legemus καὶ τό. *Sylb.* c Exemplar diphthongus habet ἀηδείαν. quod nec regulare nec uſitatum eſt. Idem v. 14. pro γέ habet γή: errore ambiguo. *Sylb.* d Legendum puto, οὐδὲν οὔτε μεῖζον οὔτε ἔλαττον φέρων: quod loquendi genus in ſuperiori tomo tum alibi legitur, tum p. 332. v. 19. quin & in hoc poſteriori tomo uſurpatum p. 9. v. 48. Seq. v. vel pro οὐχὶ legendum οὐ χρή: vel θαυμάζειν vertendum in θαυμαστόν. *Sylb.* In margine *Cod. Bodl.* ἴσ. deeſt ἄξιον poſt θαυμάζειν. e In exemplari eſt μὰ Δία. quod ſiquis retinere velit, pro αὐτὴν legendum fuerit οὐ τήν: ut ſenſus ſit, laudari eo in loco non electionem ſed collocationem verborum *Demoſthenicam*. Addi autem his *Dionyſianis* poſſunt illa ejuſdem *Æſchinis* in orat. contra *Cteſiph.* p. 299. περὶ δ' εὐγνωμοσύνην καὶ λόγου δύναμιν πῶς πέφυκε; δεινῶς λέγειν, κακῶς βιῶναι. & mox, οἱ μὲν λόγοι καλοὶ, τὰ δ' ἔργα φαῦλα. ac rurſum p. 305. δεινὸς δημιουργὸς λόγων. & in *Epiſt.* ad ſen. populumque Athen. καὶ οὐδὲν θαυμαστὸν εἰ παρὰ τῶν νόμων τῶν ὑμετέρων καὶ τῶν ἐμῶν λόγων ἡ Δημοσθένους δεινότης κρείσσων ἐγένετο. *Sylb.* f Rectius cum præpoſitione ἐν ἑτέρῳ. *Sylb.* g Pro ὑπὸ in exemplari eſt ἀπό: contra morem. *Sylb.* h In exemplari ἐγκόσμῳ: ambigue. *Sylb.* In ora *Cod. Bodl.* ἴσ. ἐγκοσμίῳ.

operam dabant: non eidem omnes tamen compoſitioni ſtudebant, ideoque non una eademque ratione omnes proceſſere. Cujus rei plurimas cauſas eſſe arbitror. primum, uniuſcujuſque naturam, qua ad diverſa diverſi propenſi ſumus. deinde proprium uniuſcujuſque arbitrium & voluntatem innatam, per quam alia amplectimur, alia faſtidimus. tertio, opinionem ex longi temporis conſuetudine collectam, ut dignorum imitationem & excellentium conſuetudinem amemus. quarto, ipſam ambitionem, qua de honore contendimus; ut, qualia alii ſectantur, talia & ipſi exprimere & imitari geſtiamus. Alias etiam plures quis cauſas diceret. ſed, cum dixerim quæ notiſſimæ ſunt, reliquas omitto: unde fit ut hi quidem conſtantem, gravem, auſteram, vetuſtam, ſeveram, omneque ornamentum fugientem compoſitionem quærant; illi venuſtam, ſuavem, theatralem, & magnum præ ſe ornatum ferentem, qua in conventibus panegyricis auditores, & qua plebs confluens demulcetur; alii componentes è duabus elegantiſſimam, mediam & mixtam rationem ſecuti ſint.

οὐ τὴν αὐτήν γε πάντες ἐπετήδευσαν ἁρμονίαν· ὥστε οὐδὲ κατὰ τὰς αὐτὰς ἦλθον ἅπαντες ὁδούς. τούτου δ᾽ αἰτίας οἴομαι γενέσθαι πολλάς. πρῶτον μὲν, τὴν ἑκάστου φύσιν, ἣ ἄλλοι πρὸς ἄλλα πεφύκαμεν εὖ. δευτέραν δὲ, τὴν ἐκ λόγου καὶ προαιρέσεως ἐμφυομένην δόξαν, δι᾽ ἣν τὰ μὲν ἀσπαζόμεθα τοῖς, δ᾽ ἀπεχθόμεθα. τρίτην δὲ, τὴν ἐκ συνηθείας χρονίου κατασκευαζομένην ὑπόληψιν, ὡς σπουδῆς ἀξίων ὧν ἂν τοὺς ἐθισμοὺς λάβωμεν. τετάρτην [a] ἐπὶ τὴν προσοῦσαν φιλοτιμούμενοι τυγχάνομεν ὁποῖ᾽ αὐτὰ ἂν ἐκεῖνοι ζηλῶσιν, ἀναφορὰν τε καὶ μίμησιν. ἔχοι δ᾽ ἄν τις καὶ ἄλλα λέγειν. ἀλλὰ ἐγὼ τὰ φανερώτατα εἰπὼν, ἐῶ τὰ λοιπά, ὅθεν οἱ μὲν, τὴν [b] εὐσταθῆ καὶ βαρεῖαν καὶ αὐστηρὰν καὶ φιλάρχαιον καὶ σεμνὴν καὶ φεύγουσαν ἅπαν τὸ κομψὸν, ἐπιτηδεύουσιν ἁρμονίαν· οἱ δὲ, τὴν γλαφυρὰν καὶ λιγυρὰν καὶ θεατρικὴν, καὶ πολὺ τὸ κομψὸν καὶ [c] μάλα ἐπιφαίνουσαν, ἣ πανηγύρεις τε κηλοῦνται, καὶ ὁ συμφορητὸς ὄχλος· οἱ δὲ, συνθέντες ἀφ᾽ ἑκατέρας χρησιμωτάτην, μικτὴν καὶ μέσην ἐζήλωσαν ἀγωγήν.

Compoſitionis tria genera.

XXXVII. Tres enim ſunt inſignis compoſitionis characteres, qui cæteris præſtant: alii vero, qui præter hos & ab his efformati ſunt, plurimi ſunt, & tum intentione tum remiſſione inter ſe diſcrepant. Una vero & pura compoſitio, & ſincerus omnino character apud nullum penitus, aut poëtam aut oratorem, invenitur, nec de hoc teſtimonia ab ullo petenda ſunt. Cum enim nec in elementis primis, è quibus omnia compoſita ſunt, (terra, aqua, aëre, & igne) aliquid purum ſit; ſed ſingula à ſingulis quid participent, & unumquodque eorum à majore parte denominatum ſit: quid mirum ſi dictionis compoſitiones, quæ tres ſunt numero, non unicam & puram naturam habeant; ſed ex iis quæ ſæpius eis accidunt, nomen & ſtylum ſortiantur? Quare quando utriuſque exempla proferens, & teſtimoniis rem confirmans, aliqua verba poëtarum orationiſque ſolutæ ſcriptorum, qui iis uſi ſunt, inter ſe comparo, nemo comparationem eorum & affinitatem aut particulare eorum artificium reprehendat; ſed à majori parte ſingulos eorum, quos prolaturus ſum conſideret, ſibi perſuadens, quod etſi ſæpe iſta ſit ſimilitudo, quod non ſemper.

λζ´. Τρεῖς γὰρ δὴ συνθέσεως σπουδαίας [d] χαρακτῆρες οὗτοι οἱ γενικώτατοι· οἱ δὲ ἄλλοι, παρὰ τούτους τε καὶ ἀπὸ τούτων εἰσὶ κατεσκευασμένοι, πολλοὶ σφόδρα ὄντες, ἐπιτάσει τε καὶ ἀνέσει διαφέροντες ἀλλήλων. εἰλικρινὴς μὲν οὖν ἁρμονία, καὶ ἀκραιφνὴς χαρακτὴρ κατὰ πᾶν, οὐκ ἂν εὑρεθείη παρ᾽ οὐδένι, οὔτε ἐμμέτρων οὔτε πεζῶν ποιητῇ λόγων, οὐδὲ χρὴ μαρτύρια τοιαῦτα παρ᾽ οὐδενὸς ἀπαιτεῖν. ὅπου γὰρ οὐδὲ τῶν στοιχείων τῶν πρώτων, ἐξ ὧν ἡ τοῦ παντὸς συνέστη φύσις, γῆς τε καὶ ὕδατος, καὶ ἀέρος καὶ πυρὸς, οὐδὲν εἰλικρινές ἐστιν, ἀλλὰ πάντα μετέχει πάντων, ὠνόμασται δ᾽ ἕκαστον αὐτῶν κατὰ τὸ πλεονάζον· τί θαυμαστὸν εἰ αἱ τῆς λέξεως ἁρμονίαι, τρεῖς οὖσαι τὸν ἀριθμὸν, οὐκ ἔχου- 186
σιν εἰλικρινῆ τὴν φύσιν οὐδ᾽ ἀνεπίμικτον, ἀλλ᾽ ἐκ τῶν ὡς ἐπὶ τὸ πολὺ συμβεβηκότων αὐταῖς ὀνόματός τε ἠξίωνται καὶ χαρακτῆρος ἰδίου; ὥσθ᾽ ὅταν παρέχωμαι δείγματα ἑκάστης, καὶ μαρτύρια φέρω, λέξεις τινὰς παρατιθεὶς τῶν χρησαμένων αὐταῖς ποιητῶν τε καὶ συγγραφέων, μηδεὶς συκοφαντείτω τὰς ἐπιπλοκὰς καὶ τὰς κατὰ μόρια ποιότητας αὐτῶν· ἀλλὰ κατὰ τὸ πλεονάζον ἕκαστον τῶν [e] παραλαμβανόντων σκοπείτω, τεκμαιρόμενος εἰ πολλαχῇ τοιοῦτόν ἐστι τὸ δεικνύμενον, οὐκ εἰ ἁπανταχῇ.

Gravis compoſitio.

XXXVIII. Is porro eſt character auſteræ, vetuſtæ, nec ornatæ, ſed gravis compoſitionis. Nominibus uti gaudet magnis & longis, ut firmiter admodum & late deſinant, & temporibus & ſpatiis majoribus à ſe mutuo dividantur. hujuſmodi porro compoſitionem vocales ſe invicem ſequentes efficiunt, cum prior dictio in eam vocalem deſinit à qua ſequens incipit. Neceſſe eſt enim tempus quod-

λη´. Τῆς μὲν οὖν [f] αὐστηρᾶς καὶ φιλαρχαίου καὶ μὴ τὸ κομψὸν, ἀλλὰ τὸ σεμνὸν ἐπιτηδευούσης ἁρμονίας, τοιόσδε ὁ χαρακτήρ· ὀνόμασι χρῆσθαι φιλεῖ μεγάλοις καὶ μακροσυλλάβοις, καὶ [g] τὰς ἕδρας αὐτῶν εἶναι πλουσίως πάνυ βεβηκύας, χρόνων δὲ ἀξιολόγων ἐμπεριλήψει διείργεσθαι θάτερα ἀπὸ τῶν ἑτέρων. τοῦτο τὸ σχῆμα τῆς ἁρμονίας ποιοῦσιν αἱ τῶν φωνηέντων γραμμάτων παραθέσεις, ὅταν ἥ τε προηγουμένη λέξις εἰς ἓν τούτων λήγῃ, καὶ ἡ συνάπτουσα ταύτῃ τὴν ἀρχὴν ἀπὸ τούτων τινὸς λαμβάνῃ. [h] ἀναγκαῖον γάρ ἐστι χρόνον τινὰ μέσον

a Pro ἐπὶ legendum videtur ἔτι. Sequentium etiam talis quæpiam requiritur lectio; τὴν προσοῦσαν φιλοτιμίαν, ᾗ φιλοτιμούμενοι τυγχάνομεν, ὁποῖ᾽ ἄττα ἂν ἐκεῖνοι ζηλῶσι, τοιαῦτα καὶ αὐτοὶ ἀναφέρειν τε καὶ μιμεῖσθαι. *Sylb.* In ora *Cod. Bodl.* ἴσ. ἔτι τῶν πρὸς οὓς ἂν φιλοτ. *b* Exemplar habet εὐσταθῆ: quod non eſt uſitatum. *Sylb.* *c* Μάλα etſi ferri poteſt: tamen ſiquis μαλακὴν malit, facile feram. *Sylb.* *d* Vide p. 39. v. 35. &c. *e* Potius paſſivo fine legendum παραλαμβανομένων. *Sylb.* *f* Vide pag. 40. v. 18. &c. *g* In exemplari dativo caſu ſcriptum ταῖς ἕδραις βεβηκύαις: perperam. Pro πλουσίως quoque omnino legendum ibidem πλατέως. ſupra p. 40. v. 22. ubi itidem auſteræ compoſitionis characterem deſcribit, dicit, ἀπέχειν ἀπ᾽ ἀλλήλων τὰ μόρια διαστάσεις ἀξιολόγους αἰσθητοῖς χρόνοις διειργόμενα. *Sylb.* *h* Exemplar infinitive habet ἀναγκαῖον γὰρ εἶναι: parum congruenter. Idem p. 303. v. 10. habet ἀντιστηρισμὸς, per σ: quod cum regulæ adverſetur, malui ἀντιστηριγμὸς, ut ſupra p. 27. v. 26. *Sylb.*

a In

ἀμφοῖν ἀξιόλογον ὑπολαμβάνεσθαι. καὶ μηδεὶς εἴπῃ, "Τί δὲ τοῦτό ἐστιν", ἢ πῶς ἄν τις γένοιτο χρόνος, ὃς μεταθῇ ὀνόματα ἀπ' ἀλλήλων διεστάναι κατὰ τὰς τῶν φωνηέντων συμβολάς; δείκνυται γὰρ ὑπό τε μουσικῶν καὶ μετρικῶν ὁ μεταξὺ μέσος τῶν φωνηέντων χρόνος, ἑτέρων παρεμβολῇ γραμμάτων ἡμιφώνων ἀναπληροῦσθαι δυνάμενος. τοῦτο δ' οὐκ ἂν ἐγίγνετο μὴ σιωπῆς τινος ἀξιολόγου διειργούσης τὰ φωνήεντα ἀπ' ἀλλήλων. πρῶτον μὲν δὴ τοῦτο τῆς ἁρμονίας ταύτης ἐστὶν ἰδίωμα, ὡς ἐπὶ τὸ πολύ. ἕτερον δὲ, τοιοῦτον· ἀνακοπὰς καὶ ἀντιστηριγμοὺς λαμβάνειν καὶ ᵃτραχύτητα ἐν ταῖς συμπλοκαῖς τῶν ὀνομάτων, ἐπιστυφούσας τὴν ἀκοὴν ἡσυχῇ ᵇβοβλῖται. ἔνθα πάλιν ἡ τῶν ἀφώνων τε καὶ ἡμιφώνων ᶜγραμμάτων δύναμις αἰτία, ὁπότ' ἂν τὰ λήγοντα τῶν ἡγουμένων μορίων ἢ γράμματα τοῖς ἡγουμένοις ὡς μηδὲν τῶν ἐπιφερομένων μήτε συναλείφεσθαι μήτε συγχεῖσθαι φύσιν ἔχῃ. πολὺ γὰρ δὴ τὸ ἀντίτυπον ἐν ταῖς τούτων συμβολαῖς γίνεται, ὥσπερ γε καὶ ἐν αὐτοῖς ὀνόμασιν, ὅτ' ἂν ἐκ τῶν τραχυνόντων τὴν φωνὴν γραμμάτων αἱ καλούμεναι συλλαβαὶ συντεθῶσι. πολλῆς δέ τινος ἐνταῦθα δεῖ τῆς τεχνήσεως, ἵνα μὴ ᵈκακόφωνον μηδὲ ἀηδὲς, μηδὲ ἄλλην τινὰ ὄχλησιν ἐνεσχημέναι ταῖς ἀκοαῖς λάθωσιν αἱ τοιαῦται συζυγίαι, ἀλλ' ἐπανθῇ τις αὐταῖς χνοῦς ἀρχαιοπινὴς καὶ χάρις ἀβίαστος. ἀρκεῖ γὰρ, ὡς ἐν εἰδόσι λέγοντας, ὅτι φύσιν ἔχει μηδὲν τῶν σπουδαίων ῥημάτων ἄμοιρον ὥρας εἶναι καὶ χάριτος ἰδίας, τοσοῦτον μόνον εἰπεῖν.

λθ'. Ἐν μὲν δὴ τοῖς ἐλαχίστοις τε καὶ στοιχειώδεσι μορίοις τῆς λέξεως ταῦτα χαρακτηρικὰ τῆς πρώτης ἐστὶν ἁρμονίας· ἐν δὲ τοῖς καλουμένοις κώλοις, ἃ συντίθεται μὲν ἐκ τῶν ὀνομάτων, συμπληροῖ δὲ τὰς περιόδους, οὐ μόνον ταῦτα, ἀλλὰ καὶ τοὺς ῥυθμοὺς τοὺς καταμετροῦντας αὐτὰ, μὴ ταπεινοὺς μηδὲ μαλακοὺς μηδ' ἀγεννεῖς εἶναι, ὑψηλοὺς δὲ καὶ ἀνδρώδεις καὶ μεγαλοπρεπεῖς. οὐ γὰρ δὴ φαῦλόν τι πρᾶγμα ῥυθμὸς ἐν λόγοις, οὐδὲ προσθήκης τινὸς μοῖραν ἔχον οὐκ ἀναγκαίας· ἀλλ' εἰ δεῖ τἀληθὲς, ὡς ἐμὴ δόξα, εἰπεῖν, ἁπάντων κυριώτατον τῶν γοητεύειν δυναμένων, κηλεῖν τὰς ἀκοάς. πρὸς δὲ τοῖς ῥυθμοῖς καὶ τὸ τοὺς σχηματισμοὺς τῶν ἐννοιῶν γενναίους εἶναι καὶ ἀξιωματικοὺς, οὐ μόνον τοὺς κατὰ τὰς νοήσεις, ᵉἀλλὰ καὶ κατ' αὐτὴν τὴν λέξιν συνισταμένους. ἐξαριθμεῖσθαι δὲ νῦν ὅσα γένη σχηματισμῶν ἐστι, τῶν τε κατωνομασμένων καὶ τῶν ἀκατονομάστων, καὶ τίσιν αὐτῶν ἡ τοιαύτη μάλιστα πέφυκεν ἁρμονία χαίρειν, οὐκ ἔχω καιρόν· ἐπεὶ τῆς ἁρμονίας ταύτης οἰκεῖόν ἐστι καὶ τὸ τὰς περιόδους αὐτουργούς τινας εἶναι καὶ ἀφελεῖς, καὶ μήτε συναρπαζούσας ἑαυταῖς τὸν νοῦν, μήτε συμμετρουμένας τῷ πνεύματι τοῦ λέγοντος, μηδέ γε παραπληρώμασι τῶν ὀνομάτων οὐκ ἀναγκαίοις, ὡς πρὸς τὴν ὑποκειμένην διάνοιαν, χρωμένας, μηδ' εἰς θεατρικούς τινας καὶ γλαφυροὺς καταληγούσας ῥυθμούς. καθόλου δέ γε οὐδ' ἀσπάζεται τὸ ἐμπερίοδον ἤδη ἡ σύνθεσις ὡς τὰ πολλά· ἁπλῶς δέ πως καὶ ἀφελῶς, καὶ τὰ πλείω κομματικῶς κατεσκευάσθαι βούλεται, παράδειγμα ποιουμένη τὴν ἀκατάσκευον φύσιν. εἰ δέ ποτε ἀκο-

dam notabile medium inter utramque interſeri. & nemo dicet, quid hoc eſt, aut quomodo aliquod erit ſpatium, ſi tranſponuntur verba, & à ſe invicem disjunguntur, ne vocalium concurſu elidantur? Oſtenditur enim à muſicis & poëtis, tempus inter vocales duas aliarum interpoſitione ſemivocalium compleri poſſe. Hoc non fit, niſi cum ſilentio quodam notabili vocales à ſe invicem diviſæ proferuntur. Talis quidem hujuſce compoſitionis prima eſt plerumque proprietas. alia vero hæc: literas ſcilicet reciprocare, & alias rejicere, aſperitatem in connexionibus verborum inducere, quæ aures ſedatas & quietas offendat. Hoc autem mutarum & ſemivocalium vis poteſtaſque efficit; quando nimirum præcedentia membra in iiſdem literis deſinunt, à quibus ſequens comma incipit, nihil ut è ſequentibus abſumi & abſorberi queat: magna enim in harum concurſu ſita eſt aſperitas, quin & in ipſis verbis, quando ſyllabæ è duris compoſitæ ſunt literis. Magna porro hîc opus eſt induſtria, ne quem malum ſonum, aut invenuſtatem, aut aliam quandam moleſtiam auribus illæ vocalium colliſiones clanculo pariant; ſed videndum ut lanugine quadam molli & ſponte irrepente venuſtate condiantur. Hoc enim ſolum quaſi ſpecimen dixiſſe ſufficit, nullum inſigne verbum eſſe poſſe, quod elegantia & debita venuſtate careat.

XXXIX. Hæc itaque ſunt, quæ in minimis dictionis partibus, iiſque quæ in literis conſiſtunt, primum compoſitionis genus oſtendunt. In iis vero quæ cola & inciſa dicuntur, quæ è verbis pluribus componuntur, periodos autem complent, non hæc modo quæ dixi; ſed & numeri, qui illa demetiuntur, nec humiles, fracti, molles, aut ignobiles eſſe debent, ſed ſublimes, viriles & ſplendidi. non enim in oratione numerus parvi momenti res eſt, aut inſtar additamenti alicujus non neceſſarii: ſed ſi veritas, mea quidem ſententia, dicenda eſt, nihil adeo ex iis, quæ auditores movent & ducunt, aures demulcet. Præter numerum etiam requiritur, ut figuræ ſententiarum præſtantes ſint & egregiæ, nec modo ſententiarum, ſed etiam verborum. Sed hic locus non poſtulat, ut enumerem quot ſint figurarum, tum earum quæ in verbis conſiſtunt, tum earum quæ in ſententiis, genera, & quibus in hac potiſſimum compoſitione opus ſit; cum huic ſit proprium, ut ambitus periodici non ſint affectati ſed ſimplices, ſecumque animum non rapiant & vi trahant, nec ad ſpiritum dicentis menſurati ſint, nec ſupervacanea verborum & ad ipſam ſententiam non neceſſaria complementa habeant, nec in theatrales quoſdam molleſque numeros deſinant. In ſumma nihil periodicum & latum amat hæc compoſitio; at ſimpliciter quodammodo & non affectate, & potius per brevia commata & ſuccincta inciſa dici amat, ſimplicitatem ipſam imitans. Si vero interdum

a In ora *Cod. Bodl.* ἴσ. τραχύτητας. b Βοβλίται plane corruptum eſt: ac licet expungatur, ſenſui tamen nihil prorſus decedet, ἡσύχοις βολαῖς minus huc quadrat. ſupra (p. 40. v. 24.) dicit, τραχείαις χρῆσθαι πολλαχῆ καὶ ἀντιτύποις ταῖς συμβολαῖς. *Sylb.* In margine *Cod. Bodl.* ἴσ. βούλεται. c Pro γράμματα ſenſus poſtulat ἄργματα *initia*, ſeu ἀρχικὰ γράμματα *initiales litteræ.* Sequens etiam membrum ſic videtur legendum; ὧν μηδὲν τῷ ἐπιφερομένῳ μήτε συναλείφεσθαι μήτε συνηχεῖσθαι φύσιν ἔχει. *Sylb.* d In ora *Cod. Bodl.* κακόφωνα & mox ἀηδεῖς. e Malim repetito articulo, ἀλλὰ καὶ τοὺς κατ' αὐτ. *Sylb.*

dum membra elaborata adhibuerit, vel periodos, vel finem habeat numeroſum, quod forte caſu acciderit, non ideo rejicietur. Quin & hæc antiquam & auſteram compoſitionem indicant, raris ſcilicet uti copulis, nec articulis continuis, ſed interdum etiam paucioribus quam deceat; frequenter mutare caſus, non ſemper continuare cum prioribus ſententias, correſpondentiam ipſam & connexionem frangere, eminenter & proprio quodam modo, non vulgari hominibuſque noto membra copulare. Satis magnam exemplorum copiam (è poëtis & lyricis) Æſchylus, qui hoc pene omnia ſtylo compoſuit, & Pindarus dabunt, demptis ſolis Partheniis, & ſi qua ſunt his ſimilia: atque hiſce ineſt excellentia & gravitas compoſitionis antiquum ſqualorem ſervans. Ex hiſtoricis autem cæteros longe antecelluit, & in hoc genere principem locum tenuit Thucydides. Si igitur teſtimoniis opus eſſe viſum fuerit, omiſſis poëtis ex Thucydidis dictione hæc decerpam: "Hujus belli "longitudo in immenſum proceſſit, & magnas "in univerſam Græciam calamitates invexit, "quales eodem ſpatio temporis non contige- "runt. Nam neque tot urbes expugnatæ va- "ſtatæque ſunt, vel barbarorum impetu vel "domeſticis contentionibus, (ſunt etiam quæ "incolas captæ mutaverunt) neque tot exitia, "totve neces audivit quiſquam, vel belli "vel ſeditionum cauſa. Atque ſuperiora illa, "quæ auditione quidem percipiuntur, re au- "tem ipſa rariſſime confirmantur, fidem ta- "men acceperunt: qualia narrantur de terræ "motibus, qui in hoc bello pleriſque orbis "partibus exſtiterunt: quæ de ſolis defectio- "nibus crebrioribus quam unquam antea: quæ "de ſiccitatibus, unde fames ingens, ex fame "vero peſtilentia exorta, quæ non mediocri- "bus malis civitatem afflixit". Talis itaque eſt in ſtylo compoſitio illa prima, naturalis, auſtera, elata, antiquum præ ſe ferens decorum.

Æſchylus atque Pindarus gravis compoſitionis ſectatores; ut & Thucydides.

λυθήσειεν [a] τοῖς ἀνδυπιτοθεμένοις κώλοις ἢ περιόδοις, ἢ βάσεσιν εὐρύθμοις, ὃ συμβὰν ἐκ τῆς αὐτομάτου τύχης, οὐκ ἀπωθεῖται. καὶ ταῦτα δ' ἔτι τῆς ἀρχαίας καὶ αὐστηρᾶς ἁρμονίας ἐπὶ χαρακτηρικά· τὸ μήτε συνδέσμοις χρῆσθαι πολλοῖς, μήτ' ἄρθροις συνεχέσιν, ἀλλ' ἔστιν ὅτε καὶ τῶν ἀναγκαίων ἐλάττοσιν· ὃ μὴ χρονίζειν ἐπὶ τῶν αὐτῶν πτώσεων τὸν λόγον, ἀλ- 187 λὰ θαμινὰ [b] μεταπέμπειν· [c] ὃ τῆς ἀκολουθίας τῶν προεξενεχθέντων ὑπεροπτικῶς ἔχειν τὴν φράσιν, μηδὲ κατάλληλον· τὸ περιττῶς καὶ ἰδίως καὶ μὴ κατὰ τὴν ὑπόληψιν ἢ βούλησιν τῶν πολλῶν συζεύγνυσθαι τὰ μόρια. καὶ παραδείγματα δὲ αὐτῆς ποιητῶν μὲν καὶ μελοποιῶν ἥ τε Αἰσχύλου λέξις ὀλίγου δεῖν πᾶσα, καὶ ἡ Πινδάρου· χωρὶς [d] ὅτι μετὰ Παρθένεια, καὶ εἴ τινα τούτοις ὅμοια· [e] κἂν τούτοις εὐγένεια καὶ σεμνότης ἁρμονίας τὸν ἀρχαῖον φυλάττουσα πῖνον. συγγραφέων δὲ λαμπρότατός τε καὶ μάλιστα τῶν ἄλλων κατορθῶν περὶ ταύτην τὴν ἰδέαν Θουκυδίδης. εἰ δέ τῳ δοκεῖ μαρτυρίων ἔτι δεῖν τῷ λόγῳ, παρελθὼν τοὺς ποιητὰς, ἐκ τῆς Θουκυδίδου λέξεως ταυτί· "Τούτου δὲ τοῦ πολέμου μῆκός τε μέγα προύβη, παθή- "ματά τε [f] ξυνέβη γενέσθαι ([g] ἐν αὐτῷ) τῇ Ἑλλάδι (πολ- "λὰ,) οἷα οὐχ ἕτερα ἐν ἴσῳ χρόνῳ. οὔτε γὰρ πόλεις τοσαίδε "ληφθεῖσαι ἠρημώθησαν, αἱ μὲν ὑπὸ βαρβάρων, αἱ δὲ σφῶν "αὐτῶν ἀντιπολεμούντων· εἰσὶ δὲ αἳ καὶ οἰκήτορας μετέβα- "λον ἁλισκόμεναι· οὔτε φυγαὶ τοσαίδε ἀνθρώπων, καὶ φόνος, ὁ "μὲν, καθ' αὐτὸν τὸν πόλεμον, ὁ δὲ, διὰ τὸ στασιάζειν. τά τε "πρότερον ἀκοῇ μὲν λεγόμενα, ἔργῳ δὲ σπανιώτερον βεβαι- "ούμενα, οὐκ ἄπιστα κατέστη, σεισμῶν τε πέρι, οἳ ἐπὶ πλεῖ- "στον ἅμα μέρος γῆς καὶ ἰσχυρότατοι οἱ αὐτοὶ ἐπέσχον· ἡλίου "τ' ἐκλείψεις αἳ πυκνότεραι παρὰ τὰ ἐκ τοῦ πρὶν χρόνου "μνημονευόμενα ξυνέβησαν· αὐχμοί τ' ἔστι παρ' οἷς με- "γάλοι· καὶ ἀπ' αὐτῶν καὶ λιμοί· [h] καὶ οὐχ ἥκιστα καὶ ἡ "βλάψασα καὶ μέρος τι φθείρασα, ἡ λοιμώδης νόσος". ἡ μὲν δὴ πρώτη τῶν ἁρμονιῶν ἡ γενικὴ καὶ αὐστηρὰ καὶ μεγαλόφρων καὶ τὸ ἀρχαιοπρεπὲς διώκουσα, τοιάδε τίς ἐστι κατὰ τὸν χαρακτῆρα.

XL. Alia vero, quæ mollis, & theatralis eſt, & magis ornatum quam gravitatem quærit, hujuſmodi. Verba ubique lenta & mollia ſectatur, ſuavi ſtudet ſono & numeroſitati, &, quæ hinc oritur, venuſtati; deinde non temerario hæc ordine collocat, nec inconſiderate alia aliis annectit, ſimulque conglobat; ſed diſcernens quæ quibus annectendo venuſtior effici ſonus queat, perſpicienſque quo potiſſimum ſchemate copulæ gratiores reddantur, tali ſingula ratione componere conatur; multum ſolicita, tum ut ſingula inter ſe bene cohæreant & apte connectantur, tum etiam ut citatæ fluidæque ſint omnes ſententiæ. Ideoque omni ratione vocalium concurſus evitat, æquabilitatem vero & fluidam con-

Compoſitio tenuis quæ ſit, & quæ exigat.

μ'. Ἡ δὲ μετὰ ταύτην [i] γλαφυρὰ καὶ θεατρικὴ, καὶ τὸ κομψὸν αἱρουμένη πρὸ τοῦ σεμνοῦ, τοιαύτη· ὀνομάτων αἰεὶ βούλεται λαμβάνειν τὰ λειότατα καὶ μαλακώτατα, τὴν εὐφωνίαν θηρωμένη καὶ τὴν [k] ἐμμέλειαν, ἐξ αὐτῶν δὲ τὸ ἡδύ· ἔπειτα οὐχ ὡς ἔτυχεν ἀξιοῖ ταῦτα τιθέναι, οὐδὲ ἀπερισκέπτως συναρμόττειν θάτερα τοῖς ἑτέροις, ἀλλὰ [l] διακρίνουσα τὰ ποῖα τοῖς ποίοις παρατιθέμενα μουσικωτάτους ποιεῖν δυνήσεται τοὺς ἤχους· καὶ σκοποῦσα κατὰ ποῖον σχῆμα ληφθέντα χαριεστέρας ἀποτελέσει τὰς συζυγίας, οὕτως συναρμόττειν ἕκαστα πειρᾶται, πολλὴν σφόδρα ποιουμένη φροντίδα τοῦ συνεξέσθαι συνειλῆφθαι, καὶ προσηνεῖς ἁπάντων αὐτῶν εἶναι τὰς ἁρμονίας. καὶ διὰ τοῦτο φεύγει μὲν ἁπάσῃ σπουδῇ τὰς τῶν φωνηέντων συμβολὰς, ὡς τὴν

λειότητα

a Si legas τοῖς ἐπιτετηδευμένοις κώλοις, (ut ſupra p. 40. v. 42.) aliquatenus conſtabit ſententia. τοῖς μετὰ πόθους κειμένοις vereor ne nimis longe petitum ſit. *Sylb.* *b* Omnino legendum videtur μεταπίπτειν, id eſt, μεταβάλλειν, *mutari caſus*. *Sylb.* *c* In ora *Cod. Bodl.* τῷ τῆς &c. *d* Senſus videtur requirere, ὅτι μὴ τὰ Παρθένεια, *niſi Parthenia ſeu Virginalia*. *Sylb.* Τὰ δὲ λεγόμενα Παρθένια (inquit *Proclus* in *Chreſtom.*) χοροῖς Παρθένων ἐγράφετο. De his *Scholiaſtes Ariſtophanis* in *Avibus*. Παρθένεια δὲ ἃ αἱ Παρθένοι ᾖδον. De quibus (inquit *Nunneſius*) non memini me plura legiſſe. Sed quoniam ſub idem genus atque τὰ δαφνηφορικὰ cadunt, non magnopere laborandum, quando τῶν δαφνηφορικῶν tam accurata afferatur à *Proclo* explicatio. *e* Legendum videtur κἂν τούτοις δ' οὖν. *Sylb.* *f* Pro ξυνέβη in *Thucyd.* [p. 13. *Ed. Oxon.*] legitur ξυνηνέχθη: itidemque ſupra p. 237. v. 6. *Sylb.* *g* Incluſa, ἐν αὐτῷ, addita ſunt ex eiſdem editionibus: & viciſſim ab eiſdem abeſt ſeq. incluſum πολλά. Mox v. 20. exemplar noſtrum habet λειφθεῖσαι: minus congruenter. *Sylb.* *h* In vulg. editt. & ſupra p. 237. v. 6. legitur. καὶ ἡ οὐχ ἥκιστα βλάψ. *Sylb.* *i* Vide pag. 40. v. 30. *k* In exemplari contrario ſenſu ſcriptum ἐκμέλειαν. ego ἐμμέλειαν repoſui, ex p. 52. v. 32. & ex medio pag. 194. [juxta *Ed. Sylb*] ſed, ne quid diſſimulem, verius fortaſſe εὐμέλειαν: ut infra dicetur plenius ad p. 192. & p. 193. [juxta eandem *Edit.*] de ἐκμελείᾳ vero viſe p. 17. v. 7. *Sylb.* *l* Exemplar habet διακρίνουσα τὰ ποῖα τοῖς ὁποίοις, & παρατιθέμενα, μουσ. perperam. *Sylb.*

a Incluſa

λειότητα καὶ τὴν εὐέπειαν διασώσας· φεύγει δέ, ὅση δύναμις αὐτῇ, τῶν ἡμιφώνων τε καὶ ἀφώνων γραμμάτων τὰς συζυγίας, ὅσαι τραχύνουσι τοὺς ἤχους, καὶ ταράττειν δύνανται τὰς ἀκοάς. ἐπειδὴ γὰρ οὐκ ἐνδέχεται πᾶσαν σημαίνουσαν σῶμα ([a] ἢ) πρᾶγμα λέξιν ἐξ εὐφώνων συγκεῖσθαι, τὰς αὐτὰς καὶ κακῶς ἐνδέχεται. ὃ δὴ δίδωσιν ἡ φύσις, τοῦτο πειρᾶται λαμβάνειν ταῖς συζυγίαις αὐταῖς, καὶ ποιεῖν ἡδίους καὶ μαλακωτέρας λέξεις ὑπομένει, πρὸς τὸ ὑποκείμενον νοῦν οὔτ' ἀναγκαίας, οὔτ' ἴσως χρησίμας, δεσμοῦ δέ τινος ἢ κόλλης τάξιν ταῖς περὶ αὐτῶν καὶ μετὰ ταύτας κειμέναις ὀνομασίαις παρεξομένας· ἵνα μὴ συναπτόμεναι πρὸς ἀλλήλας αἵ καταλήγουσαί τε εἰς τραχὺ γράμμα, καὶ αἱ τὴν ἀρχὴν ἀπό τινος τοιούτου λαμβάνουσαι, σπαδονισμοὺς τῶν ἤχων ποιῶσι καὶ ἀντιτυπίας, τῇ δὲ παρεμπιπτούσῃ λέξει προσαναπαυόμεναι, μαλακοὺς φαίνεσθαι ποιῶσι τοὺς ἤχους καὶ συνεχεῖς· τὸ γὰρ ὅλον ἐστὶν αὐτῆς βούλημα, καὶ ἡ πολλὴ πραγματεία, περὶ τὸ συναρμοσθῆναί τε καὶ συνυφάνθαι πάντα τὰ μόρια τῆς περιόδου, μιᾶς λέξεως ἀποτελοῦντα φαντασίαν· καὶ ἔτι [b] πρὸς τούτῳ περὶ τὸ πᾶσαν εἶναι τὴν λέξιν, ὥσπερ ἐν ταῖς μουσικαῖς συμφωνίαις, ἡδεῖαν καὶ λιγυράν. τούτων δὲ τὸ μέν, αἱ τῶν ἁρμονιῶν ἀκρίβειαι ποιοῦσι, τὸ δέ, αἱ τῶν πραγμάτων δυνάμεις οἰκείως ἐχόντων πρὸς ἄλληλα ταῖς κατὰ τοὺς νόμους συμπαθείαις· ὑπὲρ ὧν ἑτέρας ἐπιστήμης θεωρία. ἐπιτρόχαλος δή τις γίνεται καὶ καταφερὴς ἡ ῥύσις τῆς λέξεως, ὥσπερ κατὰ πρανοῦς φερόμενα χωρίου σώματα μηδενὸς [c] αὐτῆς ἀνακρούοντος· καὶ διαρρεῖ διὰ τῆς ἀκοῆς ἡδέως πως καὶ ἀσπαστῶς, οὐδὲν ἧττον ἢ τὰ δι' ᾠδῆς καὶ ὀργάνου μουσωθέντα κρούματα καὶ μέλη. [d] ἔτι τῆς συνθέσεως ταύτης ἐστὶ καὶ τὰ κῶλα [e] δεῖνα ποιήμασιν ἐμφερῆ, μαλακόφωνα καὶ λεῖα, πολὺ τὸ κωτίλον ἔχοντα, κατά τινα φιλότητα φυσικὴν συζευγνύμενα ἀλλήλοις, ἐξ ὧν ἡ περίοδος συνέστηκεν. οὐδὲν γὰρ ἔξω περιόδου συντίθησιν ἐπὶ τῶν ῥυθμῶν. εἰς ἃς δὲ ἀποτελεῖται περιόδους, οὐ [f] τοὺς ἀξιωματικοὺς βούλεται λαμβάνειν, ἀλλὰ τοὺς χαριεστάτους· • εὐκόρυφοι δὴ φαίνονται καὶ εὔγραμμοι διὰ τοῦτο, καὶ εἰς ἕδραν
188 ἀσφαλῆ τελευτῶσι· τῶν δὲ σχημάτων διώκει τὰ κινητικώτατα τῶν ὄχλων· καλλωπίζεται γὰρ καὶ τέθηλε τούτοις, ἂν ἄχρι τοῦ μὴ λυπῆσαι τὰς ἀκοὰς προβαίνῃ· ὥς εἰσιν αἵ τε παρισώσεις καὶ παρομοιώσεις καὶ ἀντιθέσεις, καὶ τὰ παρωνομασμένα, τά τε ἀντιστρέφοντα, καὶ τὰ ἐπαναφερόμενα, καὶ ἄλλα πολλά. τοιαῦτά τινά μοι καὶ ταύτης εἶναι φαίνεται χαρακτηριστικὰ τῆς ἁρμονίας. παραδείγματα δ' αὐτῆς ποιοῦμαι, ποιητῶν μὲν Ἡσίοδόν τε καὶ Σαπφὼ καὶ Ἀνακρέοντα· τῶν δὲ πεζῇ λέξει χρησαμένων, Ἰσοκράτην τε τὸν Ἀθηναῖον, καὶ τοὺς ἐκείνῳ πλησιάσαντας. εἴρηνται μὲν οὖν πρότερον ἤδη λέξεις τινές, ἐν αἷς τὸν ὅλον χαρακτῆρα αὐτοῦ τῆς λέξεως ὑπέγραφον· ἐξ ὧν καὶ τὰ περὶ τὴν σύνθεσιν, εἰ τοιαῦτά ἐστιν οἷα λέγομεν ἡμεῖς, οὐ χαλεπῶς ἄν τις ἴδοι. ἵνα δὲ μὴ δόξωμεν διαρτᾶν τὰς ἀκολουθίας, τοὺς ἀναγινώσκοντας ἐπὶ τὰ ἐν ἀρχαῖς ῥηθέντα παραδείγματα κελεύοντες ἀναστρέφειν, λαμβανέσθω κἀνταῦθα ἐκ τῶν

ſtructionem quærit; & pro virili etiam cavet, ne mutæ & ſemivocales inter dicendum concurrant, quæ ſonum exaſperant, & auditorum aures perturbant. Cum enim vix eſt, ut omnis dictio, vel perſonam vel rem ſignificans, è literis bene ſonantibus componatur; hinc nec fieri poteſt, ut aures eodem etiam modo afficiantur. Quod nimirum naturale & ſimplex eſt, hoc in connexionibus illis adhibet, verbaque venuſtiora & blandiora reddere conatur, ad ipſam tamen ſententiam, nec neceſſaria, nec fortaſſe etiam conducibilia, ſed tantum ut præcedentia cum ſequentibus veluti vinculo quodam connectantur & cohæreant; ne ſcilicet ſibi mutuo ſint juncta, & dictio prior in aſperam quandam literam deſinens, & ſequens à ſimili incipiens, ſonum depravatum & durum reddant: ſed interpoſito aliquo verbo emollitæ efficiant, ut ſonus lenis & continuatus videatur. Hoc unum ſectatur hæc compoſitio, & eo ſpectat, ut omnia membra periodique conſtipentur, & inter ſe quodammodo contexta ſint, ut nonniſi unica dictio & colligata appareant: quinetiam ut omnia, quemadmodum in muſicis ſymphoniis, verba ſint venuſta & ſuavia. Hoc quidem accurata & congrua compoſitio efficit, illud autem res ipſæ ſe mutuo apte ſequentes, & debite colligatæ: quod alterius ſcientiæ commentatio eſt. Incitatus autem & citus dictionis fieri poteſt fluxus, inſtar corporum in aperto & libero campo nemine impediente aut remorante currentium, ac concinne dulciterque per aures fluere, uti per cantum & organa ipſi muſici pulſus & verſus. Quin etiam hujus compoſitionis eſt, ut membra ſint verſibus ſimilia, mollia, æquabiliter fluentia, magnamque elegantiam præ ſe ferant, & inter ſe quaſi naturalis cujuſdam amicitiæ vinculo conjuncta ſint ea, è quibus periodus compoſita eſt. * Periodi autem, quas adhibet, cum non ſublimes numeros, ſed venuſtos ſectetur, hinc ſublimes & bene compoſitæ videntur, & tuto deſinunt. Adhæc ſchemata, quæ populum maxime moveant, inveſtigat; ornatur enim his, illaque eatenus adhibet, ne auditoribus moleſta ſint; qualia ſunt comparia, & ſimiliter deſinentia, & oppoſita, & paronomaſiæ, converſiones, repetitiones, & alia multa. Hæc porro ad hanc compoſitionem viſa mihi ſunt pertinere. Exempla hujus proferam, poëtarum quidem, Heſiodi & Sapphus & Anacreontis; oratorum vero & eorum qui pedeſtri oratione uſi ſunt, Iſocratis Athenienſis & aliorum qui proxime ad eum acceſſerunt. Poſui jam antea orationes quaſdam, in quibus totum ejus dicendi ſtylum deſcripſi, in quibus & compoſitionem, utrum talis, qualem nos dicimus, ſit, facile quis perſpiciat. ne autem à propoſito deflectere videar, & cœptum ordinem interrumpere, lectorem ad præpoſita exempla reverti jubeo, hîc autem dictionem

a Incluſa ἢ in exemplari eſt omiſſa. tu hæc confer cum p. 31. v. 1. Mox legendum videtur, ἐξ εὐφώνων συγκεῖσθαι, καὶ τὰς ἀρχὰς οὐχ ὁμοίως (vel ἡδέως) διατίθεσθαι ἐνδέχεται. *Sylb.* b In exemplari eſt πρὸς τοῦτο: & v. 21. τῶν ἁρμονικῶν: minus congruenter. *Sylb.* c Legendum videtur αὐτοῖς ἀντικρούοντος. *Sylb.* d Ἔτι δὲ τῆς in margine *Cod. Bodl.* e Si pro corrupto δεῖνα legamus εἶναι, ſatis bene conſtabit ſententia. *Sylb.* In ora *Cod. Bodl.* Forſan ποιῶν deſideratur, aut tale quidpiam. f Vel ἀξιωματικοὺς legendum: vel potius poſt λαμβάνειν addendum ῥυθμούς. Seq. v. in exemplari ſcriptum εὐκόρυφοι: errore ambiguo. *Sylb.* * Deſunt hic aliquot verba, ab interprete (ut puto) omiſſa, quod ex Græcis ſenſum nullum exſculpere potuerit.

In

Iſocrates compoſitionem tenuem ſectatus eſt.

onem è *Panegyrica* ejus, quod non admodum ad intelligendum lectori difficilis futura eſt, in qua res Athenienſium in Salamine bello navali geſtas commemorat, excutiam, ita porro incipit: “Cum enim fieri “non poſſet, ut contra utraſque copias ſi“mul exercitum inſtruerent; aſſumpta o“mni oppidana multitudine, in vicinam “inſulam trajecerunt, ut per vices cum al“teris copiis, & non ſimul contra ambos “exercitus, Martis aleam experirentur. E“nimvero viri præſtantiores illis, aut Græ“corum amantiores, oſtendi quî poſſint: “qui, ne ſervitutis cauſa Græcis eſſent, & “urbem deſolatam, & agros vaſtatos, & ſa“cra direpta, & templa incenſa, univerſi “denique belli molem in patriam ſuam con“verſam intueri non recuſarunt? Ac ne “his quidem contenti contra naves mille “& ducentas ſoli pugnare aggreſſi, non tamen “etiam ſiti fuerunt. Peloponnenſes enim “eorum virtute pudore affecti, &, ſi noſtri “periiſſent, ne ſe quidem fore incolumes: “ſin viciſſent, ſuas urbes in ignominia fore “cogitantes, adire periculorum ſocietatem “ſunt coacti. Ac tumultus, qui in ea re “inciderunt, & clamores & cohortationes, “quæ communia ſunt omnium bellorum na“valium, non video quorſum attineat com“memorare. Quæ autem hujus loci pro“pria ſunt, & digna principatu, & ſupra “dictis conſentanea, ea demum eſt officii “mei dicere. Tantum enim noſtra urbs, “dum incolumis eſſet, cæteris antecelluit, ut “everſa etiam plures triremes ad id præ“lium, in quo Græciæ ſalus agebatur, con“tulerit, quam cæteri omnes qui pugnæ “interfuerunt. Neque vero quiſquam adeo “animos à nobis habet alienos, quin fa“teatur, id navale prælium victoriæ toti“us belli cauſam exſtitiſſe: atque id ipſum “noſtræ urbi eſſe acceptum referendum. E“nimvero cum bello petendi erant barbari, “quorum eſſe decet principatum? non eo“rum qui bello ſuperiore præclariſſime ſe “geſſerunt? qui & privatim pericula pro “aliis ſæpe adierunt, & primas in com“munibus diſcriminibus meruerunt? non “eorum, qui pro ſalute Græciæ patriam de“ſeruerunt? non eorum, qui & olim plu“rimas urbes condiderunt, & eaſdem ma“ximis è calamitatibus denuo eripuerunt? An“non vero iniquiſſime nobiſcum ageretur, qui “maximam partem laborum exantlavimus, “ſi in judicio dignitatis minus honoris con“ſequeremur?

Tertiæ compoſitionis genus.

XLI. Tertiæ autem compoſitionis, quam dixi miſtam eſſe è duabus & ex utraque optimum quodque delegiſſe, nullus eſt pro-

ΠΑΝΗΓΥΡΙΚΩΝ αὐτοῦ ΛΟΓΩΝ λέξις οὐ πολλὴν διατριβὴν παρέξουσα τοῖς ἀναγινωσκομένοις, ἐν ᾗ διεξέρχεται τὰ πραχθέντα Ἀθηναίοις περὶ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν. ἔστι δὲ ἥδε· “Ἐπειδὴ γὰρ οὐχ οἷοί τε “ἦσαν πρὸς ἀμφοτέρας ἅμα παρατάξασθαι τὰς δυ“νάμεις, παραλαβόντες ἅπαντα [a] τὸν ὄχλον, ἐκ τῆς “πόλεως εἰς τὴν ἐχομένην νῆσον ἐξέπλευσαν, ἵν’ ἐν “μέρει καὶ μὴ πρὸς ἑκατέρας κινδυνεύωσι. καίτοι πῶς “ἂν ἐκείνων ἄνδρες ἀμείνους ἢ μᾶλλον φιλέλληνες ὄντες “ἐπιδειχθεῖεν, οἵτινες [b] ἔτλησαν ἐπιδεῖν ὥστε μὴ τοῖς “πολλοῖς αἴτιοι γενέσθαι τῆς δουλείας, ἐρήμην μὲν [c] (τὴν) “πόλιν γιγνομένην, τὴν δὲ χώραν πορθουμένην, ἱερὰ δὲ “συλώμενα, καὶ νεὼς [d] ἐμπεπρησμένους, ἅπαντα δὲ τὸν πό“λεμον περὶ (τὴν) πατρίδα τὴν αὐτῶν γενόμενον; καὶ μηδὲ “ταῦτ’ [e] ἀπεχρησεν αὐτοῖς, ἀλλὰ πρὸς διακοσίας καὶ “χιλίας τριήρεις μόνοι διαναυμαχεῖν οὐκ ἐμέλλησαν, οὐ “μὴν εἰάθησαν (γε.) καταισχυνθέντες (τε) γὰρ Πελο“ποννήσιοι τὴν ἀρετὴν αὐτῶν, καὶ νομίσαντες προδιαφθα“ρέντων μὲν τῶν ἡμετέρων, οὐδ’ αὐτοὶ σωθήσεσθαι, κατορθω“σάντων δ’, εἰς ἀτιμίαν τὰς αὐτῶν πόλεις καταστήσειν, “ἠναγκάσθησαν μετασχεῖν τῶν κινδύνων. καὶ τοὺς μὲν θο“ρύβους τοὺς ἐν τῷ πράγματι [f] γιγνομένους, καὶ τὰς κραυ“γὰς καὶ τὰς παρακελεύσεις, ἃ κοινὰ πάντων ἐστὶ τῶν “ναυμαχούντων, οὐκ οἶδ’ ὅ,τι δεῖ λέγοντας διατρίβειν· “ἃ δ’ ἐστὶν ἴδια καὶ τῆς ἡγεμονίας ἄξια, καὶ τοῖς προειρημέ“νοις ὁμολογούμενα, ταῦτα δ’ ἐμὸν ἔργον ἐστὶν εἰπεῖν. [g] το“σοῦτο γὰρ ἡ πόλις ἡμῶν διέφερεν, ὅτε ἦν ἀκέραιος, ὥστε “ἀνάστατος γενομένη, πλείους μὲν συνεβάλετο τριήρεις “εἰς τὸν κίνδυνον τὸν ὑπὲρ τῆς Ἑλλάδος, ἢ σύμπαν“τες οἱ [h] (ναυμαχήσαντες. οὐδεὶς δὲ πρὸς ἡμᾶς οὕτως ἔ“χειν δυσμενῶς, ὅστις οὐκ ἂν ὁμολογήσειε, διὰ μὲν τὴν) “ναυμαχίαν ἡμᾶς τῷ πολέμῳ κρατῆσαι, [i] ταύτην δὲ “τὴν πόλιν αἰτίαν γεγενῆσθαι. καίτοι μελλούσης στρατείας “ἐπὶ τοὺς βαρβάρους ἔσεσθαι, τίνας χρὴ τὴν ἡγεμονίαν “ἔχειν; οὐ τοὺς ἐν τῷ προτέρῳ πολέμῳ μάλιστα εὐδοκι“μήσαντας, καὶ πολλάκις μὲν [k] ἰδίᾳ προκινδυνεύσαντας, “ἐν δὲ τοῖς κοινοῖς τῶν ἀγώνων, ἀριστείων ἀξιωθέντας; οὐ “τοὺς [l] τὴν αὐτῶν καταλιπόντας περὶ τῆς τῶν ἄλλων “σωτηρίας, καὶ τό γε παλαιὸν οἰκιστὰς πλείστων πόλεων “γενομένους, καὶ πάλιν αὐτὰς ἐκ τῶν μεγίστων συμφο“ρῶν διασώσαντας; πῶς δ’ οὐκ ἂν δεινὰ πάθοιμεν, εἰ τῶν “κακῶν πλεῖστον μέρος μετασχόντες, [m] ἔλαττον ταῖς τιμαῖς “ἔχειν ἀξιωθείημεν, καὶ τότε προταχθέντες πρὸ τῶν ἄλλων, “νῦν ἑτέροις ἀκολουθεῖν ἀναγκασθῶμεν”.

μα΄. Τῆς δὲ [n] τρίτης ἁρμονίας, ἣν ἔφην [o] μικτὸν ἐξ ἀμφοῖν εἶναι, τὰ χρησιμώτατα ἐκλέγουσαν ἀφ’ ἑκατέρας, οὐδεὶς

a In *Iſocratis* editione *Wolfiana* p. 87. cum duplici articulo legitur τὸν ὄχλον τὸν ἐκ τῆς πόλ. & mox, ἐν μέρει πρὸς ἑκατέραν τὴν δύναμιν, ἀλλὰ μὴ πρὸς ἀμφοτέρας ἅμα κινδυνεύσωσι. *Sylb.* b Eadem pro ἔτλησαν habet ἐτόλμησαν: & mox λοιποῖς pro πολλοῖς. *Sylb.* c Incluſus articulus τὴν additus ex eadem. *Sylb.* d In eadem ſcriptum ἐμπιπρ. omiſſo altero μ: & mox, περὶ πατρίδα τὴν αὐτῶν γενόμενον: & rurſum οὐδὲ pro μηδέ. *Sylb.* e In exemplari eſt ἀποχρῆσαι: parum congruenter. Ibidem pro οὐκ ἐμέλλησαν *Iſocr.* editt. habent ἐτόλμησαν. Seq. v. incluſa γε & τε, abſunt ab eadem edit. *Sylb.* f Eadem habet γενομένους, præt. aor. & v. 24. οὐχ ὁρῶ τί δεῖ λέγοντα διατρίβειν. *Sylb.* g Eadem habet τοσοῦτον, accuſ. caſu. *Sylb.* h Incluſa in exemplari noſtro erant omiſſa. *Sylb.* i In *Iſocratis* editt. concinnius & plenius legitur, ταύτης δὲ τὴν ἡμετέραν πόλιν αἰτίαν γενέσθαι. *Sylb.* k In exemplari noſtro ſcriptum διακεκοκινδ. parum recte. *Sylb.* l *Iſocratis* editio habet τὴν ἑαυτῶν ἐκλιπόντας ὑπὲρ τῆς τ. Seq. v. eadem habet τό τε παλ. & mox cum artic. τῶν πλείστων. *Sylb.* m Eadem habet ἐν ταῖς τιμαῖς ἔλαττον ἔχειν: & mox ὑπὲρ ἁπάντων pro πρὸ τῶν ἄλλων. *Sylb.* n Vide pag. 50. v. 30. o *Μικτὸν* ſubſtantive accipiendum pro μικτόν τι ſeu μίγμα, ut ſupra vocat p. 270. v. 42. niſi μικτὸν communi genere uſurpatum hic velis, ut συμφορητὸς πόλις, *Antiq. Rom.* p. 141. v. 36. communis enim loquendi ratio poſtulat fœminino fine μικτήν. Mox etiam pro αὐτοῦ ſenſus & ſtructura poſtulant αὐτήν, vel αὐτόν: vel ſaltem αὐτῶν. *Sylb.*

a Poſt

οὐδεὶς ἐστὶ χαρακτὴρ ἴδιος· ἀλλ' ὡς ἂν οἱ μετιόντες αὐτοῦ προαιρέσεως ἔχωσιν ἢ δυνάμεως, τὰ μὲν φυγεῖν, τὰ δὲ λαβεῖν, οὕτως κίρνανται, καθάπερ ἐν τῇ ζωγραφίᾳ τὰ μίγματα. ταύτης τῆς ἁρμονίας κράτιστος μὲν ἐγένετο κανὼν ὁ ποιητὴς Ὅμηρος, καὶ οὐκ ἂν τις εἴποι λέξιν ἄμεινον ἡρμοσμένην τῆς ἐκείνου πρὸς ἄμφω ταῦτα· λέγω δὲ τήν τε ἡδονὴν, καὶ τὸ σεμνόν. ἐζήλωσαν δὲ αὐτὸν ἐπῶν τε πολλοὶ ποιηταὶ καὶ μελῶν, ἔτι δὲ τραγῳδίας τε καὶ κωμῳδίας συγγραφεῖς τε ἀρχαῖοι καὶ φιλόσοφοι καὶ ῥήτορες· ὧν ἁπάντων μεμνῆσθαι πολὺ ἂν ἔργον εἴη. ἀρκέσει δὲ τῶν ἐν λόγοις δυναστευσάντων, οὓς ἐγὼ κρατίστους εἶναι πείθομαι, δύο παραθέσθαι μόνους· συγγραφέων μὲν, Ἡρόδοτον, φιλοσόφων δὲ, Πλάτωνα· καὶ γὰρ ἀξίωμα καὶ χάρις [a] αὐτῶν ἐπιτρέχει τῆς ἁρμονίας. εἰ δὲ ὀρθὰ ἐγὼ καὶ εἰκότα ἔγνωκα περὶ αὐτῶν ἐξετάσας, τῷ βουλομένῳ σκοπεῖν ἐστιν. φέρε δὴ τίς οὐκ ἂν ὁμολογήσειε τῆς τε αὐστηρᾶς καὶ τῆς
189 ἡδείας ἁρμονίας μέσην εἶναι τήνδε τὴν λέξιν, καὶ τὰ κράτιστα εἰληφέναι παρ' ἑκατέρας, ᾗ κέχρηται Ἡρόδοτος Ξέρξῃ περιτιθεὶς τὸν λόγον, ὅτε [b] ἐβουλεύετο περὶ τῆς πρὸς τοὺς Ἕλληνας στρατείας; μετακεκόμισται δ' εἰς τὴν Ἀτθίδα διάλεκτον ἡ λέξις· „Ἄνδρες Πέρσαι, οὔτ' αὐτὸς καθηγήσομαι νόμον „τόνδ' ἐν ὑμῖν τιθείς· παραδεξάμενός τε αὐτῷ χρήσομαι. „ὡς ([c] γὰρ) ἐγὼ πυνθάνομαι τῶν πρεσβυτέρων, οὐδένα χρόνον „ἠτρεμήσαμεν, ἐξ οὗ παρελάβομεν τὴν ἡγεμονίαν τήνδε „παρὰ (τῶν) Μήδων, Κύρου καθελόντος Ἀστυάγην· ἀλλὰ „θεός τε οὕτως ἄγει, καὶ αὐτοῖς ἡμῖν πολλὰ ἐπιοῦσι συμ-„φέρεται ἐπὶ τὸ ἄμεινον. ἃ μὲν δὴ Κῦρός τε καὶ Καμβύσης, „πατήρ τε ὁ ἐμὸς Δαρεῖος, κατειργάσαντο (καὶ προσεκτή-„σαντο) ἔθνη, ἐπισταμένοις οὐκ ἄν τις λέγοι. ἐγὼ δ', ἐπειδὴ „παρέλαβον τὸν θρόνον, τοῦτο ἐφρόντιζον ὅπως μὴ λείψω-„μαι τῶν πρότερον γενομένων ἐν (τῇ) τιμῇ τῇδε, μηδ' ἐ-„λάσσω προσκτήσωμαι δύναμιν Πέρσαις. φροντίζων δὲ εὑ-„ρίσκω ἅμα μὲν κῦδος ἡμῖν [d] προσγινόμενον, χώραν τε ἧς „νῦν κεκτήμεθα οὐκ ἐλάσσονα οὐδὲ φαυλοτέραν, παμφορωτέ-„ραν [e] τε, ἅμα δὲ τιμωρίαν καὶ τίσιν γινομένην. διὸ δὴ „ταῦτα νῦν ὑμᾶς ἐγὼ συνέλεξα, ἵνα ἃ διανοοῦμαι πράτ-„τειν, ὑποθῶ ὑμῖν. μέλλω, ζεύξας τὸν Ἑλλήσποντον, ἐλαύ-„νειν στρατὸν διὰ τῆς Εὐρώπης ἐπὶ τὴν Ἑλλάδα, ἵνα Ἀθη-„ναίους τιμωρήσωμαι, ὅσα δὴ πεποιήκασι Πέρσας τε καὶ πα-„τέρα τὸν ἐμόν. ὁρᾶτε μὲν δὴ καὶ ([f] πατέρα τὸν ἐμὸν) Δαρεῖον „προθυμούμενον στρατεύεσθαι ἐπὶ τοὺς ἄνδρας τούτους· ἀλλ' „ὁ μὲν τετελεύτηκε, καὶ οὐκ ἐξεγένετ' αὐτῷ τιμωρήσασθαι· „ἐγὼ δ' ὑπέρ τε ἐκείνου καὶ τῶν ἄλλων Περσῶν οὐ πρότερον „παύσομαι, πρὶν ἕλω τε καὶ πυρώσω τὰς Ἀθήνας· οἵ γε „ἐμέ τε καὶ πατέρα τὸν ἐμὸν ὑπῆρξαν ἄδικα ποιοῦντες. πρῶ-„τα μὲν εἰς Σάρδεις ἐλθόντες [g] ἅμα Ἀρισταγόρᾳ τῷ Μιλη-„σίῳ, δούλῳ δὲ ἡμετέρῳ, ἐνέπρησαν τά τε ἄλση καὶ τὰ ἱερά· „δεύτερα δὲ, ὑμᾶς οἷα ἔδρασαν, εἰς τὴν γῆν τὴν σφετέραν ἀπο-„βάντας, ὅτε Δᾶτίς τε καὶ [h] Ἀρταφέρνης ἐστρατήγουν, ἐπίστα-„σθέ που πάντες. τούτων μέντοι ἕνεκα ἀνώρμημαι ἐπ' αὐ-

prius character. Veruntamen ut ii, qui inſtitutum & facultatem ejus ſectantur, ſciant quæ fugienda, quæ amplectenda; itaque temperata & commixta eſt, uti in pictura temperari colores ſolent. Hanc compoſitionem poëta Homerus optime ſecutus eſt, neque etiam aliquis dictionem quandam ex his utriſque, gravitate ſcilicet & venuſtate, rectius efformatam, quam ſit ejus, proferret. Imitati ſunt eum multi epici & lyrici, tragœdi etiam & comœdi, ſcriptores veteres, tum philoſophi tum oratores, quos omnes recenſere longum foret. Sufficient è ſcriptoribus ſolutæ orationis duo, quos principes exiſtimo: ex hiſtoricis quidem Herodotus, è philoſophis autem Plato; nam magnificentiam una cum venuſtate quadam eorum compoſitio continet. num vero ego recte & convenienter de iis judicarim, attendat qui velit. Agedum, quis non fatebitur, inter auſteram & venuſtam compoſitionem mediam eſſe dictionem illam, & optima ex utraque ſelegiſſe, qua utitur Herodotus, Xerxem de bello Græcis inferendo conſulentem & perorantem inducens? Verſa autem eſt in dialectum Atticam oratio: „Viri Perſæ, equidem ego non ero „hujus inſtituti auctor, ſed ab aliis traditi „imitator. Nam ſicut à majoribus natu ac-„cipio, ex quo imperium hoc à Medis eripu-„imus, Aſtyage per Cyrum amoto, nunquam „timore vacavimus; ſed ita Deus nos agit, & „multa nobis ſe ſequentibus in melius con-„fert. Atque ea quidem, quæ Cyrus Camby-„ſeſque ac pater meus Darius fecere, quas „gentes imperio adjunxere, non attinet re-„ferre apud probe ſcientes: ego autem, poſt-„eaquam hunc thronum accepi, dedi operam, „ne ab iis, qui hoc honore ſunt functi, de-„generarem, neve minus potentiæ Perſis ac-„quirerem. Quod animo verſans, invenio „nobis acceſſuram gloriam pariter & hono-„rem, & regionem neque inferiorem neque „deteriorem ea quam recuperavimus, ſed fe-„raciorem, una cum ultione & vindicta. Id-„eoque nunc ego vos contraxi, ut id quod „agere inſtitui vobis exponerem. Conſtituo, „juncto Helleſponto, copias per Europam „traducere in Græciam, ut Athenienſium „ulciſcar injurias, quas tum Perſis aliis tum „patri meo intulere. Noveratis autem & Da-„rium adverſus hos viros bellum movere „deſtinaſſe: verum ei, morte prævento, non „contigit, ut illos ulciſceretur. Ego vero, „ejus vicem aliorumque Perſarum ulciſcens, „non prius deſinam quam expugnavero in-„cenderoque Athenas: cujus cives & me & „patrem meum priores injuria affecerunt. „Primum cum Sardis una cum Ariſtagora „Mileſio ſervo noſtro cremaverunt lucoſ-„que ac delubra: deinde in vos quid fece-„rint terram ſuam ingreſſos, cum Datis & „Artephernes duces fuere, ſcitis omnes. His „de cauſis irritor ad inferendum eis bellum: quos

a Poſt αὐτῶν perperam in exemplari ex præcedentibus repetitum δὲ Πλάτωνα. Idem v. 16. pro ἡδείας perperam habet ἰδίας, *Sylb.* b In exemplari eſt ἐβούλετο: parum congruenter. ego *Herodoti* editionem *Stephaneam* (p. 243.) ſequi malui. *Sylb.* c Incluſa γὰρ addita ex eadem edit. itidemque τῶν v. 24. Ex eadem additum καὶ προσεκτήσαντο, v. 27. & viciſſim ab eadem abeſt incluſus artic. τῇ v. 30. *Sylb.* d In exemplari noſtro aor. eſt προσγινόμενον: minus congruenter. *Sylb.* e In *Herodoti* editione *Stephanea* pro τε convenientius legitur δέ. *Sylb.* f Ex eadem editione *Stephanea* additum καὶ πατέρα τὸν ἐμόν. *Sylb.* g Exemplar noſtrum habet παρὰ Ἀρισταγ. & v. 47. ἡμᾶς, nos; parum apte. *Sylb.* h Idem habet Ἀτφέρνης, omiſſo priore ρ. ibidem mox *Herodoti* editio habet ἀνάρτημαι. *Sylb.*

"quos atque ipſorum finitimos, regionem "Pelopis Phrygis incolentes, ſi in poteſta"tem redegerimus, tot bona futura eſſe ra"tiocinando comperio: Terram Perſidem "ætheri Jovis conterminam reddemus; nul"lam enim regionem ſpectabit ſol finitimam "noſtræ, ſed ego omnem permenſus Euro"pam, una vobiſcum cunctas regiones in "unam redigam. Nam ita rem habere au"dio, nullam reliquam eſſe hominum ne"que civitatem neque gentem, quæ nobiſ"cum dimicare poſſit, iis quos dixi ſubmo"tis. Atque ita fiet, ut & qui in culpa ſunt, "& qui culpa vacant, ſervile jugum ſuſti"neant. In quo ſi mihi vos gratificari vo"lueritis, ubi tempus vobis indicavero quo "vos præſto eſſe oportet, tunc unuſquiſque "debebit impigre adeſſe. Quorum qui or"natiſſimis copiis aderit, eum donabo iis "quæ in noſtra domo pretioſiſſima haben"tur. Et hæc quidem ita agenda ſunt. Sed "ne ſolus videar in conſilio ſententiam di"cere, rem pono in medio, mandans unicui"que quam libet ſententiam dicere".

XLII. Plura quidem exempla proferre, è quibus hujus auctoris ſtylus oſtenderetur, cupiebam, ita enim rem magis confirmaſſem. Sed, quia ad alia feſtino, omittam, atque ita ſimul faſtidii culpam effugiam. Ignoſcet mihi etiam ipſe divinus Plato, ſi & verba ejus non protulero. Nam commentarium hunc nonniſi curſim & ſpecie tenus ſcribo. Cæterum hæc poſui, ut compoſitionum diverſitates, tum & earum formam, tum etiam principes illarum ſectatores oſtenderem, ut, poſtquam ſententiam pronunciavero, Demoſthenem ſc. mediam & temperatam compoſitionem ſectatum eſſe, nemo mihi dicat; Quæ ſunt igitur aliæ duæ compoſitiones extremæ, & quæ utriuſque natura? & quæ eſt illa mixtura & temperamentum? nam extremis ipſis opus non eſt. Hac de cauſa primum, ut dixi, hæc coactus fui præfari. deinde, ne unus ſemper idemque ſit orationis tractus, iſque durus, ſed ut habeat doctas quaſdam digreſſiones: indecens quippe & iniquum eſſet, hiſce additamentis velle fidem facere, illaque, cum id ſermo poſtulet, omittere.

Demoſthenes compoſitionem coluit mixtam.

XLIII. Cum oſtenderim itaque, hoc eſſe oratoris noſtri inſtitutum, jam quæ ipſe dixit quis examinet, conſiderans tum ea quæ graviter & auſtere & ſplendide dixit, tum & ea quæ venuſte & eleganter. Si vero & hîc demonſtratione aliqua opus fuerit, aliquam ex orationibus ejus in manus ſumat, & unde volet incipiens, per omnia deſcendat & rimetur ſingula quæ dicta ſunt: annon alia late & periodis dilatatis diducta ſint; alia vero conglobatis & condenſatis: illa quidem exaſperent, & offendant aures; hæc vero mitigent & demulceant: illa auditores ad affectus majores excitent; hæc ad remiſſiores,

"τοὺς στρατεύεσθαι. ἀγαθὰ δ' ἐν αὐτοῖς τοσάδε ἀνευρίσκω [a] λογιζόμενος, εἰ τούτους τε καὶ τοὺς τούτοις πλησιοχώρους καταστρεψόμεθα, οἳ Πέλοπος τοῦ Φρυγὸς νέμονται χώραν, γῆν τε τὴν Περσίδα ἀποδείξομεν τῷ Διὸς αἰθέρι [b] ὁμουρέουσαν. οὐ γὰρ δὴ χώραν γε οὐδεμίαν κατόψεται ὁ ἥλιος ὁμουρέουσαν τῇ ἡμετέρᾳ, ἀλλ' αὐτὰς ἁπάσας ἐγὼ ἅμα ὑμῖν μίαν χώραν θήσω, διὰ πάσης ἐξελθὼν τῆς Εὐρώπης. πυνθάνομαι γὰρ ὧδε ἔχειν· οὔτε τινὰ πόλιν αὐτῶν οὐδεμίαν οὔτε ἔθνος ἀνθρώπων οὐδὲν ὑπολείπεσθαι ἡμῖν, ὃ οἷόν τε ἔσται ἐλθεῖν εἰς μάχην, τούτων ὧν ἔλεξα ὑπεξῃρημένων. οὕτως οἵ τε ἡμῖν [c] ἀντίοι ἕξουσι δοῦλον ζυγόν, οἵ τε Ἀθηναῖοι. ὑμεῖς δ' ἄν μοι τάδε ποιεῦντες χαρίζεσθε, ἐπειδὰν ὑμῖν σημήνω τὸν χρόνον εἰς ὃν ἡμῖν ἥκειν δοκεῖ, προθύμως ὑμᾶς ἅπαντας δεῖ παρεῖναι. ὃς δ' ἂν ἔλθῃ ἔχων κατεσκευασμένον στρατὸν κάλλιστα, δώσω αὐτῷ δωρεὰν ἣ δὴ τιμιωτάτην ἢ νομίζεται [d] ἐν ἡμετέρᾳ. ποιητέα μὲν δὴ ταῦτ' ἐστὶν οὕτω. ἵνα δὲ μὴ ἰδιοβουλεύειν ὑμῖν δοκῶ, τίθημι τὸ πρᾶγμα ἐς μέσον, γνώμην κελεύων ὑμῶν τὸν βουλόμενον ἀποφαίνεσθαι".

μβ'. Ἐβουλόμην ἔτι πλείω παρέχεσθαι παραδείγματα τῆς τοῦ συγγραφέως ἀγωγῆς· ἰσχυροτέρα γὰρ ἡ πίστις οὕτως ἂν ἐγένετο. νῦν δὲ ἐξείργομαι, σπεύδων ἐπὶ τὰ ὑποκείμενα, καὶ ἅμα δόξαν ὑφορώμενος ἀκαιρίας. συγγνώσεται δέ μοι καὶ Πλάτων ὁ θαυμάσιος, εἰ μὴ παραθήσομαι κἀκείνου λέξεις. ἡ γὰρ ὑπόμνησις ὡς ἐν εἰδόσι. καὶ ταῦτα δὲ δὴ βουλόμενος τάς τε διαφορὰς τῶν ἁρμονιῶν, καὶ τοὺς χαρακτῆρας αὐτῶν, καὶ τοὺς πρωτεύσαντας ἐν αὐτοῖς [e] δίηλθον· ἵν' ἐπειδὰν ἀποφαίνωμαι γνώμην ὅτι τὴν μέσην τε καὶ μικτὴν ἁρμονίαν ἐπετήδευσεν ὁ Δημοσθένης, μηδεὶς ὑποτυγχάνῃ μοι, ταῦτα λέγων· Αἱ γὰρ ἄκραι τίνες εἰσὶν ἁρμονίαι; καὶ τίς αὐτῶν ἑκατέρας φύσις; καὶ τίς ἡ μίξις ἢ ἡ κρᾶσις [f] αὐτή; οὐδὲν γὰρ δεῖ τῶν ἄκρων. τούτου μὲν δὴ πρώτου χάριν, ὥσπερ ἔφην, ἠναγκάσθην προειπεῖν. ἔπειτα, ἵνα μοι μὴ μονόκωλος ᾖ μηδὲ αὐστηρὸς ὁ λόγος, ἀλλ' ἔχῃ τινὰς εὐπαιδεύτους διαγωγάς· οὔτε γὰρ [g] πιστεύειν τὰς τοιαύτας προσθήκας, οὔτε ἀπαιτοῦντος λόγου παραλιπεῖν καλῶς ἂν ἔχοι.

μγ'. Δεδειγμένης δή μοι τῆς διαιρέσεως τοῦ ῥήτορος ταύτης, ἤδη τις παρ' ἑαυτῷ σκοπείτω τὰ λεχθέντα ὅτι τοιαῦτ' ἐστίν, ἐνθυμούμενος μὲν ὅσα σεμνῶς [h] κατεσκεύασται τῷ ἀνδρὶ καὶ αὐστηρῶς καὶ ἀξιωματικῶς· ἐνθυμούμενος δὲ ὅσα τερπνῶς καὶ ἡδέως. εἰ δὲ κἀνταῦθα δόξει τι δεῖν ἡ πίστις ἀποδείξεως, ὅντινα βούλεται τῶν λόγων αὐτοῦ προχειρισάμενος, καὶ ἀφ' οὗ 190
βούλεται μέρους ἀρξάμενος, καταβαινέτω τε καὶ σκοπείτω τῶν λεγομένων ἕκαστον, εἰ τὰ μὲν ἀναβεβλημένας ἔχει τὰς ἁρμονίας καὶ διεστώσας, τὰ δὲ [i] προσκολλώσας καὶ συμπεπυκνωμένας· καὶ τὰ μὲν ἀποτραχύνει τε καὶ πικραίνει τὴν ἀκοήν, τὰ δὲ πραΰνει καὶ λεαίνει· καὶ τὰ μὲν εἰς πάθος ἐκτρέπει τοὺς ἀκού-

οντας,

[a] In exemplari noſtro poſt λογιζόμενος poſitum eſt punctum ſemiperfectæ periodi ſuſpenſum: & mox εἰς pro εἰ. quæ ſcriptura non plane videtur rejicienda. *Sylb.* [b] *Herodoti* editio habet compoſite ὁμουρέουσαν. Ibidem pro γε exemplar noſtrum habet τε: parum congruenter. *Sylb.* [c] Pro ἀντίοι & Ἀθηναῖοι, in *Herodoti* editione *Stephanea*, & αἴτιοι & ἀναίτιοι. & ſeq. v. χαρίζοισθε: & mox, ἐς ὃν ἥκειν δεῖ. *Sylb.* [d] Exemplar noſtrum habet ἐν ἡμετέρᾳ. *Stephani* editio ἐν ἡμετέρῳ: ego malui ἐν ἡμετέρᾳ, ſ. χώρᾳ. *Sylb.* [e] Vel δηλῶσαι inſerendum ante δίηλθον: vel legendum διελθεῖν. *Sylb.* [f] Pro αὐτή legendum vel αὕτη, vel αὐτῶν. Mox pro δεῖ perperam in exemplari eſt δή. *Sylb.* [g] Pro πιστεύειν ſenſus requirit πιστοῦν ſeu πιστῶσαι, vel aliud hujuſmodi. V. 38. pro διαιρέσεως proculdubio legendum προαιρέσεως. *Sylb.* [h] Rectius (opinor) κατεσκεύασται. *Sylb.* [h] Pro προσκολλώσας ſtructuræ norma poſtulat προσκεκολλημένας. *Sylb.*

a Inclu-

ὄντας, τὰ δ' εἰς ἦθος ὑπάγοντα, τὰ δ' ἄλλας τινὰς ἐργάζεται καὶ πολλὰς διαφορὰς περὶ αὐτὴν τὴν σύνθεσιν, οἷά ἐστι ταυτί· χρήσομαι δὲ παραδείγμασιν οὐκ ἐξ ἐπιτηδεύσεως, ἀλλ' οἷς ἐνέτυχον, ἐξ ἑνὸς ΤΩΝ ΦΙΛΙΠΠΙΚΩΝ λαβών· "Εἰ δέ τις ὑμῶν, ὦ ([a] ἄνδρες) Ἀθηναῖοι, τὸν Φίλιππον εὐτυ- "χοῦντα ὁρῶν, ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζει, σώ- "φρονος μὲν ἀνθρώπου προνοίᾳ χρῆται· μεγάλη γὰρ ῥοπή, "[b] μᾶλλον δὲ ὅλον ἡ τύχη παρὰ πάντ' ἐστὶ τὰ τῶν ἀνθρώ- "πων πράγματα. οὐ μὴν ἀλλ' ἔγωγε, εἴ τις αἵρεσίν μοι "δοίη, τὴν τῆς ἡμετέρας πόλεως τύχην ἂν ἑλοίμην, ἐθελόντων "ἃ προσήκει ποιεῖν ὑμῶν καὶ κατὰ μικρόν, ἢ τὴν ἐκείνου". ἐν ταῖς τρισὶ περιόδοις ταύταις τὰ μὲν ἄλλα ὀνόματα πάντα εὐφώνως τε σύγκειται καὶ ἡ... τῷ συγκεῖσθαι [c] σφόδρα, καὶ μαλακὰς αὐτῶν εἶναι τὰς ἁρμονίας· ὀλίγα δ' ἐστὶ παντάπασιν ἃ διΐστησι τὰς ἁρμονίας, καὶ τραχείας φαίνεσθαι ποιεῖ αὐτάς. ἐν μὲν τῇ πρώτῃ περιόδῳ κατὰ δύο τρόπους τὰ φωνήεντα συγκρουόμενα, ἔν τε τῷ, "Ὦ ἄνδρες Ἀθηναῖοι", καὶ ([d] ἐν τῷ) "Εὐτυχοῦντα ὁρῶν"· ἃ καὶ διΐστησι τὸ συναφές. καὶ κατ' ἄλλους δύο τρόπους ἢ τρεῖς τὰ ἡμίφωνα παραπίπτοντα ἀλλήλοις τὰ φύσιν οὐκ ἔχοντα συναλείφεσθαι, ἔν τε τῷ "Τὸν Φίλιππον", καὶ ἐν τῷ "Ταύτῃ φοβερὸν προσπολεμῆσαι", παράττει τοὺς ἤχους μετρίως, καὶ οὐκ ἐᾷ φαίνεσθαι μαλακούς. ἐν δὲ τῇ δευτέρᾳ περιόδῳ τραχύνεται μὲν ἡ σύνθεσις ἐν τῷ, "Μεγάλη γὰρ ῥοπή", διὰ τὸ μὴ συναλείφεσθαι τὰ δύο ρρ· καὶ ἐν τῷ "Ἀνθρώπων πράγματα", διὰ τὸ μὴ συλλεαίνεσθαι τῷ ἑξῆς· διασπᾶται δ' ἐν τῷ "Μᾶλλον δὲ ὅλον ἡ τύχη", βραχέων φωνηέντων πολὺν τὸν μεταξὺ χρόνον περιλαμβανόντων. ἐν δὲ τῇ τρίτῃ περιόδῳ τὰ φωνήεντα μέν, εἴ τις αὐτὰ βούλοιτο συναλείψας ἐκθλίβειν, ὥσπερ τὸ [e] "Οἴομαι" καὶ "Δέον", οὐκ ἂν εὕροις συμπλεκόμενα ἀλλήλοις. τῶν δὲ συμφωνουμένων δυσὶν ἢ τρισὶν χωρίοις τὴν λειότητα μὴ φυλάττουσαι [f] συνυπαμένοις εὑρεθήσονται, ἐν τῷ "Αἵρεσίν μοι δοίη", καὶ ἐν τῷ "Τῆς ἡμετέρας πόλεως". μέχρι μὲν δὴ τοῦ, ἡ δευτέρα τὰ πρωτεῖα ἁρμονίᾳ φέρει· ἐν δὲ τοῖς ἑξῆς, ἡ προτέρα διέσπασται μᾶλλον τῆς ἑτέρας· [g] "Πολὺ γὰρ πλείους ἀ- "φορμὰς εἰς τὸ τὴν παρὰ τῶν θεῶν εὔνοιαν ἔχειν ὁρῶ ὑμῖν ἐνού- "σας ἢ ἐκείνῳ. ἀλλ' οἴομαι καθήμεθα οὐδὲν ποιοῦντες· οὐκ "ἔνι δ' αὐτὸν ἀργοῦντα οὐδὲ φίλοις ἐπιτάττειν, μή τι γε "θεοῖς". ἐν τούτοις γὰρ δὴ τὰ φωνήεντα πολλαχῇ συγκρουόμενα δῆλά ἐστι, καὶ τὰ ἡμίφωνα καὶ ἄφωνα· ἐξ ὧν στηριγμούς τε καὶ ἐγκαθισμοὺς αἱ ἁρμονίαι λαμβάνουσι, καὶ τραχύτητας αἱ φωναὶ συχνάς· [h] ἔπειθ' αἱ ταύταις ἐπιβάλλουσι φωνηέντων· καὶ παρὰ τοῦτο ἐπιτρόχαλος αὐτοῦ ἐστιν ἡ σύνθεσις. ἀφώνων δὲ καὶ ἡμιφώνων συμβολαῖς διαχαραττόμεναι, τραχύνουσι τὴν φωνὴν συμμέτρως. καὶ τἆλλα δὲ κατὰ αὐτὸν ἅπαντα κατεσκεύασαι τρόπον.

& aliis multis in compoſitione differant modis; cujuſmodi ſunt illa. Utar autem exemplis non ſtudio conquiſitis, ſed obviis, ex una in *Philippum* oratione: "Si quis veſtrum, Athenienſes, ideo Philippum, quod "floreat & magnis opibus polleat, oppugnare metueret, is quidem ſapienti digna viro prudentia utitur. magna enim "vis eſt in fortuna, vel ipſa potius omnes "res humanas ſibi vendicat. Equidem ſane "ſi quis mihi ad eligendum daret, noſtræ urbis felicitatem potius eligerem, cupientibus vobis etiam parum facere ea "quæ fieri par eſt, quam illius". In tribus hiſce periodis omnia verba pene concinna & blande & eleganter compoſita; quia numeroſe admodum & ſuaviter & harmonice digeſta ſunt. pauca omnino ſunt, quæ conſtructionem collocationemque depravant ac duram reddunt. In prima quidem periodo duobus modis vocales concurrunt, & in hoc ὦ ἄνδρες Ἀθηναῖοι & in hoc εὐτυχοῦντα ὁρῶν, quæ etiam connexionem interrumpunt. ut aliis etiam duobus vel tribus locis ſemivocales coincidentes, quæ ſibi mutuo connecti nequeunt, ut hîc τὸν Φίλιππον & in hoc ταύτῃ φοβερὸν προσπολεμῆσαι, ſonum nonnihil perturbant, & non ſinunt ut gratus & lenis videatur. In ſecunda periodo aſpera eſt compoſitio, & in hoc μεγάλη γὰρ ῥοπή, quia duo ρρ non eliduntur, & in hoc ἀνθρώπων πράγματα, quia nullo ſequenti verbo emollitur: frangitur vero & emollitur in hoc μᾶλλον δὲ ὅλον ἡ τύχη, cum breves multæ vocales interjectum temporis ſpatium tollant. In tertia periodo, ſi quis vocales conjungendo voluerit elidere, ut in οἴομαι & δέον, non inveniet vocales concurrentes. ſed conſonantes, duobus vel tribus locis interſertæ, æquabilitatem adferunt, & in hoc αἵρεσίν μοι δοίη, & in hoc τῆς ἡμετέρας πόλεως. In his quidem, ſecunda compoſitio & concinnitas eminet; in ſequentibus vero, prima ſecundam multis partibus ſuperat: "Multo enim plures occaſiones vobis ineſſe video ad Deorum vo- "bis amorem conciliandum, quam illi. Sed "domi ſedemus otioſi: non licet autem illum "ceſſantem, nec amicis imperare, nec diis". In his enim vocales ubique aperte colliſæ ſunt, & ſemivocales ac mutæ; quibus compoſitiones firmantur & tardiores redduntur: breves adhæc vocales hîc concurrunt, ideoque cita & incitata eſt compoſitio. ſed quoniam mutarum & ſemivocalium connexionibus abundat, hinc ſonus nonnihil exaſperatur. Hoc itaque modo & cætera omnia compoſuit.

Quid

[a] Incluſum ἄνδρες additum ex vulg. editt. *Demoſthenis*: in quibus ſequentia ſic leguntur, ὁρῶν εὐτυχοῦντα, φοβερὸν εἶναι νομίζει καὶ δυσπολέμητον, σώφρονος μὲν ἀνδρὸς χρῆται προνοίᾳ. *Sylb.* [b] Eædem ſic habent: μᾶλλον δὲ τὸ ὅλον ἡ τύχη ἐστὶ πρὸς ἅπ. τὰ τῶν ἀνθρ. πρ. Sequens etiam periodus plane aliter in eiſdem legitur; ſic κατὰ πολλοὺς μέν τοι τρόπους ἕλοιτ' ἂν τις οὐχ ἧττον τὴν ἡμετέραν εὐτυχίαν, ἢ τὴν ἐκείνου. Exſtat autem locus in oratione ad Philippi epiſtolam. *Sylb.* [c] Poſt σφόδρα deſiderari videtur εὐμελῶς, εὐρύθμως, vel ſimile quodpiam adverbium. *Sylb.* [d] Incluſum iſtud comma, ἐν τῷ, in exemplari deeſt. *Sylb.* [e] Non video in prioribus *Demoſthenis* verbis, hæc quæ hîc repetit *Dionyſius*; ut quid vel deeſſe ſuperius vel hic redundare videatur, niſi legatur, οὐ μὴν, & δοίη. *Mart.* [f] Etiamſi legas συνυφαινόμεναι, tamen nec ſic quidem vel ſtructura vel ſententia conſtabit. videtur enim locus & mutilatus eſſe & corruptus. *Sylb.* [g] Locus hic in vulg. editt. *Demoſth.* plane aliter legitur. quapropter eum inde huc totum lubet tranſcribere. ſic ergo ibi: ἔτι δὲ τοσούτῳ πλείους ἀφορμὰς αὐτοῦ πρὸς τὴν τῶν θεῶν εὔνοιαν ἔχομεν, ὅσῳ διατελοῦμεν εὐσεβέστερα καὶ δικαιότερα πράττοντες. τί ποτ' οὖν ἐκεῖνος ἐν τῷ προτέρῳ πολέμῳ πλείω κατώρθωσεν ἡμῶν; ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι· παῤῥησιάσομαι γὰρ πρὸς ὑμᾶς. ὁ μέν, αὐτὸς στρατεύεται, καὶ ταλαιπωρεῖ, καὶ τοῖς κινδύνοις πάρεστιν, οὔτε καιρὸν παραλείς, οὔτε ὥραν ἔτους παραλείπων οὐδεμίαν· ἡμεῖς δέ, εἰρήσεται γὰρ τἀληθές, οὐδὲν ποιοῦντες, ἐνθάδε καθήμεθα, μέλλοντες ἀεί, καὶ ψηφιζόμενοι, καὶ πυνθανόμενοι κατὰ τὴν ἀγορὰν εἴ τι λέγεται νεώτερον. Noſtra lectio paulo conſtabit melius, ſi v. 37. pro οἴομαι legamus οἴκοι. *Sylb.* [h] Videtur talis quæpiam requiri lectio; ἔπειτα ταύταις ἐπιβάλλουσι συστολαὶ φωνηέντων, ſeu βραχέα φωνήεντα. *Sylb.*

[a] In

Quid porro pluribus opus eſt? non modo autem in verborum conjunctione mixtam mediamq; compoſitionem ipſe adhibet, ſed & in ipſis membrorum ſtructuris collocationibuſque, periodorum longitudine & ornamentis; quin & in numeris, qui tum periodos tum ſingula membra & cola ambiunt. Etenim & per commata multa hic orator dixit, & horum pleraque ad eundem modum compoſita ſunt, in ipſis autem periodis non pauciora. Periodos alias ſublimes & denſas, quaſi tortiles effecit; alias ſupinas, humiles, & admodum tenues, quaſi fuſas, quæ non adeo firmiter & validæ deſinunt; alias etiam ob longitudinem celeriores, quaſi ad ſpiritum ſuum & animi reſpirationem dimenſas; alias multo etiam longiores, ut ad quartam uſque reſpirationem perveniant, & tum demum finiantur. Schemata vero interdum gravia ſunt, auſtera, vetuſta, & redundantia, interdum vero arguta & venuſta, juvenilia & theatralia; ubique quidem numeri viriles, ſplendidi & magnifici; raro vero ſaltantes, Ionii, & fracti: de quibus paulo poſt dicemus. alius enim locus magis illis opportunus erit. Nunc vero quod oratio requirere videbatur etiam addens, ad ſequentia tranſibo.

Cur non eadem ſemper via Demoſthenes incedat.

XLIV. Quid vero hoc eſt? ſcilicet, cum dixerim compoſitionem mixtam & temperatam cæteris præſtare, hancque optime omnium Demoſthenem uſurpaſſe, & eam, prout res exigebat, inſigniter intendiſſe & remiſiſſe, interdum ſplendidius, interdum demiſſius ſe gerentem: cur autem non eodem ſemper modo ac ratione procedit? aut quem ordinem aut normam ſequitur in hoc vel illo componendi genere adhibendo? Næ ipſe mihi orator ingenio & exercitatione hoc primum percepiſſe videtur, non ſimilem dicendi rationem poſcere eos qui ad panegyricos conventus & ſcholas confluunt, & eos qui ad judicia & conciones: alii enim decipi quodammodo, & quovis modo duci ac trahi volunt; alii vero unicam doctrinam & utilitatem ſpectant. Indecorum etiam putavit in orationibus judicialibus temere quævis effutire & jocari, & in laudationibus ac demonſtrationibus ſordes quaſdam & ſqualorem inducere. Sed de ejus panegyricis nihil omnino dicendum eſt, quoniam ejus nullas habemus: omnes enim, quæ illi attribuuntur, alienas, nec ejus eſſe, atque ejus ſtylum non redolere, ac tum ſententiis tum etiam tota conſtructione ejus dicendi charactere cenſeo inferiores eſſe: inter quas arrogans illa *Funebris oratio*, inanis ac mere puerilis, numeranda venit; item encomiaſtica illa, ſophiſticis referta nugis, *in Pauſaniam*. Sed non eſt jam opus illud demonſtrare.

XLV. In orationibus vero forenſibus, quotquot vel ad judices vel ad populum habitæ ſunt, idem quod in aliis oratorem ſe-

